Notes du mont Royal

www.notesdumontroyal.com

Cette œuvre est hébergée sur « *Notes du mont Royal* » dans le cadre d'un exposé gratuit sur la littérature.

SOURCE DES IMAGES

Google Livres

HOMERI ODYSSEA

GRÆCE ET LATINE.

EDIDIT,

ANNOTATIONESQUE,

EX NOTIS NONNULLIS MANUSCRIPTIS

A SAMUELE CLARKE, S.T.P.

RELICTIS,

PARTIM COLLECTAS, ADJECIT

SAMUEL CLARKE, S.R.S.

EDITIO QUINTA.

Τὴν Ὀδύσσειαν, καλὸν ἀνθρωπίνου βίου κάτοπτρον.
Alcidamas, apud Arist. Rhet. l. 3. c. 3.

TOM. I.

LONDINI:

IMPENSIS J. CUTHELL; J. NUNN; LAW & WHITTAKER; LONGMAN & SOC.; LACKINGTON & SOC.; ROBERTI SCHOLEY; J. MAWMAN; BALDWIN, CRADOCK & JOY; R. WILLIAMS; G. COWIE & SOC.:—EDINBURGI, BELL & BRADFUTE; DOIG & STIRLING;—ET EBORACI, WILSON & FIL.

MDCCCXV.

KE 30459
Gh 62.592

Harvard College Library
May 2[illegible], 1900
Gift of
The J. C. Ayer Co.

E Prelo Academico Editorial.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Α'

Ὑπόθεσις τῆς ῥαψῳδίας Α'.

ΘΕΩΝ ἀγορὰ γίνεται περὶ τοῦ τὸν Ὀδυσσέα εἰς Ἰθάκην πεμφθῆναι ἀπὸ τῆς Καλυψοῦς νήσου· μετὰ ἣν ἡ Ἀθηνᾶ εἰς Ἰθάκην παραγίνεται πρὸς Τηλέμαχον, ὁμοιωθεῖσα Μέντῃ βασιλεῖ Ταφίων. Γενομένης δὲ ὁμιλίας, παραινέσασα ἡ Ἀθηνᾶ Τηλεμάχῳ παραγενέσθαι, διὰ τὴν τοῦ πατρὸς ζήτησιν, εἰς Πύλον μὲν, πρὸς Νέστορα, εἰς Σπάρτην δὲ, πρὸς Μενέλαον, ἀπαίρει, ὕμφασιν δοῦσα, ὡς Θεὸς ἦν. Καὶ τῶν μνηστήρων γίνεται εὐωχία.

Ἐπιγραφαί.

Θεῶν ἀγορά· Ἀθηνᾶς παραίνεσις πρὸς Τηλέμαχον· Μνηστήρων εὐωχία.

Ἄλλως.

Ἄλφα, Θεῶν ἀγορὴ, Ὀδυσσεὺς Παλλὰς Ἀθήνη.

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε·
Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω·

VIRUM die mihi, Musa, versutum, qui valdè multùm
Errevit, postquàm Trojæ sacram urbem evertit;
Multorumque hominum vidit urbes, et mores cognovit:

Ver. 1. Ἄνδρα μοι ἔννεπε, Μοῦσα.]

Arma, virumque cano——, Æn. I, 1.

Dic mihi, Musa, virum, captæ post mœnia Trojæ
Qui mores hominum multorum vidit, et urbes.
Horat. Ars. Poetic. 141.

——Ulixen,
Qui domitor Trojæ, multorum providus urbes
Et mores hominum inspexit, latumque per æquor
Dum sibi, dum sociis reditum parat, æpera multa
Pertulit, adversis rerum immersabilis undis. *Id. Epist. Lib.* I. ii. 18.

Ἐν δὲ τοῖς λόγοις καὶ ἥττων διῃρημένοι ἐστὶ τοῦ λόγου, ἵνα προϊδωσι περὶ οὗ ἡ λόγος, καὶ μὴ πρόμενται ἡ διάνοια· τὸ γὰρ ἀόριστον πλανᾷ. Ὁ δὴν οὖν ἔστιν εἰς τὴν χεῖρα τὴν ἀρχὴν, σταδὶ ἰχθύσιον ἀπολουθεῖν τῷ λόγῳ. Διὰ τοῦτο,——"Ἀνδρα μοι ἔννεπε, μοῦσα." *Aristot. Rhetoric. Lib.* III. *cap.* 14. Ὁ δ' Ὅμηρος ὥσπερ καὶ τὰ ἄλλα διαφέρει, καὶ τοῦτ' ἴσως παλῶς εἴληφεν, ἵνα

Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμὸν,
Ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων· 5

Plurimos autem ille in mari passus est dolores suo in animo,
Magnà-curà-servans suamque animam et reditum sociorum: 5

διὰ τέχνην, ἢ διὰ φύσιν. Ὀδύσσειαν γὰρ πᾶσιν οὐκ ἰσοίσειν ἅπαντα ὅσα αὐτῇ συνίζη, οἷον πληγῆναι μὲν ἐν τῇ Παρνασσῷ, μανῆναι δὲ προσποιήσασθαι ἐν τῇ ἀγιερμῷ· ὧν εὐδὲν, Σατίρου γινομένου, ἀναγκαῖον ἦν. ἢ εἰδὸς Σάτιρον γενέσθαι ἀλλὰ περὶ μίαν πρᾶξιν, οἵαν λέγομεν τὴν Ὀδύσσειαν, συνίστησεν. *Id. Poetic. cap.* 8. Σημειωσαι δὲ ὅτι σωστῷ τὸ τοῦ Ὀδυσσέως ἐξ ἀρχῆς ὄνομα ὁ Ποιητὴς, ἐξαίρων αὐτὸν σημοῖς ἰκανοῖς τοῖς καὶ ἀγκωμίοις, καὶ ἀναρτῶν τὸν ἀπροσπτὴν. *Eustath.* De toto porrò *Odysseæ* poemate ita *Longinus*: Διὰτι δ' ὅμως, inquit, ["Ομηρος διὰ τῆς Ὀδυσσείας ——— ὅτι μεγάλης φύσεως ὑποφερομένης ἤδη ἰδίαν ἔστιν ἡ γήρᾳ τὸ φιλόμυθον. Δῆλος γὰρ ἐν πολλοῖς τι ἄλλοις συντείνας ταύτῃ δευτέραν τὴν ὑστέρησιν, ἀτὰρ δὴ κἀν τοῦ λείψανα τῶν Ἰλιακῶν παθημάτων διὰ τῆς Ὀδυσσείας, ὡς ἐπεισόδιά τινα τοῦ Τρωϊκοῦ πολέμου, περιτιτυφίζειν, καὶ νὴ Δί' ἐν τοῦ τὰς ὁλοφύρσεις, καὶ τοὺς οἴκτους, ὡς πάλαι που προεγνωσμένους τοῖς ἥρωσιν, ἐνταῦθα προσαποδίδοναι. Οὐ γὰρ ἄλλο, ἢ τῆς Ἰλιάδος ἐπίλογός ἐστιν ἡ Ὀδύσσεια.— Ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας εἶμαι, τῆς μὲν Ἰλιάδος γραφομένης ἐν ἀκμῇ πνεύματος, ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστήσατο καὶ ἐναγώνιον τῆς δὲ Ὀδύσσειας τὸ πλεῖον διηγηματικὸν, ἅτε ἴδιον γήρως. Ὅθεν ἐν τῇ Ὀδυσσείᾳ παρεικάσαι τις ἂν κατάδυσιν τὸν Ὅμηρον ἡλίῳ, οὐ δίχα τῆς σφοδρότητος παραμίτιν τὸ μεγίθος. Οὐ γὰρ ἔστι τοῖς Ἰλιακοῖς ἐκείνοις ποιήμασιν ἴσον ἐνταῦθα σώζει τὸν τόνον, οὐδ' ἐξομαλισμένα τὰ ὕψη, καὶ ἐζήμασα μηδαμοῦ λαμβάνοντα, οὐδὲ τὴν πρέπουσαν ὁμοίαν τῶν ἐναλλὰξ παθῶν, οὐ τὸ ἀγχίστροφον, καὶ πολυτροπὸν, καὶ τοῖς ἐκ τῆς ἀληθείας φαντασίαις κατασκευασμένον· ἀλλ', οἷον ὑποχωρεῖν τοῖς ἐαυτὸν ὠκεανοῦ, καὶ περὶ τὰ ἴδια τέρματ' ἐρημουμένου, τὸ λοιπὸν φαίνεται τοῦ μιγέθους ἀμπώτιδις, πάν τοῖς μυθώδεσι καὶ ἀστίστοις πλανοῖς λίγων δι ταῦτ' οὐκ ἐπιλίμπανε τῶν ἐν τῇ Ὀδυσσείᾳ χειμάνων, καὶ τῶν περὶ τὸν Κύκλωπα καὶ τινων ἄλλων, ἀλλὰ γήρας διηγοῦμαι, γῆρας δ' ὅμως Ὁμήρου. Πᾶν ἐν ἅπασι τούτοις ἐξῆς τ ὑ πραπτικοῦ κρατεῖ τὸ μυθικόν. *De Sublimitate.* § 9. E contrario contendit Dna. *Dacier*, in præfatione ad *Odysseam*, hoc non Poetæ ingenio deficienti, sed rei utique ipsius diversitati tribuendum: *Homerumque*, etiam si *Odysseam* priorem, *Iliadem* posteriorem composuisset: utramque tamen eandem, ac nunc habemus, compositurum fuisse. Similiter et *Dupontus*: "Par," inquit, "in utro-"que opere vis et vigor et splendor inge-"nii." *Præfat. in Gnomologiam Homericam.* Ac quamvis fatendum quidem in *Iliade*, cujus materia grandior, stylum multò magis sublimem esse quàm in *Odysseâ*, ubi materia plerumque tenuior; notandum tamen et in Odysseâ omnia ubique tam aptè et vividè depicta esse, ut dubitari possit annon arti potiùs quàm ingenii defectui ascribenda sit ista diversitas. *Homerum* enim "nemo (ut "rectè observavit *Quinctilianus lib.* X. *cap.* 1.) in *Magnis* sublimitate, in *Parvis* pro-"prietate superaverit."

Ibid. —— πολύτροπον.] Ἐπὶ πολλὰ τρέποντα τὴν διάνοιαν, συνετὸν, ἢ πολλῶν ἴμπειρον τρόπων. *Schol.* "Ut ille vir heroïci spiri-"tus et *polytropus* ab Homero dictus, *i. e.* "multifariâ ingenii dote, multiplici morum "cognitione, versatilique solertiâ prædituς." *Budæus de Asse, lib.* V. Αὐτόν γε μὴν τὸν Ὀδυσσέα οὐκ ἐρᾷς, ὡς παντοίαις συμφοραῖς ἀντιτυχόμενος ἀρίστη, σώζει καὶ τὸ δι' ἐπῶν Σάρος; Τοῦτο αὐτῷ τὸ ἐν Κίρκης Μῶλυ, τοῦτο τὸ ἐν Θαλάττῃ κρήδεμνον, τοῦτο τῶν Πολυφήμου χειρῶν τὸν ἄνδρα ἐξάγει, τοῦτο ἐξ ᾅδου ἀνάγει, τοῦτο σηγνύει σχιδίαν, τοῦτο πείθει Ἀλκίνουν, τοῦτο ἀνίκητα βαλλόντων μνηστήρων, Ἴρου παλαίοντος, Μιλησίου ὑβρίζοντος, τοῦτο ἐλευθεροῖ τὴν ἑστίαν, τοῦτο σιμφορεῖται γάμῳ, τοῦτο ἄνδρα σωεῖ διογενῆ καὶ Διὸς εἰναλον, ὃν ἀξιοῖ Πλάτων εἶναι τὸν εὐδαίμονα. *Maximus Tyrius, Dissertat.* XVI. ipso fine. Cæterùm *Scholiastes in Aristophanem* ad *Nubes, ver.* 259. nonnullos hic pro πολύτροπον, πολύκροτον scripsisse annotat.

Ibid. —— ὃς μάλα πολλὰ Πλάγχθη.] Οὐ γῆν ἄξιον ἡγησορεύομενος, οὐδὲ θάλατταν χαλεπὴν περαιούμενος, οὐδὲ ἀνθρώπους ἀγρίους συμφερόμενος· ἀλλὰ ταῦτα μὲν αὐτῷ οἱ μῦθοι ἔχουσιν, αὐτὸς δὲ τῇ ψυχῇ, κύφῳ χρήματι, καὶ πολυπλανιστέρῳ τῶν σωμάτων, παντοχοῦ περιφέρετο, πάντα ἐσιόστα, ὅσα εἰρηνοῦ κινήματα, ὅσα γῆς πεπήματα, Διὸν βουλὰς, ἀνέμων ὕσεις, ἁλίου φῶς, ἄστρων χορεῖ, γενέσεις ζώων, ἀναχύσεις θαλάσσης, ποταμῶν ἐκβολὰς, ἄερος μεταβολὰς, τὰ πολιτικὰ, τὰ οἰκονομικὰ, τὰ πολεμικὰ, τὰ ἱερατικὰ, τὰ γαμήλια, τὰ γεωργικὰ, τὰ ἐφετικὰ, τὰ ναυτικὰ, τέχνας παντοίας, φωνὰς παντοίας, εἴδη παντοδαπὰ, ἐλοφυρομένους. ἡδομένους, στιβοῦντας, γελῶντας, πολεμοῦντας, ἐργιζομένους, ἐυωχουμένους. πλέοντας. *Max. Tyrius, Dissertat.* XVI. sub initio.

Ibid. —— πολλά.] *Al.* πάντων.

Ver. 2. ——— ἱπτὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε.] Σημειωσαι δὲ ὅτι τὸ, "Τροίης πτολί-"εθρον ἔπερσεν," ἀρχὴ ἐστι τῆς τοῦ πτολιπορθου Ὀδυσσέως συνθέσεως· διὰ γὰρ ταύτην ἐκίνησε πτολιπορθος ἐκπλεύσασθαι. *Eustath.* Vide infrà ad χ', 230. Item ad *Iliad.* β', 278.

Ἀλλ' οὐδ' ὣς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·
Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο·
Νήπιοι, οἳ κατὰ βοῦς ὑπερίονος Ἠελίοιο
Ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.

Sed neque sic servavit socios, tametsi cupiens;
Suâ enim ipsorum insipientiâ perierunt;
Stulti, qui boves sublimis Solis
Comederunt: ille verò iis abstulit reditùs diem.

Ibid.——ἱερὸν ἀπολίσθαι.] Διὰ τὸ τιτιχῖσθαι ὑπὸ θεῶν ἢ διὰ τὴν περὶ τὸν Δία ἀσέβειαν. *Schol.*

Ver. 3. Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω.] Ὁμήρῳ δὲ καὶ Ὀδυσσεῖ σοφὸς διὰ πολλὰ πλάττων "Πολλῶν δ' ἀνθρώπων ἴδεν "ἄστεα, καὶ νόον ἔγνω." *Maxim. Tyrius, Dissertat.* VI. Οἱ γὰρ σωτηρίαν φρονιμωτάτους τῶν ἡρώων ἀποφαίνουσι τοὺς ἀπολομένους πολλαχοῦ καὶ πλανηθέντας· ἐν μεγάλῳ γὰρ τίθενται τὸ "πολλῶν ἀνθρώπων ἰδεῖν ἄστεα καὶ νόον γνῶναι."——Πάντα γὰρ τὰ τοιαῦτα παρασκευαὶ τινες εἰς φρόνησιν μεγάλαι, τῷ μαθεῖν τῆς χώρας τὴν φύσιν, καὶ ζῴων καὶ φυτῶν ἰδίας, προσθεῖναι δὲ καὶ τὰ τῆς θαλάττης. *Strabo, Geograph. lib.* I. *pag.* 16. *Al.* 8. "Nec immeritò priscæ poe-"ticæ divinus auctor apud Græios, summæ "prudentiæ virum monstrare cupiens, mul-"tarum civitatum obitu, et variorum po-"pulorum cognitu, summas adeptum virtu-"tes cecinit." *Apuleius Metamorphos. lib.* 9. Vide et suprà *ver.* 1.

Ver. 4. Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν.]

——multùm ille et terris jactatus et alto.
Æn. I, 3.

Ibid.——πάθεν ἄλγεα ὃν κατὰ θυμὸν, Ἀρνύμενος.] *Al.* πάθεν ἄλγεα, ὃν κατὰ θυμὸν Ἀρνύμενος.

Ver. 5. Ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.] Διὰ καὶ τὸν μέλλοντα στρατηγεῖν, καὶ ἡγεμόνα ἀξιόχρεων τυγχάνειν,——ἀνδρεῖα τῇ στιλπνῇ φρόνησιν ὡς πλείστην προσοικεῖναι συνοδεύει, καὶ μεγαλοψυχίαν καὶ σύνεσιν, πάς τις ἄλλης τῆς τῇ ἡγεμόνι προσούσης ἀρετῆς· καὶ τῆς ἑαυτοῦ ψυχῆς ἔσθ' ὅτε μὲν φείσεται, ἄλλοτε δὲ ἀφιλόψυχος ὅταν δηλαδὴ ἥ τι καιρὸς καὶ ἡ χρεία ἀπαιτῇ· καθ' ἑκάστην δὲ στρατηλασίαν καὶ μάχην καὶ συμβολὴν, ἀεὶ ἑνισταίνοις τοῦ θανεῖν, μιμήσεται τοῦτο τοῦ ἥρωος. "Ἀρνύμενος ἥν τε ψυχὴν "καὶ νόστον ἑταίρων." *Kyriac. Stroz de Republ. lib.* 9. Porrò sententiam hic ita exponit *Scholiastes*: Τὸ ἰφ' ἑαυτῷ στρατιῶν καὶ σώζων ἑαυτὸν καὶ τοὺς ἑταίρους· ἢ ἀντὶ τοῦ καταλλασσόμενος τὴν ἑαυτοῦ ψυχὴν, καὶ τὸν εἰς τὸν οἶκον ἐπάνοδον. ὑπὲρ τῶν ἑταίρων· οἷον αὐτὸς ἀπολέσθαι θέλων, ἵνα σωθῇ τοὺς ἑταίρους. Διαλαμπέτιον ἐστὶ τῷ, καὶ νόστον. Posteriorem harum explicationum amplectitur *Eustathius*; Ὅτι τὸ, "Ἀρνύμενος ἥν τε ψυχὴν ξς." (inquit) ἴσον ἀντιπαραλλασσόμενος, ἀντὶ μέρους ὅλωσεται τῶν παλαί ποτε μεστιούντων ζώων τοῖς συναλλάγμασι, τουτέστιν ἀντὶ τῶν ἀρῶν ἰνὸς ὅλους τῶν τετραπόδων. Verior tamen, ut opinor, prior *Scholiastis* interpretatio; videtur enim vox ἀρνύμενος apud Poetam propriè significare *expetens*, sive *exquirens ut laboris præmium*:

Τιμὴν ἀρνύμενος Μενελάῳ σοί τε.——
Iliad. ά, 159.
Ἀρνύμενος πατρός τε μέγα κλέος, ἠδ' ἐμὸν αὐτοῦ.
ζ', 446.
——οὐχ ἱερῆϊον, οὐδὲ βοείην
Ἀρνύσθην.——
χ', 159.

Secundùm hanc interpretationem *Horatius*, loco suprà ad *ver.* 1. citato; "*Dum sibi, dum* "*sociis reditum parat:*" itemque *Budæus de Asse, lib.* 5. "*Salutem suam tandem anxiè* "*sociorumque perquirebat.*" Sed et confirmatur hæc accipiendi ratio ex ψ', 253. infrà, ubi similis sententia occurrit;

Νόστον ἑταίροισιν διζήμενος, ἠδ' ἐμοὶ αὐτῷ.

Ibid. Ἀρνύμενος ἥν.] Quâ ratione Ἀρνύμενος hîc ultimam producat; item πάρος, *ver.* 21. et ἰνὶ, *ver.* 27. et Ὀρίονα, *ver.* 40. vide ad *Il.* ά, 51. Cæterùm de prosodiâ vocis Ἀρνύμενος, vide ad *Il.* γ', 260.

Ver. 7. Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.] Citat hunc versum *Eusebius*, ut et *ver.* 32. 33. infrà, ad demonstrandum, *Homerum* sententiæ isti, fato scilicet et necessitate omnia regi, non suffragari. Ταῦτα γὰρ, (inquit) καὶ τὰ τοιαῦτα, τῷ πάντα γίνεσθαι κατ' εἱμαρμένην, ἐναντίωται. *Præparat. Evangel. lib.* VI. *cap.* 8. Citat porrò hunc versum *Maximus Tyrius, Dissertat.* XL. Vide infrà ad *ver.* 32. 33.

Ibid. Αὐτῶν.] *Al.* Αὐτὸν.

Ver. 8.——οἱ κατὰ βοῦς ὑπερίονος Ἠελίοιο Ἤσθιον.] Vide infrà ad μ', 353. ξς. Ἐμνήσθη τούτων, ἵνα ἐκ περιαιρέσεως ἀδικήσαντες ἀπόλωνται. *Schol.*

Ibid.——ὑπερίονος.] Ἐπιθετικῶς, τοῦ ἡλίου ἀπὸ τοῦ ὑπὲρ ἡμᾶς εἶναι. Ἡσίοδος δὲ Ὑπερίονος αὐτὸν ἐγκαλέσαντες. *Schol.* Ὑπερίονα δὲ ναμπίον αὐτὸν, τὸν ὑπερίμενον διὰ τῆς γῆς. *Heraclid. Pontic.*

Τῶν ἁμόθεν γε, θεὰ, θύγατερ Διὸς, εἰπὲ καὶ ἡμῖν.
Ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
Οἶκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
Τὸν δ' οἶον, νόστου κεχρημένον ἠδὲ γυναικὸς,
Νύμφη πότνι' ἔρυκε Καλυψὼ, δῖα θεάων,
Ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
Ἀλλ' ὅτε δὴ ἔτος ἦλθε, περιπλομένων ἐνιαυτῶν,
Τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
Εἰς Ἰθάκην, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων,
Καὶ μετὰ οἷσι φίλοισι· θεοὶ δ' ἐλέαιρον ἅπαντες,
Νόσφι Ποσειδάωνος· ὁ δ' ἀσπερχὲς μενέαινεν
Ἀντιθέῳ Ὀδυσῆϊ, πάρος ἣν γαῖαν ἱκέσθαι.
Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
(Αἰθίοπας, τοὶ δίχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,

Haec aliquâ-ex-parte, dea, filia Jovis, dic et nobis.
Jam alii quidem omnes, quotquot effugerant saevam mortem,
Domi erant, belloque elapsi atque mari;
Hunc autem solum, redìtûs indigentem atque uxoris,
Nympha veneranda detinebat Calypso, nobilis dea,
In specubus cavis, cupiens sibi maritum esse.
Sed quando jam tempus venit, circumvolventibus annis,
Quo ei destinârunt dii domum redire
In Ithacam; neque tum evaserat è laboribus,
Etiam inter suos amicos; dii verò miserabantur omnes,
Praeter Neptunum: ille autem indesinenter irascebatur
Divino Ulyssi; antequàm *is* suam in terram venisset.
Sed ille quidem Aethiopas adierat longè semotos,
(Aethiopas, qui bifariàm divisi sunt, ultimi hominum,

Ver. 10. —— *ἁμόθεν.*] Πόθεν. Ἴσως λέξις τῶν Ἀττικῶν ἡ ἀπὸ τινὸς μέρους, ἐντεῦθεν δήλως. *Schol.* et *Hesychius.*

Ver. 11. Ἔνθ' ἄλλοι μὲν πάντες.] Ὅτι οὐδὲ ἐντεῦθεν τὴν ἀρχὴν τῆς τοῦ Ὀδυσσέως πλάνης, ἀρχὴν τῆς ἑαυτοῦ ποιήσεως Ὅμηρος τίθεται ἀλλ', ὥσπερ ἐν τῇ Ἰλιάδι, οὕτω καὶ νῦν ἀπὸ τῶν ἐγγὺς τοῦ τέλους ἄρχεται. *Eustath.* Vide ad *Il.* ά, 1.

Ibid. —— *αἰπὺν ὄλεθρον.*] Αἰπὺς· ὑψηλὸς, σκληρὸς, χαλεπός. *Eustath.* et *Etymol. Magn.* à *Barnesio* citati. "Item ἄφυκτος, (inquit "*Barnesius,*) ut *Iliad.* υ', 773. —— νὺν τοι "σῶς αἰπὺς ὄλεθρος." Minùs rectè; ibi enim non *αἰπὺς*, sed *σῶς* intelligendum est ἄφυκτος.

Ver. 12. —— *στιφεογόντες.*] Vide ad *Il.* β', 314.

Ver. 16. —— *περιπλομένων ἐνιαυτῶν.*]

—— volventibus annis.
Æn. I, 238.

Ver. 18. —— *στιφεγμένος.*] *Barnesius,* e- didit *στιφεγμένος*· rationibus haud satis idoneis. Vide ad *Il.* ζ', 488.

Ver. 22. —— *μετεκίαθε.*] *Al. μετεκίαθε.*

Ver. 23. —— *Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν.*]

Oceani finem juxta, Solemque cadentem
Ultimus Æthiopum locus est. ——
Æn. IV, 480.

Πάντες γὰρ οἱ παρακλύσαντες τῷ Ὠκεανῷ τὸν Λιβύην, οἵ τε ἀπὸ τῆς ἑσπέρας, καὶ οἱ ἀπὸ τῶν στηλῶν, μέχρι σοφοῦ προελθόντες, εἶτα ἀνίστρεψαν, ὑπὸ πολλῶν ἀσοφιῶν κωλυόμενοι· ὥστε καὶ πίστιν κατέλιπον τοῖς πολλοῖς, ὡς τὸ μεταξὺ διέρχοιτο ἠθμῷ. Καὶ μὴν σύρρους ἡ σῶσα Ἀτλαντικὴ θάλασσα, καὶ μάλιστα ἡ κατὰ μεσημβρίαν. Ἅπαντες δὲ οὖσι τὰ τελευταῖα χωρία, ἐφ' ἃ ἐλίσσοντες ἦλθον, Αἰθιοπικὰ προσηγόρευσαν, καὶ ἀπώγαιαν οὖσαν. Τί οὖν ἄλογον εἰ καὶ Ὅμηρος ὑπὸ τοιαύτης ἀποῆς ἀχλὺς δίχα δήσει, τοὺς μὲν πρὸς ἀνατολὴν λίγων, τοὺς δὲ πρὸς δύσιν; τῶν μεταξὺ ὑ γινωσκομένων εἴτε εἰσὶν εἴτε μὴ εἰσίν. *Strabo, Geograph. lib.* I. *pag.* 57. *Al.* 32. Ὅμηρος

Οἱ μὲν δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος,)
Ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
Ἔνθ' ὅγε τέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι
Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίου ἀθρόοι ἦσαν.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Μήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,
Τὸν ῥ' Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκτανε Ὀρέστης·
Τοῦ ὅγ' ἐπιμνησθείς, ἔπε' ἀθανάτοισι μετηύδα·
Ὤ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·

Alii quidem ad occidentem solem, alii verò ad orientem,)
Adfuturus taurorumque et agnorum hecatombae.
Ibi ille delectabatur convivio assidens: at dii alii jam
Jovis in aedibus Olympii congregati erant.
His autem sermones coepit pater hominumque deorumque;
Recordabatur enim in animo eximii Aegisthi,
Quem Agamemnonides inclytus occiderat Orestes;
Hujus ille recordatus, verba inter immortales fecit:
" Papae, ut scilicet deos mortales culpant!

οὐ δικὰ τοῦτο δοκεῖ τοὺς Αἰθίοπας, ἢ ὅτι τοὺς Ἰνδοὺς ἤδει τινὰς τοιούτους οἷς σύμφυτον οἰδὲ γὰρ ἀρχὴν εἶδέναι τοὺς Ἰνδοὺς ἄλλῃ Ὁμηρον. Ὅτου οὖν ὄγε Εὐεργέτης κατὰ τὸν Εὐδέξιππον μᾶλλον ἤδει τὰ κατὰ τὸν Ἰνδικὸν, οὐδὲ τὸν πλοῦν τὸν ἐπ' αὐτῷ ἀλλὰ μᾶλλον κατὰ τὴν λιχμήνιαν ὑφ' ἡμῶν περίοιμον δικαίωσον. *Id. lib.* II. *pag.* 162. *Al.* 103. Τινὲς δὲ περὶ τοῦ Νείλου σχίζεσθαι αὐτοὺς λέγουσιν. *Schol.* Vide ad *Il. ά*, 423.

Ibid. —— δεδαίασται.] Vide ad *Il. ά*, 37. et ὑ, 736.

Ver. 24. Οἱ μὲν δυσομένου — οἱ δ' ἀνιόντος.] *Al.* Ἠμὲν δυσομένου — ἠδ' ἀνιόντος.

Ver. 27. —— Ὀλυμπίου.] *Al.* Ὀλύμπιοι.

Ver. 29. —— ἀμύμονος Αἰγίσθοιο.] " *Homere*, (inquit Dna. *Dacier*) accompagne ici " le nom d'Egisthe d'une épithete que je n'ai " pû ni dû conserver; *le Pere des Dieux et des* " *hommes*, dit il, *s'etant souvenu du sage Egis-* " *the: ἀμύμονος*, c'est à dire, *irreprehensible*, " *à qui on ne peut rien reprocher.* Comment " ce Poëte peut-il dire cela d'un scelerat qui " a assassiné son Roi pour en épouser la " femme, et se rendre maître de ses Etats?" Atqui vox ἀμύμων non eum denotat qui sit omnibus virtutibus ornatus, omnibus vitiis immunis; sed eum qui *unâ pluribusve* animi aut corporis dotibus sit eximius. Atque ita accipit *Scholiastes*, qui exponit: Ἤτοι καλοῦ περὶ τοῦ μειχθῆναι ἢ τοῦ κατὰ γένος ἀγαθοῦ. Similiterque *Eustathius*: Ἀμύμονα γοῦν (inquit) ὀνομάζει νῦν τὸν ἀκέραιον Αἴγισθον ὁ Ὁμηρικὸς Ζεὺς, οὐκ ἐκ τῶν ἐπιόντων καλῶν λαβὼν τὸ ἐπαινετὸν, ἀλλ' ἀφ' ὧν ὑπῆρχε καλῶν. Εἶχε δὴ, τὸ εὐγενὲς, τὸ εὐειδὲς, τὸ συνετόν. Vide ad *Iliad. β'*, 623. *γ'*, 88. et *ζ'*. 155.

Ver 30. Τόν ῥ'.] *Quem utique* —— *Quem scilicet.*

Ver. 31. —— ἴσα' ἀθανάτοισι μετηύδα.] *Al.* ἴσια φρεσὶν' ἀγήνωρ· et ἴσα φρεσὶν ἦρα φρονεῦδα.

Ibid et *ver.* 67. —— ἀθανάτοισι.] Similiterque *ver.* 79. Ἀθάνατον. Vide ad *Il. ά*, 398.

Ver. 32. —— οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται. Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι.] Ὅταν γὰρ ἁμάρτῃ καὶ ἀκαρεστεῖῃ [*Al.* ἀκαιρεστεῖῃ] ὁ νοῦς ἀρετῆς, αἰτιᾶται τὰ θεῖα, τὴν ἰδίαν φρονῆν περιάπτων θεῷ. *Philo, Sacræ Legis Allegoriarum, lib. 3.*

Ita *Lyconides* apud *Plautum*:

Deus mihi impulsor fuit ——
Deos credo voluisse ——.

Plaut. Aulular. Act. IV. *Scen.* x. *ver.* 7. 12.

Similiter et apud *Euripidem*:

Τοὺς δ' ἐνδὲ αὐτοὺς ὄντας ἀνθρωποκτόνους
Εἰς τὸν Διὸν τὸ φαῦλον ἀναφέρειν δοκεῖ.

Iphigen. in Taur. ver. 387.

Et apud *Æschylum*:

Μηδὲ πρὸς ἄτης δημιοῦσθαι
Μέμψησθέ τύχαν, μηδὲ ποτ' εἰπεῖν,
Ὡς Ζεὺς ὑμᾶς εἰς ἀκρότατον
Πᾶμ' ἐσέβαλε. Μὴ δῆτ', αὐταὶ δ'
Τῦμᾶς αἰτάς. ——

Prometh. vinct. ver. 1071.

Et *Solon* apud *Diogenem Laërtium, lib.* I.

Εἰ δὲ πεπόνθασι δεινὰ δι' ὑμετέρην κακότητα,
Μήτι Διὸς τούτων μοῖραν ἐπαμφέρεται.

Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
Σφῆσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.
Ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο
Γῆμ' ἄλοχον μνηστὴν, τὸν δ' ἔκτανε νοστήσαντα,
Εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες ἐῢσκοπον Ἀργειφόντην,
Μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄποιτιν·
Ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,
Ὁππότ' ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.
Ὡς ἔφαθ' Ἑρμείας· ἀλλ' οὐ φρένας Αἰγίσθοιο

" Ex nobis enim aiunt mala esse, hi verò et ipsi
" Suâ stultitiâ praeter fatum calamitates patiuntur.
" Quemadmodùm et nunc Aegisthus praeter fatum, Atridae
" Duxit uxorem sponsam, ipsumque occidit reversum,
" Gnarus gravis exitii; quoniam illi praediximus nos,
" Mercurio misso speculatore Argicidâ;
" Ut neque ipsum occideret, neque ambiret ejus uxorem:
" Ex Oreste enim erit ultio Atridae;
" Postquam pubuerit et suam desiderabit ditionem."
Sic dixit Mercurius; sed non menti Aegisthi

" Negat (*Chrysippus*) oportere ferri audiri-
" que homines aut nequam aut ignavos et
" nocentes et audaces; qui quum in culpâ
" et in maleficio revicti sunt, perfugiunt ad
" fati necessitatem, tanquam in aliquod Fa-
" ni asylum; et, quæ pessimè fecerunt, ea
" non suæ temeritati, sed fato esse attribu-
" enda dicunt. Primus autem Homerus
" sapientissimus et antiquissimus poetarum
" dixit in hisce versibus; Ὦ πόποι, οἷον δή νυ
" Ζεὺς βροτοὶ αἰτιόωνται· Ἐξ ἡμέων γάρ ἕς." *Gellius, lib.* VI. *cap.* 2. Vide ad versum sequentem.

Ver. 33. —— *οἱ δὲ καὶ αὐτοὶ Σφῆσιν ἀτασθαλίῃσιν.*]

Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας. *Pythag. Aurea Carm. ver.* 54.

Ἐγὼ μὲν οὖν ἄτοπόν μοι δοκῶ ἀληθῶς μάταν Ζεοὺς ἀνθρώπων αἰτιᾶσθαι, ἐξ ἑαυτῶν φάμενοι κακὰ σφίσιν εἶναι, " οἱ δὲ καὶ αὐτοὶ Σφῆσιν" εἴτε ἀτασθαλίῃσιν, εἴτε ἀφροσύναις χρῇ εἶπεν. " ὑπὲρ μόρον " ἄλγ' ἔχουσι." *Plato, in Alcibiade secundo.* Similiter *Hierocles:* Πολὺ δέ μοι δοκεῖ συμβάλλεσθαι τῷ καλῶς χρῆσθαι Ζεοῖς, καὶ τὸ διειληφέναι, ὡς οὐδενός ποτε κακοῦ γίγνεται Ζεὺς αἴτιος· ἀλλὰ ταῦτα μὲν ἐκ τῆς κακίας ἑκάστῃ μόνης, οἱ δὲ Ζεοὶ τὸ ἐφ' ἑαυτοῖς ἀγαθὸν τί εἰσιν αἴτιοι, καὶ τῶν ἐυτυχούντων· ἡμεῖς δὲ ἑαυτοὺς αἰτιασόμεθα τῆς εὐεργεσίας αὐτῶν οὐ προσιέμενοι, περιβάλλοντες δὲ ἑαυτοὺς κακοῖς αὐθαιρέτοις. *Hierocl. Fragmentum, quod inscribitur,* Πῶς Ζεοῖς χρησέον; ubi et hunc *Homeri* locum adducit. Similiter et *Maximus Tyrius:* Οὐδὲ καθ' ἑαμαρμένην ἀνθρώπινα συμφοραὶ, οὐ γὰρ Ζῆνος ἀπάντων Ζεῦ πάτερ ἠδὲ καὶ ἄλλοι ἀκάχμενοι ἀθανάτοισιν· ἀλλ' αὐτοὶ ἀφραδίῃσιν ἑῇσιν ἄλγε' ἔχουσιν ὑπὲρ μόρον. *Ibid.* —— *ἐξ ἑαυτῶν φάμενοι κακὰ σφίσιν εἶναι,* ἐξ ἑαυτῶν φάμενοι κακὰ σφίσιν εἶναι, [Infrà λ', 61.] " Ἀσί μι δαίμονες αἶσα " κακή." ψεύδεται δὲ ὁ Ἀγαμέμνων λέγων [*Iliad.* σ', 86. 87.] —— " ἐγὼ δ' οὐκ αἴτιος εἰμὶ, " Ἀλλὰ Ζεὺς, καὶ μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννύς." Ἔοικε δὲ καὶ ταυτὶ τὰ ὀνόματα εἶναι μοχθηρίας ἀνθρωπίνης ἴῦφημοι ἀποστροφαὶ ἀναθέντων αὐτῆς τὴν αἰτίαν τῷ δαιμονίῳ, καὶ ταῖς μοίραις, καὶ ταῖς ἐριννύσιν. *Dissertat.* III. Et *Dissertat.* XXII. Ὁ μὲν γὰρ ἐπὶ τὰ αἰσχρὰ ὁλισθὼν αὐτοφυοῦς ἀσθενείας ἔργον ἡ καὶ τὰς ἐπαινουμένας ψυχὰς κολακεύουσα διὰ ἡδονῶν καὶ ἐπιθυμημάτων, εἰς τὰς αὐτὰς ὁδοὺς ταῖς μοχθηρίαις συγκαθέλκει. Ἀκούσῃ γοῦν τοῦ Διὸς αὐτοῦ λέγοντος, " Ὦ πόποι, οἷον δή νυ Ζεοὺς βρότοι αἰ- " τιόωνται· &c."

Ibid. —— *ἡμέων.*] Pronuntiabatur *ἠμῶν.*

Ver. 34 et 35. —— *ὑπὲρ μόρον.*] " Hic in- " telligimus, dicere Poetam ea præter fa- " tum hominibus contingere, quæ violenta " sunt et præter naturæ ordinem." *Spondan.* Vide ad *Il.* β', 155. et ὑ, 336. *Scholiastes* autem *ὑπὲρ μόρον* hîc exponit *ὑπὲρ τὸ πεπρωμένον·* et ad *ver.* 42. infrà, Καὶ τούτου (inquit) δηλονότι δύο περὶ ἕκαστόν εἰσιν εἱμαρμένα· αἰρεῖται δὲ ἕκαστος ἃν βούλεται.

Ver. 34. —— *ἄλγ' ἔχουσιν.*] *Al.* ἄλγ' ἔχοντες

Ver. 37. —— *αἰπὺν ὄλεθρον.*] Vide suprà ad *ver.* 11.

Ver. 39. —— *κτείνειν.*] *Al.* κτεῖναι.

Ver. 40. Ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο.] Φασὶ δὲ οἱ παλαιοὶ, μὴ δεῖν ἐνταῦθα λίγειν, ἐκ γὰρ Ὀρέσταο Ἀτρείδαο, ἤγουν τοῦ ἐγγόνου τοῦ Ἀτρέως· ἀλλὰ μᾶλλον ὅτι ἐξ Ὀρέστου τίσις,

Πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἀθρόα πάντ' ἀπέτισε.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
Καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
Ὣς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι.
Ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ,
Δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει,
Νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης,
Νῆσος δενδρήεσσα· θεὰ δ' ἐν δώμασι ναίει

Persuasit bono consulens: nunc autem cumulatè omnia luit.
Huic autem respondit deinde dea caesiis-oculis Minerva:
" O pater noster Saturnie, summe regum,
" Et valdè ille quidem meritâ jacet morte:
" Sic pereat et alius, quicunque talia fecerit!
" Verùm mihi pro Ulysse prudenti cruciatur cor,
" Infelice; qui jamdiù, procul ab amicis, calamitates patitur
" Insulâ in circumfluâ, ubi et umbilicus est maris,
" Insula sylvosa: dea verò intra domum habitat.

τοιοῦτον ἰαδίαιοις ἴσται τοῦ Ἀρχιλόου Ἀγαμέμνονος· λέγουσι γὰρ τὸν Ὅμηρον μὴ σχηματίζειν ἀπὸ πάσσων παροιμίαν, εἰ μὴ ὁ πάσσων εἶπεν ὧδε Διὸς υἱός. *Eustath.*

Ibid. —— Ὀφέστου —— Ἀτρείδαι.] Vide infrà ad ξ, 199.

Ver. 40. 43. —— τίσις —— ἀτίσεται.] De harum vocum prosodiâ, vide ad *Il.* χ', 19. et ν', 414.

Ver. 41. Ὅστις δή.] *Al.* Ὅστις δέ'.

Ibid. —— ἁμάρτῃσι.] *Al.* ἁμάρτοιτο.

Ver. 44 et 80. —— γλαυκῶπις Ἀθήνη.] Vide ad *Il.* ά, 206.

Ver. 45. Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων.]

O pater, ô hominum Divûmque æterna potestas. Æn. X, 18.

Ver. 47. Ὣς ἀπόλοιτο.] Ita edidit *Barnesius*. *Al.* Ὡς ἀπόλοιτο. Quod et præfert *Henricus Stephanus*: " Malo" (inquit) " ὡς, ut sit " optantis:" verùm, ut opinor, minùs rectè.

Ibid. Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι.] Σκιπίων ὁ Ἀφρικανὸς, —— πρῶτον μὲν ἐν Νομαντίᾳ τὴν στιλπνὸν τοῦ Τιβερίου στάσιν, ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν, " Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅστις τοιαῦτά γε ῥέζοι." *Plutarch. in Tiberio et Caio Graccho.*

Ver. 48. —— δαίεται.] *Al.* καίεται.

Ver. 51. Νήσος δενδρήεσσα.] Vide infrà ad ζ, 162.

Ibid. —— ἐν δώμασι ναίει.] *Al.* ἐν δώματα ναίει. Atque ita in commentario legit *Eustathius*.

Ver. 52. Ἄτλαντος θυγάτηρ ὀλοόφρονος.] Ὀλεθρίου, ἤτοι στολίμου τοῖς θεοῖς· —— Οἱ δὲ ἰδάσιαν, ἵνα ᾖ, περὶ τῶν ὅλων φρονοῦντος· αὐτὸς γὰρ ὁ Ἄτλας τὸν κόσμον βαστάζων παραδίδοται. *Schol.* Secundùm posteriorem explicationem *Eustathius*: Ὀλοόφρονα (inquit) τὸν τοιοῦτον Ἄτλαντα νοοῦσι, ὡς τὰ ὑπὲρ ὅλων φρονοῦντα, ἤγουν τῶν ὅλων φροντιστικόν. Atque hoc ferè sensu alibi hanc vocem usurpare videtur Poeta:

Αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο.
Infrà κ', 137.

Κούρην Μίνωος ὀλοόφρονος —— λ', 321.

Aliam porrò hîc conjecturam profert *Scholiastes*, legendum videlicet Ἄτλαντος θυγάτης ὀλοόφρων. Quod ut viro erudito *Merico Casaubono* maximè probatur; *Dissertat. I. de nuperâ Homeri editione*, haud longè à fine; ubi plura de hoc loco. Cæterùm apud *Hesiodum*, notante *Barnesio*, *Oceani* et *Tethyos* filia memoratur *Calypso*; *Theogon. ver.* 359.

Ibid. —— ὅστι θαλάσσης Πάσης βυθὸς οἶδεν.] Πολλοῦ τι ἐνομαζόμενον χωρίον, ἐνταῦθα Ἄτλαντα καθήμενον πολυπραγμονεῖν τά τε ὑπὸ γῆν φαεί καὶ τὰ οὐράνια. Πιστεύεται δὲ καὶ Ὁμήρῳ περὶ τοῦ Ἄτλαντος· " Ἄτλαντος θυγάτης " ὀλοόφρονος, ὅστι θαλάσσης Πάσης βύθεα οἶ- " δεν, &c." *Pausanias, Lib.* IX. *cap.* 20.

Ver. 53. —— ἔχει δέ τε κίονας αὐτὸς Μακρὰς αἳ γαῖάν τε καὶ οὐρανὸν.]

Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει πρατερῇσι γε' ἀνάγκῃς,
Πείρασιν ἐν γαίης πρόσπας' Ἑσπερίδων λιγυφώνων,
Ἑστηὼς πιφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσι.
Hesiod. Theogon. ver. 517.

Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅστε θαλάσσης
Πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι·
Τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει.
Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
Θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεὺς,
Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
Ἧς γαίης, θανέειν ἱμείρεται· οὐδέ νυ σοί περ
Ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε· οὔ νύ τ' Ὀδυσσεὺς
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων,
Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;

" Atlantis filia multiscii, qui et maris
" Omnis profunditates novit, sustinetque columnas ipse
" Longas, quae terramque et coelum disterminant:
" Ejus filia infortunatum lugentem detinet:
" Semper enim mollibus et blandis sermonibus
" Demulcet ut Ithacae obliviscatur; verùm Ulysses,
" Cupiens vel fumum exilientem videre
" Suae terrae, mori cupit; neque tibi tandem
" Commovetur charum cor, Olympie: Nonne tibi Ulysses
" Argivorum apud naves gratificabatur sacrificando,
" Trojâ in latâ? quid illi tantum irasceris, ô Jupiter?"
Huic autem respondens allocutus est nubium-coactor Jupiter:
" Mea filia, qualis tibi sermo excidit septo dentium?

Τίφεται κορῶν οὐρανοῦ, τὸν Ἄτλας ἔχει. *Eurip. Hippolyt. Coron. ver.* 746.

Ἄτλας ὁ χαλκέοισι νώτοις οὐρανὸν, Θεῶν παλαιὸν εἶπον, ἱστρίζων. —— *Id. Ion. ver.* 1.

—— Ἄτλαντος, ὃς πρὸς ἑσπέρους [ἑστηκότας] τόνους Ἔστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς Ὦμοις ἐρείδων. —— *Æschyl. Prometh.* 349.

Atlantis duri, coelum qui vertice fulsit. *Æn.* IV, 247.

Ver. 55. Τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει.]

Hunc Phœnissa tenet Dido, blandisque moratur
Vocibus. —— *Æn.* I, 674.

Ver. 56. Αἰεὶ δὲ μαλακοῖσι.] *Al.* Αἰεὶ δ' ἐν μαλακοῖσι.

Ver. 58. Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι Ἧς γαίης, θανέειν ἱμείρεται.] Hinc *Ovidius* de *Ulysse*:

—— optat
Fumum de patriis posse videre focis.
Ex Ponto, Lib. I. *Epist.* iii. 33.

Et *Apuleius*: " Ulyxes fumum terrâ suâ " emergentem compluribus annis è littore " prospectans, frustrà captavit." *Apolog.* I. Cæterùm sensum hoc in loco ita exponit *Scholiastes*: Ὁ περίεργον ἐπιθυμῶν καπνὸν τῆς πατρίδος ἰδεῖν, τῶν ὄχθων διὰ τὸ πατέχοντα σιλπνοῦσαι. Minùs rectè: Sententia enim, (ut opinor) eadem hîc est ac infrà ά, 224. ubi *Alcinoo* dicit *Ulysses*:

—— ἰδέσθαι μὲ καὶ λίσσει πίειν Κτῆσιν ἐμὴν, δμῶάς τε, καὶ ὑψιρεφὲς μέγα δῶμα.

Atque ita accipit *Dio Chrysostomus*: Τέλος δὲ (inquit), ὡς φησιν ὁ Ποιητὴς, ἐπεθύμει καπνὸν ἰδεῖν ἀπὸ τῆς αὐτοῦ γῆς ἀνιόντα, τί καὶ δεῖ παραχρῆμα ἀναθνήσκειν. *Orat.* XIII. haud longè ab initio.

Ver. 60. —— οὔ νύ τ' Ὀδυσεύς.] *Al.* οὔ νύ κ' Ὀδυσεύς.

Ver. 63. —— πφιλησιφέτα Ζεύς.] Vide ad *Il.* ά, 175.

Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην ; 65
Ὅς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱερὰ θεοῖσιν
Ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν ;
Ἀλλὰ Ποσειδάων γαιήοχος ἀσπερχὲς αἰεὶ
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,
Ἀντίθεον Πολύφημον, ὃν κράτος ἐστὶ μάγιστον 70
Πᾶσιν Κυκλώπεσσι· θόωσα δέ μιν τέκε νύμφη,
Φόρκυνος θυγάτηρ, ἁλὸς ἀτρυγέτοιο μέδοντος,
Ἐν σπήεσσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα
Ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
Οὔτι κατακτείνει, πλάζει δ' ἀπὸ πατρίδος αἴης. 75
Ἀλλ' ἄγεθ', ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
Νόστον, ὅπως ἔλθῃσι· Ποσειδάων δὲ μεθήσει
Ὀργὴν· οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων,
Ἀθανάτων ἀέκητι θεῶν, ἐριδαινέμεν οἷος.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη· 80
Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,

" Quomodò unquam ego Ulysæi divini obliviscerer ? 65
" Qui et mente superat mortales, et abundè sacra Diis
" Immortalibus dedit, qui coelum latum habitant ?
" Verùm Neptunus terram-continens assiduò semper
" Ob Cyclopem irascitur, quem oculo privavit,
" Parem-deo Polyphemum, cujus robur est maximum 70
" Inter omnes Cyclopas : Thoosa verò eum peperit nympha,
" Phorcynis filia, maris infructuosi principis,
" In specubus cavis Neptuno mixta.
" Ex eo tempore Ulyssem Neptunus terræ-quassator
" Neutiquam occidit, sed errabundum-arcet à patriâ terrâ. 75
" Verùm agite, nos ipsi dispiciamus omnes
" De-reditu, ut revertatur ; Neptunus autem remittat
" Suam iram : neque enim quicquam poterit contra omnes,
" Immortalibus invitis Diis, contendere solus."
Huic autem respondit deindè dea cæsiis-oculis Minerva 80
" O pater noster Saturnie, supreme regnantium,

Ver. 66. Ὅς περὶ μὲν —— περὶ δ'.] *Henricus Stephanus* legendum censet περὶ μὲν —— περὶ δ', ut vox sellicèt περὶ cum sequenti ἐστὶ jungatur, sicut *Iliad.* ά, 258. Οἱ περὶ μὲν βουλὴ Δαναῶν, περὶ δ' ἐστὶ μάχεσθαι. Sed hoc leviculum.

Ver. 68. —— ἀσπερχὲς.] Ἀμειλικτέως, καὶ κατὰ συνέχειαν τῶν σπιλάδων ἢ ἀδιαλείπτως, καὶ ἄχρι τέλους. *Schol.*

Ver. 69. —— κεχόλωται.] Vide ad *Il.* ά, 37. et σ', 736.

Ibid. —— ὃν ὀφθαλμοῦ ἀλάωσεν.] Vide infrà ad ί, 380 &c.

Ver. 70. Ἀντίθεον Πολύφημον.] Εἰκὸν, " Κύκλωπος κεχόλωται," καὶ μέλλον ἐπαγωγῆν, " ἀντίθεον Πολύφημον," ἵνα ἤλλαξε τὴν σύνταξιν ἀποστρόφου τῇ ἐπιμελείᾳ· Κύκλωπος, ὃν ἀλάωσεν, ἀντίθεον Πολύφημον. *Eustath.* De hujusmodi Syntaxi, vide ad *Il.* ζ', 396.

Ibid. Ἀντίθεον.] Νῦν τὸν ἐναντιούμενον τοῖς θεοῖς, τὸν ἀντίθεον. *Schol.* Minùs rectè. Vide suprà ad *ver.* 29.

Ver. 72. Φόρκυνος θυγάτηρ.] Ἐνάλιος γὰρ θεὸς ὁ Φόρκυς. *Schol.*

Ibid. —— ἀτρυγέτοιο.] Vide ad *Il.* ά, 27.

Ver. 73. —— γλαφυροῖσι.] *Al.* γλαφυρῇσι.

Ver. 74 et 83. —— Ὀδυσῆα.] Vide ad *Il.* ά, 265.

Εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσι,
Νοστῆσαι Ὀδυσῆα δαΐφρονα ὅνδε δόμονδε,
Ἑρμείαν μὲν ἔπειτα διάκτορον Ἀργειφόντην
Νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
Νύμφῃ εὐπλοκάμῳ εἴπῃ νημερτέα βουλήν,
Νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται.
Αὐτὰρ ἐγὼν Ἰθάκηνδ' ἐσελεύσομαι, ὄφρα οἱ υἱὸν
Μᾶλλον ἐποτρύνω, καί οἱ μένος ἐν φρεσὶ θείω,
Εἰς ἀγορὴν καλέσαντα καρηκομόωντας Ἀχαιοὺς,
Πᾶσι μνηστῆρεσσιν ἀπειπέμεν, οἵτε οἱ αἰεὶ
Μῆλ' ἀδινὰ σφάζουσι, καὶ εἰλίποδας ἕλικας βοῦς.

" Siquidem nunc hoc gratum beatis diis,
" Redire Ulyssem prudentem ad suam domum,
" Mercurium quidem jam internuncium Argicidam
" Insulam in Ogygiam jubeamus-ire; ut celerrimè
" Nymphae pulchricomae edicat certam *nostram*-sententiam,
" Reditum Ulyssis magnanimi, uti redeat.
" Porrò ego in Ithacam proficiscar, ut ei filium
" Magis excitem, et ei robur in mente ponam,
" Ut in concionem vocatis comatis Achivis,
" Omnibus procis interdicat, qui ei semper
" Pecora plurima mactant, et flexipedes camuris-cornibus boves.

Ver. 82. Εἰ μὲν δή.] *Siquidem revera* ——.

Ver. 84. —— διάκτορον.] Ἄγγελον σαφῆ. *Schol.* Διάκτορος δὲ Ἀργειφόντης ὁ διάγων τὰς ἀγγελίας, καὶ ἐναργῶς καὶ σαφῶς φαίνων τὰ ἐξαγγελλόμενα. *Eustath.*

Ver. 88. Αὐτὰρ ἐγὼν Ἰθάκηνδ' ἐσελεύσομαι.] Τὴν Ἀθηνᾶν ὑπὸ Διὸς ἀποστελλομένην πρὸς Τηλέμαχον εὑρίσκομεν, εὐλόγως. Ἐστιδὲ ἐν τῇς ἄγαν νεότητος ἤδη τὴν εἰκοσαετῆ ἡλικίαν ὑπερβεβηκότων μετίζαινεν ἐπὶ τὸν ἄνδρα. Καί τις αὐτὸν ὑπόδραμε τῶν γιγνομένων λογισμὸς, ὡς οὐκ ἔστι χρὴ διαμαρτυρεῖν [*Gesnerus* legendum conjicit διαμαρτυρεῖν] ἐπὶ τῇ τετραετεῖ τῶν μνηστήρων ἀσωτίᾳ. Τοῦτον οὖν τὸν ἀθροιζόμενον ἐν Τηλέμαχῳ λογισμὸν, Ἀθηνᾶς ἐπιφάνειαν ὠλληγόρησεν. *Heraclid. Pontic.* Similiter et *Eustathius*: Ὅτι τὸ τὴν Ἀθηνᾶν εἰς Τηλέμαχον πεπιλθεῖν ἐν Ἰθάκῃ καὶ ὑποβαλεῖν τὰ φοιτικὰ, τὴν τῆς φυσικῆς φρονήσεως ἐπιδημίαν δηλοῖ. —— Ἤδη γὰρ ὁ Τηλέμαχος ἡλικίας ἐπέζη τελειοτέρας, καὶ φρονεῖν ἐχούσης, καὶ οἷα συνιέναι οἷα ὑπὸ τῶν μνηστήρων ἔπασχεν.

——οὐδέ σ' ἔοικε χρὴ
Νηπιάας ἐχέμεν, ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί.
Infrà *ver.* 296.

Unde nihili est quod hìc Homero vitio-vertit Scriptor Gallicus *Rapin*; " Si Telemaque " dans l' Odyssée va chercher Ulysse dans " les Cours de la Grece, il ne scauroit faire " un pas sans l' assistance de Minerve. Elle " le conduit par tout, le fait penser à tout, " il ne fait rien, et ne pense à rien de " luy-même." *Comparaison d' Homere et de Virgile.* Vide et ad *Il. ά*, 194. et *β'*, 169.

Ver. 90. —— Ἀχαιούς.] Τοὺς Ἰθακησίους. *Schol.*

Ver. 91. Πᾶσι μνηστῆρεσσιν ἀπειπέμεν.] Ἐστίον γὰρ ὅτι ἐντεῦθεν ὁ Ποιητὴς ἄρχεται τὰ κατὰ τὴν μνηστηροφονίαν τεκταίνεσθαι, καὶ τῆς ἐπ' αὐτῇ πιθανολογίας διμελίους ἐν μακροῦ προκαταβάλλεσθαι· αὐτὴ γάρ ἐστὶ τὸ σκοπιμώτατον τέλος τῆς ποιήσεως ταύτης· καὶ τὸ τῶν πραξίων τοῦ βιβλίου τούτου ἀνδρῶδες καὶ ἡρωϊκὸν αὐτόθι κεῖται τῷ Ποιητῇ· καὶ τρίποτε τινὰ, τὰ ἄλλα πάντα δι' αὐτὴν πέπλασται. Διὸ καὶ αὐτὴν ὑνύσας ὁ Ποιητὴς, συγκατασκαύει καὶ τὸ βιβλίον. *Eustath.* Atque hinc liquet libros hosce ab Homero non, ut nonnulli crediderunt sparsim et singulatim, sed totos uno consilio fuisse conscriptos. Vide ad *Il. ά*, initio.

Ver. 92.——ἀδινά.] Ἤτοι λιπαρὰ, πρὸς σύγκρισιν τῶν βοῶν· ἢ ἀντὶ τοῦ ἀδινὸς, ἵνα ᾖ, πυκνὸς καὶ συνιχῶς. *Schol.* Ἀδινὰ δὲ, τὰ πυκνὰ καὶ δαψιλῆ καὶ εἰς πόρου ἀπὸ τοῦ ἀδην. *Eustath.*

Ibid. —— εἰλίποδας ἕλικας.] Quâ ratione, εἰλίποδας hìc ultimam producat; item πρῶτος, *ver.* 113. vide ad *Il. ά*, 51.

Ibid.——ἕλικας.] Ἐλπιδὴ πέρατα ἔχοντας. *Schol.*

Πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα,
Νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσῃ·
Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.
Ὣς εἰποῦσ', ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
Βριθὺ, μέγα, στιβαρὸν, τῷ δάμνησι στίχας ἀνδρῶν
Ἡρώων, τοῖσίν τε κοτίσσεται ὀβριμοπάτρη.
Βῆ δὲ κατ' οὐλύμποιο καρήνων αἰξασα·

" Mittam autem *in* Spartam et in Pylum arenosam,
" Reditum sciscitaturus patris dilecti, sicubi audierit;
" Atque ut ipsum gloria insignis inter homines habeat." 95
Sic fata, pedibus subligavit pulchra talaria,
Immortalia, aurea, quae ipsam ferebant tam super mare,
Quàm super immensam terram, simul-cum flatu venti:
Sumpsit autem validam hastam, acuminatam acuto ære,
Gravem, magnam, solidam; quâ domat acies virorum 100
Heroïm, quibus utique irascitur forti-patre-nata.
Descendit autem ab Olympi verticibus festinans:

Ver. 93. Πέμψω δ' ἐς Σπάρτην.] *Al.* Πέμψω δὲ Σπάρτην.

Ver. 95. Ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.] Ὅτι σχῆμα ἀμφιβολίας τὸ, "Ἠδ' "ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσι." Δυλαὶ γὰρ, ἡ ὅτου φήμη ἴχυ εἶναι τὸν Ὀδυσσέα ἢ ὅτους εὐβουλον ἴχοι τὸν Τηλέμαχον ὡς ποτισσόντα ἀντὶς τοῦ πατρός· καὶ ἐπεὶ ἀμείνων αὖτα ἡ ἔννοια. *Eustathius.* Similiter et *Spondanus*: " Ambigua (inquit) videtur oratio; " nam istud μιν non facile dictu est, quo re- " feratur; an ad Ulyssem, an ad Telema- " chum. Si ad Ulyssem referatur, sensus " erit: Sicubi Telemachus audiat, ubi gen- " tium famâ sit Ulysses. Si ad Telema- " chum, intelligendum est, hâc diligentiâ et " officio Telemachum laudem et famam si- " bi esse comparaturum." Mihi quidem nulla hîc videtur ambiguitas; prior enim explicandi ratio, ne quid ampliùs dicam, cum voce ἐσθλὸν nequaquam congruit. Vide autem et infrà ad *ver.* 284. et ad γ', 78.

Ver. 96. —— ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα, Ἀμβρόσια, χρύσεια.]

—————— pedibus talaria nectit
Aurea; quæ sublimem alis, sive æquora supra,
Seu terram, rapido pariter cum flamine portant. Æn. IV, 239.

Ibid. —— καλά.] Similiterque *ver.* 131 et 155. καλὸν et *ver.* 137. καλῇ· et *ver.* 208. καλά. Vide ad *Il.* β', 43.

Ver. 99. Εἵλετο δ' ἄλκιμον ἔγχος.] Ἀθετοῦνται μετὰ δευτέρισιν, ὅτι ἐν τῇ τῆς Ἰλιάδος, καλῶς. *Schol.* Ubi pro, ἐν τῇ τῆς Ἰλιάδος, *Barnesius* edidit ἐν τῇ κ', τῆς Ἰλιάδος· " Nam hic " locus," inquit, " extat in κ', *i. e.* in deci- " mo *Iliados*." Atqui in isto libro occurrit unicus tantùm hic versus, Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ, *ver.* 135. neque ibi de *Minervâ*, sed de *Nestore* usurpatus. Ideoque *Scholiastem* ista potiùs *Iliados* loca respicere crediderim, ubi *Minervam* ad prælium sese accingentem depingit Poeta; *i*, 745. Ϙ', 389.

—————— λάζετο δ' ἔγχος
Βριθὺ, μέγα, στιβαρὸν τῷ δάμνησι στίχας ἀνδρῶν
Ἡρώων, τοῖσίν τε κοτίσσεται ὀβριμοπάτρη.

Quorum versuum posteriores duo hic ad verbum repetuntur, *ver.* 100. 101.

Ibid. —— ἀκαχμένον ὀξέϊ χαλκῷ.]

—————— ferro præfixum robur acuto. Æn. X, 479.

Ver. 102. Βῆ δὲ κατ' οὐλύμποιο καρήνων αἰξασα.]

Illa viam celeram——————
—————— cito decurrit tramite virgo. Æn. V, 609.

Στῆ δ' Ἰθάκης ἐνὶ δήμῳ, ἐπὶ προθύροις Ὀδυσῆος,
Οὐδοῦ ἔπ' αὐλείου· παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
Εἰδομένη ξείνῳ Ταφίων ἡγήτορι Μέντῃ.
Εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας· οἱ μὲν ἔπειτα
Πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον,
Ἥμενοι ἐν ῥινοῖσι βοῶν, οὓς ἔκτανον αὐτοί.
Κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες,
Οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
Οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
Νίζον, καὶ προτίθεντο, ἰδὲ κρέα πολλὰ δατεῦντο.
Τὴν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδής·
Ἧστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,
Ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσὶν, εἴποθεν ἐλθὼν

Stetitque Ithacae in populo ad vestibulum Ulyssis,
Limine in aulae, manu verò tenebat ferreum hastam;
Similis hospiti Taphiorum duci Mentae.
Invenit autem procos superbos: illi quidem tum
Talis ante januam animum oblectabant,
Sedentes in pellibus boüm, quos occiderant ipsi.
Praecones verò ipsis et seduli famuli,
Alii quidem vinum miscebant in crateribus et aquam,
Alii autem spongiis multiforis mensas
Abstergebant, et proponebant, et carnes multas dividebant.
Hanc verò longè primus vidit Telemachus deo-similis;
Sedebat enim inter procos charo moestus corde,
Cernens patrem eximium in mente, si alicundè veniens

Ver. 103. Στῆ δ' Ἰθάκης ἐνὶ δήμῳ.] Δήμῳ, τόπῳ ἐν Ἰθάκῃ, ὅπου ἦν τὰ Ὀδυσσέως βασίλεια. *Schol.* Δύναται δὲ καὶ ἄλλως τὸ Ἰθάκης ἐν δήμῳ νοεῖσθαι, ἀντὶ τοῦ ἐν τοῖς Ἰθακησίοις, ὡς καὶ μετ' ὀλίγα ἐρεῖ, (infrà *ver.* 237.) "Τρώων ἐνὶ "δήμῳ." *Eustath.* Posterior verior videtur explicandi ratio ex aliis locis ubi eandem phrasin usurpat Poeta:

Τμιτίῃσιν δ' οὐκ ἐστὶ γένος βασιλεύτερον ἄλλο
Ἐν δήμῳ Ἰθάκης ——— infrà ο, 532.
——— καὶ δί σε φασὶν
Ἐν δήμῳ Ἰθάκης μεθ' ἁμιλλητὰς ἔμμεν' ἀρίστου. ψ', 418.
Εἰ γάρ μιν ζωὸν γ' ἐπίσχῃς Ἰθάκης ἐνὶ δήμῳ. ω, 283.

Ver. 104 et 121. ——— χάλκεον ἔγχος.] Vide ad *Il.* γ', 380.

Ver. 105. ——— Ταφίων.] Τάφος, ἡ νῆσος τῶν Ἐχινάδων, ἣν κατῴκουν Τηλεβόαι. *Schol.* Cæterùm mirè, nè dicam planè ridiculè, de hâc voce *Eustathius* in Comment. ad *ver.* 323. hujus libri: Καὶ ἴσως καὶ διὰ τοῦτο, συμβολικῶς καὶ ἀσυτίως ὁ Ποιητὴς τὴν τῷ Τηλεμάχῳ ὑποφαινούσαν Ἀθηνᾶν, ἡγήτορι Ταφίων ἀπεικάσει, διὰ τὸ ἐπιμελητικὸν τῆς ἐν αὐτῷ φρονήσεως. Τάφος γὰρ ἡ τῆσις, ὁμωνυμίαν ἔχει πρὸς τὸ θάπτειν, ὅτι καὶ αὐτὸ τάφος λέγεται. Vide ad *Il.* ά, 242.

Ver. 106. ——— μνηστῆρας ἀγήνορας.] Ἄγαν αὐθάδεις, ὑβριστάς. *Schol.* Ὅτι τὸ, ἀγήνωρ, οὐ μόνον ἐπὶ ψόγου λαμβάνεται, ὅτι καὶ δηλοῖ τὸν θρασὺν καὶ ὑβριστήν· ἀλλὰ καὶ ἐπὶ ἐπαίνου, ὁπηνίκα τὸν ἀνδρεῖον δηλοῖ, ὡς πολλαχοῦ τῆς Ἰλιάδος ἱδρυται. *Eustath.* Quin et nihil opus ut hîc in malam partem accipiatur vox ἀγήνορας Vide suprà ad *ver* 29 et 70.

Ver. 107. Πεσσοῖσι ——— θυμὸν ἔτερπον.] Vide *Athenæum, lib.* I. *cap.* 14. Ubi lusus hic Procorum particulatim describitur.

Ver. 107. 110. 112. ——— ἔτερπον ——— ἔμισγον ——— Νίζον.] Vide ad *Il.* ν, 84.

Ver. 108. Ἥμενοι ἐν ῥινοῖσι βοῶν, οὓς ἔκτανον αὐτοί.] Διὰ τούτου τὸ βίαιον ἐμφαίνει τῶν μνηστήρων, τὸ τὰς βύρσας ὑποστρωννύειν τοῖς θρόνοις καθημένους. *Schol.*

Ver. 110. ——— ἄρ'.] *Ut fieri solet.*——

Ver. 113. ——— θεοειδὴς.] Vide ad *Il.* ά, 217.

Ver. 115. Ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ

Μνηστήρων τῶν μὲν σκέδασιν κατὰ δώματα θείη,
Τιμὴν δ' αὐτὸς ἔχοι, καὶ κτήμασιν οἷσιν ἀνάσσοι.
Τὰ φρονέων, μνηστῆρσι μεθήμενος, εἶσιδ' Ἀθήνην·
Βῆ δ' ἰθὺς προθύροιο· νεμεσσήθη δ' ἐνὶ θυμῷ
Ξεῖνον δηθὰ θύρῃσιν ἐφεστάμεν· ἐγγύθι δὲ στὰς
Χεῖρ' ἕλε δεξιτερὴν, καὶ ἐδέξατο χάλκιον ἔγχος,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Χαῖρε, ξεῖνε· παρ' ἄμμι φιλήσεαι· αὐτὰρ ἔπειτα
Δείπνου πασσάμενος μυθήσεαι, ὅττί σε χρῃ.
Ὡς εἰπὼν ἡγεῖθ', ἡ δ' ἕσπετο Παλλὰς Ἀθήνη·
Οἱ δ' ὅτε δὴ ῥ' ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
Ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν,
Δουροδόκης ἔντοσθεν ἐϋξόου, ἔνθα περ ἄλλα
Ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵσταντο πολλά·
Αὐτὴν δ' ἐς θρόνον εἶσεν ἄγων, ὑπὸ λῖτα πετάσσας,
Καλὸν, δαιδάλεον· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.

Procorum quidem dispersionem per aedes faceret,
Honorem autem ipse haberet, et bonis suis imperaret,
Haec cogitans, procis assidens, vidit Minervam;
Ivitque rectà foràs; indignabatur nempè animo
Hospitem diù ad januam stare: propè autem astans,
Manum prehendit dextram, et accepit aeream hastam,
Et ipsam compellans verbis alatis allocutus est:
" Salve, hospes; à nobis amicè excipièris: caeterùm deinde
" Coenâ refectus loquêris quid tibi opus sit."
Sic fatus praecibat, sequebatur autem Pallas Minerva:
Illi verò cùm jam intrà domum venissent excelsam,
Hastam quidem *Telemachus* statuit ferens ad columnam longam,
Intrà armarium benè-politum; ubi utique aliae
Hastae Ulyssis magnanimi stabant multae:
Ipsam verò in thronum collocavit ducens, stragulo substrato,
Pulchro, ingeniosè-facto; sub pedibus autem scabellum erat.

φρενῶν.] Ἦτοι ἐν ἑαυτῷ πλησμονιζόμενος καὶ ἐνεχόμενος θείας τινὸς φήμης περὶ τῆς ἰσταμένου τοῦ πατρός. *Porphyr. Quaest. Homeric.* 16. Ὀσσόμενος δὲ φρενὶ ὁ φανταζόμενος τὸ μὴ παρὸν, καὶ κατὰ νοῦν αὐτὸ βλέπων καὶ ἀναπλαττούμενος. Ὡς ὁ Τηλέμαχος κάθηται "ὀσσόμενος φρενὶ "πατέρα ἑοῖο." *Eustath.*

Ver. 116. ——— σκέδασιν.] Vide ad *Il.* ά, 67 et 140.

Ver. 123. ——— φιλήσεαι.] Vide ad *Il.* ύ, 304. et ά, 358.

Ver 124. 138. ——— πασσάμενος ——— Νίψασθαι.] Vide infrà ad ί, 491. et ad ί, 296.

Ver. 126. Οἱ δ' ὅτε δή.] Vide ad *Il.* ξ', 435 et 504.

Ver. 127. Ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν.] Exin, quae in mediis ingenti adnixa columnae
Ædibus astabat, validam vi corripit hastam. Æn. XII, 92.

Ver. 128. Δουροδόκης.] Δερματόδεσμος· νεωτέρου δὲ ἀντιξύσθαι τοὺς κίονας, καὶ ἐνταῦθα ἀσυνήθως εἰρῆσθαι τὰ δόρατα. *Schol.*

Ibid. —— ἔνθα περ.] *Ubi scilicèt* ——.

Ver. 130. ——— λῖτα.] Ὅμηρος δὲ ὁ θαυμασιώτατος, τῶν στρωμάτων τὰ μὲν πασσάλους, λῖτα εἶναι φάσκει, ἤτοι λινᾶ καὶ μὴ βεβαμμένα, ἢ ποικιλμένα. *Athenaeus, lib.* II. *cap.* 9. Vide et ad *Il.* ά, 644.

Ver. 131. —— ἦεν.] *Al.* εἶεν.

Ver. 132. ——— πολυμόν.] Αἴφρων, ἀνάπλεων (*Barnesius* ex MS. edidit ἀναπλήσεων) ἴχνους, καθίδρυσιν. *Schol.* Vide infrà ad *ver.* 145.

Πὰρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον, ἔκτοθεν ἄλλων
Μνηστήρων· μὴ ξεῖνος, ἀνιηθεὶς ὀρυμαγδῷ,
Δείπνῳ ἀδήσειεν, ὑπερφιάλοισι μετελθών,
Ἠδ' ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπίχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν·
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
Παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα.
Κήρυξ δ' αὐτοῖσιν θάμ' ἐπώχετο οἰνοχοεύων.
Ἐς δ' ἦλθον μνηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα

Juxtà autem ipse sibi sellam posuit variegatam, seorsùm ab aliis
Procis; ne hospes, offensus tumultu,
Convivium molestum-haberet, cum superbis congressus;
Atque ut ipsum de patre absente interrogaret.
Aquam verò ancilla ex gutto profundebat ferens
Pulchro, aureo, super argenteum lebetem
Ad lavandum; juxtáque politam stravit mensam:
Panem verò veneranda proma apposuit ferens,
Fercula multa apponens, largiens de praesentibus.
Coquus autem carnium lances apposuit sumens
Omnigenùm, ipsis etiam apponebat aurea pocula.
Praeco porrò eos sedulò obibat vinum fundens.
Ingressi autem sunt proci superbi, qui quidem deinde

Ver. 133.——*ἀνιηθείς.*] Vide ad *Il.* σ', 762. et ι, 24.

Ver. 134. *Δείπνῳ ἀδήσειεν.*] *Ὅτι τὸ, δίκην ἀδήσειεν, ἀντὶ τοῦ ἀηδισθῇ, ἀπὸ τοῦ ἀηδὼς πικρὰς. Διὸ καὶ ἐκτεταμένον ἔχει τὸ δίχρονον. Eustath.* Cæterùm nonnullos *ἀδήσειεν* scripsisse testatur *Barnesius.*

Ver. 136. *Χέρνιβα.*] *Τὰ ἐπὶ τῶν χειρῶν ὕδατα. Schol.*

Ibid.——*προχόῳ.*] *Ἀγγείῳ προχυτικῷ, ἀπὸ τοῦ χέειν τὸ ὕδωρ· τῷ καθ' ἡμᾶς ξίστῃ. Schol.* Apud *Andronicum Livium; Guttus, Pollubrum.*

Ver. 140.——*χαριζομένη παρεόντων.*] *Παρέοντα δὲ βούματα λέγει, τὰ ἐν τῇ ταμιᾳ ἀκίνητα, ἤτοι ἕωλα. Eustath.*

Ver. 141. *Δαιτρὸς δὲ κρειῶν πίνακας.*] *Athenæus* hæc omittenda contendit: *Ἀμαρτάνουσι δὲ οἱ ἰδίᾳ γεάφοντες τούτους τοὺς στίχους·*

Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρέοντων.
Δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας.

Εἰ γὰρ εἴδατα παρέθηκεν ἡ ταμίη, ἄλλον ὡς κρειάτων λείψανα συγχάνοντα τὸν δαιτρὸν εἰκὸς ἦν παρεισφρῆσαι· διόπερ τὸ δίστιχον ἀπαρκεῖ, lib. V. *cap.* 4. Quin et, uti ad hunc *Athenæi* locum annotat *Casaubonus*, infrà *Odyss.* ή, 175. ubi hic locus iterùm occurrit, repetuntur versuum horum priores duo, "*Σῖτον δ'*—"*παρεόντων,*" omisso sequenti "*Δαιτρὸς δὲ*" *&c.*" *Eustathio* verò, quocum facit et Dna. *Dacier*, haud satis idoneæ videntur *Athenæi* rationes: *Καὶ μὴν καινὸν ἄλλως οὐδὲν, τῶν τριῶν στίχων φυλαττομένων, τὸν μὲν ταμίην ἕωλα παραθέσθαι, τὸν δ' αὖ δαιτρὸν ἱστορίᾳ ταυτοῖα πρόσφατα ποικίλας τι χάριν καὶ πρὸς φιλοφροσύνης ἐνδιξιν. Eustath.*

Ibid. *Δαιτρός.*] *Μάγειρος· ὁ διανέμων τὰ κρέα. Schol.* "Hic acceptos à coquo cibos mensis inferebat, illatos secabat." *Casaubon. Annotat. in Athenæum, lib.* V. *cap.* 4.

Ver. 143 et 153. *Κήρυξ.*] Ita *Barnesius.* Rectè, ut upinor. Vide suprà ad *Il.* ώ, 149. et β', 267. *Vulgg.* utrobique *Κῆρυξ.*

Ver. 144.——*μνηστῆρες ἀγήνορες.*] *Scholiastes* exponit *ἄγαν αὐθάδεις·* sed vide suprà ad *ver.* 106.

Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν·
Σῖτον δὲ δμῳαὶ παρενήνεον ἐν κανέοισιν·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα, προκείμενα, χεῖρας ἴαλλον.
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἧντο
Μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει,
Μολπή τ' ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός.

Ordine sedebant per sedilia thronosque:
His verò praecones quidem aquam in manus fuderunt:
Panem autem ancillae accumulabant in canistris:
Illi verò ad cibos paratos appositos manus porrigebant.
Juvenes autem crateras coronârunt potu.
At postquam potùs et escae desiderium exemerant
Proci, ipsis quidem alia in mente curae erant,
Cantus saltatioque: haec enim sunt ornamenta convivii.

Ver. 145. Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.] Ἐκαθίζοντο δὲ καὶ διατοῦτττις οἱ σίτοι. Παλλαχοῦ γοῦν ὁ Ὅμηρος φησίν· "Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε." Ὁ γὰρ θρόνος αὐτὸς μόνον ἰλυσίφορος ἐστὶ καθέδρα σὺν ὑποπόδιῳ, ὅτιφ θρῆνον καλοῦντες, ἐντεῦθεν αὐτὸν ὠνόμασαν θρόνον, τοῦ θρήσασθαι χάριν, ὅτιφ ἐπὶ τοῦ καθίζεσθαι τάσσονται. — Ὁ δὲ κλισμὸς στιππωτοτέρως κεκόσμηται ἀναπαύσεως. *Athenæus, lib.* V. *cap.* 4.

Ver. 147. 148. 149. Σῖτον δὲ δμῳαὶ, *&c.*] *Barnesius* locum hunc versuum ordine mutato, alioque etiam versu inserto, ita edidit:

Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῦ·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπιξέμενοι δεπάεσσι.
Σῖτον δὲ δμῳαὶ παρενήνεον ἐν κανέοισιν·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

Atque hanc ordinationem ex *Iliad.* ι, 174. *Odyss.* γ', 338. φ', 270. itemque ex *Eustathio*, confirmari existimat vir eruditus. Sed, ut opinor, minùs rectè. Nam in omnibus locis jam citatis non occurrunt duo isti versus. Σῖτον δὲ δμῳαὶ —— χεῖρας ἴαλλον. Et quamvis in *Eustathii* textu locus hîc, uti nunc disposuit *Barnesius*, editus sit; liquet tamen ex commentario ipsum non ita legisse. Porrò versum istum, "Νώμησαν δ' ἄρα πᾶσιν ἐπιξέμενοι δεπάεσσι," agnovisse quidem hîc videtur *Scholiastes*, qui vocem Νώμησαν citat, exponitque Ἐμέρισαν. *Henricus Stephanus* autem in annotationibus ad hunc locum, quamvis versum hunc in Editionibus plerisque reperiri fatetur, aliundè tamen huc irrepsisse pro certo habet. Vide infrà ad γ', 340. et φ', 272.

Ver. 147. —— παρενήνεον.] Τὸ δὲ παρενήνεον —— δηλοῖ —— τὸ σωρεύειν, καὶ ἐμφαίνει τὸν πληθυσμὸν τοῦ σίτου. *Eustath.*

Ver. 148. —— ὀνείαθ'.] Τὰ ὄψεσιν ἐμπεσοῦντα ἰδίσματα. *Schol.*

Ver. 149. —— κρητῆρας ἐπιστέψαντο ποτοῖο.]

Crateras magnos statuunt et vina coronant. *Æn.* I, 728.

Vide et ad *Il.* ά, 470.

Ver. 150. Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἧντο.]

Postquam exempta fames, et amor compressus edendi. *Æn.* VIII, 184.

Vide ad *Il.* ά, 469.

Ver. 151. —— τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μέμηλε.] Πάνυ ὡς, ἵνα ὁ Τηλέμαχος καιρὸν σχῇ. *Schol.*

Ibid. —— μεμήλει.] *Eustathius* in commentario legit μέμηλε. Quo modo neutiquam constabit Temporum ratio. Vide ad *Il.* β', 614. et ad ά, 37 et 221.

Ver. 152. Μολπή τ' ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός.] Ita infrà Σ', 99.

Φόρμιγγός θ', ἣ δαιτὶ συνοχὸς ἐστὶ θαλίης.
Et ρ', 270.

—— ἐν δέ τε φόρμιγξ
Ἠνύει, ἣν ἄρα δαιτὶ θεὸ ποίησαν ἑταίρῃ.

Καί μοι μηδεὶς ὑναλαβέτω ὅτι περὶς τίφ μόνον χρησίμως ὠφέλη μουσικὴν Ὅμηρος διὰ τούτων ἄλλα γὰρ βαθύτερός ἐστι τοῖς ἐγκεκυμμένοις τοῖς ἔπεσι. Εἰς γὰρ ὠφέλειαν καὶ βοήθειαν τὴν μεγίστην αὐτοῖς παιδεῖ, περίλαβε μουσικήν· λέγω δὲ ἐν τὰ δίτονα καὶ τὰς συνουσίας τῶν ἀρχαίων. Συνίδοιμι γὰρ ἂν ἐγὼ σέβεσθαι μουσικὴν, ὡς ἱκανὴν

Κήρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλέα θῆκε
Φημίῳ, ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.
Ἦτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν·
Αὐτὰρ Τηλέμαχος προσέφη γλαυκῶπιν Ἀθήνην,
Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίατο οἱ ἄλλοι·
Ξεῖνε φίλ', εἰ καί μοι νεμεσήσεαι, ὅττι μεν εἴπω;
Τούτοισιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδὴ,
Ῥεῖ' ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν

Præco autem in manus citharam perpulchram posuit
Phemio, qui quidem canebat inter procos necessitate.
Ac ille quidem citharam-pulsans præludebat ut scitè caneret:
Verùm Telemachus allocutus est cæsiis-oculis Minervam,
Propè admoto capite, ut ne audirent alii:
" Hospes chare, num etiam mihi irascèris, *ob id* quod dixero?
" His quidem hæc curæ sunt, cithara et cantus,
" Facile *sanè*; quoniam alienum cibum impunè absumunt

ἀντιτάξῃ καὶ σφαῦλον τὸν τοῦ οἴνου ὑπόβλημον δύναμιν καθάπερ που φησὶ καὶ ὁ ἡμέτερος Ἀριστόξενος· ἐκεῖνος γὰρ ἔλεγεν εἰσάγεσθαι μουσικὴν, παρ' ὅσον ὁ μὲν οἶνος σφάλλειν πέφυκε τῶν ἔδεσμάτων χρησιμώτατον τά τε εὐώδη καὶ τὰς διανοίας· ἡ δὲ μουσικὴ τῇ περὶ αὐτὸν τάξει τε καὶ συμμετρίᾳ τὴν ἐναντίαν κατάστασιν ἄγει τε καὶ φαίνει. *Plutarch. de Musicâ*, sub fine; ubi et hunc *Homeri* locum adducit. Vide infrà ad Ψ', 99. et ρ', 271.

Ver. 153. Κήρυξ δ' ἐν χερσὶν, &c.] *Herodotus* in Vitâ *Homeri* locum hunc hoc modo citat:

Κήρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλ' ἔθηκε
Φημίῳ, ὅς τί νυ πολλὰ ἐπαίνυτο πάντας ἀείδειν.

Unde *Barnesius* post hunc versum inserùit:

Φημίῳ, ὅς τί νυ πολλὰ ἐπαίνυτο πάντας ἀείδειν.

Atqui *Herodotum* versum proximè sequentem, " Φημίῳ, ὅς ῥ' ἤειδε, &c." isto modo tantùm legisse, aut fortè memoritèr citâsse crediderim.

Ibid. — ἐν χερσὶν κίθαριν περικαλλέα θῆκε.]

——— Cithará crinitus Iöpas
Personat auratâ ———. *Æn.* I, 744.

Ver. 154. Φημίῳ, ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.] Περισπῶσιν, ἵνα ὁ Φήμιος αὐθῇ ἐν τῇ μνηστευομένῃ. *Schol.* Vide infrà ad χ', 330. &c.

Ibid. —— ὅς ῥ'.] *Qui utique* —— *Qui scilicèt* ——.

Ver. 155. Ἦτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.] " Ἀναβάλλεσθαι autem dicuntur, " inquit *Eustath.* οἱ κιθαρίζοντες, pro ἀναμοῦσθαι seu προοιμιάζεσθαι. Dicunt Latini " poetæ *chordas pollice prætentare*, ut apud " Ovid. Metam. l. 5. *Calliope querulas præ-*" *tentat pollice chordas.* Ergò ἀναβολὴ dicitur ipsa chordarum digitis facta prætentatio, quam vulgò *proludium* et *prolusionem* appellant, et quidam *præcentionem*, i. e. *cantûs proœmium.*" *Benedict. in Pindar. Pythior. Ode* I, 7. Similiter et *Menagius:* " Sunt autem ἀναβολαὶ proœmia Musicorum; quâ voce utitur Pindarus Pythior. " Ode I. statim initio: ἀμβολὰς τεύχῃς " ἰλιαζόμενα ——: inde ἀναβάλλεσθαι apud " Homerum Odyss. ά. pro *chordas pollice* " *prætentare:* Ἦτοι ὁ φορμίζων ἀνεβάλλετο " καλὸν ἀείδειν" *Annotat. in Laërt. lib.* IX. Sic apud *Theocritum:*

Τῷ δ' ἴτε Δαμοίτας ἀνεβάλλετο, καὶ τάδ' ἀείδω. *Idyll.* VI, 20.

Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδων. *Idyll.* VIII, 71.

Καί τι πέρας φιλιὰν μίλαν ἀμβάλλω ——. *Idyll.* X, 22.

Item apud *Aristophanem:*

——— Συνλίγουσ' ἀναβολὰς ποιούμενοι. *Pax, ver.* 850.

Vide *Histoire Critique de la Republique des Lettres, Tom.* I. *pag.* 234.

Ver. 156. 178 et 221. —— γλαυκῶπιν Ἀθήνην ——— γλαυκῶπις Ἀθήνη.] Vide ad *Il.* ά, 206.

Ver. 157. —— πευθοίατο οἱ ἄλλοι.] *Al.* πευθοίατ' ἄλλοι.

Ver. 158. —— εἰ καί μοι.] *Al.* ἦ καί μοι.

Ver. 160. —— ἀλλότριον βίοτον νήποινον ἔδουσιν.]

Ἀλλότριον κάμματον σφιτέρων ἐς γαστέρ' ἀμῶσαι. *Hesiod. Theog. ver.* 599.

Ἀνέρος, οὗ δή που λεύκ' ὀστέα πύθεται ὄμβρῳ,
Κείμεν' ἐπ' ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδει.
Εἰ κείνόν γ' Ἰθάκηνδε ἰδοίατο νοστήσαντα,
Πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι,
Ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε. 165
Νῦν δ' ὁ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, οὐδέ τις ἡμῖν
Θαλπωρὴ, εἴπερ τις ἐπιχθονίων ἀνθρώπων
Φησὶν ἐλεύσεσθαι· τοῦ δ' ἄλετο νόστιμον ἦμαρ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Τίς; πόθεν εἰς ἀνδρῶν; ποῦθι τοι πόλις, ἠδὲ τοκῆες; 170
Ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωνται;
Οὐ μὲν γάρ τι σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.

" Viri, cujus jam alicubi alba ossa putrescunt imbre,
" Jacentia in continenti, aut *illa* in mari fluctus volvit.
" Si illum utique in Ithacam viderint reversum,
" Omnes optârint celeriores pedibus esse,
" Quàm ditiores auro vesteque. 165
" Nunc verò ille sic periit malo fato, neque ulla nobis
" Spes est, etiamsi quis terrestrium hominum
" Dicat rediturum esse; ejus enim periit reditûs dies.
" Sed agè, mihi hoc dic et verè enarra,
" Quis? unde es hominum? ubi tibi urbs, atque parentes? 170
" Quali autem in navi advenisti? quo pacto te nautæ
" Duxerunt in Ithacam? quosnam *se* esse praedicant?
" Neque enim ullo pacto te peditem existimo huc venisse.

Οἶόν τί σ' ἀλλόφρ' ἐσθλὸν ἐπεὶ γλυκύ.
Alexis Poët. apud Athen. lib. IV. *cap.* 18.

—— ἀνδρὸς ἐν βίοτον νάπαισιν ἁλίαισιν.
Infrà *ver.* 377. hujus libri; et β', 142.

Quasi mures, semper pelimus alienum cibum.
Plautus, Captiv. Scen. I. *ver.* 9.

Ver. 166 —— ἀπόλωλε.] Vide ad *Il.* ν', 186. 187. et ad ά, 37.

Ibid. —— οὐδέ τις ἡμῖν Θαλπωρή.] *Eustathius* nonnullos hîc Ἐλπωρὴ legisse annotat. At vulgatam lectionem præfert Dna. *Dacier*: " Ἐλπωρὴ" (inquit) " veut dire " simplement *esperance, attente*; et Θαλ- " πωρὴ signifie non seulement esperance, " mais une esperance, qui par la joie qu'elle " inspire, communique au sang et aux " esprits une douce chaleur, source de vie, " ce qui convient ici." Ἐοικὸς δὲ ὅτι τὴν χαροποιὸν ἐλπίδα Θαλπωρὴν λέγει. *Eustath.* Sic *Il.* ζ', 411. 412.

—— οὐ γὰρ ἔγ' ἄλλη
Ἔσται θαλπωρὴ, ἐπεὶ ἦ σύγε πάγχυ ἐπίστης.

Ver. 169. Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον.]

—— mihique hæc edissere vera roganti.
Æn. II, 149.

Ver. 170. Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες.] Ἤδιον δὲ τὸ Ὁμηρικὸν παραφράζων Εὐριπίδης, " Τίς; πόθεν εἰς ἀνδρῶν; " πόθι τοι πατρὶς ἠδὲ τοκῆες;" τοῖς δὲ χρῶνται τοῖς Ἰαμβείοις ὁ τῆς Αἰγέως.

Ποῖαν σε φῶμεν γαῖαν ἐκλελαχέναι,
Πολυξεινουμένας· γῆ δὲ σὶς, πάτερ σ' ἔφυ;
Τίς ἦλθ' ὁ φύσας; τοῦ κεκτήμεθα πατρός;
Clemens Alexandrin. Strom. VI.

Καῖ', ὦ ξέν', ἔστι δὴ σὶ, φράσον πάτριον τι σόν.
Euripid. Cyclops, ver. 102.

Sed vos qui tandem? quibus aut venistis ab oris?
Æn. I, 373.

Qui genus? unde domo? ——
Æn. VIII, 114.

Ver. 173. Οὐ μὲν γάρ τι σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.] Ἔστιον δὲ ὅτι ἀφελὴς ἐνταῦθα καὶ ἀστεῖος ὁ τοῦ Τηλέμαχον λόγος ἐν τῷ, " Οὐ γάρ

Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Ἠὲ νέον μεθέπεις, ἦ καὶ πατρώϊός ἐσσι
Ξεῖνος; ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
Ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Τοιγὰρ ἔγω τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω·
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
Υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
Νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισι,
Πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους,

" Et mihi hoc dic verè, ut benè cognoscam,
" An recens venisti, an etiam paternus es
" Hospes? quoniam multi adibant viri nostram domum
" Alii; nam et is in-se-convertebat-studia hominum."
Hunc autem rursus allocuta est dea caesiis-oculis Minerva:
" Enimverò ego tibi haec valdè accuratè narrabo:
" Mentes Anchiali bellicosi glorior esse
" Filius: caeterùm Taphiis navigandi-studiosis impero.
" Nunc verò huc cum navi veni atque sociis,
" Navigans super nigrum pontum ad alienae-linguae homines.

" τι σι στιζον, &c." ἤγουν ἐν τῇ καθ' ἡμᾶς γνώσῃ σπουδαῖον ὅτι ὁ λόγος ἔχει οὐδέν, ἀσοφα τὰ τοῦ σχεδιασμοῦ. *Eustath.* Fortassè autem sententia hæc eorum numero habenda sit, in quibus ἡ ἀσάφεια (observante *Hermogene* περὶ μεθόδου δεινότητος, *cap.* 37.) τῇ καταφάσει —— τὸ πλέον δύναται. Ut scilicet phrasis ista, "οὐ μὲν γάρ τι ἔοικας," rem non modò non esse verisimilem, sed et ab omni verisimilitudine longissimè abesse, sive planè esse impossibilem, denotet. Vide ad *Il.* ν', 344. Atque hoc modo exponit *Scholiastes*: Πιζὸν μὲν γάρ σι ἀδύνατον λέγειν. Occurrit porrò eadem sententia infrà ξ', 190. π', 59. 224.

Ver. 177. —— ἐπίστροφος.] Ὁ ἐπιστρεφῶν καὶ σπουδάζοντες τὸν εἰς ἄλλους ἐπιστροφήν· ὃ ἐστι φιλάξενος καὶ πολλοὺς ξενοδοχῶν. Ἡ παθητικὴν ἔννοιαν ἔχει, ὡς πάσχων ἐκ τῶν ἄλλων ἐπιστροφὴν, καὶ ἀγαπώμενος· ὅτερ καὶ ῥητέον. *Eustath.*

Ver. 179. —— ἔγω τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.] " Tamen" (inquit *Spondanus*) " ficta sunt ea, quæ paulò pòst dicet, " se Mentem, esse Anchiali filium; totumque illud de susceptæ navigationis fine; " sed illud ἀτρεκέως ad sequentia de Ulysse " referenda sunt, ut constet veritas, quem " adhuc esse superstitem Telemacho nunciabit. Alioqui officiosum est ac opportunum mendacium, quod de se Minerva " dicit." Atqui, (ut opinor,) istud, ἀτρεκέως ἀγορεύσω, non est, " Verè;" sed " Accuratè, particulatim, enarrabo." Vide ad *Il.* β', 10.

Ver. 182. Νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον.] Ἐστὶ δὲ τὸ, ὧδε, ἀντὶ τοῦ οὕτως, ἁπλῶς δηλαδὴ καὶ ὡς εἰκὸς αὐτοῦς. Οὐδέποτε γάρ φασιν ὁ Πομπὸς τοιοῦτον εἶδε τὸ ὧδε. *Eustath.* Similiter et *Scholiastes*: Οὐδὲ ποτὲ κεῖται παρὰ τῷ Ποιητῇ τὸ ὧδε τοιοῦτον, ἀλλὰ ἀντὶ τοῦ οὕτως. Atqui occurrit hæc vox nonnullis in locis, ubi vix aliud quàm " *Huc*" significare potest:

Αἱ γὰρ δὴ Ὀδυσῆός τι καὶ ἁρπακτῆρες Διομήδης
Ὧδ' ἄφαρ Τίν ῥύσιον ἐλασσάμενοι μάνυχας ἵππους. *Il.* κ', 536.

Ἥφαιστ', πρόμολ' ὧδε —— σ', 392.
—— τὸν ξεῖνον ἰοκτέον ὧδε κάλεσσον. *Odyss.* ρ', 544.

Ibid. —— κατήλυθον.] Æquè constabit Temporum ratio hoc quidem in loco, sive in Aoristo κατήλυθον scribas, sive in præterito κατήλυθα. Vide ad *Il.* ά, 57.

Ver. 183. Πλέων ἐπὶ οἶνοπα πόντον.] Vulgati habent, Πλέων οἴνοπα πόντον. Quæ si vera sit lectio, versus hic, uti observavit *Barnesius*, eorum numero habendus erit, quos ἀκεφάλους appellat *Athenæus*, *lib.* XIV. *cap.* 8. Vide ad *Il.* Ψ', 2. Cujusmodi tamen exempla sunt rara. Alii, notante itidem *Barnesio*, hìc legunt Πλείων, vel Πλώων. Ipse autem ex Editionibus duabus vetustioribus, et ex MSS. edidit, Πλέων ἐπὶ οἴνοπα πόντον· ut pronuntietur scilicèt Πλῶν. Atque hanc demùm veram lectionem crediderim. Ita enim in commentario legit *Eustathius*,

Ἐς Τεμέσην μετὰ χαλκόν· ἄγω δ' αἴθωνα σίδηρον.
Νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος,
Ἐν λιμένι Ῥείθρῳ, ὑπὸ Νηΐῳ ὑλήεντι.
Ξεῖνοι δ' ἀλλήλων πατρώϊοι εὐχόμεθ' εἶναι
Ἐξ ἀρχῆς· εἶπερ τε γέροντ' εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα τὸν οὐκέτι φασὶ πόλινδε
Ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν
Γρηῒ σὺν ἀμφικόλῳ, ἥ οἱ βρῶσίν τε, πόσιν τε
Παρτιθεῖ, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβῃσιν,
Ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
Νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι
Σὸν πατέρ'· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι πελεύθου.
Οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,

" Ad Temesen propter aes: fero autem splendidum ferrum,
" Navis autem mihi ipsa stat ad agrum, seorsùm ab urbe,
" In portu Rhethro, sub Neïo sylvoso.
" Hospites autem invicem paterni gloriamur esse
" Ab initio; siquidem senem interroges congressus
" Laërtem heroëm, quem non ampliùs aiunt in urbem
" Venire, sed seorsùm in agro dolores pati
" Vetulâ cum ancillâ, quae illi cibumque potumque
" Apponit, quoties ipsum defatigatio membra invaserit,
" Reptantem per fertile-solum areae vitibus consitae.
" Nunc autem veni; jamdudum enim ipsum aiebant apud suos esse
" Tuum patrem; verùm huic dii impediunt iter.
" Nondum enim mortuus est super terram nobilis Ulysses;

---

quem et citat *Barnesius;* itaque porrò habent codices nonnulli à *Th. Bentleio* collati. Quin et bis alibi, quibus solis in locis apud Poetam (hoc ipso versu excepto) occurrit vox Πλέω, usurpatur haec ipsa phrasis:

Νηῒ πολυκλήϊδι πλέων ἐπὶ οἶνοπα πόντον.
Iliad. ή, 88.

Σὴν ἐς πατρίδ' ἴσαν πλέων ἐπὶ οἶνοπα πόντον.
Odyss. δ', 474.

Ver. 184. —— Τεμέσην.] Τεμέση, πόλις Κύπρου, κατὰ δέ τινας, Ἰταλίας, ἣν νῦν Βρεντέσιον καλοῦσι. *Schol.* Ταύτης τι τῆς Τεμέσης [τῆς Βρεττίας] φασὶ μεμνῆσθαι τὸν Ποιητὴν, οὐ τῆς ἐν Κύπρῳ Ταμασοῦ (λίγεται γὰρ ἀμφοτέρως,) τῷ "Ἐς Τεμέσην μετὰ χαλκόν ——." Καὶ δύνανται χαλκουργεῖα πλησίον, ἃ νῦν ἐκλέλοιπεν. *Strabo, Geograph. lib.* VI. *pag.* 393. *al.* 255. *Al.* Ταμέσην.

Ver. 185. 196. —— ἕστηκεν —— τέθνηκεν.] Vide ad *Il.* ά, 37. et ad δ', 434.

Ibid. —— νόσφι.] Vide ad *Il.* ά, 349.

Ver. 186. Ἐν λιμένι Ῥείθρῳ.] Ὄνομα τοῦ ἐν Ἰθάκῃ λιμένος τὸ Ῥεῖθρον, ἀπὸ τοῦ συμβεβηκότος. *Schol.*

Ibid. —— ὑπὸ Νηΐῳ.] Τῷ πρὸς ὑποδοχὴν νηῶν ἐκλέγειν ὄρει τῆς Ἰθάκης. *Schol. Al.* ὑπονηΐῳ. Vide infrà ad γ', 81.

Ibid. —— ὑλήεντι.] Vide infrà ad *ver.* 246. item ad *Il.* γ', 151.

Ver. 193. Ἑρπύζοντ'.] Μετὰ ὀδύνης καὶ ἀνίας πρᾶγμα βαδίζοντα διὰ τὸ γῆρας. *Schol.*

Ibid. —— ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.] Ἔχεις εἰπεῖν τίνας ὀνομάζει Ὅμηρος ἐν τοῖς ἵπποις διογμοὺς καὶ Θεοὺς εἰπάλους καὶ λαῶν τοιμένας καὶ ἄλλα ὅσα τοιητὴν εἰκὸς ἀποσιμήνασθαι τοῖς ἐνίμασιν ἀρεστὴν ἀνδρὸς; Ἆρα τοὺς ἐπὶ σκιαθρὰ καὶ αὐλακι πρὸς τῇ γῇ διατεινομένους, δινοὺς ἀρεῶν, ἀγαθοὺς φυτινίην, ἐν ἀμπὶ ὀξέος, ἐς ἐχάτω φιλοπένους; Ἢ τούτων μὲν οὐδὲ τὴν ἀρχὴν ἠξίωσεν καταμίξαι τὰ ἔργα τῇ αὐτοῦ ᾠδῇ, ὅτι μὴ ποιοῦτο γέροντι ἀναδὶς αὐτὰ, ἐκτετακότι τῆς ἀρχῆς ὑπὸ ὀξυστῶν νέων, "ἐν "γουνῷ οἰνοπίδου ἀλωῆς," ἐπὶ φύλλων χαμαὶ βεβλημένῳ, ὥρᾳ θέρους ἀναπαυομένῳ. Οἱ δὲ μακάριοι αὐτῶν ἀνδρες, οὓς ἐκεῖνος ἐπαινῶν χαίρει, ἔτεροι εἰσὶν ἐξ ἑτέρων ἐπιτηδευμάτων καὶ ἔργων. *Maximus Tyrius, Dissertat.* XII. ipso initio.

Ibid. —— ἀλωῆς.] Ἀμπελῶνος γῆς. *Schol.*

Ver. 196. —— ἐπὶ χθονὶ.] *Al.* ἐν χθονί.

Ἀλλ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
Νήσῳ ἐν ἀμφιρύτῃ· χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
Ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ' ἀέκοντα.
Αὐτὰρ νῦν τοι ἔγω μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω,
Οὔτε τι μάντις ἐὼν, οὔτ' οἰωνῶν φάρα εἰδώς·
Οὔτι ἔτι δηρόν γε φίλης ἄπο πατρίδος αἴης
Ἔσσεται, οὐδ' εἴπερ τε σιδήρεα δέσματ' ἔχῃσι·
Φράσσεται, ὥς κε νέηται, ἐπεὶ πολυμήχανος ἐστίν.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἰ δὴ ἐξ αὐτοῖο τόσος παις εἷς Ὀδυσῆος.
Αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
Κεῖνῳ, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ' ἀλλήλοισι,
Πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθα περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐνὶ νηυσίν·
Ἐκ τοῦδ', οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον, οὔτ' ἐμὲ κεῖνος.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἔγω τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω,

" Sed adhuc alicubi vivus detinetur in lato ponto,
" Insulâ in circumfluâ; saevi autem ipsum viri tenent,
" Feri, qui alicubi illum detinent invitum.
" Porrò nunc tibi ego vaticinabor, quemadmodùm in animo
" Immortales suggerunt, et quemadmodùm perfectum iri puto,
" Neutiquam vates cum sim, neque auguriorum clarè peritus;
" Nequaquam adhuc diù charâ à patriâ terrâ
" Erit, neque si etiam ferreis vinculis *eum* detineant:
" Cogitabat *nempè*, quî redeat: quoniam solers est.
" Sed agè mihi hoc dic, et verè enarrato,
" Num ex ipso tantus filius sis Ulysse:
" Vehementèr enim et capite et oculis pulchris similis es
" Illi: quippè frequentèr ad hunc modum nos-invisebamus invicem,
" Antequàm in Trojam ille conscendisset; quò utique alii
" Graecorum optimates ierunt cavis in navibus:
" Ex hoc tempore neque Ulyssem egò vidi, neque me ille."
Hanc autem rursùs Telemachus prudens allocutus est:
" Enimverò ego tibi, hospes, valde verè enarrabo;

Ibid. ——— διὸς Ὀδυσσεύς.] Ὁ δὲ αὐτὸς [Ὀμηρος] καὶ τοὺς ἀγαθοὺς ἅπαντας διοὺς καλεῖ, διότι ἦσαν, οἶμαι, καὶ κατὰ τίχην ἀγαθοὶ, ἀλλὰ λέγον Διός. *Maximus Tyrius, Dissertat.* XXII. sub initio.

Ver. 201. Ἀθάνατοι.] Similiterque infrà *ver.* 420. ἀθανάτην. Vide ad *Il.* ά, 398.

Ver. 203. Οὔτι.] *Al.* Οὔτοι.

Ibid. ——— ἔτι δηρόν.] Vide ad *Il.* ά, 51.

Ver. 207. Εἰ δὴ. *Si revertà* ———. Nequaquam enim supervacuum est istud δή.

Ver. 210. ——— ἔνθα περ.] *Quò utique* —. *Quò scilicet* ———.

Ver. 211. ——— ἐνὶ νηυσίν.] *Al.* ἐπὶ νηυσίν.

Ver. 213. Τὴν δ'.] Sic infrà *ver.* 221. 230. Τὸν δ' ——— Τὴν δ'.] Vide ad *Il.* α, 57. et Σ', 160. Minùs rectè *Barnesius*, Τήνδ' ——— Τήνδ' ——— Τήνδ'.

Ibid. ——— ἀντίον ηὔδα.]

Æolus hæc contrà ———. *Æn.* I, 80.

——— Æneas contrà cui talia reddit.
Æn. X, 530.

Ver. 214 et 224. ——— ἀτρεκίως.] Vide suprà ad *ver.* 179.

Ibid. ——— ἀγορεύσω.] *Al.* κατελίξω.

Μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι· αὐτὰρ ἔγωγε
Οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
Ὡς δὴ ἔγωγ' ὄφελον μάκαρός γε τεῦ ἔμμεναι υἱὸς
Ἀνέρος, ὅν κτεάτεσσιν ἐοῖς ἔπι γῆρας ἔτετμε·
Νῦν δ', ὃς ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων,
Τοῦ μ' ἐκ φασι γενέσθαι· ἐπεὶ σύ με τοῦτ' ἐρεείνεις.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Οὐ μέν τοι γενεὴν γε θεοὶ νώνυμον ὀπίσσω
Θῆκαν· ἐπεί σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Τίς δαὶς, τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;
Εἰλαπίνη, ἦε γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.

" Mater quidem me ait ejus esse; at ego
" Nescio: nondum enim quisquam suum parentem ipse cognovit.
" Utinam sanè ego felicis potiùs alicujus fuissem filius
" Viri, quem in bonis suis senectus deprehendisset:
" Nunc verò, qui infelicissimus est mortalium hominum,
" Ex hoc me dicunt natum esse: quoniam tu me hoc interrogas."
Hunc autem rursùs allocuta est dea caesiis-oculis Minerva:
" Non sanè tibi genus utique dii ignobile in posterum
" Dederunt: quum te talem peperit Penelope.
" Sed age mihi hoc dic et verè enarrato,
" Quodnam epulum, quaeve haec turba est? quod verò te opus urget?
" Convivium? an nuptiae? quoniam haud symbolum haec sunt.

Ver. 215. Μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι.] Ἡ γὰρ ἀκριβὴς ἴδιωσις ἐν τοῖς τοιούτοις τῇ μητρὶ ἀνάκειται ——. Δεικτὴ δὲ καὶ τῷ Ἀριστοτέλει τὰ ἰδιαίτατα ἐρῶσι ἔχειν, ὃς φησιν ὡς ἄρτι περὶ τῶν τέκνων κρίνουσι αἱ γυναῖκες· διὸ φησι Πηνελόπεια τις γονὴ μαρτυρήσασα εἰκότως τοιοῦτον παῖδα, ἴλεον τὸν περὶ ἐκείνου ἀμφιζολίαν. *Eustath.*

Ver. 216. —— οὐ γάρ πώ τις τὸν γόνον αὐτὸς ἀνέγνω.]

Αὐτὸν γὰρ αὐδὰς οἶδε τῶν πεσὼν ἐγένετο
Ἀλλ' ἐστοχάσατο πάντες, ἢ ἐπιτύμβιον.
Menander, Fragment. citat. ab Eustathio.

Porrò *Scholiastes* vocem γόνον hìc exponit γένεσιν· *Eustathius* autem, Γόνος δὲ πῶν, inquit, ἡ γονὴ —— τὸ δὲ εἰκότως γόνον τὸν γεννήσαντα, ἴσως διὰ τὸ ἐρᾶν. Et *Duportus* in *Gnomologiâ Homericâ* ad hunc locum; "Γόνος," inquit, "hìc (estque hoc sensu ἅπαξ λεγόμενον) omninò pro γονὴ, stirpe, origo, "γένος, γένεσις." Quod rectius. Verùm neque apud Postam hoc sensu ἅπαξ λεγόμενον est, (uti ait vir eruditus,) sed sæpius usitatum;

—— ἡ δὲ ἱκέτης
Ὃν γόνον ἱκαγέσιον —— infrà λ', 232.

Οὐκ ἴσ' ἀπολλήξεις, τὸν ἐμὸν γόνον ἐξερέουσα. σ', 166.

Ver. 220. —— ἐπεὶ σύ με.] *Al.* ἐπεὶ σύ γε.

Ver. 222. —— νώνυμον ἔσσεσθαι.] Nullâ ex analogiâ produci potest media vocis, νώνυμος vide infrà ad γ', 239. et ad ξ'. 182. Pronuntiabatur fortassè hìc νώνυμον. Vide ad *Il.* ν', 227.

Ver. 223. —— ἐπεί σέ γε τοῖον ἐγείνατο.]

—— Quæ te, tam læta tulerunt
Sæcula? qui tanti talem genuere parentes.
Æn. I, 609.

Ver. 225. —— τίπτε δέ σε χρειώ;]

—— τίνα χρειὼ τόνδε ἄνδρα; Infrà β', 28.

Vide ad *Il.* κ', 43. item infrà ϝ', 312. Cæterùm *Athenæus, lib.* VIII. *cap.* 16. legit τίνες δέ σε χρειών. Porrò enuntiabantur χρειὼ, χρειών, ac si scripta fuissent χρεῦ, χρεῦν. Vide ad *Il.* γ', 811.

Ver 226. Εἰλαπίνη, ἦ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.]

Ἢ γάμος, ἢ ἑορτή, ἢ εἰλαπίνη τεθαλυῖα. Infrà λ', 414.

Ὡς τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι
Δαίνυσθαι κατὰ δῶμα· νεμεσσήσαιτό κεν ἀνὴρ
Αἴσχεα πολλ' ὁρόων, ὅστις πινυτός γε μετέλθοι.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ξεῖν', ἐπεὶ ἆρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων
Ἔμμεναι, ὄφρ' ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν.
Νῦν δ' ἑτέρως ἐβάλοντο θεοὶ, κακὰ μητιόωντες,
Οἳ κεῖνον μὲν ἄϊστον ἐποίησαν περὶ πάντων
Ἀνθρώπων· ἐπεὶ οὔ κε θανόντι περ ὧδ' ἀκαχοίμην,
Εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ,
Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε·

" Ita mihi supra-modum contumeliosè videntur
" Convivari per domum: indignaretur vir
" Turpia multa videns, quicunque cordatus utique intervenisset."
Hanc autem rursùs Telemachus prudens contrà allocutus est:
" Hospes, quandoquidem me haec interrogas atque percontaris,
" Expectandum quidem fuit aliquandò ut domus haec locuples et integra
" Esset, quamdiù adhuc ille vir apud nos erat:
" Nunc verò alitèr statuerunt dii mala meditantes,
" Qui illum quidem obscurum-reddiderunt suprà omnes
" Homines; quoniam non ob mortuum utique sic lugerem,
" Si inter suos socios occisus fuisset Trojanorum in populo;
" Aut amicorum in manibus, postquam bellum confecisset:

Εἰλατίνη, ἡ μεγάλη ἰσωχίη, ἐν ᾗ κατὰ ἴλιας καὶ συστρεφὰς ἰσωχοῦντες. ——— Ἔρανος, τὸ ἀπὸ συμβολῆς δεῖπνον. *Schol.* Simlliter *Athenæus:* Τὰς θυσίας καὶ τὰς λαμπροτέρας πανηγυρικὰς ἐκάλουν οἱ παλαιοὶ εἰλατίνας· καὶ τοὺς τούτων μετέχοντας, εἰλατιναστάς. Ἔρανοι δὲ ἦσαν αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαὶ, ἀπὸ τοῦ συνιέναι καὶ συμφέρειν ἕκαστον. *Lib.* VIII. *cap.* 16. Cæterùm edidit hîc *Barnesius* Εἰλατίνη, ἢ γάμος; nullâ, ut opinor, satis idoneâ ratione.

Ibid. —— οὐκ ἔρανος.] *Al.* οὔ γ' ἔρανος.

Ver. 232. Μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων Ἔμμεναι.] *Scholiastes* vocem Μέλλεν hîc exponit Ὠφελεν. Quod autem deinceps addit, Αὕτη ἡ λέξις εὐθέως κεῖται παρὰ τῷ Ποιητῇ, ὡς ἐν τῇ συνηθείᾳ, χρονικῶς· ἀλλ' ἑκάστοτε ἀντὶ τοῦ ὤφελε· in hoc verò omninò errat vir eruditus. De *tempore* enim *Futuro* planè usurpatur hæc vox *Iliad.* β', 39.

Θήσειν γὰρ ἴσ' Ἰμιλλεν ἐπ' ἄλγιά τι στονα-
χάς τε
Τρωσί τε καὶ Δαναοῖσι ———————.

Et λ', 699.

——————— περὶ τρίτοδος γὰρ Ἴμιλλον
Θεύσεσθαι ———————.

Aliisque locis innumeris. Cæterùm hoc in loco nescio annon de *præterito* intelligendum sit istud, " Μέλλεν μέν ποτε ——— Ἔμμεναι." ac proindè vertendum; " *Olim quidem e-* " *rat:*" vel, " *Antehàc quidem solebat esse.*" Ita certè postulare videntur sequentia, " ὄφρ' " ἔτι κεῖνος" ——— et, " Νῦν δ' ἑτέρως ———." Porrò similis phrasis occurrit infrà ε', 137.

Καὶ γὰρ ἴγω ποτ' Ἰμιλλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
Πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, &c.

Ibid. —— ἀφνειὸς καὶ ἀμύμων.] *Locuples et eximia. Eustathius* paulò aliter explicat; Τὸ δὲ, ἀμύμων, (inquit,) ἐνδείκνυται δεῖν εἶναι, τὸν πλούτῳ μετεῖναι τῆς ἀρετῆς· ἵνα οὕτω ἀμύμων εἴη ὁ πλουτῶν. Sed minùs rectè. Vide suprà ad *ver.* 29. et ad *Il.* β', 623.

Ver. 234. ——— ἑτέρως ἐβάλοντο θεοί.] Apud *Scholiastem* legitur ἐβούλοντο· atque ita in uno MS. et in Editionibus nonnullis scriptum testatur *Barnesius.* Undè legendum conjicit vir eruditus ἑτέρως βούλοντο. *Al.* ἑτέρως ἐβόλοντο. Vide infrà ad π', 387.

Ver. 235. —— ἄϊστον.] Vide infrà ad *ver.* 242.

Ver. 237. —— Τρώων ἐνὶ δήμῳ.] Vide suprà ad *ver.* 103.

Ver. 238. —— τολύπευσε.] Κατειργάσατο,

Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν παναχαιοὶ,
Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω·
Νῦν δέ μιν ἀπλειῶς Ἅρπυιαι ἀνηρείψαντο·
Ὤχεσ' ἄϊστος, ἄπυστος, ἐμοὶ δ' ὀδύνας τε γόους τε
Κάλλιπεν· οὐδ' ἔτι κεῖνον ὀδυρόμενος στενάχίζω
Οἷον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε' ἔτευξαν.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Ἠ δ' ὅσσοι κραναὴν Ἰθάκην καταποιρανέουσι,
Τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
Ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
Ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες

" Tunc ei tumulum quidem fecissent omnes Graeci,
" Atque etiam suo filio ingentem gloriam reportàsset in posterum;
" Nunc verò ipsum ingloriè Harpyae abripuerunt:
" Periit nulli-visus, nulli-auditus; mihi verò dolores luctumque
" Reliquit; neque ampliùs illum lugens defleo
" Solum, quoniam mihi alia dii tristia mala struxerunt.
" Quotquot enim insulis dominantur optimates
" Dulichioque, Samaeque, et nemorosae Zacyntho,
" Atque quotquot asperam Ithacam regunt,
" Tot matrem meam ambiunt, destruunt autem domum.
" Illa autem neque abnuit odiosas nuptias, neque finem
" Facere potest: hi verò dilapidant epulantes

μετεφυκιῶς· καὶ γὰρ τὴν τῶν ἰχίων τῶν ἤδη κατεσχαρισμένων εἴλησιν τολύπην λέγομεν· *Schol.*

Ver. 239. —— *κέν οἱ.*] Quâ ratione, *κεν* hic etiam extra cæsuram producatur; item ultima vocis *νύ*, *ver.* 269 et 295. vide ad *Il. ά*, 51.

Ver. 241. —— Ἅρπυιαι ἀνηρείψαντο.] Ἅρπυιαι, δαίμονες· ἢ ἅπαμοι ἁρπακτικοί. *Schol.*

Τίφθε δὲ τὰς νούσας Ἅρπυιαι ἀνηρείψαντο
Καί ῥ' ἔδοσαν στυγερῇσιν ἐρινύσιν ἀμφιπολεύειν.
Infrà *ώ*, 77.

—Strophades Graio stant nomine dictæ
Insulæ Ionio in magno, quas dira Celæno
Harpyiæque colunt aliæ——————:
Tristius haud illis monstrum, nec sævior ulla
Pestis et ira Deûm Stygiis sese extulit undis.
Virginei volucrum vultus, fœdissima ventris
Proluvies, uncæque manus, et pallida semper
Ora fame ——————. *Æn.* III. 210. 214.

Ver. 242. Ὤχεσ' ἄϊστος, ἄπυστος.] Τὸ δὲ ἄϊστος, ἄπυστος, τὸν τελείως ἀφανῆ σημαίνει· τινὶ οὐ μεθὲν ἴσασί τις, οὔτε αὐτὸς ἰδὼν, οὔτε γνοὺς ἀπὸ πύστεως ἤτοι μαθήσεως. *Eustath.*

Ver. 243. —— οὐδ' ἔτι —— στεναχίζω.] *Al.* οὐδέ τι —— στοναχίζω.

Ver. 246. Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ.]

—————— nemorosa Zacynthos,
Dulichiumque, Sameque ——————.
Æn. III, 270.

Non mihi *Dulichium* domus est, *Ithaceve*, *Sameve*.
Ovid. Trist. lib. I. *Eleg.* iv. *ver.* 67.

Δουλιχίῳ, νήσῳ κατὰ τὴν Κεφαλληνίαν. Ζακύνθῳ, νήσῳ καὶ αὐτῇ τῆς Κεφαλληνίας. Σάμῃ· τὴν Σάμον, Σάμην εἶπε· ἔστι δὲ γὰρ αὕτη κατὰ τὴν Κεφαλληνίαν. *Schol.* Cæterùm *Apollodorus*, (notante *Strabone Geograph. lib.* X. *pag.* 696. *al.* 453.) legendum hic censet " Δουλιχίῳ τε, Σάμῃ τε." *insulam* enim non Σάμην, sed Σάμον semper appellatam, contendit. Vide infrà ad *ι*, 29.

Ibid. —— ὑλήεντι.] Vide ad *Il. γ'*, 151.

Ver. 247. —— κραναὴν Ἰθάκην.]

—— Scopulos Ithacæ, Laërtia regna.
Æn. III, 272.

Vide infrà ad *ι*, 25.

Ibid.—καταποιρανέουσι.] *Al.* κάτα κοιρανέουσι.

Ver. 248. —— τρύχουσι.] *Al.* τρύχουσι.

Ver. 250. —φθινύθουσιν.] Vide ad *Il. β'*, 43.

Οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
Τὸν δ' ἐπαλαστήσασα προσηύδα Παλλὰς Ἀθήνη·
Ὦ πόποι, ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος
Δεύῃ, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη.
Εἰ γὰρ νῦν ἐλθὼν, δόμου ἐν πρώτῃσι θύρῃσι
Σταίη, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
Τοῖος ἐὼν, οἷόν μιν ἔγω τοπρῶτ' ἐνόησα,
Οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,
Ἐξ Ἐφύρης ἀνιόντα παρ' Ἴλου Μερμερίδαο,
(Ὤχετο γὰρ καὶ κεῖσε θοῇς ἐπὶ νηὸς Ὀδυσσεὺς,
Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
Ἰοὺς χρίεσθαι χαλκήρεας· ἀλλ' ὁ μὲν οὔ οἱ
Δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας·
Ἀλλὰ πατὴρ οἱ δῶκεν ἐμός· φίλεέσκε γὰρ αἴσως·)

" Domum meam; citò etiam me malè perdent et ipsum."
Hunc autem commiserata allòquebatur Pallas Minerva:
" Papae! profectò multùm absentis Ulyssis
" Indiges, qui procis impudentibus manus injiciat.
" Si enim nunc veniens, domûs in primis foribus
" Staret, habens galeam et scutum et duo hastilia,
" Talis, qualem ipsum egò primùm vidi,
" Domo in nostrâ bibentemque seque oblectantem,
" Ex Ephyre reversum ab Ilo Mermeridâ,
" (Profectus enim erat illuc celeri in navi Ulysses,
" Venenum mortiferum quaerens, ut ipsi esset
" Ad sagittas ungendas aeratas: sed ille quidem non ei
" Dedit; quoniam deos verebatur sempiternos:
" At pater illi dedit meus, amabat enim vehementèr:)

Ver. 251. —— τάχα.] Αὕτη ἡ λίξις οὐ σίβεται παρὰ τῷ Ποιητῇ διστασιάζει δὲ ἐν τῇ συνηθείᾳ, ἀλλ' ἐπάστοτε ἀντὶ τοῦ ταχέως. *Schol.*

Ver. 252. Τὸν δ' ἐπαλαστήσασα προσηύδα.] Ἐπαλαστεῖν δὲ λέγεται, τὸ δεισποτεῖν ὡς ἐπὶ ἀλλάστοις καὶ ἀλιτήτοις κακοῖς· οὗ τὸ ἀνάλυτον ἐν Ἰλιάδι, ἔνθα ὁ Ἄρεις "ἀλαστήσας, ἴσος νυκτί" (*Il.* μ', 163.) καὶ, Θεοὶ δὲ "ἠλάστησεν" (*Il.* ο, 21.) —— Τινὲς δὲ, γεάφουσι παλαστήσασα· σημαίνει, τῇ παλαιστῇ τῆς χειρὸς ὠθήσασα. *Eustath.*

Ver. 254. Δεύῃ. ὅ κε μνηστῆρσιν.] *Al.* Δεύει, ὅ κε μνηστῆρσιν. *Al.* Δεύεαι, ὃς μνηστῆρσιν.

Ver. 256. —— Ἔχων —— δύο δοῦρε.]

Bina manu lato crispans hastilia ferro.
Æn. I, 317. XII, 165.

Ver. 259. —— Ἐφύρης.] Πόλεως Θεσπρωτίας. Ἐφύραι δὲ τρεῖς εἰσὶν· ἥ τε Θεσπρωτικὴ· ἡ νῦν Κόρινθος· καὶ ἡ τρίτη Ἦλις. *Schol.* Vide *Strabonem*, *Geograph. lib.* VIII. *pag.* 521. *al.* 338.

Ver. 261. Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη Ἰοὺς χρίεσθαι.]

Ungere tela manu, ferrumque armare veneno.
Æn. IX, 773.

Λίγονται δὲ τῶν σφηκῶν οἱ πικρότερόν τε καὶ ἰσχυρὸν δῆξαι. "Οταν δὲ ἀπάγωσι τιμὴν ἴχνιον, οὔθ' ὑπομένουσι καὶ φαρμάττουσι τὸ πίνειον· ὅθεν μοι δοκοῦσι μαθεῖν καὶ οἱ ἄνθρωποι μάθημα, καὶ τοῦτο οὐκ ἀγαθόν. Καὶ μίσγοι καὶ μαγεύειγε ἐν Ὀδυσσείᾳ Ὅμηρος λέγων, "Φάρμακον ἀνδρο-" φόνον διζήμενος, ὄφρα οἱ εἴη Ἰοὺς χρίεσθαι " χαλκήρεας." *Ælian. de Animal. lib.* V. *cap.* 16.

Ver. 262. Ἰοὺς χρίεσθαι.] Περιαριστεύασιν, ἵνα μὴ ζητῶμεν, πῶς ἀπὸ μιᾶς πληγῆς ἀναιροῦνται οἱ μνηστῆρες. *Schol.* Vide infrà ad χ', 15.

Ver. 263. —— ἐπεί ῥα.] *Quoniam scilicèt* ——.

Ver. 264. —— φιλέεσκε γὰρ αἴσως.] Tempore isto imperfecto perpetuam inter Ulyssem et patrem suum amicitiam fuisse deno-

Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς,
Πάντες κ' ἀκύμοροί τε γενοίατο πικρόγαμοί τε.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
Ἦ κεν νοστήσας ἀποτίσεται, ἠὲ καὶ οὐκί,
Οἶσιν ἐνὶ μεγάροισι· σὲ δὴ φράζεσθαι ἄνωγα,
Ὅττως κεν μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο.
Εἰ δ' ἄγε νῦν ξυνίει, καὶ ἐμῶν ἐμπάζεο μύθων,
Αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς,
Μῦθον τέφραδε πᾶσι, θεοὶ δ' ἐπιμάρτυροι ἔστων·
Μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωγθι·
Μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
Ἄψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο.
Οἱ δὲ γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἑδνὰ

" Talis existens inter procos si versaretur Ulysses,
" Omnes et brevis fati fierent et amaris nuptiis.
" Verùm enimverò haec deorum in genibus posita sunt,
" An reversus ulciscatur, an non,
" Suis in aedibus: te autem considerare jubeo,
" Quo modo procos expellas ex aedibus.
" Quin agè nunc attende et meam adverte orationem;
" Cras in concionem ubi vocaveris herbas Achivos,
" Orationem edissere omnibus; dii verò testes sint:
" Procos quidem ad sua quemque discedere jube:
" Matrem autem, si ei animus appetit nubere,
" Redeat in domum patris praepotentis.
" Illi verò nuptias conficient et apparabunt dotem,

---

tas. Vide ad *Il.* ά, 37. et ad β', 221. Cæterum de prosodiâ vocum φίλομαι, ἱμάλομαι, φίλιος, φιλάσεται, &c. vide ad *Il.* ά, 338. et ad ὰ, 304.

Ver. 265. —— *μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς.*] Τὰ δὲ, ὁμιλήσει, πολιτικὰ λέξις· ὡς καὶ ἐν Ἰλιάδι, σκεφαι τὶ ὁμοῦ τοὺς στρατιώτας ἵλαι ἐπὶ μαχομένας. *Eustath.*

Ver. 266. —— *πικρόγαμοί τε.*] Ἐπὶ κακῷ τῶν ἐαυτῶν τὸν γάμον τοῦτον μνηστευόμενοι. *Schol.*

Ver. 267. Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.] Ἐν τῇ τῶν θεῶν ἐξουσίᾳ ἐστί. *Schol.*

Ἀλλ' οἱ θεοὶ χρὴ ταῦθ' ὑπερτίθεσθ' ἰόντι.
Euripid. Phœnis. ver. 712.

Ver. 268. —— *ἀποτίσεται.*] Vide ad *Il.* ι, 508. et χ', 19.

Ver. 269. —— *ἄνωγα.*] Non, *jussi*; sed, *jubeo*. Vide ad *Il.* Ψ, 322. et ν', 736.

Ver. 270 et 295. Ὅττως κεν μνηστῆρας.] *Al.* Ὅττως κε μνηστῆρας. Quod et auribus magis placet.

Ver. 271. Εἰ δ' ἄγε.] *Quod si meo consilio parebis, age &c.* Vide ad *Il.* ζ', 376.

Ver. 273. —— *τέφραδε.*] Vide ad *Il.* β', 314. et ξ', 500.

Ibid.——*ἐπιμάρτυροι.*] Vide ad *Il.* ά, 338.

Ver. 275. Μητέρα δ' —— Ἄψ ἴτω.] De hujusmodi Syntaxi ἀνακολούθῳ, vide ad *Il.* β', 353. γ', 211. κ', 224. item infrà ad *Odyss.* μ', 73. *Scholiastes* autem legendum conjicit Μήτης δ', &c.

Ver. 276. —— *δυναμένοιο.*] Quâ ratione hujusmodi voces *primam* producant, vide ad *Il.* ά, 398.

Ver. 277. 278. Οἱ δὲ γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἑδνὰ Πολλὰ μάλ', &c.] *Scholiastes* vocem ἑδνὰ hîc exponit, Δῶρα τὰ διδόμενα ὑπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ. Sed sententiam, ut opinor, minùs rectè cepit vir eruditus. Vide infrà ad β', 196. 197. ubi idem Distichon occurrit.

Ver. 277. —— *ἀρτυνέουσιν.*] Quâ analogiâ fit μαρτύρομαι, μαρτύρουμαι, μαρτύρεόμαι· φίλομαι, φίλουμαι, φιλέω· ἀρτύνω, ἀρτύνῳ, ἀρτυνέω· eâdem fit ἀρτύνω, ἀρτύνῳ, ἀρτυνέω. Vide ad

Πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
Σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, αἴκε πίθηαι·
Νῆ' ἄρσας ἐρέτησιν ἐείκοσιν, ἥτις ἀρίστη,
Ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο·
Ἤν τίς τοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσῃς
Ἐκ Διὸς, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισι.
Πρῶτα μὲν ἐς Πύλον ἐλθὲ, καὶ εἴρεο Νέστορα δῖον·
Κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον·
Ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
Εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
Ἦ τ' ἂν, τρυχόμενός περ, ἔτι τλαίης ἐνιαυτόν·
Εἰ δέ κε τεθνειῶτος ἀκούσῃς, μηδέ τ' ἐόντος,
Νοστήσας δὴ ἔπειτα φίλην ἐς πατρίδα γαῖαν,
Σῆμά τέ οἱ χεύσαι, καὶ ἐπὶ κτέρεα πτερεΐξαι
Πολλὰ μάλ', ὅσσα ἔοικε· καὶ ἀνέρι μητέρα δοῦναι.
Αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
Φράζεσθαι δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,

" Amplum admodum, quantam par est charam filiam comitari.
" Tibi autem ipsi prudentèr consulam, siquidem parueris :
" Navi instructâ remigibus viginti, quae optima *est*,
" Proficiscere sciscitaturus *de* patre diù absente :
" Si quis tibi dicat mortalium, aut famam audiveris
" Ex Jove, quae utique potissimùm notitiam affert hominibus.
" Primùm quidem in Pylum abi, et interroga Nestorem eximium :
" Illinc autem in Spartam ad flavum Menelaum ;
" Hic enim novissimus venit Achivorum aere-loricatorum.
" Si quidem patris vitam, et reditum audieris,
" Tum sanè, vexatus licèt, adhuc perdursaveris in annum :
" Sin mortuum audieris, neque adhuc superstitem :
" Reversus deindè charam in patriam terram,
" Tumulum illi erige, et parentalia perfice
" Eximia valdè, qualia decet : et viro matrem dato.
" Caeterùm ubi jam haec finieris et perfeceris,
" Considera deindè in mente et in animo,

Il. ά, 334. κ', 55. et ό, 304. item infrà ad *Odyss.* ζ, 31.

Ver. 282. —— ἢ ὄσσαν ἀκούσῃς Ἐκ Διός.] Ὄσσαν, τὴν ἐκ Διὸς ἀληθόπα. *Schol.* Ἐστὶ γὰρ Ὄσσα, ἡ θεία φήμη ——, Τὴν δὲ ὄσσαν, ὅτι θεία φωνὴ, ἐξηγεῖσαι λέγων, " Ἢ ὄσσαν ἀκούσῃς " Ἐκ Διός." *Porphyr. Quæst. Homeric.* 16.

Ver. 284. Πρῶτα μὲν ἐς Πύλον.] Πέμπει αὐτὸν παιδευθησόμενον, καὶ ἅμα ἵνδοξον ἐσόμενον. Ἐπεὶ διὰ πατέρα ἀπιδήμησεν. *Schol.* Ita ipsa *Minerva* infrà ν', 422. *Ulyssem* alloquens :

Αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο,
Κεῖθ' ἰόντ' ——————

Ver. 285. —— Σπάρτηνδε.] *Al.* Σπάρτην δε.

Ver. 286. Ὃς γὰρ δεύτατος ἦλθε.] Τουτέστιν ὕστατος ἐπανῆλθε. *Eustath.*

Ver. 289. —— τεθνειῶτος.] Vide ad *Il.* ά, 265. et ν', 46. *Al.* τεθνηῶτος.

Ibid. —— μηδέ τ' ἐόντος.] *Henricus Stephanus* legendum censet μηδ' ἐτ' ἐόντος, uti infrà β', 220.

Ver. 290 et 294. —— δὴ ἔπειτα.] Ita edidit *Barnesius*. *Vulgg.* δ' ἔπειτα. Vide ad *Il.* ο, 163.

Ver. 291. —— χεῦσαι.] *Al.* χεῦαι.

Ὅττως κεν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
Κτείνῃς, ἠὲ δόλῳ, ἢ ἀμφαδόν· οὐδέ τί σε χρὴ
Νηπιάας ὀχέειν, ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί.
Ἦ οὐκ ἀΐεις, οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
Πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα;
Καὶ σύ, φίλος, (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε)
Ἄλκιμος ἔσσο, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατείλεύσομαι ἤδη,
Ἠδ' ἑτάρους, οἵ πού με μάλ' ἀσχαλόωσι μένοντες·
Σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ξεῖν', ἦτοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
Ὡς τε πατὴρ ᾧ παιδί, καὶ οὔποτε λήσομαι αὐτῶν.
Ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἐπειγόμενός περ ὁδοῖο,
Ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ,
Δῶρον ἔχων ἐπὶ νῆα πίῃς, χαίρων ἐνὶ θυμῷ,
Τιμῆεν, μάλα καλὸν, ὅ τοι πειμήλιον ἔσται

" Quo pacto procos in aedibus tuis
" Interficias, sive dolo, sive palam; neque *enim* ampliùs te convenit
" Puerilia consectari, quoniam non ampliùs tantillus es,
" An non audis, qualem gloriam consecutus est nobilis Orestes
" Omnes apud homines, postquam interfecit parricidam,
" Aegisthum dolosum, qui illi patrem inclytum interemerat?
" Et tu, amice, (admodùm enim te video eximiumque magnumque)
" Strenuus esto; ut aliquis te etiam posterorum laudet.
" At ego ad navem celerem descendam jam,
" Atque *ad* socios, qui me fortassè aegrè-ferunt expectantes:
" Tibi autem ipsi curae sit, et meos observa sermones."
Hanc autem rursus Telemachus prudens contrà allocutus est:
" Hospes, profectò quidem haec amico animo dicis,
" Perindè atque pater suo filio; et nunquam obliviscar illorum.
" Sed agè nunc mane, accelerans licèt iter,
" Ut et lotus et oblectatus charum cor,
" Donum habens ad navem eas, gaudens in animo,
" Preciosum, valdè eximium, quod tibi reconditi-muneris-loco erit

---

Ver. 296. —— *οὐδέ τί σε χρὴ Νηπιάας ὀχέειν, ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσί.*] Vide suprà ad *ver.* 88. Cæterùm *Henricus Stephanus* scribendum hic censet *οὐδ' ἔτι σε χρή.*

Ver. 297. *Νηπιάας ὀχέειν.*] *Τὰ νέων φρονῶν καὶ φέρειν ἢ ἐχέεσθαι ὑπὸ πόντους, τουτέστιν ἄφρονα εἶναι. Schol. Al. Νηπιάχοις ὀχέειν.*

Ver. 298. *Ἦ οὐκ ἀΐεις.*] Pronuntiabatur *ἦ οὐκ ἀΐεις.* Vide ad *Il. ί*, 349. et *ύ*, 188.

Ibid. —— *ἀΐεις.*] Vide ad *Il. ί*, 252.

Ibid. —— *ἔλλαβε.*] *Barnesius* in uno MS. scriptum reperit *ἔλαβε.* Vide ad *Il. ά*, 4. et *φ'*, 71.

Ver. 300. —— *ἔκτα.*] *Al. ἕ σί.*

Ver. 301. 312. 318 et 370. —— *καλόν.*] Vide ad *Il. β'*, 43.

Ver. 302. *Ἄλκιμος ἔσσ'.*] Citat hunc versum *Cicero ad Familiares, lib.* XIII. *Epist.* 15.

Ver. 307. —— *φίλα φρονέων.*] *Al. φιλοφρονέων.*

Ver. 310. —— *λοεσσάμενός τε, τεταρπόμενός τε.*] Vide infrà ad *ί*, 491. et *ί*, 296.

Ἐξ ἐμεῦ· οἷα φίλοι ξεῖνοι ξείνοισί διδοῦσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Μή μ' ἔτι νῦν κατέρυκε, λιλαίομένον περ ὁδοῖο·
Δῶρον δ', ὅ τι κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγει,
Αὖθις ἀνερχομένῳ δόμεναι, οἰκόνδε φέρεσθαι,
Καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔσται ἀμοιβῆς.
Ἡ μὲν ἄρ' ὃς εἰποῦσ' ἄπιεν γλαυκῶπις Ἀθήνη,
Ὄρνις δ' ὡς ἀνόησεν διέπτατο· τῷ δ' ἐνὶ θυμῷ
Θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τέ ἑ πατρὸς
Μᾶλλον ἔτ', ἢ τὸ πάροιθεν· ὁ δὲ, φρεσὶν ἦσι νοήσας,
Θάμβησεν κατὰ θυμόν· θεὸν γὰρ δῆον εἶναι.
Αὐτίκα δὲ μνηστῆρας ἐπῴχετο ἰσόθεος φώς·
Τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτὸς, οἱ δὲ σιωπῇ
Εἵατ' ἀκουάζοντες· ὁ δ' Ἀχαιῶν νόστον ἄειδε
Λυγρὸν, ὃν ἐξ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη.
Τοῦ δ' ὑπερῳΐόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν

" Ex me; qualia amici hospites hospitibus dant."
Huic autem respondebat deinde dea caesiis-oculis Minerva:
" Nè me ampliùs nunc detine cupidum nimirùm itineris:
" Donum verò quodcunque mihi dare tuum cor jubet,
" Rursùs redeunti da, domum ferendum,
" Etiam eximio *munere* accepto; tibi autem dignum erit retributione."
Sic quidem locuta abiit caesiis-oculis Minerva;
Avis autem ut Anopaea avolavit: huic verò in animo
Indidit robur et audaciam, recordarique eum fecit patris
Magis adhuc quàm anteà: hic autem mente suâ considerans,
Obstupuit in animo; suspicatus est enim deum esse.
Continuò verò procos adibat deo-similis vir:
Illis autem cantor canebat inclytus; ii verò tacitè
Sedebant audientes; ille autem Achivorum reditum canebat
Gravem, quem ex Trojâ indixit Pallas Minerva.
Hujus autem è-superiore-parte-domùs animo advertit divinam cantilenam

---

Ver. 314. Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη.] *Al.* Τὸν δ' ἀπαμειβομένη προσέφη γλαυκῶπις Ἀθήνη.

Ver. 314. 319 et 364. —— γλαυκῶπις Ἀθήνη.] Vide ad *Il. á*, 206.

Ver. 315. Μή μ' ἔτι νῦν κατέρυκε.]

—— absiste morari.
Æn. XII, 676.

Ver. 317. Αὖθις.] *Al.* Αὖτις.

Ver. 319. Ἡ μὲν ἄρ' ὃς εἰποῦσ' ἄπιεν γλαυκῶπις Ἀθήνη.] Ὅτι τὸ τὴν Ἀθηνᾶν ἀποζῆναι ἦγουν ἀποχωρῆσαι τοῦ Τηλεμάχου, οὐ τὸ ἄφρονα ἴδιόν γε καταλιμφθῆναι δηλοῖ, ἀλλ' ὅτι βουλευσάμενος πρῶτον καθ' ἑαυτὸν, καὶ σκοπήσας, καὶ σπήσας τὸν σκοπὸν, ταύτῃ. *Eustath.*

Ver. 320. Ὄρνις δ' ὡς ἀνόησεν διέπτατο.] Τὸ δὲ ἀνόησεν, εἶδος τινὸς ὀρνέου λίγουσιν ἀστῶδους φήνῃ ἰκτίνος. —— Οἱ δὲ φασιν ὅτι διέπτατο ἀνόησεν ἦγουν ἀνὰ τὴν ὑπὸ τὴν ὑμέναν τῆς ὀροφῆς, ἣν καὶ πάσην καὶ παντοδάπην ἐκάλουν. —— Οἱ δὲ, τὸ ἀνόησεν, λίγουσιν ἀντὶ τοῦ ἀφανὲς πόῤῥω τῆς ὄψιως. —— Καὶ Ἡρωδιανὸς τὸ ἀνόησεν —— προσιρισπᾷ, καὶ ὡς ἐπίῤῥημα λαμβάνει, ἀντὶ τοῦ ἀοράτως. *Eustath.*

Ibid. —— τῷ δ' ἐνὶ θυμῷ Θῆκε μένος καὶ θάρσος.] Vide ad *Il. i*, 185. et *ú*, 110.

Ver. 323. —— ἴδεσατο.] Ita edidit *Barnesius. Vulgg* ἴδεσατο ut opinor, minùs rectè; Nam iterùm occurrit haec vox *Odyss. í*, 213. 339. *ν'*, 232. 258. *ó*, 442. quibus omnibus in locis cum duplici *σ* scribitur, nec variant Exemplaria.

Ver. 326. —— ἀκούοντες· ὁ δ'.] Quâ ra-

Κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια·
Κλίμακα δ' ὑψηλὴν κατεβήσατο οἷο δόμοιο,
Οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο.
Ἣ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος τύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ πιδὴν ἐκάτερθε παρέστη·
Δακρύσασα δ' ἔπειτα προσηύδα δῖον ἀοιδόν·
Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί·
Τῶν ἕν γέ σφιν ἄεισε παρήμενος· οἱ δὲ σιωπῇ
Οἶνον πίνοντες· ταύτης δ' ἀποπαύε ἀοιδῆς
Λυγρῆς, ἥτε μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
Τείρει· ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
Τοίην γὰρ κεφαλὴν τοθέω, μεμνημένη αἰεὶ
Ἀνδρὸς, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.

Filia Icarii prudens Penelope:
Per scalam verò altam descendit suae domûs,
Non sola; unà cum hâc ancillae duae sequebantur.
Illa verò quandò jam ad procos pervenisset praestantissima mulierum,
Stetit utique juxta postem domus affabrè structae,
Genis praetendens tenuia capitis-redimicula:
Ancilla verò ei honesta utrinque astabat:
Lacrymans autem deindè alloquebatur divinum cantorem:
" Phemie, multa enim alia mortalium oblectamenta novisti,
" Gesta hominumque deorumque quae celebrant cantores:
" Horum unum ipsis cane assidens; illi autem silentio
" Vinum bibant: ab hâc verò desine cantilenâ
" Molestâ, quaeque mihi perpetuò in pectoribus charum cor
" Affligit: quippe me in-primis invasit dolor immensus.
" Tale enim caput desidero, memor semper
" Viri, cujus lata est gloria per Graeciam et medium Argos."

---

tione ἀειδόντες hic ultimam producat; item πάλιν, ver. 360. et ἀνὰ, ver. 365. et ἵζεν, ver. 424. vide ad *Il.* ά, 51.

Ibid. —— ἡ δ' Ἀχαιῶν ὑστον ἄιεν Δυγρήν.] Vide infrà ad γ', 130.

Ver. 330. —— κατεβήσατο.] *Al.* κατεβήσετο. Vide ad *Il.* β', 35. et ἰ, 109.

Ver. 334. —— κρήδεμνα.] Ἐπὶ τῆς κεφαλῆς περίθεσις. *Schol.*

Ver. 335. —— ἄρα.] *Ut fieri solebat* ——.

Ver. 336. —— θεῖον ἀοιδόν.] *Al.* δῖον ἀοιδόν.

Ver. 337. —— Φήμι, πολλὰ γάρ.] Vide infrà ad κ', 190.

Ibid. —— πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια εἶδας, Ἔργ' ἀνδρῶν τε θεῶν τε.] " Post " εἶδας," inquit *Henricus Stephanus*, " fortas- " se etiam expungi potest interpunctio, ut " θελκτήρια copuletur cum ἔργα." Sed minùs rectè. Nam θελκτήριος adjectivum apud Poetam non occurrit. Vide infrà ad θ', 509. et ad *Il.* ξ', 215.

Ver. 338. Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί.] Τὸ πολλαχοῦ γὰρ καὶ τῶν ἡρώων τὰς πράξεις, καὶ τῶν θεῶν τοὺς ὕμνους δι' ᾠδῆς, ἐσωιοῦντο. Ὅμηρος γοῦν φησὶν ὑσ' Ἀχιλλέως, " ἄιδεν δ' ἄρα κλέα ἀνδρῶν Ἡρώων." Καὶ τὸν Φήμιον δὲ φησὶν ὅτι, " — πολλὰ βροτῶν θελκ- " τήρια οἶδεν Ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε " κλείουσιν ἀοιδοί." *Athenaeus, lib.* XIV. *cap.* 8. Vide ad *Il.* ί, 189.

Ver. 341. —— αἰεί.] *Al.* αἴν.

Ver. 344. —— καθ' Ἑλλάδα.] Κατὰ τὴν Θετταλίαν, ἀπὸ μιᾶς πόλεως, ὀνόματι Ἑλλάδος. *Schol.* Vide ad *Il.* β', 528. Item infrà ad ό, 80.

Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Μῆτερ ἐμὴ, τί τ' ἄρ' αὖ φθονέεις, ἔριηρον ἀοιδὸν
Τέρπειν, ὅππη οἱ νόος ὄρνυται; οὔ νύ τ' ἀοιδοὶ
Αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅστε δίδωσιν
Ἀνδράσιν ἀλφηστῆσιν, ὅπως ἐθέλησιν ἑκάστῳ.
Τούτῳ δ' οὐ νέμεσις, Δαναῶν κακὸν οἶτον ἀείδειν·
Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
Σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
Οὐ γὰρ Ὀδυσσεὺς οἷος ἀπώλεσε νόστιμον ἦμαρ,
Ἐν Τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε,

Hanc autem rursùs Telemachus prudens contrà allocutus est:
" Mater mea, quamobrem igitur molestè-fers, jucundum cantorem
" Oblectare, utcunque illi mens impellitur? non sanè cantores
" In-causâ sunt, sed quodammodo Jupiter in-causâ est; qui dat
" Viris ingeniosis ita, vult unicuique.
" Huic verò non reprehensio *debetur*, quòd Danaorum malam sortem canit:
" Eam enim cantilenam magis celebrant homines,
" Quaecunque auditoribus recentissima existat.
" Tibi verò sustineat cor et animus audire:
" Non enim Ulysses solus perdidit reditûs diem,
" In Trojâ: multi verò et alii viri perierunt.
" Sed in domum profecta, tua opera administra,

Ver. 346. —— *τί τ' ἄρ' αὖ φθονέεις.*] *Al. τί τ' ἄρα φθονέεις.* Vide et infrà ad τ', 348.

Ver. 347. 369. —— *ὄρνυται* —— *διανήμενοι.*] Vide ad *Il.* γ', 260. et ώ, 665.

Ibid. —— *οὔ νύ τ' ἀοιδοὶ Αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος.*]

Non tibi Tyndaridis facies invisa Lacænæ [Divûm
Culpatusve Paris; verùm inclementia
Has evertit opes, sternitque à culmine
Trojam. *Æn.* II, 601.

Ver. 349. *Ἀνδράσιν ἀλφησταῖσιν.*]

—— hominum rerumque repertor.
Æn. XII, 829.

Ver. 351. *Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι, Ἥτις ἀκουόντεσσι νεωτάτη.*]

—— αἶνει δὲ παλαιὸν
Μὶν οἶνον, ἄνθεα δ' ὕμνων
Νεωτέρων ——.
Pindar. Olymp. Ode IX. *ver.* 75.

Est quoque cunctarum novitas carissima rerum.
Ovid. ex Pont. lib. III. *Epist.* iv. 51.

Διδακτικωτέρην δὲ καὶ ἀρχαιοτάτην ἐστὶν ἡ Ὁμήρου ποίησις· πάντα γὰρ οὐδὲν περιεσύτερον ἦκεν εἰς ἡμᾶς τῆς ἐκείνου ποιήσεως.—Ἀλλὰ φῶτον μὲν οὐχ ὑπὸ πάντων ὁμολογεῖται ποιητὴν ἀρχαιότατος εἶναι Ὅμηρος· ἔνιοι γὰρ Ἡσίοδον προϊέναι τοῖς χρόνοις λέγουσιν, Λίνον τε καὶ Ὀρφέα καὶ Μουσαῖον καὶ ἄλλους παμπληθεῖς. Οὐ μὴν ἀλλὰ καὶ πιθανὸν ἐστὶ γεγονέναι μὲν τινὰς πρὸ αὐτοῦ καὶ κατ' αὐτὸν ποιητάς· ἐπεὶ καὶ αὐτός που φησὶ, " Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι, Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται." Τούτους δὲ ὑπὸ τῆς περὶ αὐτὸν λαμπρότητος ἐσιωπᾶσθαι. *Sextus Empiricus adversus Mathematicos, lib.* I. *cap.* 10. Citat porro hunc locum *Plinius, lib.* V. *Epist.* 20.

Ibid. —— *ἐπικλείουσ'.*] *Plato, de Republ. lib.* IV. videtur legisse *ἐπιφρονίουσ'*.

Ver. 352. —— *ἀκουόντεσσι.*] *Plato*, loco jam citato, legit *ἀοιδόντεσσι.*

Ver. 356. *Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε.*] Τῶν δ' ἔργων τῶν αὐταῖς [γυναιξὶ] οἰκείων ἐν τῇ Ὀδυσσείᾳ ὑπέμνησεν αὐτὸν [forte αὐτὰς,] διὰ Τηλεμάχου λέγοντος τῇ μητρὶ, " Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε·" ταῦτα γάρ τοι, καὶ τὰ τούτοις ὅμοια, ὥσπερ κὰν τοῖς Ῥητορικοῖς εἴρηται, τῇ γυναικείᾳ φύσει μάλιστα ἁρμόττει· ἀλλ' οὐδ' ὁ πόλεμος, οὐδ' αἱ μάχαι, καὶ ἱδρώς. *Kyriac. Stroz. de Republ. lib.* IX. Ita apud *Æschylum*:

Ἰστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε,
Ἔργον ἐποίχεσθαι· μῦθος δ' ἄνδρεσσι μελήσει
Πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἐστ' ἐνὶ οἴκῳ.
Ἡ μὲν θαμβήσασα πάλιν οἰκόνδε βεβήκει·
Παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
Ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,
Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
Τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχετο μύθων·
Μητρὸς ἐμῆς μνηστῆρες, ὑπέρβιον ὕβριν ἔχοντες,
Νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
Ἔστω· (ἐπεὶ τόγε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
Τοιοῦδ', οἷος ὅδ' ἐστὶ, θεοῖς ἐναλίγκιος αὐδήν.)
Ἠῶθεν δ' ἀγορήνδε καθεζώμεσθα κιόντες

" Telamque columque, et ancillas impara
" Operi incumbere: sermo verò viris curae erit
" Omnibus, potissimùm verò mihi; hujus enim imperium est in domo."
Illa quidem attonita, rursùs in domum ivit:
Filii enim dictum prudens posuit in animo.
Ad superiorem autem partem-domûs ubi conscendisset cum ancillis mulieribus,
Flebat deindè Ulyssem charum maritum, donec ipsi somnum
Dulcem palpebris immisit caesia-oculis Minerva.
Proci verò tumultuabantur per aedes obscuras,
Omnes autem optabant juxtà in lecto recumbere.
Illis verò Telemachus prudens incepit sermonem:
" Matris meae proci, superbà contumeliâ instructi,
" Nunc quidem convivantes delectemur, neque clamor
" Adsit: (nam hoc honestum est audire cantorem
" Talem, qualis hic est, diis assimilis voce.)
" Manè verò in concionem consideamus venientes

Μίλαι γὰρ ἀνδρὶ, μὴ γυνὴ βουλευέτω
Τἄλλων ἕνδον δ' οὖσα, μὴ βλάπτῃ τέκνα.
Septem contra Thebas, ver. 206.

Et apud *Apollonium*:

Ἀλλὰ σὺ μὲν νῦν αὖθι μετ' ἀμφιπόλοισιν ἰούλης
Μίμνε δίεμαι——. *Argonaut. lib.* I. ver. 303.

ubi *Scholiastes* hunc *Homeri* locum adducit. Cæterùm apud *Homerum* hoc in loco versus nonnullos repudiatos testatur *Scholiastes*: Ἀθετοῦνται (inquit) ἰσταῦθα· ἐπὶ δὲ τοῦ Ἕκτορος καλῶς. Occurrunt nimirum iidem ferè versus *Iliad.* ζ', 490. &c. ab *Hectore Andromachen* alloquente usurpati.

Ver. 360. —— *βεβήκει.*] Vide ad *Il. ά*, 37 et 221.

Ver. 362. —— *ὑπερῷ'.*] Τὰ ἀνώγεα οἰκήματα. *Schol.*

Ver. 363. —— *ὄφρα οἱ ὕπνον* —— *βάλε γλαυκῶπις Ἀθήνη.*] Ἀθηνᾶ δὲ καιμίζει τὸν Πηνελόπην, ἐπειδὴ συνετῶς ἐπέτυχε βουλευσαμένην, πλαίσιν μὲν ἀφῆκεν· ἀνεκλίθη δὲ ὡς τι καταδαπάνων. *Eustath.*

Ver. 365. *Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα.*] Fit strepitus tectis, vocemque per ampla volutant
Atria ——————. *Æn.* I, 729.

Ver. 366. —— *κλιθῆναι.*] Vide infrà ad Σ', 48. et ad *Il. ά*, 309.

Ver. 371. —— *θεοῖς ἐναλίγκιος.*]
Os, humerosque Deo similis ——.
Æn. I, 593.

Πάντες, ἴν' ὑμῖν μῦθον ἀπηλεγέως ἀποείπω,
Ἔξίεναι μεγάρων· ἄλλας δ' ἀλεγύνετε δαῖτας,
Ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
Εἰ δ' ὔμμιν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
Ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσσαι,
Κείρετ', ἔγω δὲ θεοὺς ἐπιβώσομαι αἴσιν ἐόντας,
Αἴ κέ ποθι Ζεὺς δῶσι παλίντιτα ἔργα γενέσθαι,
Νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὀλοισθε.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
Τὸν δ' αὖ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Τηλέμαχ', ἦ μάλα δή σε βιβάσκουσιν θεοὶ αὐτοὶ
Ὑψαγόρην τ' ἔμεναι, καὶ θαρσαλέως ἀγορεύειν.
Μή σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
Ποιήσειεν· ὅ τοι γενεῇ πατρώϊον ἐστί.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

" Omnes; ut vobis sermonem audentèr renunciem,
" Exire ex aedibus: alias verò sequimini dapes,
" Vestra bona edentes, alternantes per domos.
" Si verò vobis videtur hoc satius et melius
" Esse, viri unius victum impunè perdere,
" Absumite; ego verò deos invocabo sempiternos,
" Si quando Jupiter dederit facta *haec* vindicatum iri,
" Inulti fortè deindè intra aedes perituri sitis."
Sic ait; illi verò omnes mordicùs labiis compressis
Telemachum admirabantur, quod audactèr loqueretur.
Hunc autem rursùs Antinous allocutus est, Eupithei filius:
" O Telemache, certè admodum te docuerunt dii ipsi
" Sublimiloquum esse, et audentèr concionari.
" Nè te utique in circumfluâ Ithacâ regem Saturnius
" Constituat; quod tibi genere paternum est."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est:

Ver. 375. —— ἀμειβόμενοι κατὰ οἴκους.] Ἐκ διαδοχῆς ἀλλήλους ὑποδεχόμενοι, καὶ ἀμειβόμενοι. *Schol.*

Ver. 376. —— ὔμμιν.] *Al.* ὑμῖν. Ut suprà *ver.* 373.

Ver. 377. —— ἀλίεσθαι.] *Al.* ἀλίεσθαι.

Ver. 378. Κείρετ'.] Sic infrà β', 312.

—— ἐπείρετε πολλὰ καὶ ἐσθλὰ
Κτήματ' ἐμά ——.

Et apud *Oppianum*:

Κτῆσιν ἀεὶ πείροντες ἀσημάντοιο δόμοιο.
Ἁλιευτικῶν, *lib.* III. *ver.* 361.

Ver. 379. —— παλίντιτα ἔργα.] Τὰ ἐκ τοῦ ἐναντίου τιμωρίαν γίνεται. *Schol.* Ἐστὶ δὲ παλίντιτον, οὗ ἡ τίσις πάλιν, ἤγουν ἀντίσις, ἐν τῷ μέλλοντι γίνεται. *Eustath.*

Ibid. —— παλίντιτα.] Vide ad *Il.* υ', 414. et ξ', 484.

Ver. 158. ——— ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.] Ἕστρωσεν, γαλήνην ἐποίησεν. *Schol.* Sternitur æquor aquis —. *Æn.* V, 821.

Ibid. ——— μεγακήτεα πόντον.] Non, μεγάλα κήτη ἔχοντα, uti minùs rectè exponit *Scholiastes*; sed *magnum, vastum.* Sic *Il.* Φ', 229. et λ', 5.

Στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ Item λ', 599.

——— ἐπὶ πρύμνῃ μεγακήτεϊ νηΐ.

Et φ', 22.

Ὦρσε δ' ὑπὸ δειλοῖσι μεγακήτεσι ———.

Ver. 161. ——— ὅς ῥ'.] *Qui scilicet* ———.

Οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας,
Ἀμφ' Ὀδυσῆα ἄνακτα δαΐφρονα ποικιλομήτην,
Αὖτις ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι ἦρα φέροντες.
Αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλίσιν, αἵ μοι ἕποντο,
Φεῦγον, ἐπεὶ γίνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων·
Φεύγε δὲ Τυδέος υἱὸς ἀρηΐφιλος, ὦρσε δ' ἑταίρους·
Ὀψὲ δὲ δὴ μετὰ νῆϊ κίε ξανθὸς Μενέλαος,
Ἐν Λέσβῳ δ' ἔπιχεν δόλιχὸν πλόον ὁρμαίνοντας,
Ἦ παθύτερθε Χίοιο ποιήμεθα πασπαλόεσσης,
Νήσου ἐπὶ Ψυρίης, αὐτὴν ὑπ' ἀριστερὰ ἔχοντες,
Ἦ ὑπένερθε Χίοιο, πὰρ' ἠνεμόεντα Μίμαντα.
Ἠτίομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅγ' ἡμῖν
Δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
Τέμνειν, ὄφρα τάχιστα ὑπ' ἐκ παπόεσσαν φύγοιμεν.
Ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ' ὦκα

" Alii quidem aversis iverunt navibus remigio-utrinque-instructis,
" Qui circa Ulyssem erant regem prudentem varii-consilii,
" Rursùs Atridae Agamemnoni gratificantes.
" Sed ego cum navibus confertis, quae me sequebantur,
" Fugi, quoniam cognoscebam, quòd jam mala meditabatur deus:
" Fugit porrò Tydei filius bellicosus, excivitque socios:
" Serò autem tandem ad nos venit flavus Menelaus,
" In Lesbo verò ievenit de longâ navigatione deliberantes,
" An supra Chium iremus asperam,
" Ad insulam Psyriam, ipsam à sinistris habentes;
" An sub Chio, propter ventosum Mimanta.
" Rogabamus autem deum ostendere signum; ille verò nobis
" Ostendit, et jussit pelagus medium in Euboeam
" Secare; ut quàm-celerrimè infortunium effugeremus.
" Orsus est autem strid'lus ventus spirare; naves verò valdè velociter

---

Ver. 164. ——ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι ἦρα φέροντες.] Ὀδυσσεὺς δὲ τῷ βασιλεῖ ἐπὶ καιρῷ οἰκείῳ χαρίζεται· τοῦτο γὰρ δηλοῖ τὸ, ἦρα φέρειν, ἤ ἐπὶ χάριν· ἔστιν ἐπίρρημα φασὶν οἱ ἔστιγον. *Eustath.* Verùm, ut opinor, phrasis haec " ἐπ' Ἀτρείδῃ —— ἦρα φέροντες· ea ipsa est, quam Recentioribus tribuit vir eruditus; scilicet, Ἀτρείδῃ ἐπίρρημα φέροντες· eaque non à Recentioribus solis, sed et ab ipso *Homero* alibi usurpata est; Ut *Il. ε*, 572.

Μητρὶ φίλῃ ἐπίρρα φέρειν ——————,

Et *ibid. ver.* 578.

Πατρὶ φίλῳ ἐπίρρα φέρων ——————.

Ver. 166.—ἤ δὲ κακά.] Vide ad *Il. ξ*, 433.

Ver. 169. Ἐν Λέσβῳ.] Λέσβος νῆσος Τρωϊκὴ, ἴχνεσι πέλασε, Πάλλας, Ἔρεσσον, Μυτιλήνην, Μάθυμναν, Ἄντισσαν. *Schol.*

Ver. 170. Ἦ παθύτερθε Χίοιο.] Κεῖται ἡ νῆσος Χίος μέση τῶν Ψαρῶν καὶ τοῦ Μίμαντος. *Schol.* ad *ver.* 171.

Ver. 171. Νήσου ἐπὶ Ψυρίης.] Νησίδιον ἐστὶ λιπαρὸν ἀπέχον σταδίους π' ἀπὸ Χίου· ἔ καὶ αἰγιαλὸν ἔχει, ἐν ᾧ ἐστὶ λιμὴν ἐκδεχόμενος ἀπὸ τοῦ Λιγαίου πελάγους παραφερομένας τὰς ναῦς· μέμνηται Δημοσθένης. *Schol.*

Ibid. —— αὐτήν.] Τὴν Χίον λέγει. *Schol.*

Ver. 172. —— πὰρ' ἠνεμόεντα Μίμαντα.] Μίμας, ὄρος ἀντικρὺ Χίου τῆς νήσου, ἀπὸ Μίμαντος υἱοῦ τῶν Γιγάντων, ἱστορεῖται. *Schol.* Μυκαλῆς δὲ τῶν Ἐφεσίων καὶ τοῦ ὑπερκειμένου, Μίμας ἐστὶν ὄρος ὑψηλὸν, εὐθηνοῦν, πολυδένδρεον. *Strabo, Geograph. Lib.* XIV.

Ver. 174. ——πέλαγος μέσον.] Τὸν τούτων μέσον ἴδιον. *Schol.*

Ibid. —— Εὔβοιαν.] Νῆσον, ἐγγὺς Ἀθηνῶν. *Schol.*

Ver. 176. ——λιγύς.] Vide ad *Il. σ*, 350.

Ἰχθυόεντα κέλευθα διέδραμον· ἐς δὲ Γεραιστὸν
Ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων
Πόλλ' ἐπὶ μῆρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες·
Τέτρατον ἦμαρ ἔην, ὅτ' ἐν Ἄργεϊ νῆας ἔἰσας
Τυδείδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
Ἔστασαν· αὐτὰρ ἔγωγε Πύλονδ' ἔχον· οὐδέ ποτ' ἔσβη
Οὖρος, ἐπειδὴ πρῶτα θεὸς προέηκεν ἄῆναι.
Ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής· οὐδέ τι οἶδα
Κείνων, οἵ τ' ἐσάωθεν Ἀχαιῶν, οἵ τ' ἀπόλοντο,
Ὅσσα δ' ἐνὶ μεγάροισι καθήμενος ἠμετέροισι
Πεύθομαι, ἦ θέμις ἐστὶ, δαήσεαι, οὐδέ σε κεύσω.
Εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν ἐγχεσιμώρους,
Οὓς ἄγ' Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός·

" Piscosas vias percurrerunt; et ad Geraestum
" Nocturnae deductae sunt: Neptuno autem taurorum
" Multa femora posuimus, pelagus magnum emensi.
" Quartus dies erat, quando in Argis naves aequales
" Tydidae socii Diomedis equùm-domitoris
" Statuêre: ego verò in Pylum cursum-tenui; nec unquam desiit
" Ventus, postquam primùm deus praemisit flare.
" Sic veni, dilecte fili, inscius; neque quicquam scio
" De illis, qui servati sint Achivorum, quique perierint,
" Quaecunque autem in aedibus sedens nostris
" Audivi, ut par est, doceberis; neque te celabo.
" Benè quidem Myrmidonas dicunt redisse hastis-exercitatos,
" Quos duxit Achillis magnanimi praeclarus filius:

Ver. 177. —— ἐς δὲ Γεραιστόν.] Γεραιστὸς, λιμὴν Εὐβοίας. *Schol.*

Ibid. —— ἐς δὲ Γεραιστὸν Ἐννύχιαι κατάγοντο.] Ἤγουν διὰ μιᾶς νυκτὸς κατέστησαν εἰς τὸν ἰδίῳ λιμένα. *Eustath.* Quod fieri non posse existimans Dna. *Dacier*; Græcos, nocte apud *Lesbum* (*ver.* 169.) consiliis agitandis traductâ, manè indè discessisse, per totam diem navigâsse, et sub sequentis noctis fine ad Geræstum appulisse conjicit. Porrò neque vox ἐννύχιος sensu, quo hic accipit *Eustathius*, usquam alibi apud Poetam usurpatur; sed semper, *noctis tempore*, sive *nocturnus*, significat. Vide ad *Il.* λ' 682. 715. et φ', 37. Neque aliter hic intellexit *Scholiastes*, qui exponit Ἐωθιναὶ, ὑπὸ νύκτα.

Ver. 179. —— μῆρ' ἔθεμεν.] *Al.* μηρί' ἔθεμεν. " Quam lectionem," inquit *Barnesius*, " sunt qui defendunt, per συνεκφώνησιν con" trahentes duas breves in unam longam." Sed nihil opus. Nam, ut rectè annotat vir idem eruditus, alibi apud Homerum occurrunt μῆε et μηρὰ. Vide infrà ad μ', 364. et ad ν'. 20. Item ad *Il.* ά, 464. et β', 427.

Ver. 180. —— νῆας ἴσας.] Vide suprà ad *ver.* 10.

Ver. 181. Τυδείδεω.] Pronuntiabatur Τευδείδου. Vide ad *Il.* ά, 1. et β', 811.

Ver. 184. Ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής.] Σημείωσαι δὲ, ὅτι ἐπίτηδες ἀναρτᾷ πανταχοῦ τοὺς Παλαιοὺς τὸν λόγον ὁ Ποιητὴς ἐπὶ Νέστορος ἵνα τὰ λοιπὰ δι' ἄλλου χωρίου δηλώσῃ. τὸ γὰρ ἐπὶ ἀνθρώπων πάντων φασὶ τῶν περὶ τὸν νόστον τὴν ἀμαυρίαν περιθεῖν, οὐ πιθανῶς ἐν μέρει δὲ δηλουμένων, ἀξιόπιστον γίνεται τὸ πᾶν. *Eustath.*

Ibid. —— φίλε τέκνον.] Ἦτοι πρὸς τὸ συμαινόμενον ἀπήντησε φίλος· τὸ γὰρ τέκνον [Ita ex *Aloysii* MS. edidit *Barnesius* pro vulgato φίλος γὰρ τὸ τέκνον] οἰκειότερον ἢ πρὸς τὸ συνώνυμον τὸ παῖς. *Schol.* Prior (ut opinor) verior accipiendi ratio. Vide infrà ad λ', 90. 91.

Ver. 188. Εὖ μὲν Μυρμιδόνας.] Οἱ νεώτεροι τὸν Νεοπτόλεμον εἰς τὴν Ἤπειρον ἐλθεῖν λέγουσι. *Schol.*

Ibid. —— ἐγχεσιμώρους.] Ἐγχεσίμωροι δὲ, ὡς καὶ ἐν Ἰλιάδι, οἱ αἰχμηταί· οἱ περὶ ἔγχη μεμορημένοι. ὅ ἐστι πεπονηθότες. *Eustath.* Vide ad *Il.* γ', 242.

Ver. 189. —— Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός.] *Neoptolemus.*

Εὖ δὲ Φιλοκτήτην, Ποιάντιον ἀγλαὸν υἱόν·
Πάντας δ' Ἰδομενεὺς Κρήτην εἰσήγαγ' ἑταίρους,
Οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔτιν' ἀπηύρα.
Ἀτρείδην δὲ καὶ αὐτοὶ ἀκούετε, νόσφιν ἐόντες,
Ὡς τ' ἦλθ', ὡς τ' Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
Ἀλλ' ἦτοι κεῖνος μὲν ἐπισμυγερῶς ἀτέτισεν·
Ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
Ἀνδρός· ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὃς οἱ πατέρα κλυτὸν ἔκτα.
Καὶ σύ, φίλος, (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε)
Ἄλκιμος ἔσσο, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
Καὶ λίην κεῖνος μὲν ἐτίσατο, καὶ οἱ Ἀχαιοὶ
Οἴσουσι κλέος εὐρὺ, καὶ ἐσσομένοισιν ἀοιδήν.
Αἲ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν παραθεῖεν
Τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
Οἵτέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται

" Benè etiam Philocteten, Poeantis illustrem filium:
" Omnes porrò Idomeneus in Cretam duxit socios,
" Qui fugerunt ex bello: pontus nempè ei nullum abstulit.
" Atridem verò et ipsi auditis, quanquam procul sitis,
" Utque venit, utque Aegisthus *ei* molitus est tristem mortem.
" Sed sanè ille quidem gravitèr luit:
" Adeò bonum, et filium interempti relictum esse
" Viri; quoniam et ille ultus est parricidam,
" Aegisthum dolosum, qui ei patrem inclytum interfecerat.
" Et tu, amice, (valdè enim te video pulchrumque magnumque)
" Fortis sis; ut aliquis tibi, et posterorum benè dicat."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est:
" O Nestor Nelide, magna gloria Achivorum,
" Et abundè ille quidem ultus est, et ei Achivi
" Deferent gloriam amplam, et posteris praeconium.
" Utinam enim mihi tantam dii vim dedissent
" Ad ulciscendos procos ob injuriam molestam,
" Qui me contumeliâ afficientes perniciosa machinantur.

Ver. 194. Ὡς τ' ἦλθ', ὡς τ' Αἴγισθος.] Vide infrà ver. 263. et γ, 521.

Ver. 195. 197. 203. 206. 316. —— ἀτίτισεν —— ἐτίσατο —— Τίσασθαι —— ἀτισάσας. Vide ad *Il.* ί, 508. et ί, 116.

Ver. 196. Ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι.] Ita *Iliad.* ξ', 484.

—— τῷ καί κέ τις ὔχεται ἀνὴρ
Γνωτὸν ἰὸν μεγάροις ἄρειον ἀλιτρὸν λιπέσθαι.

Ibid. —— καταφθιμένοιο.] Vide ad *Il* β', 43.

Ver. 197. —— κεῖνος.] *Orestes.* Vide infrà *ver.* 306. 308.

Ver. 204. —— ἐσσομένοισιν ἀοιδήν.] *Al.* ἐσσομένοισι πύθεσθαι.

Ver. 205. Αἲ γάρ.] Vide ad *Il.* ί, 22. et ά, 132.

Ibid. —— τοσσήνδε.] Vide ad *Il.* ά, 357.

Ver. 206. Τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλιγιπῆς.] Τὸ δι, " ὑπερβασίας ἀλιγινῆς," ἀντίστασις ἐστὶ· τὸ γὰρ ὀφεῖν ἦ, " Τίσασθαι μνηστῆρων ὑπερβασίαν." *Eustath.* Atqui id multò languidiùs esset dictum.

Ver. 207. Οἵτε.] *Qui scilicet.* ——

Ἀλλ' οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον,
Πατρί τ' ἐμῷ καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ὦ φίλ', ἐπειδὴ, ταῦτά μ' ἀνέμνησας καὶ ἔειπες,
Φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
Ἐν μεγάροις, ἀέκητι σέθεν, κακὰ μηχανάασθαι.
Εἰπέ μοι, ἦ ἐκὼν ὑποδάμνασαι, ἤ σέ γε λαοὶ
Ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπιστόμενοι θεοῦ ὀμφῇ;
Τίς δ' οἶδ', εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθὼν,
Ἢ ὅγε μοῦνος ἐὼν, ἢ καὶ σύμπαντες Ἀχαιοί;
Εἰ γάρ σ' ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
Ὡς τότ' Ὀδυσσῆος περικήδετο κυδαλίμοιο,
Δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί,
(Οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
Ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη.)
Εἴ σ' οὕτως ἐθέλοι φιλέειν, κήδοιτό τε θυμῷ,
Τῷ κέν τις κείνων γε καὶ ἐκπλελάθοιτο γάμοιο.

" Sed non mihi hujusmodi destinârunt dii felicitatem,
" Patrique meo et mihi; nunc autem opus-est pati omnino."
Huic autem respondit deindè Gerenius eques Nestor:
" O amice, quandoquidem haec me recordari-fecisti, et locutus es,
" Aiunt procos, tuam matrem propter, multos
" In aedibus, te invito, mala machinari.
" Dic mihi, an lubens vinceris, an te cives
" Odio-habent publicè, sequentes dei oraculum?
" Quis scit, an aliquandò eorum violentiam ulciscatur reversus,
" Sive ipse solus existens, sive et universi Achivi?
" Si enim te sic vellet amare caesia-oculis Minerva,
" Quemadmodum Ulyssis quondam supra-modum-curam-habuit gloriosi,
" Populo in Trojanorum, ubi passi sumus dolores Achivi.
" (Non enim unquam vidi usque-adeò deos manifestè amantes.
" Quemadmodum illi manifestè astitit Pallas Minerva.)
" Si te adeò vellet amare, curareque in animo,
" Tum quispiam illorum utique oblivisceretur nuptiarum."

Ver. 209. —— *νῦν δὲ χρὴ τετλάμεν ἔμπης.*] Quod sors feret, feremus æquo animo —. *Terent. Phorm. Act.* I. *Scen.* ii. *ver.* 88.

Ver. 210 et 253. —— *Γερήνιος ἱππότα Νέστωρ.*] Vide suprà ad *ver.* 68. et ad *Il. ά*, 175.

Ver. 211. —— *ἴεαι.*] *Al. ἴσαι.* Quod idem.

Ver. 217. *Ἢ ὅγε μοῦνος ἰών.*] De istius, *ὅγε*, venustate, vide suprà ad *β'*, 327. et ad *Il. γ'*, 409.

Ver. 218. 221. 223. —— *φιλέειν* —— *φιλεῦντας* —— *φιλέοι.*] Vide ad *Il. ύ*, 304.

Ver. 219. —— *περικήδετο.*] *Al. πέρι κήδετο.*

Ver. 220. *Δήμῳ ἔνι Τρώων.*] Vide suprà ad *ά*, 103.

Ver. 222. *Ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη.*] Vide ad *Il. κ'*, 278.

Ver. 223. —— *οὕτως ἰθίλοι.*] *Al. οὕτως γ' ἰθίλοι.* et *οὕτω γ' ἰθίλοι.*

Ver. 224. *Τῷ κέν τις κείνων.*] *Ἐστίον δὲ ἔνιοι τὸ, τὶς, πολλάκις οὐχ ἵνα ἀπλοῦ ἀντλῶσι, ἀλλὰ πάντας, ληφθὲν ἀντὶ τοῦ, εἴς ἕκαστος.* Οὕτως παρὰ Σοφοκλεῖ λέγουσιν οἱ χορεῦται τοῦ Σαλαμῖνος, (*Ajax*, *ver.* 245. 247.) *ὡς νῦν καιρὸς "τιν' "πόδοιν πλοτὰν ἀρίστην" ἤγουν ἄρτι καιρὸς ἡμῖν φυγεῖν λάβρα. Οὕτω κἀνταῦθα ἐκπλελάθοιτο τὶς γάμου· ἤ ἑστὸν ἕκαστος τῶν μνηστήρων. Eustath.*

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὦ γέρον, οὔπω τοῦτο ἔπος τελέεσθαι ὀΐω·
Λίην γὰρ μέγα εἶπες· ἄγῃ μ' ἔχει· οὐκ ἂν ἔμοιγε
Ἑλπομένῳ τὰ γένοιτ', οὐδ' εἰ θεοὶ ὣς ἐθέλοιεν.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.
Βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας,
Οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
Ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων
Ὤλεθ', ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.
Ἀλλ' ἦτοι θάνατον μὲν ὁμοίϊον οὐδὲ θεοί περ
Καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
Μοῖρ' ὀλοὴ καθέλῃσι ταναηλεγέος θανάτοιο.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

Hunc autem rursùs Telemachus prudens contrà allocutus est:
" O senex, nunquam hunc sermonem perfectum iri existimo:
" Nimis enim magnum dixisti; stupor me tenet; non mihi
" Speranti ea contingerent, neque si dii sic vellent."
Hunc verò rursùs allocuta est dea caesia-oculis Minerva:
" Telemache, quale tibi dictum effugit septum dentium?
" Facilè Deus, si quidem voluerit, etiam è-longinquo virum servaverit.
" Mallem verò ego etiam dolores multos passus
" Domum redire, et reditûs diem videre,
" Quàm reversus perire propriâ-in-domo; uti Agamemnon
" Periit, Aegisthi dolo et suae uxoris.
" Verùm enimverò mortem omnibus-aequè-gravem neque dii ipsi
" Etiam ab amato viro possunt arcere, quandocunque tandem
" Fatum perniciosum corripuerit longum-somnum-adferentis mortis."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est:

Ver. 227. —— οὐκ ἂν ἔμοιγε.] *Al.* οὐδ' ἂν ἔμοιγε.

Ver 230. Τηλέμαχε, ποῖον.] Edidit *Barnesius* de suo, Τηλέμαχος, ποῖον. Minùs rectè. Vide ad *Il.* ε, 51.

Ver. 231. Ῥεῖα θεὸς γ' ἐθέλων καὶ τηλόθι δύνεται ἄνδρα σαώσαι.] Ita *Æschylus*:

—— πλὴν δὲ καὶ πρόσωθεν ἂν θεὸς.
Eumenid. ver. 297.

Nec dissimiliter de Diis *Oppianus*:

Τηλόθεν ἐγγὺς ἰόντες ——.
Halieutic. Lib. II. *ver.* 8.

Ver. 236. Ἀλλ' ἦτοι θάνατον μὲν ὁμοίϊον.] Τὸν ὁμοίως ἐπὶ πᾶσιν κατὰ φύσιν ἐχόμενον. *Schol.* Ἐστέον δὲ, ὅτι ὁ Ποιητὴς πανταχοῦ τὸ Ὁμοίιον ἐπὶ τοῦ φεύγειν λαμβάνει· οἷον —— "Ἀλλά σε γῆρας τόσον ὁμοίϊον" καὶ, "Ἀλλ' "ἦτοι θάνατόν μὲν ὁμοίϊον, οὐδὲ θεοὶ περ Καὶ "φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν." *Schol.* ad *Il.* γ, 315.

Ibid. —— θάνατον μὲν —— οὐδὲ θεοὶ περ Καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν.]

Infernis neque enim tenebris Diana pudicum
Liberat Hippolytum.
Horat. Carm. lib. IV. *Od.* vii. 25.

Ver. 237. —— ἐπεύρῃ κεν δὴ Μοῖρ' ὀλοὴ καθέλῃσι ταναηλεγέος θανάτοιο.]

Stat sua cuique dies ——.
Æn. X, 467.

Ὁππότε πρῶτα θάνωμεν, ἀνάσσει δ' ὑπὸ χθονὶ πείλῳ
Εἷς ἑκάτερος· οὔ μάλα μακρὸν ἐτήσιον ἤγερτον ὕπνον.
Mosch. Idyll. III, 108.

" Stat quidem terminus nobis, ubi illum
" inexorabilis fatorum necessitas fixit."
Senec. Epist. 101.

Ibid. —— ἐπεύρῃ κεν δή.] Vide ad *Il.* ξ', 433 et 504.

Μέντορ, μηκέτι ταῦτα λεγώμεθα, κηδόμενοί περ·
Κείνῳ δ' οὐκ ἔτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
Φράσσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
Νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
Νέστορ'· ἐπεὶ περίοιδε δίκας ἠδὲ φρόνιν ἄλλων·
Τρὶς γὰρ δὴ μιν φασὶν ἀνάξασθαι γένεᾶνδρῶν·
Ὡς τέ μοι ἀθανάτοις ἐνδάλλεται εἰσοράασθαι.
Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἐνίσπε,
Πῶς ἔθαν' Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων;
Ποῦ Μενέλαος ἦν; τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
Αἴγισθος δολόμητις; ἐπεὶ κτάνε πολλὸν ἀρείω.
Ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ, ἀλλά πη ἄλλῃ

" Mentor, ne ampliùs haec disseramus, moesti licèt;
" Illi verò non ampliùs reditus verus, sed ei jam
" Moliti sunt immortales mortem fatum atrum.
" Nunc verò volo rem aliam inquirere et interrogare
" Nestorem, quoniam novit jura et prudentiam prae aliis:
" Ter enim jam ipsum dicunt imperâsse saeculis virorum,
" Adeò mihi immortalibus similis videtur aspectu.
" O Nestor Nelide, tu verò verum dic:
" Quomodo mortuus est Atrides latè imperans Agamemnon?
" Ubi Menelaus erat? Quam verò illi machinatus est mortem
" Aegisthus dolosus? quoniam occidit se multò praestantiorem.
" Annon in Argo erat Achaïco *Menelaus?* an alicubi alibi

Ver. 240. —— *μηκέτι ταῦτα λιγώμεθα.*] Vulgati habent *λιγοίμεθα. Barnesius* verò ex uno MS. et ex *Edit. Vet.* edidit *λιγώμεθα.* Quod et Homero usitatius. Vide infrà ad *ν'*, 296. item ad *Il. ν'*, 292. et *υ'*, 244. *Eustathius* tamen hìc in commentario *λιγοίμεθα* legit.

Ver. 242. —— *θάνατον καὶ κῆρα μέλαιναν.*] Vide infrà ad *υ'*, 241.

Ver. 245. *Τρὶς γὰρ δὴ μιν φασὶν ἀνάξασθαι γένεᾶνδρῶν.*]

Τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
Ἐφθίαθ', οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο
Ἐν Πύλῳ ἡγαθέῃ, μετὰ δὲ τρισὶ γίγνετο ἄνασσεν. *Iliad. ά*, 250.

Ver. 247. 248. Ὦ Νέστορ —— Πῶς ἔθαν' Ἀτρεΐδης, *&c.*] Τοῖς δὲ πρεσβύταις, κἂν μηδὲν ἡ διήγησις ᾖ πρόσφορος, πάντως οἱ ἱστοροῦντες χαρίζονται καὶ πίνουσι βουλομένοις. "Ὦ Νέστορ " Νηληϊάδη, σὺ δ' ἀληθὴς ἔνισπε, Πῶς ἔθαν' " Ἀτρεΐδης; —— Ποῦ Μενέλαος ἦν; —— Ἦ " οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ;" πολλὰ ἱστοροῦν ἅμα καὶ πολλῶν λόγων ἀφορμὰς προσλαμβάνει· οὐχ' ὅπως ἴσως, συσπλέκοντες εἰς τὸ ἀναγκαῖον αὐτὸ, καὶ συπλαύοντες τὰς ὑποκρίσεις, ἀφαιροῦνται τῆς γεροντικῆς διατριβῆς τὸ ἥδιστον. *Plutarch. Symposiac. lib.* II. *Probl.* 1. " Si verò " et senex præsens est; habes occasionem " quâ plurimum illi contulisse videaris, si " eum interroges vel quæ ad illum omninò " non pertinent: est enim huic ætati loqua- " citas familiaris. Hæc sciens Homerus, " quandam congeriem simul interrogatio- " num Nestori fecit offerri:

" Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὴς ἔνισπε·
" Πῶς ἔθαν' Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων;
" Ποῦ Μενέλαος ἦν; ——.
" Ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ;——

" Tot loquendi semina interrogando con- " gessit, ut pruritum senectutis expleret. " Et Virgilianus Æneas, gratum se ad " omnia præbens Evandro, varias illi (*Æn.* " VIII, 311.) narrandi occasiones minis- " trat. Neque enim de unà re aut alterâ " requirit,

" —— *sed singula lætus*
Exquiritque, auditque virûm monumenta " *priorum.*

" Et Evander consultationibus captus sci- " tis quàm multa narraverit." *Macrob. lib.* VII. *cap.* 2.

Ibid. —— *εὐρυκρείων.*] Vide ad *Il. ά.* 102.

Ver. 251. Ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ;] Ἀχαιοὺς γὰρ τοὺς Φθιώτας φασὶ συγκατελθόντας Πίλεῖ εἰς τὴν Πελοπόννησον, οἰκῆσαι τὴν Δακεδαίμονα· τεκμαίρεται δ' ἀριστα διηγεῖται, ὅτι

Πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δὲ θαρσήσας κατέπεφνε;
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Τοίγαρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
Ἦτοι μὲν τόδε κ' αὐτὸς ὀΐσαι, ὥς κεν ἐτύχθη·
Εἰ ζώοντ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
Ἀτρεΐδης, Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
Τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
Ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
Κείμενον ἐν πεδίῳ ἐκὰς ἄστεος· οὐδέ κέ τίς μιν
Κλαῦσεν Ἀχαιϊάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
Ἡμεῖς μὲν γὰρ πεῖθι πολέας τελέοντες ἀέθλους
Ἥμεθ'· ὁ δ' εὔκηλος μυχῷ Ἄργεος ἱπποβότοιο

" Errabat apud homines, ille verò sumpto-animo interfecit?"
Huic autem respondit deinde Gerenius eques Nestor:
" Profectò ego tibi, fili, vera omnia dicam.
" Sanè quidem hoc ipse suspicèris, quemadmodum evenerit:
" Si viventem Aegisthum in aedibus deprehendisset
" Atrides, è Trojâ profectus, flavus Menelaus;
" Sanè ei neque mortuo fusilem terram superfudissent,
" Sed certè canesque et aves comedissent
" Jacentem in campo procul ab urbe; neque ulla ipsum
" Deplorâsset Achivarum: valdè enim ingens molitus est facinus.
" Nos etenim illic [*in Trojâ*] multa obeuntes certamina,
" Sedebamus: ille verò securus in secessu Argi equos-pascentis

---

τὸν Πηλοσίτησον, ἐν πολλῶν ἤδη χρόνων Ἄργος λειφαίνει, τότε Ἀχαιῶν Ἄργος λιχῆνας· καὶ οὐ μόνον γε τὸν Πηλοσίτησον, ἀλλὰ καὶ ἰδίως τὸν Λαοσικλῆν οὕτω προσαγορεύθηναι τὸ γοῦν τῶν Πυθικῶν, " Πῶ Μενέλαος ἦν; " ——— "Ἢ οὐκ Ἄργος ἦν Ἀχαιῶν; ———" λιχνεύσαι τινὰς οὕτως· "Ἢ οὐκ ἦν ἐν τῇ Λαοσικλῆ; *Strabo, Geograph. lib.* VIII. Et paulò infrà; Τὴν γοῦν ἰσοτιμίαν τοῖς ἐπιδίοις διαστέλλοντες· τὸν μὲν Θετταλίας Πηλασγικὸν Ἄργος καλοῦν ——— τὸν δὲ Πηλοσίτησον ——— "Ἢ " οὐκ Ἄργος ἦν Ἀχαιῶν;" σημαίνουσι ἐνταῦθα, ὅτι καὶ Ἀχαιοὶ ἰδίως ὠνομάζοντο οἱ Πηλοσιτήσιοι παρ' ἄλλην σημασίαν.

Ibid. ——— Ἀχαιϊῶν.] *Al.* Ἀχαιῶν.

Ver. 258. ——— οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν.]

Ὡς οὖτοι ἀμφὶ σῶμ' ὑγρὰν θήσει πόνον.
Euripid. Phœniss. ver. 1658.

Ἔστιν [νόμος] ἐπὶ τοῖς ἱεροσύλοις καὶ προδόταις, ἂν τις ἢ τὴν τόλμαν προδιδῷ, ἢ τὰ ἱερὰ κλέπτῃ, κρίνεται ἐν δικαστηρίῳ, ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ. *Xenophon.* Ἑλληνικῶν, *lib.* I. haud longè à fine.

Ver. 259. ——— ἄμα.] *Ut cadaveribus insepultis fieri solet* ———.

Ibid. ——— πόνος τε καὶ οἰωνοὶ κατέδαψαν.]

——— canibus data præda Latinis,
Alitibusque jaces ———. *Æn.* IX, 485.

Ver. 260. ——— ἰκὰς ἄστεος.] *Al.* ἰκὰς Ἄργεος. Minùs rectè.

Ver. 262. Ἡμεῖς μὲν γάρ.] Refertur istud γὰρ non ad id quod proximè præcessit, sed ad id quod elegantèr reticetur: " *Alii res* " *aliter accidit, Nos ENIM, &c.*" Vide ad *Il.* i, 22.

Ibid. ——— πολίας.] Enuntiabatur ac si scriptum esset πολίτις.

Ver. 263. ——— ὁ δ' εὔκηλος μυχῷ Ἄργεος.] Ad hunc locum citat ex *Ovidio Spondanus*;

" Quæritur Ægisthus quare sit factus a-
" dulter?
" In promptu causa est, desidiosus erat.
" Pugnabant alii tardis apud Ilion armis,
" Quò tulerat vires Græcia tota suas.
" Sive operam bellis vellet dare, nulla
" gerebat,
" Sive foro, vacuum litibus Argos erat.
" Quod potuit, fecit; nè nil ageretur, a-
" miavit.
" Sic venit ille puer, sic puer ille manet.
[*Ovid. de Remed. Amor. ver.* 161. 168.

Ubi notandum versus 161. 164. 167. paulò alitèr, quàm hic citantur, legi.] " Hic " ergò Ægisthus, (inquit idem *Spondanus*)

Πόλλ' Ἀγαμεμνονίην ἄλοχον θέλγεσκε ἐπέεσσιν·
Ἡ δ' ἤτοι τοπρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς
Δῖα Κλυταιμνήστρη, (φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι·
Πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνὴρ, ᾧ πόλλ' ἐπέτελλεν
Ἀτρείδης, Τροίηνδε κιὼν, εἴρυσθαι ἄποιτιν.)
Ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
Δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγον ἐς νῆσον ἐρήμην,
Κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι·
Τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.

" Multùm Agamemnonìam uxorem demulcebat verbis:
" Et sanè primò quidem abnuebat facinus indignum
" Nobilis Clytæmnestra; (mente enim utebatur bonâ:
" Aderat enim et cantor vir, cui plurimùm mandabat
" Atrides, ad Trojam proficiscens, servare uxorem.)
" Sed cùm jam ipsum [*Ægisthum*] fatum deorum irretivit ut-domaretur,
" Tum verò cantorem quidem ductum in insulam desertam,
" Dereliquit avibus capturam et praedam fieri;
" Ipsam verò volens volentem duxit suam in domum.

" cùm ad bellum Trojanum non esset pro-
" fectus, proindè otiosam vitam viveret, in
" hoc impium facinus delapsus est; quod
" indicat Nestor, cùm ait; Nos quidem a-
" pud Trojam variis exercebamur certami-
" nibus et præliis, quibus omnis libidinum
" ansa præcidi solet: at hic Ægisthus nul-
" lis negotiis implicitus, facilè Clytæmnes-
" træ pudicitiam attentavit." Verùm, ut opinor, vox " ἰδυίης" non tam desidiosum *Ægisthum* indicat; sed eam potiùs habet vim; nempè *Ægistho*, absentibus Atridis, Clytæmnestræ liberè et sine metu ambiendæ copiam esse datam. Vide infrà ad ξ', 479. et ad *Il.* ά, 554.

Ibid. ——— μυχῷ Ἄργεος.] Τῷ ἰσωτάτῳ μέρει τοῦ Ἄργους. *Schol.*

——— vasto submota recessu.
Æn. VIII, 193.

Ver. 264. ——— θέλγεσκε.] Vide ad *Il.* β'. 221. et ν', 84.

Ver. 266. ——— φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι.] Ἐν μὲν οὖν τούτοις τῇ φρονήσει τὴν τοῦ σωφρονεῖν αἰτίαν ἀποδίδωσιν. *Plutarch. de audiend. Poetis.*

Ver. 267. Πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνήρ.] Τὸ γὰρ ἀρχαῖον οἱ ἀοιδοὶ φιλοσόφων τάξιν ἐσχήκεσαν. *Schol.* Σῶφρον δὲ τὸ ἦν τὸ τῶν ἀοιδῶν γένος, καὶ φιλοσόφων διάθεσιν ἐσχήκει. Ἀγαμέμνων γοῦν ὁ τὸν ἀοιδὸν καταλείπει τῇ Κλυταιμνήστρᾳ φύλακα, καὶ παραινετήρα τινά· ὃς πρῶτον μὲν ἀρετὰς γυναικῶν διερχόμενος, ἐνίσταλλε τινὰ φιλοτιμίαν εἰς παλαιαγαθίαν· εἶτα διατριβὴν παρέχων ἡδεῖαν, ἀντιπλάνα τὸν διάνουν φαύλων· ἐπινοιῶν. Διὸ Αἴγισθος οὐ πρότερον διέφθειρε τὴν γυναῖκα, πρὶν τὸν ἀοιδὸν ἀποκτεῖναι, ἐν νήσῳ ἐρήμῃ. *Athenæus, lib.* I. *cap.* 12. Καὶ Ὅμηρος δὲ τοὺς ἀοιδοὺς σωφρονιστὰς εἰρηκε, παιδάγειν τὸν τῆς Κλυταιμνήστρας φύλακα, " ——— Ὦ πόλλ' ἐπίτελλεν
" λιν Ἀτρείδης, Τροίηνδε κιὼν, εἴρυσθαι ἄποιτιν."
Τόν τε Αἴγισθον οὐ πρότερον αὐτῆς ἐπιχειρῆσαι, πρὶν ἢ " Τὸν μὲν ἀοιδὸν ἄγον ἐς νῆσον ἐρήμην,
" Κάλλιπον· τὴν δ' ἰθύνουσαν ἀνήγαγεν ὅνδε δόμονδε." *Strabo, Geograph. lib.* I.

Ver. 269. Ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι.] Tres hujus loci accipiendi rationes affert *Eustathius*. " Ἡ γὰρ λέγει, ὅτι μοῖρα ἦν θανεῖν τὸν ἀοιδόν· ἢ, ὅτι ἐχρῆν ἀποθανεῖν τὸν Αἴγισθον· ἢ, ὅτι μοῖρα ἦν, τὸν Κλυταιμνήστραν ὑπὸ τῷ Αἰγίσθῳ γενέσθαι· ὃ καὶ κρεῖττον διὰ τὸ, δαμῆναι ἀφ' οὗ καὶ ὁ γάμος γίνεται, δάμος τις ὤν. Postremam harum expositionum in versione secutus est *Barnesius*, Mihi verò secunda verior videtur explicatio; scilicet ut hoc de *Ægistho* intelligatur; tum quia hoc modo aptiùs congruet id quod sequitur, " Δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγον ———. " Τὴν δ' ἰθύνουσαν. &c." tum quia hæc mihi vocum " μοῖρα" et " δαμῆναι" magis propria videtur significatio:

Ὦ μοι ἰὼν, ὅτι μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν
Μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
Iliad. π', 433.

Ὦ φίλαι, εἰ καὶ μοῖρα πανὸ' ἀνέρι τῷδε δαμῆναι,
ζ', 421.

Ver. 271. Κάλλιπεν οἰωνοῖσιν ἕλωρ.]

Alitibus linquêre feris —. *Æn.* X, 559.

Vide et suprà ad *ver.* 259. Cæterùm no-

Πολλὰ δὲ μηρί' ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε, χρυσόν τε
Ἐντελέσας μέγα ἔργον, ὃ οὔποτε ἔλπετο θυμῷ.
Ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
Ἀτρεΐδης καὶ ἐγὼ, φίλα εἰδότες ἀλλήλοισιν·
Ἀλλ' ὅτε Σούνιον ἱερὸν ἀφικόμεθ', ἄκρον Ἀθηνῶν,
Ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνε,
Πηδάλιον μετὰ χερσὶ θοὴν νηὸς ἔχοντα,
Φρόντιν Ὀνητορίδην, ὃς ἐπαίνυτο φῦλ' ἀνθρώπων
Νῆα κυβερνῆσαι, ὁπότε στείχοιεν ἄελλαι.
Ὡς ὁ μὲν ἔνθα κατέσχε', ἐτειγόμενός περ ὁδοῖο,
Ὄφρ' ἕταρον θάπτοι, καὶ ἐπὶ κτέρεα πτερόεντα.
Ἀλλ' ὅτε δὴ καὶ κεῖνος, ἰὼν ἐπὶ οἴνοπα πόντον

" Multa autem femora adolebat deorum super sacra altaria;
" Multaque donaria suspendit, textiliaque, aurumque,
" Perfecto magno opere, quod nunquam speràsset in animo.
" Nos quidem simul navigabamus à Trojâ profecti,
" Atrides [*Menelaus*] et ego, amicè affecti invicem:
" Sed cùm ad Sunium sacrum pervenissemus, promontorium Athenarum,
" Illic gubernatorem Menelaï Phoebus Apollo
" Suis mitibus telis aggrediens occidit,
" Clavum in manibus currentis navis tenentem,
" Phrontin Onetoridem, qui vincebat genus hominum
" In nave gubernandâ, quoties ingruebant procellae.
" Sic ille quidem illic detentus est, deproperans licèt iter,
" Ut socium sepeliret, et inferias ei ferret.
" Sed quando jam et ille, profectus super obscurum pontum

---

tandum versum hunc et sequentem apud *Strabonem* (loco suprà ad *ver.* 267. citato) in unum contractos, hoc modo;

Κάλλιστε· τὸν δ' ἱλίσσεται ἀνήγαγεν ἵνδε δόμονδε.

" Sed in vet. Cod. (inquit *Casaubonus* in an-
" notationibus ad eundem *Strabonis* locum)
" locus ita legebatur ut extat apud Poetam.

Ver. 274. Πολλὰ δ' ἀγάλματ' ἀνῆψε.] Ἀγάλματα δὲ παρὰ μὲν τοῖς ἔνιοις, τὰ ἔξωθεν παρὰ τὴν Πυνύγα, πᾶν ᾧ τις ἀγάλλεται ὡς καὶ ἐν τοῖς μυθικοῖς τούτοις φασίνει. Διὸ εἴωθεν ἀγάλματα, ἐκάγει " ὑφάσματά τε, χρυσόν τε." *Eustath.* Sic infrà *ver.* 438. *hujus libri*;

——τ' ἄγαλμα θεᾶς πιχάουτο βοείης.

Et Γ, 601.

——ἀλλά σε αἰνῶς
Ἐκδὺς λαῖψα ἄγαλμα ——.

Ver. 275.——ἵλιστο.] Edidit *Barnesius* ἵλιστο, nullâ idoneâ ratione.

Ver. 278.—Εὐόσιον.] Ἀκρωτήριον τῆς Ἀττικῆς. *Schol.*

Ver. 279.——Φοῖβος Ἀπόλλων.] Vide ad *Il.* ά, 43 et 75.

Ver 280. Οἷς ἀγανοῖς βιλίεσσιν ἐποιχόμενος κατέπεφνε.] Ὅρα δὲ ὅτι καὶ ἐν τῇ Ὀδυσσείᾳ τοὺς τῶν ἀνδρῶν εὐφυΐους θανάτους Ἀπόλλωνι ἀνατίθησιν· ἐν δὲ τοῖς ἔπεσι, Ἀρτέμιδι τοὺς τῶν γυναικῶν ἁ ἐστὶν ἁλίᾳ καὶ σελήνῃ. *Eustath.* Vide ad *Il.* σ', 59. et ά, 605. 606. item infrà ad ί, 409.

Ibid.——ἀγανοῖς βιλίεσσιν.] Ita edidit *Barnesius* ex *Iliad.* ρ', 759. atque ita hìc in commentario legit *Eustathius.* *Vulgg.* ἀγανοῖσι βέλεσσιν.

Ver. 281. Πηδάλιον μετὰ χερσὶ——ἔχοντα.]

——clavumque affixus et hærens
Nusquam amittet at ——.
Æn. V, 852.

Ver. 282.——ἰκαίνυτο.] Vide ad *Il.* γ', 260.

Ver. 283.——στείχοιεν.] *Al.* στείχωσιν.

Ver. 285. 289. —— κτερίσειεν ——'Εφεσόνδε.] Vide ad *Il.* ά, 140.

Ἐν νησὶ γλαφυρῇσι, Μαλειάων ὄρος αἰπὺ
Ἶξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
Ἐφράσατο, λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε,
Κύματά τε τροφόεντα, πελώρια, ἴσα ὄρεσσιν.
Ἔνθα διατμήξας, τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
Ἦχι Κύδωνες ἔναιον, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
Ἔστι δέ τις λισσὴ, αἰπειά τε εἰς ἅλα πέτρη,
Ἐσχατιῇ Γόρτυνος, ἐν ἠεροειδέϊ πόντῳ·
Ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ
Ἐς Φαιστόν· μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.

" In navibus cavis, Malearum montem excelsum
" Pervenit currens, tum verò invisum iter latè-sonans Jupiter
" Destinavit: stridulorumque ventorum flatum immisit,
" Fluctusque tumidos, ingentes, aequales montibus.
" Illic disjunctis navibus, has quidem Cretae admovit;
" Ubi Cydones habitabant, Jardani circa fluenta.
" Est autem quaedam laevis, excelsaque in mare petra,
" Ad fines Gortynis, in obscuro ponto:
" Huc Auster ingentem fluctum ad sinistrum promontorium pellebat
" In Phaestum: parvulus autem lapis ingentem fluctum impedit.

Ver. 287. ——— *Μαλειάων ὄρος.*] Τὴν Μαλέαν λέγει, τὸ ἀκρωτήριον τῆς Λακωνικῆς. *Schol.*

Ver. 288. ——— *τότε δὴ στυγερὴν δδὸν εὐρύοπα Ζεύς.*] Ὅ ἐστιν ὁ Ἀήρ. *Eustath.*

Ibid. ——— *εὐρύοπα Ζεύς.*] Vide ad *Il. ά*, 175.

Ver. 289. ——— *λιγέων δ' ἀνέμων ἐπ' ἀϋτμένα χεῦε.*] *Eustathius* in commentario legit, λιγέων ἀνέμων ἐπ' ἀϋτμένα χεύας.

Ver. 290. *Κύματά τε τροφόεντα* ——— *ἴσα ὄρεσσιν.*]

——— insequitur cumulo præruptus aquæ mons. *Æn.* I, 108.

Ibid. ——— *τροφόεντα.*] *Al. τροφίεντα* et *τρεφίεντα.*

Ver. 291 et 300. ——— *ἐφίλασσεν.*] Vide ad *Il. ν*, 1.

Ver. 292. ——— *Κύδωνες.*] *Ἔθνος Κρήτης, καὶ Κυδωνὶς, πόλις Κρήτης, σταμὸν ἔχουσα Ἰάρδανον. Schol.*

Ver. 293. *Ἔστι δέ τις λισσή.*] *Διῖα πέτρα· ἢ κατὰ μετασχλασμὸν, ἤτοι τὴν νῦν καλουμένην παρὰ τοῖς Κρησὶ, σὺν τῷ "β," Βλίσσα. Ἔστι δὲ ἀκρωτήριον τῆς Γορτυνίας· ἔδει Κράτης σὺν τῷ "ν" γράφει Λισσίν. Schol.*

Ver. 295. *Ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ.*] " Fluctus, qui flante Aquilone maximi et crebrissimi excitantur, " simul ac ventus posuit, sternuntur et " conflaccescunt, et mox esse fluctus desinunt. At non idem fit flante Austro " vel Africo; quibus jam nihil spirantibus, " undæ tamen factæ diutiùs tument; et à " vento quidem jamdudùm tranquillæ sunt, " sed mare est etiam atque etiam undabun- " dum. ——— Id autem ipsum, quod dici- " mus, ex illis quoque Homericis versibus, " si quis non incuriosè legat, adminiculari " potest; nam de Austri flatibus ita scripsit;

" *Ἔνθα Νότος πόντοιο πλυδῶνα εἰς λάαν*
" *ὠθεῖ.*

" Contrà autem de Boreâ, quem Aquilo- " nem appellamus, alio dicit modo: (In- " frà ί, 296.)

" *Καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυ-* " *λίνδων.*

" Ab Aquilonibus enim, qui alti superni- " que sunt, fluctus excitatos quasi per pro- " na voluit dici; ab Austris autem iis, " qui humiliores sunt majori vi quàdam " propelli sursum, atque rursum subjici," *Gellius, lib.* II. *cap.* 30.

Ibid. ——— *μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ.*] Apud *Gellium*, loco jam citato, *πόντοιο πλυδῶνα εἰς λάαν ὠθεῖ. Al. περὶ σκαιόν.*

Ver. 296. ——— *Φαιστόν.*] *Ἀκρωτήριον τῆς Γορτύνης. Schol.*

Ibid. ——— *μικρὸς δὲ λίθος μέγα κῦμ' ἀποέργει.*] *Τὸ γὰρ ὑπὸ τοῦ Νότου κῦμα τὴν Φαιστὸν ἂν ἐκόλπισεν, εἰ μὴ προκείμενος ὁ λίθος ἐκώλυεν ἐντὸς μέγα γίγνεσθαι κῦμα, προσπαταγνυμένων περὶ αὐτὸν τῶν κυμάτων. Γράφεται καὶ, " Μαλέου δὲ λίθος." Μάλειον γὰρ ὀνομάζεται πρὸ τοῦ Φαιστίων λιμένος ἀκρωτήριον. Schol.*

Αἱ μὲν ἄρ' ἔνθ' ἦλθον, σπουδῇ δ' ἤλυξαν, ὄλεθρον
Ἄνδρες, ἀτὰρ νῆάς γε ποτὶ σπιλάδεσσιν ἔαξαν
Κύματ'· ἀτὰρ τὰς πέντε νέας κυανοπρῳρείους
Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
Ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων,
Ἠλᾶτο ξὺν νηυσὶν ἐπ' ἀλλοθρόους ἀνθρώπους.
Τόφρα δὲ ταῦτ' Αἴγισθος ἐμήσατο οἴκοθι λυγρὰ,
Κτείνας Ἀτρεΐδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ.
Ἑπτάετες δ' ἤνασσε πολυχρύσοιο Μυκήνης·
Τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἦλυθε δῖος Ὀρέστης
Ἄψ ἀπ' Ἀθηνάων, κατὰ δ' ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅς οἱ πατέρα κλυτὸν ἔκτα.
Ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν
Μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·

" Has quidem huc venerunt; vix autem effugerunt mortem
" Viri: at naves sanè ad saxa fregerunt
" Fluxus: caeterùm quinque naves caeruleis-proris
" Aegypto admovit ferens ventusque et unda.
" Sic ille quidem ibi plurimum victum et aurum congregans,
" Errabat cum navibus apud alterius-linguae homines.
" Interea verò ista Aegisthus molitus est domi tristia,
" Occiso Atridâ: subactus autem est populus sub illo.
" Septennio verò *is* imperavit divitibus Mycenis:
" Octavo verò *anno* ei in-perniciem venit nobilis Orestes
" Rursùs ab Athenis; occidit autem patris-interfectorem,
" Aegisthum dolosum, qui illi patrem inclytum interfecerat.
" Atque hic cùm hunc occidisset, dedit coenam-sepulchralem Argivis
" Matrisque invisae et imbellis Aegisthi:

Ver. 297. —— ἄρ'.] Non hic vacat istud ἄρ'. Sententiam enim connectit cum eo quod praecessit *ver.* 291. " —— τὰς " μὲν ἔφην ἧς."

Ver. 298. —— σπιλάδεσσιν.] Παραλίοις πέτραις, παρὰ τὸ ἐπιλῶσθαι ἢ ταῖς κατὰ θάλασσαν περιαλημέναις ὑ ἁλίγῳ ὕδατι. *Schol.*

Ver. 300. Αἰγύπτῳ ἐπέλασσε.] " Du temps " d'Homere le fleuve d'Egypte n'avoit pas " encore le nom de *Nil*, et n' étoit connu " que sous le nom d' *Egyptus*. — Ce nom " de *Nil* qui n'a pas été connu d' Homere, " l'a été d'Hesiode; et c'est un argument " qu'on peut ajouter à ceux qu'on a d' " ailleurs, pour prouver qu' Hesiode vivoit " après Homere." *Dacier.* Vide infrà ad Υ, 581.

Ver. 301. Ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον.] Καὶ γὰρ ἀκριβεῖ διατριβὴ κατίσχον αὐτὸν ὑπὸ δυσκλείας —— καὶ ἐκείνοις χρηματισμοῦ χάριν. Φησὶ γὰρ ὁ Νέστωρ, " Ὣς ὁ μὲν, ἔνθα πολὺν " βίοτον καὶ χρυσὸν ἀγείρων, Ἠλᾶτο ξὺν νηυ- " σὶ ——." *Strabo, Geograph. lib.* I.

Ver. 302. —— ἐπ' ἀλλοθρόους.] *Al.* παρ' ἀλλοθρόους.

Ver. 304. —— δέδμητο.] Vide ad *Il.* Υ, 492.

Ver. 305. —— ἤνασσε.] Vide ad *Il.* σ', 172.

Ver. 306. 415 et 441. —— ἦλυθε.] Vide suprà ad β', 262. et ad *Il.* ά, 37.

Ver. 307. Ἄψ ἀπ' Ἀθηνάων.] Ὅσων ἵκανε λύτο. *Schol.* *Al.* Αὖψ' ἀπ' Ἀθηνάων. *Al.* Ἄψ ἀπὸ Φωκήων.

Ver. 308 —— ἧς οἱ.] *Al.* ἧ οἱ.

Ver. 309. —— δαίνυ.] Quâ analogiâ ex δίδωμι fit ἰδίδουν, ἴδιδες, ἰδίδου· eâdem ex δαίνυμι fit ἰδαίνυν, ἰδαίνυς, ἴδαινυ. Vide ad *Il.* γ', 260. et *l.* 70.

Ver. 310. Μητρός τε στυγερῆς.] Φιλίδιται διὰ τοῦτον Ὀρέστου· τὸ μὲν γὰρ εὐφημότερον ἐποίησεν, ὅτι ἔθαψε τὴν μητέρα, τὸν δὲ θάνατον παρεσιώπησεν. *Schol.*

Αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Πολλὰ κτήματ' ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
Καὶ σὺ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
Κτήματά τε προλιπὼν, ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
Οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσι
Κτήματα δασσάμενοι, σὺ δὲ τηῦσίην ὁδὸν ἔλθῃς.
Ἀλλ' ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
Ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν
Ἐκ τῶν ἀνθρώπων, ὅθεν οὐκ ἔλπoιτό γε θυμῷ
Ἐλθέμεν, ὅντινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
Ἐς πέλαγος μέγα τοῖον· ὅθεν τέ περ οὐδ' οἰωνοὶ
Αὐτόθετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε, δεινόν τε·
Ἀλλ' ἴθι νῦν, σὺν νηΐ τε σῇ καὶ σοῖς ἑτάροισιν·
Εἰ δ' ἐθέλεις πεζὸς, πάρα τοι δίφρος τε καὶ ἵπποι,
Πὰρ δέ τοι υἷες ἐμοὶ, οἵ τοι πομπῆες ἔσονται
Ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.

" Eodem verò die ei supervenit bello strenuus Menelaus.
" Plurima bona ducens, quantum *scilicet* ei naves onus ferre poterant.
" Et tu, amice, ne diutiùs à domo longè erres,
" Bonisque relictis virisque in tuis aedibus
" Adeò superbis; ne tibi omnia devorent
" Bonis divisis, tu verò vanum iter feceris.
" Sed ad Menelaum quidem ego adhortor et jubeo te
" Proficisci; ille enim nuperè aliundè venit
" Ex iis hominibus, unde non speraret in animo
" Se-rediturum, quemcunque primùm abegerint procellae
" In pelagus tam vastum: unde utique nec aves
" Intra annum venire possunt, quoniam ingens, horrendumque.
" Sed ito nunc, cum nave tuâ et tuis sociis:
" Sin velis terrestri-itinere, aderit tibi currusque et equi,
" Aderunt tibi etiam filii mei, qui tibi duces erunt
" Ad Laecdaemonem nobilem, ubi flavus Menelaus.

Ver. 311. —— *βοὴν ἀγαθός.*] Vide ad *Il.* β', 408.

Ver. 316. —— *σὺ δὲ τηῦσίην ὁδὸν ἔλθῃς.*] Sic infrà *Odyss.* ι, 13.

—— *σὺ δὲ τηῦσίην ὁδὸν ἔλθῃς.*

Item *Hymnus in Apollinem, ver.* 540.

Ἠέ τι τηῦσιόν γ' ἔπος ἔσσεται, ἠέ τι ἔργον.

Et *Theocritus, Idyll.* XXV, 229.

Καὶ βάλεν ὄσσον ἰόντος ἀκοντιστῆρα λίθοιο
Τηῦσιος· οὐ γάρ τι βίλος δολιχηρὸς ἐλαθεν.

Porrò de voce Τηῦσιος ita *Mericus Casaubonus*; " Τηῦσιος vox Homerica ——— " Grammaticis non parum molestiæ crea- " vit. Fuerunt quì ἀρχαΐον alii qui βλα- " ζιερὸν, ἢ σεμνότατον exponerent. Eustath. " propriè ὑγιὲς significare vult. Sed om- " nes tamen in eo consentiunt pro μάταιον " ab Homero usurpari: Ita certè *Odyss.* γ', " et ι, sed et in *Hymno* quo Apollinem ce- " lebrat, ubi τηῦσιον opponitur τῷ ἐργῳ. " Et sanè hæc est vera et genuina verbi " significatio." *De nuperâ Homeri Editione, Dissertat.* I. Et *Scholiastes* ad hunc locum τηῦσίην exponit ματαίαν.

Ver. 317. 318. 375. —— *ἄνωγα* —— *εἰλήλουθεν* —— *ἴλωται.*] Vide ad *Il.* ά, 37. Σ', 322. et φ', 81.

Ver. 320. —— *ἀποσφήλωσιν ἄελλαι.*] Τὸ δὲ, ἀποσφήλωσιν ἄελλαι, ἀντὶ τοῦ ἀποσκλινάσωσιν ἴδιόν ἐστι γὰρ τὸ, σφάλλειν, ἰμπόδιον ἴδιόν σημαίνει. *Eustath.*

Ver. 326. —— *Λακεδαίμονα δῖαν.*] Vide infrà ad δ', 1. et ad ι, 20.

Λίσσεσθαι δέ μιν αὐτὸν, ἵνα τημερτὲς ἐνίσκῃ·
Ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ τετυμένος ἐστίν.
Ὣς ἔφατ'· ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε.
Τοῖσι δὲ καὶ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ γέρον, ἦτοι ταῦτα κατὰ μοῖραν κατέλεξας·
Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράσασθε δὲ οἶνον,
Ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισι
Σπείσαντες, κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
Ἤδη γὰρ φάος οἴχετ' ὑπὲρ ζόφον· οὐδὲ ἔοικε
Δηθὰ θεῶν ἐν δαιτὶ θαασσόμεν, ἀλλὰ νέεσθαι.
Ἦ ῥα Διὸς θυγάτηρ· τοὶ δ' ἔκλυον αὐδησάσης.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
Κοῦροι δὲ κρητῆρας ἐπιστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν

" Ora autem eum ipsum, ut vera dicat:
" Mendacium verò non dicet: valdè enim prudens est."
Sic dixit: sol autem occidit, et tenebrae advenerunt.
Inter hos verò et dixit dea caesiis-oculis Minerva:
" O senex, profectò haec rectè dixisti:
" Sed agite, secate quidem linguas, et miscete vinum,
" Ut Neptuno et aliis immortalibus
" Ubi libaverimus, lectum curemus; ejus enim hora *adest*
" Jam enim lumen ivit sub occasum; neque decet
" Diù deorum in epulo sedere, sed abire."
Dixit sanè Jovis filia; hi verò auscultârunt locutae.
Ipsis autem praecones aquam manibus infuderunt:
Juvenes verò crateras coronârunt potu;
Distribueruntque omnibus, auspicantes poculis:

Ver. 329. —— ἠέλιος δ' ἄρ' ἔδυ, καὶ ἐπὶ κνέφας ἦλθε.] Vide suprà ad β', 388.

Ver. 330. *356* et 371. —— γλαυκῶπις Ἀθήνη.] Vide suprà ad *Il.* ά, 206.

Ver. 332. Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας.]

Πανταχοῦ τῆς Ἀττικῆς, ἡ γλῶττα χοιρὶς τέτμηται. *Aristoph. Aves, ver.* 1702.

Ἔθος ἦν τετμῆσθαι πρὸς τὸ καθεύδειν, τῶν ἱερείων τὰς γλώσσας ἀποτέμνειν, καὶ καίειν τοῖς θεοῖς, τοὺς λόγους ἱστιλλωμένους· διὸ καὶ ἐπὶ μὴ τῆς Νίκτωρος θυσίας τέτμηται τὸ ἦθος· εὐθὺς γὰρ τὸ λέγειν, συντέμνει τοὺς λόγους. Λέγεται δὲ Ἀττικὸν εἶναι τὸ ἦθος, λαζόντων τὴν ἀρχὴν Ἰητῆθεν. *Schol.* Ἐστιῶν δὲ ἀπὸ τῶν δείπνων ἐκαλοῦντο, καὶ τὰς σπονδὰς ἐποιοῦντο Ἑρμῇ, καὶ αὐχ, ὡς ὕστερον, Διὶ τελείῳ· δηλοῖ γὰρ Ἑρμῆς ὕπνου προστάτης εἶναι. Σπένδουσι δ' αὐτῷ καὶ ἐπὶ ταῖς γλώσσαις ἐκ τῶν δείπνων ἀπάρχεσθαι. Περιτέμνεται δ' αὐτῷ αἱ γλῶσσαι, διὰ τὴν ἑρμηνίαν. *Athenaeus, lib.* I. *cap.* 14. Caeterùm *Athenaei* Interpres Latinus (*lib.* IV. *cap.* 4. ubi hic versus ab *Athenaeo* citatur,) aliique nonnulli istud " *τάμνετε μὲν γλώσσας*" exponunt, "*favete linguis*," sed minùs rectè; ut liquet ex sequente " Γλώσσας δ' ἐν τοῖς βάλλον ——." *Ver.* 341.

Ibid. —— κεράσσατε.] *Athenaeus, lib.* IV. *cap.* 4. citat κεράσατο.

Ver. 333. 346. —— ἀθανάτοισι —— ἀθάνατοι.] Vide ad *Il.* ά, 396.

Ver. 333. —— ἀθανάτοισι Σπείσαντες, κοίτοιο μεδώμεθα.]

Ἄλλοτε δὲ σπονδῶν θέσσαι τε ἰλάσσασθαι,
Ἠμὲν ὅτ' εἰνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἴλῃ.
Hesiod. Ἔργ. καὶ Ἡμερ. I, 335.

Ver. 335. —— οἴχετ'.] *Al.* ὄχετ'.

Ver. 339. —— κρητῆρας ἐπιστέψαντο ποτοῖο.] Vide suprà ad ά, 149. et ad *Il.* ά, 470.

Ver. 340. Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.] Vide infrà ad ή, 183.

Γλώσσας δ' ἐν πυρὶ βάλλον, ἀνιστάμενοι δ' ἐτέλειζον.
Αὐτὰρ ἐπεὶ σπείσάν, τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς
Ἄμφω ἴεσθην κοίλην ἐπὶ νῆα νέεσθαι·
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσι·
Ζεὺς τόγ' ἀλεξήσειε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε,
Ὥστε τεῦ ἢ παρὰ πάμπαν ἀνείμονος, ἠὲ πενιχροῦ,
Ὅ οὔτε χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκῳ,
Οὔτ' αὐτὸς μαλακῶς, οὔτε ξείνοισιν, ἐνεύδειν.
Αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλὰ·
Οὐ δὴν δὴ τοῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱὸς
Νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἔγωγε
Ζώω· ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται,
Ξείνους ξεινίζειν, ὅστις κ' ἐμὰ δώματ' ἵκηται.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Εὖ δὴ ταῦτά γ' ἔφησθα, γέρον φίλε· σοὶ δὲ ἔοικε
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον οὕτω.
Ἀλλ' οὗτος μὲν νῦν σοι ἅμ' ἕψεται, ὄφρα κεν εὕδῃ

Linguas autem in ignem conjecerunt, surgentesque libârunt.
Caeterùm postquam libârant, biberantque quantum desiderabat animus,
Tum verò Minerva et Telemachus deo-similis
Ambo volebant cavam ad navem redire:
Nestor autem contrà detinebat incessens verbis:
" Jupiter hoc prohibeat, et immortales dii alii,
" Ut vos à me celerem ad navem eatis,
" Tanquam ab aliquo vel prorsùs vestis-carenti, aut pauperculo,
" Cui neque laenae neque stragula multa in domo
" Quibus aut ipse mollitèr, aut hospites indormiant.
" At mihi adsunt laenae et stragula pulchra.
" Nunquam certè hujus viri Ulyssis charus filius
" Navis in tabulatis cubaverit, dum ego
" Vixero; deinde verò liberi in aedibus linquantur,
" Qui hospites excipiant, quicunque ad meam domum venerit."
Hunc autem rursùs allocuta est dea caesiis-oculis Minerva:
" Benè sanè haec dixisti, senex amice: tibi verò decet
" Telemachum parere, quoniam longè melius sic.
" Verùm ille quidem nunc te sequatur; ut dormiat

Ver. 341. Γλώσσας δ' ἐν πυρὶ βάλλον.] Vide suprà ad *ver.* 332.

Ver. 343. —— θεοειδὴς.] Vide ad *Il.* ώ, 217.

Ver. 345. —— καθαπτόμενος.] Vide suprà ad β', 39.

Ver. 348. —— ἀνείμονος.] Μὴ πεπτημένου ἱμάτια. *Schol.*

Ver. 349 et 351. —— ῥήγεα.] Ταυτὰ ἱμάτια καὶ στιβάδια· ῥῆξαι γὰρ οἱ ἀρχαῖοι [Ita ex duobus MSS. et ex *Eustathio* edidit *Barnesius*; *Vulgg.* οἱ Ἀχαιοὶ] ἔλεγον, τὸ βάψαι. *Schol.* Vide et ad *Il.* ώ, 644.

Ver. 351 et 387. —— καλά.] Similiterque infrà *ver.* 464. καλή· et *ver.* 467. καλόν. Vide ad *Il.* β', 43.

Ver. 353. Νηὸς ἐπ' ἰκριόφιν.] Ἐπὶ τῶν καταστρωμάτων καὶ σανιδωμάτων τῆς νηός. *Schol.*

Ver. 353. 365. —— καταλέξεται —— λιξαίμην.] Vide ad *Il.* β', 515.

Σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν
Εἶμ', ἵνα θαρσύνω τ' ἑτάρους, εἴπω τε ἕκαστα·
Οἵος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι·
Οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται
Πάντες ὁμηλικίῃ μεγαθύμου Τηλεμάχοιο.
Ἔνθα κε λεξαίμην ποίλῃ παρὰ νηῒ μελαίνῃ
Νῦν· ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
Εἶμ', ἔνθα χρεῖός μοι ὀφέλλεται, οὔτι νέον γε,
Οὐδ' ὀλίγον· σὺ δὲ τοῦτον, (ἐπεὶ τεὸν ἵκετο δῶμα,)
Πέμψον σὺν δίφρῳ τε καὶ υἱέϊ· δὸς δέ οἱ ἵππους,
Οἵ τοι ἐλαφρότατοι θείειν, καὶ κάρτος ἄριστοι.
Ὣς ἄρα φωνήσας ἀπέβη γλαυκῶπις Ἀθήνη,
Φήνῃ εἰδομένη· θάμβος δ' ἕλε πάντας ἰδόντας.
Θαύμαζεν δ' ὁ γεραιὸς, ὅπως ἴδεν ὀφθαλμοῖσιν·
Τηλεμάχου δ' ἕλε χεῖρα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·

" Tuis in aedibus; ego autem ad navem nigram
" Vado, ut confirmem socios praecipiamque singula;
" Solus enim inter illos senior glorior esse:
" Caeteri verò ob amicitiam juniores viri sequuntur
" Omnes aequales aetate magnanimi Telemachi.
" Illic cubaverim cavâ in navi nigrâ
" Nunc: sed manè ad Cauconas magnanimos
" Ibo, ubi debitum mihi debetur, neque sanè novum,
" Neque exiguum: tu verò hunc, (quoniam tuam venit ad domum,)
" Mitte cum curru et filio: daque ei equos,
" Qui tibi celerrimi currendo, et robore fortissimi."
Sic utique locuta abiit caesia-oculos Minerva,
Aquilae similis: stupor autem cepit omnes videntes.
Admirabatur etiam senex, ut vidit oculis;
Telemachique prehendit manum, verbumque dixit, et locutus est:

Ver. 361. ——— θαρσύνω.] Similiterque infrà *ver.* 405. πάρσυν. Vide infrà ad ζ, 31. item ad *Il.* π', 70. et ά, 338.

Ver. 366. ——— ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας.] Νῦν τῶν ἐν Ἀρκαδίᾳ μέμνηται. *Schol.* Περὶ δὲ τῶν Καυκώνων ζητοῦσι τινὲς [*Al.* φασὶν] ὅτι τῆς Ἀθηνᾶς τῆς τῷ Μίντῃ [*Al.* Μίντορι] ὁμοιωμένης, ἱστοροῦσι πρὸς Νέστορα, " Νῦν, ἀτὰρ " ὀψὲ μετὰ Καύκωνας μεγαθύμους Εἶμ', ἵνα " χρεῖός μοι ὀφέλλεται ———" δοκεῖ σημαίνεσθαι χάρα τὴν ἐν τῇ τῶν Ἐπειῶν, ἣν οἱ Καύκωνες εἶχον, ὕστερα ὄντες τῶν ἐν τῇ Τριφυλίᾳ, ἱστατέοντες καὶ μέχρι Δυμαίης τυχόν· οὗτοι δὲ τὴν Δυμὴν ὀπόθεν Καυκωνίδα εἰρῆσθαι συμβαίνει, παραλιπεῖν ἔξω, ὅτι τὸν ποταμὸν ὀπό θεν Καύκων εἴρηται, διὰ τὸ τοὺς Καύκωνας παρέχειν ζήτησιν, εἴ τινές ποτε εἰσὶν, ὅτου φησὶν ἡ Ἀθηνᾶ βαδίζειν κατὰ τὴν τοῦ χρέους πομιδήν. Εἰ γὰρ μὴ διεχείμασε τοὺς ἐν τῇ Τριφυλίᾳ λέγεται τοὺς περὶ Λέπρεον οὐκ εἰδ' ὅπως πλανὰς ἴσται ὁ λόγος· διὸ καὶ γεάφουσι τινὲς· " ——ἔνθα " χρεῖός μοι ὀφέλλεται Πλειὰδι δίῃ, Οὐκ ὀλίγον." *Strabo, Geograph. lib.* VIII. Cæterùm quod hîc addit *Scholiastes*; Οὐκέτι δὲ ἡ Ἀθηνᾶ πρὸς τὸν Μενέλαον σὺν τῷ Τηλεμάχῳ ἀφικνεῖται, διότι γάμοι ἐστιάλεῦντο υἱοῦ καὶ Θυγατρὸς Μενελάου· ἀλλοτρία δὲ τούτου ἡ Ἀθηνᾶ· id verò merum videtur commentum.

Ver. 367. ——— ὀφέλλεται.] Apud *Strabonem*, loco citato, ὀφείλεται. At *Casaubonus* in annotationibus; " *Praefero*," inquit, " *alteram lectionem* ὀφέλλεται."

Ver. 372. Φήνῃ εἰδομένη.] Φήνη. εἶδος ὀρνέου, ὅμοιον ἀετῷ. *Schol. Al.* Φήνῃ εἰδομένη·

Ver. 373. Θαύμαζεν δ' ὁ γεραιός.] Ὅτι νῦν ὄντι τῷ Τηλεμάχῳ συνηλικίᾳ ἡ Ἀθηνᾶ. *Schol.*

Ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
Εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.
Οὐ μὲν γάρ τις ὅδ' ἄλλος Ὀλύμπια δώματ' ἐχόντων,
Ἀλλὰ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
Ἣ τοι καὶ πατέρ' ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
Ἀλλὰ, Ἄνασσ', ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλὸν,
Αὐτῷ, καὶ παίδεσσι, καὶ αἰδοίῃ παρακοίτι·
Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἤνιν, εὐρυμέτωπον,
Ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
Τήν τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη.
Τοῖσιν δ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ,
Υἱάσι, καὶ γαμβροῖσιν, ἰὰ πρὸς δώματα καλά.
Ἀλλ' ὅτε δώμαθ' ἵκοντο ἀγακλυτὰ τοῖο ἄνακτος,
Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.
Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν

" O amice, haud te opinor ignavum et imbellem fore,
" Siquidem te juvenem sic dii ductores comitantur.
" Non enim quisquam hic alius coelestes domos habitantium.
" Quàm Jovis filia praedatrix Pallas,
" Quae tibi et patrem eximium inter Achivos honorabat.
" At, Regina, propitia sis: daque mihi gloriam eximiam,
" Ipsi, et filiis, et venerandae uxori:
" Tibi autem ego sacrificabo bovem anniculam, latâ-fronte,
" Indomitam, quam nondum sub jugum duxit vir.
" Hanc tibi ego sacrificabo, auro cornibus circumfuso."
Sic dixit supplicans; hunc autem audivit Pallas Minerva.
Praebat autem Gerenius eques Nestor,
Filiis et generis *suis*, suas ad aedes pulchras.
Sed postquam ad aedes venissent inclytas regis,
Ordine sedebant per sediliaque thronosque.
His verò senex ubi-advenissent craterem miscuit

Ver. 376. Εἰ δή.] *Si revera* ———.

Ver. 378. ——— ἀγελείη Τριτογένεια.] *Al.* κυδίστη Τριτογένεια.

Ver. 379. ——— ἐτίμα.] *Honorare solebat.* Vide ad *Il.* ά, 37. et β', 221.

Ver. 381. ——— παρακοίτι.] " Παρα-
" κοίτιδι, παρακοίτι, παρακοίτει, *Ultimâ* lon-
" gâ. Sic, *Odyss.* ν', *ver.* 299. Μήτι τι κλέ-
" ομαι καὶ κύδιον." *Barnesius.* Vide ad *Il.* ώ, 500.

Ver. 382. Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν.]

Ipse tibi ad tua templa feram sollemnia dona;
Et statuam ante aras auratâ fronte juvencum
Candentem, pariterque caput cum mature ferentem. *Æn.* IX, 626.

Vide et infrà ad *ver.* 457.

Ver. 382 et 384. ——— ῥέξω.] Vide ad *Il.* ά, 444.

Ver. 386. 397. 405. 417 et 474. ——— Γερήνιος ἱππότα Νέστωρ.] Vide suprà ad *ver.* 68. et ad *Il.* ά, 175.

Ver. 388. ——— ἵκοντο.] *Al.* ἵκανεν.

Ver. 389. Ἑξείης ἵζοντο κατὰ κλισμούς τε θρόνους τε.] Vide suprà ad ά, 145.

Ver. 390. Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν.] Τὸ δὲ, ἀνὰ κρητῆρα ἐκίρασεν, ἀντὶ τοῦ, ἀνεκίρασε κρητῆρα σπονδῆς. ἤτοι δὶς ἐκίρασεν· ἐκιράσθη γὰρ καὶ πρὶ βραχίων, ὅτε τὰς γλάστας ταμόντες ἔκαυσαν. *Eustath.* Cui tamen explicandi rationi haud assentior.

Οἴνου ἡδυπότοιο, τὸν ἐνδεκάτῳ ἐνιαυτῷ
Ὤιξε ταμίη, καὶ ἀπὸ κρήδεμνον ἔλυσε·
Τοῦ ὁ γέρων κρητῆρα περάσσατο· πολλὰ δ' Ἀθήνῃ
Εὔχετ' ἀποσπένδων, κούρῃ Διὸς Αἰγιόχοιο.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς, 395
Οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος·
Τὸν δ' αὐτοῦ κοίμησε Γερήνιος ἱππότα Νέστωρ
Τηλέμαχον, φίλον υἱὸν Ὀδυσσῆος θείοιο,
Τρητοῖς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἠχήεντι·
Πὰρ δ' ἄρ' ἐυμμελίην Πεισίστρατον, ὄρχαμον ἀνδρῶν, 400
Ὅς οἱ ἔτ' ἠίθεος παίδων ἦν ἐν μεγάροισιν.
Αὐτὸς δ' αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο·
Τῷ δ' ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς,

Vini dulcis, quod undecimo anno
Aperuit proma, et operculum dempsit:
Hujus senex craterem miscuit; plurimùm verò Minervae
Supplicabat libans filiae Jovis Aegiochi,
Caeterùm postquam libârant, biberantque, quantum voluit animus, 395
Alii quidem decubituri abiêrunt domum quisque:
Illic verò decumbere fecit Gerenius eques Nestor
Telemachum, charum filium Ulyssis divini,
Toruatis in lectis sub porticu sonorâ:
Juxta eum verò bellicosum Pisistratum ducem virorum, 400
Qui ei adhuc caelebs filiorum erat in aedibus.
Ipse verò dormivit in secessu domûs excelsae:
Huic verò uxor regina lectum praeparavit et cubile.
Quando autem manè-genita apparuit rosea-digitos Aurora.

Ver. 390. 393. —— κέρασσεν —— περάσσατο.] Rectè cum duplici σ, quippe à κεράννυμι deducta. Vide ad *Il.* ά, 67.

Ver. 391. Οἴνου ἡδυπότοιο.] Vide suprà ad β', 340.

Ibid. —— τὸν ἐνδεκάτῳ ἐνιαυτῷ Ὤιξε ταμίη.] Τὸ δὲ, "ἐν δεκάτῳ ἐνιαυτῷ," ἀμφίβολον εἶτι ἐν τῷ ἐνδεκάτῳ, ἵνα οὖν δεκάτιστα ἡ ἄρχουσα, ἤτοι ἐν τῷ δεκάτῳ, ἵνα ἔχῃ ψιλὴν, ὡς φέρεται· Καὶ ἴσως οὕτω κρεῖττον, καθ' ὁμοίστητα τοῦ, (*Il.* Θ', 404. 418.) "οὐδέ κεν ἐς δεκάτους ἐνιαυ- "τοὺς." *Eustath.* Mihi verò vulgata verior videtur Lectio. Quod enim ad hanc rem citat eruditus, longè aliud est; et alibi, ubi eadem phrasis à Poeta usurpatur, abest praepositio ista, "ἐν." Vide ad *Il.* μ', 15. item infrà ad *Odyss.* ε', 18. et ε', 327.

Ibid. —— σκέψασθαι ἔχει.] *Al.* σκέψεσι φέρει.

Ver. 224. Κύμασι, καὶ πολέμῳ.] Συντομῶν ῥητορικῶς ἐν δυσὶ λέξεσι τὰ πολλὰ αὐτοῦ μοχθήματα. Τὸ γὰρ, " κύμασι καὶ πολέμῳ," τὸ μὲν, τὰ περὶ Τροίαν δηλοῖ· τὸ δὲ, τὰ κατὰ θάλασσαν. *Eustath.*

—— Ὀδυσσεὺς μοχθήσας πολυμήτιος ἄλγεα πάσχων
Ἄλγεα μετρήσαντα πολυπημοσύνου ἀέθλοις.
Oppian. Halieutic. lib. I. ver. 503.

Ver. 226. —— σκιόεις.] *Al.* σκιάεις.

Ver. 231. —— ξύϊ.] Pronuntiabatur ξύι.

Ver. 236. —— ἐναρηρός.] *Al.* ἀναρηρός.

Ver. 238 et 241. —— ὅθι δένδρεα μακρὰ πεφύκει, Κλήθρη τ', &c.] Τὸν δένδρων τὰ μὲν παρυφήρα κλὰδ προσαγορεύει —— τὰ δ' εἰς ξυλείαν ἐύθετα, μακρὰ· τοῖς ἐπιθέτοις τοῖς χρήσιν διαστέλλων. Ἔνθεν, " δένδρεα μακρὰ πε- " φύκει, Κλήθρη τ', αἴγειρός τ', ἐλάτη τ' ἦν " οὐρανομήκης. *Athenaeus, lib.* I. *cap.* 19. Vide infrà ad ῥ, 114.

Αὖα πάλαι, περίκηλα, τά οἱ κλώσιεν ἐλαφρῶς.
Αὐτὰρ ἐπειδὴ δεῖξ', ὅθι δένδρεα μακρὰ πεφύκει,
Ἠ μὲν ἔβη πρὸς δῶμα Καλυψώ, δῖα θεάων.
Αὐτὰρ ὁ τάμνετο δοῦρα· θοῶς δέ οἱ ἤνυτο ἔργον·
Εἴκοσι δ' ἔκβαλε πάντα, πελέκκησεν δ' ἄρα χαλκῷ,
Ἴσσε δ' ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνε.
Τόφρα δ' ἤνεικε τέρετρα Καλυψώ, δῖα θεάων·
Τίτρηνεν δ' ἄρα πάντα, καὶ ἥρμοσεν ἀλλήλοισι·
Γόμφοισιν δ' ἄρα τήν γε καὶ ἁρμονίῃσιν ἄρηρεν.
Ὅσσον τίς τ' ἔδαφος νηὸς τορνώσεται ἀνὴρ
Φορτίδος εὐρείης, εὖ εἰδὼς τεκτοσυνάων,
Τόσσον ἐτ' εὐρεῖαν σχεδίην ποιήσατ' Ὀδυσσεύς.
Ἴκρια δὲ στήσας, ἀραρὼν θαμέσι σταμίνεσσι,

Aridae dudùm, valdè-siccae, quae ei navigarent leviter.
Caeterùm postquàm ostendisset, ubi arbores procerae crescerent,
Rediit quidem domum Calypso, nobilis dea.
At ille caedebat ligna; celeriter verò ei perficiebatur opus:
Viginti autem dejecit *arbores* omnes, dolavitque deinde ferro,
Laevigavitque scitè, et ad normam direxit.
Interea autem attulit terebras Calypso, nobilis dea:
Terebravit verò *is* omnia, et compessuit inter se.
Clavis autem eam [*ratem*] et compagibus aptavit.
Quantumque quis fundum navis fabricaverit vir
Onerariae latae, benè peritus fabrilis-artis,
In tantum latam ratem confecit Ulysses.
Tabulata verò erigens, coaptans densis trabibus,

Ver. 244. Εἴκοσι δ' ἔκβαλε πάντα.] "*Arbo-*"*res non minùs viginti dejecit.*" Vel, ut reddit *Barnesius*; "*Viginti arbores ipsas.*" Vide ad *Il.* ή, 161. ε', 373 et 470.

Ver. 245. ——— σταμῖνας.] Κανόνα, ὑπομνηματισμένα σχοινίον, ἢ τετρημένην σανίδα. *Schol.*

Ver. 247 et 248. ——— ἄρα.] *Deinceps* ——. *Ut oportebat* ———.

Ver. 248. Γόμφοισιν.] Οἷς ἁρμόζεται τὰ ξύλα πρὸς ἄλληλα· ἢ πασσάλοις· ἢ σλαυίσι ὑποσύροις· ἢ σφῆσι. *Schol.*

Ibid. —— καὶ ἁρμονίῃσιν ἄρηρεν.] Ἁρμονίαι δέ, ἅπλοι ὄντες τῇ σχιδίᾳ συνοίσουσι. Εἰκὸς δὲ ἀπὸ φυτῶν τινων γίνεσθαι, ἅ ἐν ἢν ἀναπληροῦσθαι τὴν τῶν συνεστώτων χρείαν· ἐστὶ καὶ τοιοῦτος τὸ σκαλμὸς καὶ τῆς ἁρμόττουσι. *Eustath.*

Ibid. —— ἄρηρεν.] Aut legendum hîc ἀρήρει, aut erit ἄρηρεν (quæ vox apud *Homerum* hoc tantùm in loco occurrit) ex *Aoristo* ἄρηρα vel ἄρηρον. Tempus enim *perfectum* locum hîc habere nullo modo potest. Vide ad *Il.* ά, 37. Quin et vocem hanc vel *Aoristi*, vel *Imperfecti*, vel *Temporis* ejus quod *Plusquam-perfectum* appellari solet, vim hîc habere liquet, cum ex præcedentibus ἔκβαλε, πελέκκησεν, ἔσσε, ἴθυνε, ἤνεικε, τίτρηνεν, (quæ ex τιτραίνω deducta est) ἥρμοσεν· tum ex *Scholiastis* interpretatione, qui istud ἄρηρεν exponit, ἥρμοσε.

Ver. 249. —— ἔδαφος νηός.] Τὸ κατώτατον κῦτος τῆς νηός. *Schol.*

Ver. 250. Φορτίδος.] Λίγεται δὲ φορτὶς, ἡ πρὸς ἐμπορικὸν φόρτον ναυπηγηθεῖσα. *Eustath.*

Ver. 251. —— εὐρείης.] Ita edidit *Barnesius*. Rectè, ut opinor. Vide suprà ad *ver.* 163. *Vulgg.* εὐρείην.

Ver. 252. Ἴκρια δὲ στήσας.] Ἔνταῦθα δὲ, ἴκρια δοτέον τὰ ὑγκοίλια λέγειν. *Eustath.* Vide suprà ad *ver.* 163.

Ibid. —— σταμῖνεσι.] Τοῖς ἐπιμήκεσι ξύλοις, ἃ παραρτίζεται τοῖς ἐκτὸς ἐξ ἑκατέρου τῶν μερῶν πρὸς τὸ ἐστάναι· ἢ τοῖς ὀρθοῖς ξύλοις, οἷς τὰ πλάγια ἐμπήγνυται. *Schol.*

Ver. 253. —— ἐπηγκενίδεσσι.] Ταῖς διατεταμέναις σάναι. *Schol.* Ἐπηγκενίδες δὲ, σανίδες ἐν πρώραις εἰς πρύμναν τεταμέναι καὶ ἐπηγκμέναι. *Eustath.*

Ποίει· ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα.
Ἐν δ' ἱστὸν ποίει, καὶ ἐπίκριον ἄρμενον αὐτῷ·
Πρὸς δ' ἄρα πηδάλιον ποιήσατο, ὄφρ' ἰθύνοι·
Φράξε δέ μιν ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσι,
Κύματος εἶλαρ ἔμεν· πολλὴν δ' ἐπεχεύατο ὕλην.
Τόφρα δὲ φάρε' ἔνεικε Καλυψὼ, δῖα θεάων,
Ἱστία ποιήσασθαι· ὁ δ' εὖ τεχνήσατο καὶ τά.
Ἐν δ' ὑπέρας τε, κάλους τε, πόδας τ' ἐνέδησεν ἐν αὐτῇ.
Μοχλοῖσιν δ' ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν.
Τέτρατον ἦμαρ ἦεν, καὶ τῷ τετέλεστο ἅπαντα.
Τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου δῖα Καλυψὼ,
Εἵματά τ' ἀμφιέσασα θυώδεα, καὶ λούσασα.
Ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο
Τὸν ἕτερον, ἕτερον δ' ὕδατος μέγαν· ἐν δὲ καὶ ἤια
Κωρύκῳ· ἐν δέ οἱ ὄψα τίθει μενοεικέα πολλά·

Faciebat; caeterùm longis asseribus perficiebat.
In eâ porrò malum fecit, et antennam congruentem ei:
Praeterea gubernaculum fecit, ut dirigeret:
Communivit quoque ipsam cratibus undique salignis,
Fluctuum propugnaculum ut-essent; multamque ingessit materiam.
Interea verò lintea attulit Calypso, nobilis dea,
Ad vela conficienda, ille autem benè confecit et ista.
Illigavit quoque funesque, rudentesque, pedesque in eâ.
Vectibus autem deinde eam deduxit in mare vastum.
Quartus dies erat, et ei perfecta erant omnia.
Quinto verò dimisit ab insulâ nobilissima Calypso,
Vestibusque indutum odoratis, et lavatum.
Imposuit autem ei utrem dea nigri vini
Alterum, alterum verò aquae magnum; et viatica
In perâ; imposuitque ei obsonia animo-grata multa:

Ver. 254. —— ἐπίκριον.] Τὴν πειραίαν, τὸ πλάγιον ξύλον τοῦ ἱστοῦ, ᾧ περοδίδεται τὰ ἄρμενα. *Schol.*

Ver. 256. —— ῥίπεσσι —— οἰσυΐνῃσι.] Ταῖς τῆς ἱτέας ῥάβδοις, ὅ ἐστι κλάδοις· ἢ ἀπὸ οἰσυΐνων, [*Barnesius* edidit *οἰσυῶν*,] ὅ ἐστὶν ἱματωδεῖς φυτόν. *Schol.* Ἴτεις δὲ, πλίγμα, φασὶ, παλάμου πλάτει ὡς ψίαθος. *Eustath.*

Ver. 257. —— πολλὴν δ' ἐπιχεύατο ὕλην.] *Al.* πολλὴ δ' ἐπιχύτο ὕλη. Minùs rectè.

Ver. 260. —— ὑπέρας.] Τοὺς ἐκ τοῦ ἄκρου τῆς ὀθόνης ἐξημμένους κάλους· ἢ τὰς τροχηλίας. *Schol.*

Ibid. —— κάλους.] Τὰ σχοινία, δι' ὧν ἀνάγεται καὶ κατάγεται ἡ πειραία. *Schol.*

Ibid. —— πόδας τ'.] Πόδες δὶ, τὰ κάτω δύο σχοινία, οἷς πρὸς πρῴρας καὶ στύμνην διαμέτρου τὸ ἱστίον. —— Οἱ δὲ Παλαιοὶ φράζουσι καὶ οὕτω. Πέδις πλοίου, σχοῖνι κάτωθεν συνίσχοντις τὴν ὀθόνην· ἢ οἱ μεταγωγοὶ τοῦ κέρατος· ἤ, κατὰ ἄλλους, οἷς συνίσχεται ἀπὸ πρῴρας καὶ ἀπὸ στύμνης ὁ ἱστός· ἢ τὰ ἐκατέρωθεν, φασὶ, περοδιδόμενα τοῖς ἀρμένοις σχοινία. *Eustath.*

Unà omnes fecere *pedem*—. *Æn.* V. 830.

Ver. 261. —— ἅλα δῖαν.] Vide suprà ad *ver.* 20. et ad *Il.* φ', 219.

Ver. 262. Τέτρατον ἦμαρ ἦεν.] *Clemens Alexandrinus, Strom. lib.* V. et *Eusebius, Præparat. Evangel. lib.* XIII. *cap.* 13. citant, Ἕβδομον ἦμαρ ἦεν. Verùm, ut notavit *Barnesius*, malè; nisi illi fortè, versu sequente, pro "Τῷ δ' ἄρα πέμπτῳ πέμπ'," legerint "Ὀγδοάτῳ δ' ἄρα πέμπ' ἧς."

Ver. 264. —— θυώδεα, καὶ λούσασα.] *Macrobius, Saturnal. lib.* II. *cap.* 15. sub fine, citat; θυώδια, στιγαλέοντα. Vide et suprà ad *ver.* 60.

Ver. 266. —— ἤια.] Pronuntiabatur ἴα, uti notavit *Barnesius*.

Οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε,
Γηθόσυνος δ' οὔρῳ πέτασ' ἱστία δῖος Ὀδυσσεύς·
Αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως,
Ἥμενος· οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην,
Ἄρκτον θ', ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει·

Ventum autem præmisit innocuumque placidumque.
Lætus verò vento-secundo extendit vela nobilis Ulysses:
Ipse verò gubernaculo dirigebat artificiosè,
Sedens: neque ei somnus palpebris incidebat,
Pleiadasque contemplanti, et serò occidentem Booten,
Ursamque, quam et Currum cognomento vocant,
Quæ ibidem vertitur, atque Orionem observat:

Ver. 268. Οὖρον δὲ προέηκεν.] Vide infrà ad λ', 6.

Ver. 269. —— πέτασ'.] Similiterque *ver.* 369 et 370. διοπέδας'. Vide ad *Il.* ά, 67.

Ver. 270. Αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο.]

—————— omnes [tat.
Explorat ventos, atque auribus aëra cap-
Sidera cuncta notat tacito labentia cœlo,
Arcturum, pluviasque Hyadas, geminosque Triones,
Armatumque auro circumspicit Oriona.
Æn. III, 513.

—— clavumque affixus et hærens
Nusquam amittebat, oculosque sub astra tenebat.
Æn. V, 852.

Quorum priore de loco, ita *Macrobius*: " Gubernator, qui explorat cœlum, crebrò " reflectere cervicem debet, captando de " diversis cœli regionibus securitatem se- " reni. Hoc mirè et velut coloribus Maro " pinxit. Nam quia Arcturus juxta sep- " tentrionem est, Taurus verò, in quo Hya- " des sunt, sed et Orion in regione austri " sunt; crebram cervicis reflectionem in " Palinuro sidera consulente descripsit. " *Arcturum*, inquit; ecce intuetur partem " septentrionis: deinde, *Pliadasque, Hya-* " *das*; ecce ad austrum flectitur: *geminos-* " *que Triones*; rursùs ad septentriones ver- " tit aspectum: *Armatumque auro circum-* " *spicit Oriona*; iterùm se ad austrum re- " flectit. Sed et verbo, *circumspicit*, varieta- " tem sæpè se vicissim convertentis ostendit. " Homerus gubernatorem suum semel in- " ducit intuentem Pleïadas, quæ in austra- " li regione sunt; semel Boöten et Arcton, " quæ sunt in septentrionali polo." *Saturnal. lib.* V. *cap.* 11. Ubi in transitu notandum, quod apud *Virgilium* jam legimus, " *Arcturum, pluviasque Hyadas;*" legisse *Macrobium*, " *Arcturum, Pliadasque, Hya-* " *das, &c.*" *Æn.* III, 516.

Ver. 272. —— ὀψὲ δύοντα Βοώτην, Ἄρκτον θ', &c.]

Sive est Arctophylax, sive est piger ille Bootes,
Mergetur ——————.
Ovid. Fast. lib. III. *ver.* 405.

——— pigri sarraca Bootæ.
Juvenal. Satyr. V. *ver.* 25.

——— vetito se proluit Arctos
Æquore: præcipitat pigrum formido Booten.
Claudian. de Rapt. Proserp. II, 189.

Καὶ τῶν ἄλλων δὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων, ὅτι οὐκ ἀτύπως Ὅμηρος εἶχεν, φανερόν ἐστιν ἐξ ὧν ποιοῦνται· " Πληϊάδας θ', Ὑάδας τε, τό " τε σθένος Ὠρίωνος," καὶ τὴν Ἄρκτον τὴν διὰ στρεφομένην περὶ τὸν ἀμφαῆ πόλον τὸν βόρειον, καὶ διὰ τὸ μετέωρον μὴ ἅπτεσθαι τοῦ ὁρίζοντος· ὕπνος, ἐν ᾧ ἐστὶν Ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ Ὠρίων, στρέφεται, ἐν τῇ τοῦ πόλου περιφορᾷ· καὶ τὸν βραδέως δύοντα Βοώτην, ὅτι πολυχρόνιον ποιεῖται τὴν κατάδυσιν, οὕτω συστηκὼς δίκαι, ὥστε ὀρθὸν καταφέρεσθαι, καὶ συγκαταδύεσθαι τέσσαρσι ζωδίοις, τῶν πάντων εἰς ὅλην νύκτα μεριζομένων ἐξ ζωδίων. Εἰ δὲ μὴ πάντα τὰ περὶ τῶν ἄστρων διαξεύμενα διεξῆλθεν, ὡς Ἄρατος, ἢ ἄλλος τις, οὐ χρὴ θαυμάζειν· οὐ γὰρ τοῦτο προέκειτο αὐτῷ. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 13. Vide et infrà ad *ver.* 275.

Ver. 273. —— ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν.]

Proxima sunt nobis plaustri præbentia formam
Et quæ præcipuum sidera frigus habent.
Ovid. de Ponto, lib. IV. *Eleg.* x. *ver.* 39.

Ibid. —— Ἅμαξαν.] Vide ad *Il.* ώ, 711 et 782.

Ver. 274. —— καί τ' Ὠρίωνα δοκεύει.] Vide ad *Il.* σ', 488.

Οἴη δ' ἄμμορος ἐστὶ λοετρῶν Ὠκεανοῖο. 275
Τὴν γὰρ δή μιν ἄνωγε Καλυψὼ, δῖα θεάων,
Ποντοπορευίμεναι ἐπ' ἀριστερὰ χειρὸς ἔχοντα.
Ἑπταδεκαίδεκα μὲν πλέεν ἤματα ποντοπορεύων,
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
Γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον πέλεν αὐτῷ· 280
Εἴσατο δ', ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.
Τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν κρείων Ἐνοσίχθων,
Τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ
Πόντον ἐπιπλείων· ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον·

Sola verò expers est lotionum Oceani. 275
Hanc enim eum jussit Calypso, nobilis dea,
Ponto-navigare ad sinistram manum habentem.
Septendecim quidem navigabat dies iter-faciens mari,
Decimâ-octavâ verò apparuerunt montes umbrosi
Terrae Phaeacum, quâ proximum erat illi: 280
Apparebat autem, veluti scutum in obscuro ponto.
Hunc verò ex Aethiopibus reversus potens Neptunus,
Procul ex Solymorum montibus conspexit; visus enim est ei
Super pontum navigans; ille verò iratus est ex-corde magis:

Ver. 275. Οἴη δ' ἄμμορος ἐστὶ λοετρῶν Ὠκεανοῖο.]

Arctos, Oceani metuentes aequore tingi.
Virg. Georg. I, 246.

Plëiadasque, Hyadasque, immunemque æquoris Arcton.
Ovid. Metamorph. lib. XIII, 293.

Vide suprà ad *ver.* 272. et ad *Il. σ'*, 489.

Ver. 276. —— ἄνωγε.] Postulat Temporum ratio ut vox ἄνωγε sit vel ab *Imperfecto*, vel ab *Aoristo*, ἄνωγα, non à *Perfecto*, ἄνωγα. Vide ad *Il. ά*, 37. et 3', 322.

Ver. 281. Εἴσατο δ', ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ πόντῳ.] Ἐντεῦθεν δὲ οἱ μὲν, ῥινὸν εἶναι, ὃ ἐστὶ βύρσαν· —— ἵνα λέγῃ, ὅτε ἔδοξε βλέπειν ὡς ῥινὸν Ὀδυσσεὺς, ἤγουν ἀσπίδα, ἢ βύρσαν, ἁπλῶς περὶ μέσην τὴν θάλασσαν ἐφαντασίωτο. Ἔστεροι δὲ, γράφουσιν ἰρινὸν, ὃ ἐστὶ παχεῖα ἀχερὶς συναθροισθεῖσα· τοῦτο δὲ λέγουσι ἐστὶ φυλλῶν ——. Ἀρίσταρχος δὲ ἰρινὸν γράφει αὐτὴν τὴν συναθροισθεῖσαν ὕλην· ἵνα φαίνηται τηλόθεν ἡ νῆσος, ὡσεὶ καὶ τοιαύτη τις συνοχή. Φασὶ δὲ οἱ Πελασγοὶ —— καὶ ὅτι ῥινὸν Ἰλλυριοὶ λέγουσι τὴν ἀχλύν· ἐφάνη γοῦν τῷ Ὀδυσσεῖ ὡς ἀχλὺς ἡ γῆ. *Eustath.* Vera, ut opinor, prima interpretatio, quia sæpè apud Poetam usurpatur vox ῥινὸς aut ῥινὸν, semperque istâ significatione: at vox ἰρινὸν nusquam occurrit.

Ver. 282. Τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν.]

Ecce autem Inachiis sese referebat ab Argis
Sæva Jovis conjux, aurasque invecta tenebat:
Et lætum Æneam, classemque ex æthere longè
Dardaniam Siculo prospexit ab usque Pachyno. *Æn.* VII, 286.

Ibid. —— κειρίων Ἐνοσίχθων.] Τῶν δ' ἀνιαλεῖσθαι τὸ σπεῦμα ἐντὸς τῆς γῆς, τὴν θάλασσαν αἰτίαν εἶναι νομίζουσιν, ἐμφράσσουσαν ἐνίοτε τὰς εἰς τὸ ἔξω διόδους· ἔστι δὲ, ὅτε ἀναχαιζούσαν αὐτὴν, κατειρύειν τῆς γῆς τινὰ μέρη. Καὶ τοῦτο οὖν Ὅμηρος εἰδὼς, τὴν αἰτίαν τῶν σεισμῶν τῷ Ποσειδῶνι ἀναπίθησι, " Γαιήοχον" τε αὐτὸν, καὶ " Ἐνοσίχθονα," περσαγορεύων. *Dionys. Halicarn. περὶ τῆς Ὁμήρου συνθέσεως*, § 13.

Ver. 283. Τηλόθεν ἐκ Σολύμων ὀρέων.] Σόλυμα δὲ τὰ Πισιδίας. *Schol.* " Sunt hi " populi inter Lyciam, et Pamphyliam. " Aliis Pisidæ dicti postèà feruntur." *Benedict. Annotat. in Pindar. Olymp. Ode* XIII. *ver.* 129. Vide *Strabonem, Geograph. lib.* I. *pag.* 39. 59. 60. *al.* 21. 34. item *Herodotum, lib.* I. *cap.* 173.

Ibid. —— ἴδεν.] *Al.* εἶδεν. Quod versum perimit.

Ver. 284. —— ἐσπαλίσων.] *Al.* ἐσπαλόων.

Ibid. —— ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον· Κινήσας δὲ κάρη.]

—— stetit acri fixa dolore;
Tum quassans caput, hæc effudit pectore dicta. *Æn.* VII, 291.

Κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν· 285
Ὦ πόποι, ἦ μάλα δὴ μετιδούλευσαν θεοὶ ἄλλως
Ἀμφ' Ὀδυσῆϊ, ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος·
Καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
Ἐκφυγέειν μέγα πεῖρας ὀϊζύος, ἣ μιν ἐπᾶνει·
Ἀλλ' ἔτι μέν μιν φημὶ ἄδην ἐλάφυ κακότητος. 290
Ὡς εἰπὼν, σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον,
Χερσὶ τρίαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας
Παντοίων ἀνέμων· σὺν δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαὴς, 295

Quassansque caput ad suum dixit animum: 285
" Papae, profectò jam statuerunt dii alitèr
" De Ulysse, me apud Aethiopas absente:
" Et jam Phaeacum terrae propè-est, ubi ei fatale
" Effugere magnam metam aerumnarum, quae ipsum occupant:
" Sed adhuc quidem ipsum puto abundè miseriarum subiturum." 290
Sic fatus collegit nubes, et turbavit pontum,
Manibus tridente sumpto; omnesque concitavit procellas
Omnigenorum ventorum; nubibusque operuit
Terram simul et pontum; ingruit autem à coelo nox.
Unà verò Eurusque Notusque ruit, Zephyrusque vehemens, 295

Ver. 285.——προτὶ ὃν μυθήσατο θυμόν.]
Sic adeò insistit, secumque ita corde volutat. *Æn.* IV, 555.

Ver. 286. Ὦ πόποι, ἦ μάλα δὴ μετιδούλευσαν θεοὶ ἄλλως Ἀμφ' Ὀδυσῆϊ.]
Hæc secum: Mene incepto desistere victam,
Nec posse Italiâ Teucrorum avertere regem?
Quippe vetor fatis——. *Æn.* I, 41.

Ver. 288.——γαίης σχεδόν.] *Barnesius* de suo edidit, γαίῃ σχεδόν. Nullâ idoneâ ratione.

Ver. 289.——πεῖρας.] *Al.* πεῖραρ.

Ver. 290.——φημὶ ἄδην.] *Al.* φάμ' ἄδην.

Ibid.——ἄδην ἐλάφυ κακότητος.] Κέρσει σχεῖν τῆς κακίας. *Schol.*

Οὐ λῆξω, πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο. *Iliad.* ε'. 423.

Ver. 291. Ὡς εἰπὼν, σύναγεν νεφέλας.]
Hæc ubi dicta, cavum conversâ cuspide montem
Impulit in latus; ac venti velut agmine facto,
Quâ data porta, ruunt; et terras turbine perflant.
Incubuere mari——. *Æn.* I, 85.

Porrò optimè de hoc loco observavit *Dionysius Halicarnassensis*, Poetam res verbis, grandes *grandibus*, tenues *tenuibus* pulcherrimè depingere. Χαραπτῆρις εἰσὶ τῶν λόγων, τὰ καλούμενα Πλάσματα, ᾧ τὸ μὲν, ἀδρὸν, τὸ δ', ἰσχνὸν——. Τὸ μὲν ἀδρὸν οὖν πλάσμα ἐκεῖνο ἐστὶ, τὸ καὶ σῇ τῶν λίξεων καὶ τῇ τῶν νοημάτων κατασκευῇ μεγάλας ἔχον ἐμφάσεις· οἷον ἐστὶν, "Ὡς εἰπὼν, σύναγεν νεφέλας, &c." Περὶ τῆς Ὁμήρου ποιήσεως, § 9. Vide ad *Il.* ξ', 466. Cæterùm in hâc tempestatis descriptione *Virgilium Homero* longè superiorem contendit *Scaliger, Poetic. lib.* V. *cap.* 3.

Ver. 293.——σὺν δὲ νεφέεσσι κάλυψε Γαῖαν ὁμοῦ καὶ πόντον.

Σὺν δ' ἴχυν νεφέλας τε καὶ ὄρια· πᾶσα δ' ἄωτος
Νὺξ ἐχύθη περὶ γαῖαν· ὑπήχλυεν δὲ θάλασσα. *Quintus Calaber, παραλειπομένων Ὁμηρικῶν, lib.* XIV. *v.* 460.

Eripiunt subitò nubes cœlumque diemque
Teucrorum ex oculis; ponto nox incubat atra. *Æn.* I, 92.

Involvere diem nimbi, et nox humida cœlum
Abstulit——. *Æn.* III, 198.

Olli cœruleus supra caput astitit imber,
Noctem hyememque ferens, et inhorruit unda tenebris. *Æn.* V, 11.

Ver. 295. Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε.]
Unà Eurusque Notusque ruunt, creberque procellis

Καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼ δειλός, τί νύ μοι μήκιστα γένηται;
Δείδω, μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
Ἣ μ' ἔφατ' ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Ἄλγε' ἀναπλήσειν· τάδε δὴ νῦν πάντα τελεῖται.
Οἷοισιν νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
Ζεὺς, ἐτάραξε δὲ πόντον· ἐπισπέρχουσι δ' ἄελλαι
Παντοίων ἀνέμων· νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἵ τότ' ὄλοντο

Et Borcas serenus, ingentem fluctum provolvens.
Et tunc Ulysses soluta sunt genua et charum cor:
Ingemiscensque dixit ad suum magnum animum:
" Heu me miserum, quid me tandem fiet?
" Vereor, ne jam omnia dea vera dixerit;
" Quae me dicebat in mari, priusquam in patriam terram pervenissem,
" Dolores impleturum esse: ea sanè nunc omnia perficiuntur.
" Qualibus nubibus obtegit coelum latum
" Jupiter, turbavitque mare; ingruunt verò procellae
" Omnigenorum ventorum: nunc mihi certum grave exitium.
" Ter beati Danai et quater, qui tunc perierunt.

Africus: et vastos volvunt ad littora fluctus. Æn. I, 89.

Ibid. ——ἴστιος.] *Al.* ἴστιον.

Ibid. ——δυσαής.] Δύσκριτος· ἢ ἀπὸ δυσμῶν πνέων. *Schol.*

Ver. 296. —— Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.]

Continuò venti volvunt mare; magnaque surgunt
Æquora ——————. Æn. III, 196.

Ἴστιον δὲ, ὅτι τε σᾶσι δῆλον, οἰκεῖον εἶναι ἀνέμῳ Βορρᾷ τὸ κυλίειν κῦμα, καθὰ Νότῳ τὸ ὠθεῖν. *Eustath.* Βορέης μὲν γὰρ ἀπὸ τῆς Ἄρκτου πνέων μετίωρος, " μέγα κῦμα κυ- " λίνδει." Τὴν γὰρ ἀπὸ τοῦ μεσημβρίου φορὰν ἴσῃ τὸ ταπεινότερον, ἐκ μιᾶς λίξεως ταπεινύ- λιστιν ὁ στίχος. Τοὔμπαλιν δὲ ἴσῃ τοῦ Νότου πνέοντος ἀπὸ τῶν κάτω τόπων ἰσταμένου, " Ἐνθα Νότος μέγα κῦμα κυλίνδει ῥίον " ὠθεῖ." τὴν ἀπὸ τοῦ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον ἀναπυλίει. *Heraclid. Pontic.* Similiter et *Dionysius Halicarnassensis*: Ἡσίοδος δὲ (inquit) κἀκεῖνος, [Ὅμηρος,] ὅτι Βόρειος τόλος ὑπὸ γῆν ἴσῃ μετίωρος, ὡς καθ' ἡμᾶς τοὺς ἐν τῷ κλίμασι τούτῳ κατοικοῦντας· ὁ δὲ Νότιος, ἐκ τοῦ ἐναντίου βαθύς· ὅθεν ἴσῃ μὲν τοῦ Βορείου φησὶ, " Καὶ Βορέης αἰθρηγενέτης, " μέγα κῦμα κυλίνδων" τὴν ἄνωθεν ἐμπίπτουσαν φορὰν τοῦ ἀνέμου ἐμφαίνει. Τῷ δὲ " ὠθεῖ" [supra γ', 295.] τὴν ἀπὸ τοῦ κοιλοτέρου πρὸς τὸ ἄναντες βίαν. Περὶ τῆς Ὁμήρου ποιήσεως, §. 13. Vide suprà ad γ', 295.

Ibid. ——αἰθρηγενέτης.] Αἰθρίαν καὶ εὐδίαν ποιῶν ἢ αἴθρια ποιῶν, ὅ ἐστὶ πάγυν. *Schol.* Αἰθρηγενέτην τὸν Βορέαν ἐν τοῖς ἐξῆς ἐρεῖ, ἤγουν αἴθρια ποιοῦντα κάτω τοὺς Παλαιούς· τουτέστι, ψύχος, παγετόν· ὃς καὶ νύκτα ἐτάγει πηγαλίδα, ὡς ἐν τοῖς μετὰ ταῦτά φησιν [infrà ξ, 475. 476.] ἐρεῖ ὁ Ποιητής. *Eustath.* ad *vers.* 268. hujus libri.

Ver. 297. Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα.]

Extemplò Æneæ solvuntur frigore membra. Æn. I, 96.

Ibid. et *ver.* 406. ——λύτο.] Vide ad *Il.* φ', 114 et ω, 1.

Ver. 299. ——τί νύ μοι μήκιστα γένηται;] Τίνα μοι τούτων δύναται γενέσθαι μείζονα κακά; Τινὲς δὲ διὰ τοῦ χ γράφουσιν, ἵν' ᾖ μήχιστα, ἀντὶ τοῦ, τίς μοι γένηται μηχανή; Οἱ δὲ, τί νύ; πῶς; ὡς κἀκεῖ, [*Iliad.* χ', 431.] " Τί " νυ βιόμαι;" πῶς μοι τούτων δύναται μεῖζον γενέσθαι κακά; *Schol.* Ubi *Scholiastes* videtur legisse, " τίνα μοι μήκιστα γίνηται;" Servatâ autem vulgatâ lectione, satis perspicua videtur sententia.

Ver. 302. —— ἀναπλήσειν.] *Al.* ἀναπλήσειν.

Ver. 305. —— νῦν μοι σῶς αἰπὺς ὄλιθρος.] Vide suprà ad ω, 11.

Ver. 306. Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις.]

—————— O terque quaterque beati,
Queis ante ora patrum, Trojæ sub mœnibus altis,
Contigit oppetere ——————. Æn. I, 98.

Τροίῃ ἐν εὐρείῃ, χάριν Ἀτρεΐδῃσι φέροντες.
Ὡς δὴ ἔγωγ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
Ἤματι τῷ, ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέρριψαν περὶ Πηλείωνι θανόντι.
Τῷ κ' ἔλαχον τιμήν, καί μευ κλέος ἦγον Ἀχαιοί·
Νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι.
Ὣς ἄρα μιν εἰπόντ' ἔλασεν μέγα κῦμα κατ' ἄκρης,
Δεινὸν ἐπισσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξεν.
Τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε· πηδάλιον δὲ
Ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἱστὸν ἔαξε
Δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα.
Τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ·
Τὸν δ' ἄρ' ὑπόδρυχα δῆπε πολὺν χρόνον· οὐδὲ δυνάσθη

" Trojâ in latâ, Atridis gratificantes.
" Utinam ego mortuus fuissem, et fatum obiissem,
" Die illo, quando mihi plurimi aeratas hastas
" Trojani injecerunt circa Achillem mortuum.
" Tum sortitus-essem parentalia, et meam gloriam celebrâssent Achivi:
" Nunc verò me tristi morte destinatum est perire."
Sic utique ipsum locutum pepulit ingens fluctus à vertice,
Horrendùm irruens, circumque egit ratem.
Longè verò à rate ipse excidit; clavum autem
E manibus dimisit, medium verò malum ei fregit
Horrenda commixtorum ventorum irruéns procella.
Longè autem velum et antenna inciderunt ponto:
Ipsum verò sub-aquâ detinuit longo tempore; neque potuit *is*

Similiter apud *Senecam*:

O ter quaterque prospero fato dati,
Quos hausit, &c. *Hippolyte, ver.* 691.

Item Oraculum apud *Pausaniam*:

Τριςμάκαρες κεῖνοι καὶ τετράκις ὄλβιοι ἔσονται.
Achaïca, lib. VII. *cap.* 5.

Πάντων δὲ ἄριστος Κορίνθιος παῖς αἰχμάλωτος, ὅτι ἡ πόλις ἁπάλωτο, καὶ Μόμμιος ἐκ τῶν ἐλευθέρων τοὺς ἐστηκότας γράμματα παῖδας ἐδιδασκεν ἐπίλιπτος γράψαι στίχον, ἔγραψε, "Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' "ὄλοντο." Καὶ γὰρ παῖδάς τ' ἐν τῶν Μόμμιον φασὶ, καὶ θυγατέρα, καὶ πάντας ἀφεῖναι ἐλευθέρους τὸν τῷ παιδὶ προσήκοντας. Plutarch. Symposiac. Lib. IX. *Probl.* 1.

Ibid. Τρὶς μάκαρες.] *Τῆς ὑπερβολῆς τῆς τοιαύτης συνήθους ὄντος ἐν ὕμνοις, τρισμακαρίους καὶ τρισολβίους λεγόντων. Καὶ ὁ Ποιητὴς "Τρισ-"μάκαρες Δαναοὶ ——" Καὶ (Iliad. Σ', 488.) "Ἀσπασίη, τρίλλιστος ——" Strabo, Geograph. lib.* I. *pag.* 75. *al.* 44.

Ver. 308. *Ὡς δὴ ἔγωγ' ὄφελον θανέειν.*] *Al. Καὶ δὴ ἔγωγ'.*

—— mene Iliacis occubere campis
Non potuisse? —— *Æn.* I, 101.

Ver. 309. *Ἤματι τῷ, ὅτε μοι.*]

Temporis illius; quo Graiûm murus Achilles
Procubuit ——.
Ovid. Metam. lib. XIII. *ver.* 281.

Vide suprà ad γ', 109.

Ver. 313 —— *κατ' ἄκρης.*] *Κατὰ κεφαλῆς· ἢ ἀντὶ τοῦ ὅλον· καὶ γὰρ, κατ' ἄκρας πόλιν ἁλῶναι, φαμὶν. Schol.* Vide ad *Il.* π', 548.

Ver. 314. 315. 324. 338. 343. —— *σχιδίην* —— *σχιδίης* —— *σχιδίῃ.*] Vide suprà ad *ver.* 33.

Ver. 317. *Δεινὴ μισγομένων, &c.*] Vide ad *Il.* Υ, 452 et 455.

Ver. 318. *Τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ.*]

Arma virûm, tabulæque, et Troïa gaza per undas. *Æn.* I, 123.

Ibid. —— *ἐπίκριον.*] Vide suprà ad *ver.* 254.

Αἶψα μάλ' ἀνσχεθέειν, μεγάλου ὑπὸ κύματος ὁρμῆς·
Εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ.
Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, στόματος δ' ἐξέπτυσεν ἅλμην
Πικρὴν, ἥ οἱ πολλὴ ἀπὸ κροτάφοιο κελάρυζεν.
Ἀλλ' οὐδ' ὣς σχεδίης ἐπελήθετο, τειρόμενός περ,
Ἀλλὰ μεθορμηθεὶς ἐν κύμασιν, ἐλλάβετ' αὐτῆς·
Ἐν μέσῃ δὲ κάθιζε, τέλος θανάτοιο ἀλεείνων.
Τὴν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
Ἀμπεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται·
Ὣς τὴν ἀμπέλαγος εἴνεμος φέρον ἔνθα καὶ ἔνθα.
Ἄλλοτε μέν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
Ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
Τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,

Citò admodùm emergere, magni sub fluctûs impetu:
Vestes enim gravabant, quas illi praebuerat nobilissima Calypso.
Serò verò tandem emersit, et ex ore vomuit salsuginem
Amaram, quae ei multa à capite defluebat.
Sed neque sic ratis oblitus est, tametsi afflictus,
Sed impetu-facto in fluctibus, apprehendit eam:
In medio autem sedebat, finem mortis evitans.
Hanc autem ferebat ingens fluctus per undarum-impetum huc atque illuc.
Ut verò cùm autumnalis Boreas fert spinas
Per campum, densae autem Invicem cohaerent:
Sic illam per mare venti ferebant huc atque illuc.
Interdum quidem Notus Boreae objectavit ferendum:
Interdum verò rursùs Eurus Zephyro cessit, ut persequeretur.
Hunc autem vidit Cadmi filia, pulchra-talos Ino,
Leucothea, quae antè quidem erat mortalis vocalis;

Ver. 321. 322. —— β'.] *Ut fit* ——.
Ver. 322. Ὀψὲ δὲ δή ῥ' ἀνέδυ, στόματος δ' ἐξέπτυσεν ἅλμην.]

At gravis ut fundo vix tandem redditus imo est [Menoetes:
Jam senior, madidâque fluens in veste
Summa petit scopuli, siccâque in rupe resedit,
Illum et labentem Teucri et riscre natantem;
Et salsos rident revomentem pectore fluctus. *Æn.* V, 178.

Ver. 325. —— πολλά.] *Al.* πολλόν.
Ibid. —— κελάρυζεν.] Τὸ δὲ κελαρύζειν, ἀκουστικοῦσθαι, ἤχου δηλοῦν ὑγροῦ ἡέλιμα ῥοιζοῦντος ἐν τῇ καταβάσει. *Eustath.* Vide infrà ad *i*, 394. Cæterùm Vulgati hoc in loco habent κελάρυσεν *Barnesius* autem ex *Edit. Vett.* edidit κελάρυζεν atque ita legit *Eustathius.*

Ver. 328. —— ἀκανθάς.] Vide ad *Il.* *i*, 5.
Ver. 329. 330. Ἀμπεδίον —— ἀμπέλαγος.] Ita *Barnesius.* *Vulgg.* Ἂν πεδίον —— ἂν πέλαγος. Vide ad *Il.* *ν*', 106.
Ver. 333. Τὸν δὲ ἴδεν.] *Al.* Τὸν δ' ἴδεν.
Ver. 334. —— ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα.] Ἦτοι διαζόντος δὲ τὸ συμβάντος· ἢ ἴσως οἱ ἀνθρωποι φωνήεντες πρὸ τὰ ἄλλα ζῶα. Αὐδήεσσα, (*Barnesius* edidit Πρὶν αὐδήσσα· legendum fortè Ἦ αὐδήσσα,) ἡ ἐνίγυιός φησι. *Schol.* Αὐδήεσσα δὲ, ἢ ἡ διαζόντος κατὰ τοὺς Παλαιούς, ὃ ἴσως ἀοίδιμος, διὰ τὸ ἐπ' αὐτῇ συμβάντα· ἢ ἡ ἔνδοξος, εὐγενὴς γάρ· ἢ, κατὰ Ἀριστοφάνην, ἡ χερμάδιον ἀνθρωπίνῃ φωνῇ αὔσαν γὰρ αὐδήεντες οἱ ἄνθρωποι πρὸ; διαστολὴν τῶν λοιπῶν ζώων. Γραφεται δὲ καὶ αὐδήσσα, τουτέστιν ἐνίγυιος· νύμφη γὰρ ἦν, καὶ οὐκ ἐν τῶν οὐρανίων. *Eustath.* Atque hanc posteriorem lectionem probare videtur *Barnesius*: "Quum," inquit, "neque

Νῦν δ' ἁλὸς ἐν πολλάγησσι θεῶν ἐξέμμορε τιμῆς·
Ἣ ῥ' Ὀδυσῆ' ἐλέησεν ἀλώμενον, ἄλγε' ἔχοντα·
Αἰθυίῃ δ' εἰνῢᾶϊ ποτῇ ἀνεδύσατο λίμνης·
Ἴζε δ' ἐπὶ σχεδίης πολυδέσμου, εἶπέ τε μῦθον·
Κάμμορε, τίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
Ὠδύσατ' ἐκπάγλως, ὅτι τοι πολλὰ φρονέοντι;
Οὐ μὲν δή σε καταφθίσει, μάλα περ μενεαίνων.
Ἀλλὰ μάλ' ὧδ' ἔρξαι, (δοκέεις δέ μοι οὐκ ἀπινύσσειν,)
Εἵματα ταῦτ' ἀποδὺς, σχεδίην δ' ἀνέμοισι φέρεσθαι
Κάλλιπ'· ἀτὰρ χείρεσσι νέων, ἐπιμαίεο νόστου
Γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
Τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσαι

Nunc verò maris in fluctibus deorum sortita erat honorem
Hæc Ulyssem miserata est vagantem, dolores habentem:
Mergo verò assimilata volatu emersit è gurgite;
Seditque in rate multis vinculis aptâ, et locuta est:
" Infelix, quid tibi sic Neptunus terræ quassator
" Iratus est vehementer, quod tibi mala multa struat?
" Nequaquam quidem te perdet, licèt valdè cupiens.
" Sed omninò sic fac, (videris autem mihi non desipere,)
" Vestibus istis exutis, ratem ventis ferendam
" Relinque; at manibus natans quære reditum
" Ad-terram Phæacum, ubi tibi fatale est effugere.
" Accipe autem hanc vittam, et sub pectore extendas

" Διὸς ἕδνα, αἰδῶς ἐντιέησιν, ut mox vide-
" bimus, suspicor hoc certè loco legendum,
" αἰδήσσα, quam vocem *Br. Schol.* per τὸ
" ἐνίγεως exponunt. Hæc sanè *Lectio* sem-
" per inter *Var. Lect.* numeratur, quoties
" in *Textu* αἰδήσσα legitur; et ubi de Deâ
" inferiori dicitur, ut de *Circe*, *Calypsone*,
" et hâc *Leucotheâ*, videtur ideò dici: quòd
" hæ Deæ non utique *Cœlestes* essent, verùm
" *Terrestres*, aut certè *sublunares*; quare αἰ-
" δήσσα non est hîc prorsùs nihili haben-
" da. Vox enim αἰδήσσα aequè ad Cœ-
" lestes Deas refertur; quod semel hîc mo-
" neo: est αἰδήσις, qui *humanâ voce præditus*,
" *articulatè loquitur*, ut ζ', *ver.* 125. Item
" *Canorus*, ut *Hesiod. Μουσάων*, αἵ τ' ἀνδρῶν
" πολυφραδέων κλέα, θέσπιν, αἰδήσσιν."
Ita ille. Observandum tamen, si hoc in loca legas αἰδήσσα, nequaquàm istâ ratione *Leucotheam* à Diis *Cœlestibus* distingui; uti voluisse videntur *Eustathius* et *Barnesius*; non enim eam Θεὸν αἰδήσσαν sive αἰδήσσαν hîc appellat Poeta, sed olim βρότον αἰδήσσαν sive αἰδήσσαν fuisse dicit. Quin et pro vulgatâ lectione facit versus ab ipso *Barnesio* citatus, *Odyss.* ζ', 125.

Ἦ νύ σευ ἀνδρόσσαν ὑπὲκ σχεδὸν αἰδήσσαν.

Item *Iliad.* φ', 407.

Αἰδήσσαν δ' ἴδον· Θεὰ πανάλυντος Ἥρη.

At vox αἰδήσσα nusquam apud *Homerum* occurrit. Vide infrà ad π', 156. et ρ', 449.

Ver. 335. ——— Θεῶν ἐξέμμορε τιμῆς.] *Barnesius* edidit. Θεῶν ἐξ ἔμμορε τιμῆς. Quod et præfert *Henricus Stephanus*. Sed præstat, ut opinor, vulgata lectio.

Ver. 336. Ἣ ῥ' Ὀδυσῆ' ἐλέησεν.]

Sellertique viro, Iacesæ quem fracta tenentem
Membra ratis, Semeles est miserata soror. *Ovid. Ibes*, ver. 277.

Ver. 337 et 353. Αἰθυίῃ δ' εἰνῢᾶϊ.] Αἰθυῖα δὲ, ἤτοι ἰχθὺς Σκιαινίδιον. *Schol.*

Ibid. ——— ποτῇ.] *Al.* ποτὶ.

Ver. 338. Ἴζε δ' ἐπὶ σχεδίης πολυδέσμου.] *Al.* Ἵζε δ' ἐπὶ σχεδίης, καὶ μιν πρὸς μῦθον ἔειπε.

Ver. 341. ——— καταφθίσει.] Vide ad *Il.* β', 43 et 853.

Ver. 342. ——— ἔρξαι.] *Al.* ἔρξον.

Ibid. ——— οὐκ ἀπινύσσειν.] Οὐκ ἄνευ διανοίας. *Schol.*

Ver. 346. Τῇ δὲ τόδε κρήδεμνον.] Vide ad *Il.* ξ', 219.

Ibid. ——— στέρνοιο.] *Al.* στέρνοισι.

Ἄμβροτον· οὐδέν τοι παθέειν δέος, οὐδ' ἀπολέσθαι.
Αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
Ἄψ ἀποδυσάμενος βαλέειν εἰς οἶνοπα πόντον,
Πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ἀπὸ νόσφι τραπέσθαι.
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν·
Αὐτὴ δ' ἂψ εἰς πόντον ἐδύσατο κυμαίνοντα,
Αἰθυίῃ εἰκυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
Αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγώ, μήτις μοι ὑφαίνησιν δόλον ἄλλον
Ἀθανάτων, ὅτε μὲ σχεδίης ἀποβῆναι ἀνώγει.
Ἀλλὰ μάλ' οὔπω πείσομ'· ἐπεὶ ἑκὰς ὀφθαλμοῖσι
Γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι φάτο φύξιμον εἶναι.
Ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον·
Ὄφρ' ἂν μέν κεν δούρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,
Τόφρ' αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων·
Αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ,
Νήξομ'· ἐπεὶ οὐ μέν τι πάρα προνοῆσαν ἄμεινον.

" Immortalem: haud tibi timendum nequid patiaris, aut pereas.
" At postquam manibus contigeris littus,
" Rursùs exuens projice in nigrum pontum,
" Longè à continente, ipse autem seorsùm te-avertas."
Sic utique locuta dea vittam dedit:
Ipsa verò rursùs pontum ingressa est fluctuantem,
Mergo assimilata: niger verò ipsam fluctus obtexit.
Caeterùm deliberavit patiens nobilis Ulysses,
Ingemiscensque dixit ad suum magnum animum:
" Heu mihi, nè quis mihi struat dolum alium
" Immortalium, quando me à rate discedere jubet.
" Sed omninò nondum parebo; quoniam procul oculis
" Terram ego vidi, ubi mihi dixit effugium esse.
" Sed omninò sic faciam, videtur verò mihi esse optimum;
" Quamdiu quidem ligna in compagibus cohaeserint,
" Tamdiu hic manebo et sustinebo dolores patiens:
" At postquam mihi ratem fluctus discusserit,
" Natabo; quandoquidem nihil adest prospectu melius."

Ver. 349. ——— *ἀποδυσάμενος.*] Similiterque *ver.* 350. *τραπέσθαι· ver.* 384. *Παύσασθαι·* et *ver.* 391. *ἐκαύσατο.* Vide infrà ad *ver.* 491. et ad *i*, 296.

Ver. 350. ——— *αὐτὸς δ' ἀπὸ νόσφι τραπέσθαι.*] *Αὐτὸν ἀπὸ νόσφι τραπέντα, ἵ ἐνὶν ἅμαλλιν βλίσσοντα· ὃ καὶ ποιεῖ ἐκεῖνος, κατὰ τὸ παραπήγμα, ἵν τοῖ ἐξῆς. Eustath.* At infrà *ver.* 460. ubi vittam dimittit *Ulysses*, nullam ejusmodi cæremoniam observasse memoratur.

Ver. 356. ——— *ἄλλον.*] *Al. ἄλλος. Al. αὖτι.*

Ver. 359. ——— *φύξιμον.*] *Al. φυξίμου.* Vide ad *Il. ζ*, 488.

Ver. 361. *Ὄφρ' ἂν μέν κεν.*] Legendum fortassè *Ὄφρ' ἂν μοι μέν.* Alioqui alterutra vocalarum, *ἂν*, *κεν*, omninò videtur supervacanea.

Ibid. ——— *ἁρμονίῃσιν.*] Vide suprà ad *ver.* 249.

Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ὦρσε δ' ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
Δεινόν τ', ἀργαλέον τε, κατηρεφὲς· ἤλασε δ' αὐτόν.
Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ
Καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλῃ·
Ὡς τῆς δούρατα μακρὰ διεσκέδασ'· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφ' ἑνὶ δούρατι βαῖνε, κέληθ' ὡς ἵππον ἐλαύνων·
Εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ·
Αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν.
Αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε, χεῖρε πετάσσας,
Νηχέμεναι μεμαώς· ἴδε δὲ κρείων Ἐνοσίχθων,
Κινήσας δὲ κάρη πρὸς ὃν μυθήσατο θυμόν·
Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἁλόων κατὰ πόντον,
Εἰσόκεν ἀνθρώποισι διοτρεφέεσσι μιγείης·
Ἀλλ' οὐδ' ὥς σε ἔολπα ὀνόσσεσθαι κακότητος.

Dum ille haec cogitabat in mente et in animo,
Immisit utique ingentem fluctum Neptunus terrae-quassator,
Horrendumque, gravemque, excelsum: impulit autem ipsum.
Ut verò cùm ventus vehementer-spirans palearum acervum dissipet
Aridarum, quas quidem dispergat aliàs aliò;
Sic ipsius tabulata longa dispersit; verùm Ulysses
In unum lignum conscendebat, celetem ut equum impellens;
Vestes verò exuit, quas ei praebuit nobilissima Calypso;
Statimque vittam sub pectus extendit.
Ipse autem pronus in mare cecidit, manibus extensis,
Natare paratus; vidit verò potens rex Neptunus,
Quassansque caput ad suum locutus est animum:
" Sic nunc mala plurima passus erra per mare,
" Donec hominibus Jovis-alumnis intersis:
" Sed neque sic te spero parvi-pensurum malum."

Ver. 365. *Ἕως ὁ.*] Vide ad *Il. ὁ*, 539.

Ibid. —— *κατὰ φρένα καὶ κατὰ θυμόν.*] *Al. κατὰ φρένα θεὸς Ὀδυσεύς.*

Ver. 366. *Ὦρσε δ' ἐπὶ μέγα κῦμα.*] *Barnesius* ex conjecturâ edidit *Ὦρσεν ἐπὶ·* quòd alioqui "τὸ, δὲ, παρέλκει." Sed vide ad *Il. ἁ*, 57. et *ι*, 439.

Ibid. et suprà *ver.* 339. —— *ἐνοσίχθων.*] Vide suprà ad *ver.* 282.

Ver. 367. —— *κατηρεφὲς.*] *Ὑψηλὸν, ἐστεγασμένον καὶ κατακάλυψιν αὐτὸν. Schol.*

Ver. 368. —— *ἠΐων.*] *Ἀχύρων. Schol.* Cæterùm pronuntiandum *ἤων*, duabus syllabis, monet *Barnesius*. Sed et corripi potest istud *ι* propter sequentem vocalem. Vide ad *Il. ά*, 24.

Ibid. —— *τινάξῃ.*] *Al. τινάξει.*

Ver. 371. —— *κάλῃ' ὡς ἵππον ἐλαύνων.*] *Ὡς κάλης, ὃ ἐστὶν ὁ ἄζυγος ἵππος. Schol. Κέλητα δὲ ἵππον λέγει, τὸν ἄζυγα, τὸν καταμόνας ἐλαυνόμενον. Eustath.*

Ver. 375. —— *Ἴδε δὲ κρείων Ἐνοσίχθων.*]

—— sensit Neptunus ——
—— et alto
Prospiciens, summâ placidum caput extulit undâ:
Disjectam Æneæ toto videt æquore classem. Æn. I, 129.

Ver. 376. *Κινήσας δὲ κάρη.*

Ille caput quassans ——. Æn. XII, 894

Vide et suprà ad *ver.* 284. 285.

Ver. 379. —— *ἐολπα.*] Vide ad *Il. ὁ*, 186. et *τ'*, 736.

Ibid. —— *ὀνόσσεσθαι κακότητος.*] *Ἐστὶ δὲ, ὀνόσεσθαι κακότητος, τὸ ἐξωτιλίσαι τὴν κάκωσιν. Eustath.*

Ὣς ἄρα φωνήσας, ἴμασεν καλλίτριχας ἵππους·
Ἵκετο δ' εἰς Αἰγὰς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς, ἄλλ' ἐνόησεν.
Ἥτοι τῶν ἄλλων ἀνέμων κατέδησε πελεύθους,
Παύσασθαι δ' ἐπέλευσε καὶ εὐνηθῆναι ἅπαντας·
Ὦρσε δ' ἐπὶ κραιπνὸν Βορέην, πρὸ δὲ κύματ' ἔαξεν,
Ἕως ὅγε Φαίηκεσσι φιληρέτμοισι μιγείη
Διογενὴς Ὀδυσεὺς, θάνατον καὶ κῆρας ἀλύξας.
Ἔνθα δύω νύκτας, δύο δ' ἤματα κύματι πηγῷ
Πλάζετο· πολλὰ δέ οἱ κραδίη προτιόσσετ' ὄλεθρον.
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' Ἠὼς,
Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἠδὲ γαλήνη
Ἔπλετο νηνεμίη· ὁ δ' ἄρα σχεδὸν εἴσιδε γαῖαν,
Ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς.

Sic utique locutus impulit pulchros-jubis equos; 380
Pervenitque ad Aegas, ubi ei inclytae aedes sunt.
Caeterùm Pallas, filia Jovis, aliud cogitavit;
Aliorum quidem ventorum obstruxit vias;
Quiescereque jussit, et consopitos-esse omnes:
Incitavit autem velocem Boream, fluctusque praefregit, 385
Donec ipse Phaeacibus remigii-studiosis misceretur
Inclytus Ulysses, mortem et fatum elapsus.
Hic duas noctes, duosque dies in fluctu vasto
Errabat: saepè verò ei cor praesagiebat mortem.
Sed quando jam tertiam diem comas-pulchra complevit Aurora, 390
Et tum deinde ventus quidem quievit, atque serenitas
Erat tranquilla; ipse verò deinde propè conspexit terram,
Acutè admodùm prospiciens, magno à fluctu levatus.

Ver. 381. —— Αἰγάς.] Πόλιν τῆς Ἀχαΐας· οἱ δὲ νῆσον πρὸ τῆς Εὐβοίας, ἱερὰν Ποσειδῶνος. *Schol.*

Ver. 385. Ἔπλετο δ' ἐπὶ κραιπνὸν Βορέην.] Vide suprà ad *ver.* 296.

Ibid. —— κύματ' ἔαξεν.] *Dionysius Halicarnassensis*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 13. citat κύματα ἄξειν.

Ver. 386. Ἕως ὅγε.] Similiterque infrà *ver.* 424. Ἕως ὁ ταῦτ'. Vide ad *Il.* ι, 539. *Al.* Ἕως ὅδε.

Ver. 388. —— δύο δ' ἤματα.] *Al.* δύο τ' ἤματα.

Ibid. —— κύματι πηγῷ.] Οἱ μὲν γλυκυσυγκράφοι, μέλαν καὶ ἰσχυρὸν τοῦτο δὲ γαλαναίῳ κρεῖσσον δὲ ὑφαντῷ καὶ ὑφαρπῷ καὶ ὑμεναίῳ. *Schol.*

Ver. 389. —— πολλὰ δέ οἱ κραδίη προτιόσσετ' ὄλεθρον.]

Præsentemque viris intentant omnia mortem. *Æn.* I, 91.

Ibid. — προτιόσσετ'.] Vide infrà ad ξ', 219.

Ver. 390. 392. Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ — σχεδὸν εἴσιδε γαῖαν.]

Tres adeò incertos cæcâ caligine soles
Erramus pelago, totidem sine sidere noctes. [tandem
Quarto terræ die primùm se attollere
Visi, aperire procul montes, ac volvere fumum. *Æn.* III, 203.

Tres Notus hibernas immensa per æquora noctes
Vexit me violentus aquâ; vix lumine quarto
Prospexi Italiam ——. *Æn.* VI, 355.

Ver. 391. —— γαλήνη Ἔπλετο νηνεμίη.] Τὸ ἧ, "γαλήνη ἔπλετο νηνεμίη," οὐχ ἁπλῶς φράζεται, ἀλλὰ πρὸς ἀπρίξιμον· ἔστιν γὰρ ἡ γαλήνη· ἡ μὲν, τὰ πανταχοῦ πνεύματα τὰ κύματα τίλλοντα, ὅταν αὖται γίγνωνται· ἡ δὲ, τὸ παύσασθαι τῶν ἀνέμων, ὃ νῦν γίγνεται· κύματα γὰρ ἔτι αἴρονται. *Eustath.*

Ver. 393. Ὀξὺ μάλα προϊδών.] Λείπει (ὕψει) μετωφορικῶς ἐκ τοῦ ἀπερριμένου προϊέμενος.

Ὡς δ' ὅταν ἀσπάσιος βίοτος παίδεσσι φανείη
Πατρὸς, ὃς ἐν νούσῳ κεῖται κρατερὴ ἄλγεα πάσχων,
Δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
Ἀσπάσιον δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν·
Ὡς Ὀδυσῆι ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη·
Νῆχε δ', ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι·
Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γίγνετε βοήσας,
Καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσσι θαλάσσης·
Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
Δεινὸν ἐρευγόμενον· εἴλυτο δὲ πάντ' ὀλὸς ἄχνη·
Οὐ γὰρ ἔσαν λιμένες, νηῶν ὄχοι, οὐδ' ἐπικραναί,

Ut autem cùm grata vita filiis appareat
Patri, qui in morbo decumbit ingentes dolores patiens,
Diu contabescens, infestus autem ei ingruerit deus;
Gratè verò hunc dii à morbo liberârint:
Sic Ulyssi gratè apparuit terra et sylva.
Natabat verò, nitens pedibus continentem ut-conscenderet:
Sed cùm tantum abesset, quantum scilicet audiatur vociferatus,
Tum verò sonitum audivit ad scopulos maris;
Murmurabat enim ingens fluctus ad aridam continentis
Horrendùm eructans; obducta verò erant omnia maris aspergine:
Non enim erant portus navium capaces, neque secessus;

Ὅτις δηλοῖ καὶ ὁ Ποσειδὼν τοιοῦτον γὰρ ἐστὶ καὶ τὸ, "Ὀξὺ μάλα περιδὲν, μεγάλου ὑπὸ κύματος "ἀφίη." *Strabo, Geograph. lib.* I. *pag.* 23. *al.* 12.

Prospexi Italiam, summâ sublimis ab undâ. Æn. VI, 357.

Ver. 394. —— φανείη.] *Al.* φανήη.

Ver. 396. —— ἔχραε.] Ἐπίσκηψεν, ἢ ἐστυφέρωσεν, ἢ μετὰ βλάβης ἐσπάλευσεν. *Schol.* Vide suprà ad β', 50.

Ver. 397. Ἀσπάσιον.] *Al.* Ἀσπασίως.

Ver. 398. —— Ὀδυσῆι.] *Al.* Ὀδυσεῖ. Ut infrà ε, 157.

Ver. 400. —— ἔσσον τε γίγνετε βοήσας.] Τὸ δὲ, "γίγνετε βοήσας," ἀντὶ τοῦ, ἐξέπουσαν ἐξέπουσαν ἴσα λίγγ, ὅτι βοήσας ἐγεύσθη ἂν. *Eustath.*

Ver. 401. —— δοῦπον.] Vide ad *Il.* γ, 455.

Ver. 402. Ῥόχθει γὰρ μέγα κῦμα.] Καὶ ἀδικοῦσί τι δὲ παντελῶς οἱ στοματικὰ —— περὶ χεῖμα ἐρῶντες, οἷονεὶ καὶ διλογικὰ τῶν ὑποστιγμῶν τὰ ὑπόμενα —— καὶ μεμφτικώτατα τῶν σφαγμάτων ὁ ἴχνος τοῦτο, "Ῥοχθεῖ γὰρ μέγα κῦμα στυγὶ ξερὸν ἠπείροιο." *Dionys. Halicarn.* περὶ συνθέσεως, § 16. Vide ad *Il.* β', 210. et γ', 363. Ἔχειν γὰρ ἰσότητα περίγραμμα δέοντος, τὸν τῶν κυμάτων εἰς τὰ ἔξω περιβάλλειν, συχνοῖς περικλάσεσιν ἐξαγγέλλοντα φυσικῶς. *Eustath.*

Ver. 403. —— εἴλυτο.] Τὸ δὲ, "εἴλυτο," ἢ ἐκ τοῦ εἰλύμην γίνεται· ἢ ἐκ τοῦ εἰλέω, —— ἵνα ἢ συγχεῖτο ἐκ τοῦ εἰλύετο. *Eustath.* Atque hâc ratione scribendum esset εἰλῦτο. Nescio tamen annon εἴλυτο hîc sit Plusquam-perfectum ex εἰλύω occurrit enim Perfectum εἰλυμένος, *Iliad.* σ', 522. *Odyss.* ξ', 479. *antepenultimâ* productâ. At εἰλύμην, εἴλυτο, quæ ex εἴλυμι deducantur, *secundam* omni ex analogiâ corripere debent. Vide ad *Il.* γ', 260. item ad ά, 1.

Ibid. —— ἀλὸς ἄχνη.] Τῷ λευκοτερωτάτῳ τοῦ ἀφροῦ, ἢ τῇ ἀκαθαρσίᾳ. *Schol.* Cæterùm Vulgati hîc habent ἄχνη. *Barnesius* autem restituit ἄχνῃ· uti legisse videtur *Scholiastes.* Quod et rectius: occurrit enim vox εἴλυτο alibi, sensu passivo;

—— αἰμάτῳ καὶ κονίῃσιν
Ἐν κεφαλῇ εἴλυτο δυσπαιγίῃσι ——
Iliad. φ', 639.

Porrò et MS. à *Tho. Bentleio* collatus habet ἄχνῃ.

Ver. 404. —— νηῶν ἔχοι.] Οἱ συνέχοντες τὰς ναῦς· ἢ ἐφ' ὧν ἐχούσαι καὶ ἀναπαύονται αἱ νῆες. *Schol.*

Ibid. —— οὐδ' ἐπικραναί.] Οἱ ἀνέμων κύκλωσιν ἔχοντες τόποι· ἢ αἱ ἐξοχαί, καθ' αἱ πλανῆται αἰγιαλοί. *Schol.* Τίνι διανοίᾳ κεῖνται ἐπικραναὶ λιμένες, καὶ πόθεν προσείληφε τοῖς τὸ ὄνομα; "Ἔφην οὖν, ὅτι ἰσὴν τὴν πνοὴν λίγα. [vide *Iliad.* λ', 308.] —— κυρίως οὖν ἰσῆς τῆς πνοῆς οὔσης, καὶ τοῦ ἄγοντος σημαίνοντος τὸ πλάσσειν, ἰσηγὴ λοιπὸν ἡ τῆς πνοῆς ἂν εἴη πλάσις. —— καὶ ἐπικραναὶ

Ἀλλ' ἀκταὶ προβλῆτες ἔσαν, σπιλάδες τε, πάγοι τε.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι, ἐπειδὴ γαῖαν ἀέλπτως δῶκεν ἰδέσθαι
Ζεύς, καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐπέρησα,
Ἔκβασις οὔπη φαίνεθ' ἁλὸς πολιοῖο θύραζε·
Ἔκτοσθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
Βέβρυχεν ῥόθιον, λισσὴ δ' ἀναδέδρομε πέτρη·
Ἀγχιβαθὴς δὲ θάλασσα, καὶ οὔπως ἐστὶ πόδεσσι
Στήμεναι ἀμφοτέροισι, καὶ ἐκφυγέειν πακότητα·
Μήπως μ' ἐκβαίνοντα βάλῃ λίθακι ποτὶ πέτρῃ
Κῦμα μέγ' ἀρπάξαν, μελέη δέ μοι ἔσσεται ὁρμή.
Εἰ δέ κ' ἔτι προτέρω παρανήξομαι, ἤν που ἐφεύρω
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης,
Δείδω, μή μ' ἐξαῦτις ἀναρπάξασα θύελλα
Πόντον ἐπ' ἰχθυόεντα φέρῃ, βαρέα στενάχοντα·
Ἦ ἔτι μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων

Sed littora projecta erant, scopulique, saxaque.
Et tunc Ulyssis soluta sunt genua et charum cor;
Ingemiscens verò *is* dixit ad suum magnum animum;
" Hei mihi, postquam terram insperatam dedit videre
" Jupiter, et jam has undas sulcatas penetravi;
" Egressus nusquam apparet ex mari cano foras:
" Extrà enim saxa acuta, circúmque fluctus
" Fremit impetuosus, levisque eminet petra:
" Propè autem profundum mare; et nullo modo licet pedibus
" Consistere ambobus, et effugere malum:
" Nè fortassè me egredientem jactet lapidosam ad petram
" Fluctus magnus abripiens; vanus verò mihi erit conatus.
" Sin adhuc ulteriùs praeternatabo, sicubi inveniam
" Littoraque obliqua, portusque maris;
" Vereor, nè me rursùs abripiens procella
" Pontum in piscosum ferat, graviter gementem:
" Aut etiam mihi et cetum immittat magnum deus

μὲν οὖν ῥηθήσονται τόσοι ἀλίμενοι μὲν, δυνάμενοι δὲ, διὰ τὴν ἀπὸ τῶν ἀνέμων σκέπην, διέχεσθαι ναῦς. *Porphyr. Quaest. Homeric.* 29. ipso fine.

Ver. 405. —— σπιλάδες τε, πάγοι τε.] Σπιλάδες, αἱ διεχωρισμέναι καὶ πεπαλαμέναι πέτραι ὑπὸ τῆς πλήξεως τῶν κυμάτων. Πάγοι, οἱ ὀξεῖς τόποι, αἱ περιῳδεῖς ἐξοχαὶ, ἢ εἰς ὕψος ἀνέχουσαι πέτραι, ἀνατεταμένοι τόποι. *Schol.*

Ver. 406. Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα.] Vide suprà ad *ver.* 297.

Ver. 409. —— ἐπέρησα.] Vide ad *Il.* ά, 67.

Ver. 410. Ἔκβασις.] Vide ad *Il.* ζ, 434.

Ver. 412. 423. Βέβρυχεν —— ἀναδέδρομε —— ἐδώδυσται.] Vide ad *Il.* ά, 37. et ν', 736.

Ibid. —— ῥόθιον.] Ἀπὸ τοῦ γινομένου ἦχου τὸ σημαινόμενον· ἢ ῥοίζῳ φερόμενον, καὶ ὀρμητικόν. *Schol.*

Ibid. —— λισσὴ δ' ἀναδέδρομε πέτρη.]

—— quamvis lapis omnia nudus
—— obducat —— *Virg. Ecl.* I, 48.

Ver. 415. —— ποτί.] *Barnesius* edidit πρότι· sed nihil opus. Vide ad *Il.* ά, 51.

Ver. 416. — μιλίῃ.] Vide ad *Il.* π', 336.

Ver. 418. Ἠϊόνας τε παραπλῆγας.] Παραπλῆγες δὲ ἠϊόνες, κατὰ τοὺς Παλαιοὺς, πάραλοι, πλησιάζουσαι ὑπὸ ἁλὸς· μάλιστα δὲ, αἳ μὴ ἀντιπαντίας, ἀλλ' ἐκ πλαγίων πλασσόμεναι κύμασιν· αἳ καὶ τοιοῦσι τόποι εὐλίμενοι πλαγιαζόμενοι τοῖς κύμασι. *Eustath.*

Ἐξ ἁλὸς οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη·
Οἶδα γάρ, ὥς μοι ὀδώδυσται κλυτὸς Ἐννοσίγαιος.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
Τόφρα δέ μιν μέγα κῦμα φέρεν τρηχεῖαν ἐπ' ἀκτήν.
Ἔνθ' ἀπὸ ῥινός τε δρύφθη, σύν τ' ὀστέ' ἀράχθη,
Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφοτέρῃσι δὲ χερσὶν ἐπισσύμενος λάβε πέτρης,
Τῆς ἔχετο στενάχων, εἷως μέγα κῦμα παρῆλθε.
Καὶ τὸ μὲν ὣς ὑπάλυξε· παλιρρόθιον δέ μιν αὖτις
Πλῆξεν ἐπισσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
Ὡς δ' ὅτε πουλύποδος, θαλάμης ἐξελκομένοιο,
Πρὸς κοτυληδονόφιν πυκιναὶ λάϊγγες ἔχονται·
Ὣς τοῦ πρὸς πέτρῃσι θρασειάων ἀπὸ χειρῶν
Ῥινοὶ ἀπέδρυφθεν· τὸν δὲ μέγα κῦμα κάλυψεν.
Ἔνθα κε δὴ δύστηνος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεὺς,

" Ex mari, qualia multa nutrit inclyta Amphitrite:
" Novi enim, quòd mihi infensus est inclytus Neptunus."
Dum ille haec deliberabat in mente et in animo,
Interea utique ipsum magnus aestus tulit ad asperum littus,
Ibi cutisque lacerata, simulque ossa confracta fuissent,
Nisi in mentem indidisset dea caesia-oculis Minerva:
Ambabus verò manibus irruens apprehendit petram,
Cui adhaerebat ingemiscens; donec ingens fluctus praeteriisset.
Et hunc quidem sic effugit: refluus autem *fluctus* ipsum rursùs
Percussit irruens, longéque ipsum injecit ponto.
Sicut verò cùm Polypodis, è cubili extracti,
Acetabulis multi calculi adhaerescunt:
Sic hujus ad saxa fortibus à manibus
Cutis lacerata erat; ipsum verò ingens fluctus obtexit.
Ibi jam infelix praeter fatum periisset Ulysses,

Ver. 422. —— οἷά τε.] *Qualia utique* ——.

Ver. 425. Τόφρα δέ.] Vide ad *Il.* μ', 12.

Ibid. —— τρηχεῖαν.] Vide ad *Il.* β', 633.

Ver. 426. Ἔνθ' ἀπὸ ῥινός τε δρύφθη.] *Al.* Ἔνθα κ' ἀπὸ ῥινούς τε δρύφθη. Quo modo et in commentario citat *Eustathius.*

Ibid. —— σύν τ' ὀστέ'.] *Al.* σὺν δ' ὀστέ.

Ver. 427. Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ.] Ἀλγεντος —— αὐτοῦ (Ὁμήρου) καὶ ἀναφωνοῦντος ἐπὶ τοῖς μεγάλοις πράξεσι καὶ παραλόγοις, "τῷ δ' ἆρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη," καταφρονοῦσιν, ὡς ἀδυνάτοις πράγμασι καὶ μεθύουσιν ἀπίστοις τὸν ἐκείνου λογισμὸν τῆς πραγμάτων ἀπίστου (fortè ἄπιστον, aut aliquid simile) καταστάντος. Οὐ ποιεῖ δὲ τοῦτο Ὅμηρος. ἀλλὰ τὰ μὲν εἰκότα καὶ συνήθη κατὰ λόγον παραπέμπει, τῷ ἐφ' ἡμῖν ἀποδίδωσι —— Ἐν δὲ ταῖς ἀπόροις καὶ παραδόξοις πράξεσι καὶ φοραῖς τινὸς ἐνθουσιώδους καὶ παραστάσεως δαιμονίας, οὐκ ἀναιροῦντα ποιεῖ τὸν θεὸν, ἀλλὰ κινοῦντα τὴν πραγμάτειαν· οὐδ' ἡμᾶς ἐπιχαλκόμενον, ἀλλὰ φαντασίας ἐρῶν ἀγωγούς· αἷς οὐδὲ ποιεῖ τὸν πρᾶξιν ἀκούσιον, ἀλλὰ τῷ ἑκουσίῳ δίδωσιν, ἀρχὴν, καὶ τὸ θάῤῥος καὶ τὸ ἐλπίζειν προστίθησιν. *Plutarch. in Coriolano.* Vide suprà ad ά, 88. et ad *Il.* ά, 194.

Ver. 427 et 437. —— γλαυκῶπις Ἀθήνη.] Vide ad *Il.* 206.

Ver. 432. Ὡς δ' ὅτε πουλύποδος.] Τοῦ ὀκτάποδος· εἶδος δὲ ἰχθύος ὁ ὀκτάπους. *Schol.* Οὐ κατίλιπεν δὲ (Ὅμηρος) οὐδὲ τῶν θαλασσίων ζώων ὁμοιότητας· Πολύποδος μὲν τὸ παράμονον καὶ δυσκατάστατον τῶν πτερῶν· "Ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο." *Dionys. Halicarn. περὶ τῆς Ὁμήρου ποιήσεως,* § 10.

Ver. 433. Πρὸς κοτυληδονόφιν.] Κοτυληδόνες δὲ εἰσὶν αἱ τοῦ πολύποδος πλεκτάναι. *Schol.*

Ver. 436. 441. 442. Ἔνθα κε δὴ —— Ἀλλ' ὅτε δὴ —— τῇ δή.] Vide suprà ad *ver.* 204.

Ibid. —— ὑπὲρ μόρον.] Vide suprà ad ά, 34. 35. et ad *Il.* ὑ, 336.

Εἰ μὴ ἐπιφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη·
Κύματος ἐξαναδὺς, τά τ' ἐρεύγεται ἤπειρόνδε,
Νῆχε παρὲξ ἰς γαῖαν ὀρώμενος, εἶπεν ἰφεύροι
Ἠϊόνας τε παραπλῆγας, λιμένας τε θαλάσσης·
Ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
Ἶξε νέων, τῆ δή οἱ ἐείσατο χῶρος ἄριστος,
Λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο·
Ἔγνω δὲ προρέοντα, καὶ εὔξατο ὃν κατὰ θυμόν·
Κλῦθι, ἄναξ, ὅστ' ἐσσί· πολύλλιστον δέ σ' ἱκάνω,
Φεύγων ἐκ πόντοιο Ποσειδάωνος ἐνιπάς.
Αἰδοῖος μέν τ' ἐστὶ καὶ ἀθανάτοισι θεοῖσιν,
Ἀνδρῶν ὅστις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν
Σόν τε ῥόον, σά τε γούναθ' ἱκάνω, πολλὰ μογήσας.
Ἀλλ' ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι.
Ὣς φάθ'· ὁ δ' αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα·
Πρόσθε δέ οἱ ποίησε γαλήνην, τὸν δ' ἐσάωσεν
Ἐς ποταμοῦ προχοάς· ὁ δ' ἄρ' ἄμφω γούνατ' ἔκαμψε,

Nisi prudentiam indidisset caesia-oculis Minerva:
Ex fluctu *is* ubi-emersit, quà propellitur ad littus,
Praeternabat in terram spectans, sicubi inveniret
Littoraque obliqua, portusque maris.
Sed quando jam fluvii ad ostia pulchrè-fluentis
Pervenisset natans; ibi demùm ei visus est locus optimus,
Planus absque petris, et receptus inerat à vento:
Agnovit autem profluentem, et supplicavit suo in animo:
" Audi, rex, quisquis es; exoptatissimum autem ad te venio,
" Fugiens ex ponto Neptuni minas.
" Venerabilis quidem est etiam immortalibus diis,
" Ex hominibus quicunque venerit errans, quemadmodum ego nunc
" Ad tuum fluentum, tuaque genua accedo, plurima passus.
" Sed miserere, rex; supplicem enim tibi *me* esse profiteor."
Sic ait; ille verò continuò sedavit suum fluentum, continuitque fluctum:
Et ante eum fecit tranquillitatem, ipsumque servavit
Ad fluvii ostia: ille verò deinde utrumque genu flexit

Ver. 437. Εἰ μὴ ἐπιφροσύνην δῶκε.] Vide suprà ad *ver.* 427.

Ver. 440. Ἠϊόνας τε παραπλῆγας.] Vide suprà ad *ver.* 418.

Ver. 445. —— ὅστ' ἐσσί.] *Al.* ἔστε ἐσσί. Unde fortassè legendum, conjectante *Barnesio*, ἔστις ἐσσί. Uti *Iliad.* χ', 279.

Ibid. —— πολύλλιστον δέ σ' ἱκάνω.] Vulgati habent πολύλλιστος· vertuntque, "valdè "supplex autem ad te venio." *Barnesius* autem ex Scholiis MSS. *Aluysii* edidit πολύλλιστον. redditque, "*exoptatissimum enim ad te* "*venio.*" Quod et (ut opinor) rectius. Isto enim sensu planè usurpatur vox πρίλλιστος, *Iliad.* Σ', 488. " —— αἰνὰς Ἀχαιοὶς Ἀσπασίη, πρίλλιστος ἐπήλυθε νηῒ ἰριζωνῷ." Eodemque sensu vocem πολύλλιστος hoc in loco accepisse videntur Scholia vulgata, quæ exponunt πολυλιτάνευτος.

Ver. 451. —— ὁ δ' αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα.]

Et mutata suos requierunt flumina cursus.
Virg. Ecl. VIII, 4.

Tybris eâ fluvium, quàm longa est, nocte tumentem
Leniit; et tacitâ refluens ita substitit undâ.
Æn. VIII, 86.

Ver. 453. Ἐς ποταμοῦ προχοάς.] Τὰ εἰς θάλασσαν τῶν ποταμῶν στόματα, τὰς περιόσεις. *Schol.*

Ibid. —— ὁ δ' ἄρ' ἄμφω γούνατ' ἔκαμψε,

Χεῖράς τε στιβαρὰς· ἁλὶ γὰρ δέδμητο φίλον κῆρ.
Ὠδεῖ δὲ χρόα πάντα· θάλασσα δὲ πόντια πολλὰ
Ἂν στόμα τε, ῥῖνάς τε· ὁ δ' ἄπνευστος καὶ ἄναυδος
Κεῖτ' ὀλιγηπελέων· κάματος δέ μιν εἶνὸς ἵκανεν.
Ἀλλ' ὅτε δὴ ῥ' ἄμπνυτο καὶ εἰς φρένα θυμὸς ἀγέρθη,
Καὶ τότε δὴ κρήδεμνον ἀπὸ ῥα λῦσε θεαίο·
Καὶ τὸ μὲν εἰς ποταμὸν ἁλμυρήεντα μεθῆκεν
Ἀψ δ' ἔφερεν μέγα κῦμα κατὰ ῥόον· αἶψα δ' ἄρ' Ἰνὼ
Δέξατο χερσὶ φίλῃσιν· ὁ δ' ἐκ ποταμοῖο λιασθεὶς
Σχοίνῳ ὑπεκλίνθη, κύσε δὲ ζείδωρον ἄρουραν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼ, τί πάθω; τί νύ μοι μήσεται γένηται;
Εἰ μέν κ' ἐν ποταμῷ δυσπηδέα νύκτα φυλάξω,
Μή μ' ἄμυδις στίβη τε κακὴ καὶ δῆλυς ἐέρση,

Manusque fortes; marì enim afflictus erat charum cor.
Tumebat verò corpore toto, mare autem manabat copiosum
Per osque, naresque; ille verò absque-anhelitu et voce
Jacebat viribus-defectus: defatigatio nempè eum vehemens occupabat.
Sed quando jam respiravit, et in mente animus collectus est;
Tum verò vittam à se solvit dese,
Et ipsam fluvium in salsugineum immisit;
Retrò autem illam ferebat ingens fluctus per fluentum; statim verò Ino
Suscepit manibus charis: ille verò ex fluvio secedens
Junco recubuit, osculatusque est almam terram:
Ingemiscens autem deinde dixit ad suum magnum animum:
" Heu mihi, quid patiar? quid mihi denique restat?
" Si quidem in fluvio gravem *per* noctem excubavero,
" *Timeo*, nè me simul frigus malum et fertilis ros,

Χεῖράς τε στιβαράς.] Ὅτι μετὰ τὴν ναυαγίαν πᾶσιν οἱ γῦν συγγράφοντες Ὀδυσσεῖ, ἵνα μὴ τῇ πολυπλοίᾳ τάχα τῶν νέων ἀνηλίσκοιτο τὰ μέλη τὸ ἴδιον γυμνασταί, καὶ οὕτως ἐκ ἀχρονίας ἐλάσωσι. *Eustath.* Quod cum statu, quo hîc depingitur *Ulysses*, minùs convenire arbitrata Dna. *Dacier*, ipsa alitèr explicat; " Ἐκαμψε," inquit, " γόνατα καὶ χεῖρας,— " signifie qu'il laissa tomber ses bras et ses " genoux, et qu'ils lui manquerent de lassi- " tude." Verùm hæc interpretatio cum vocis ἔκαμψε significatione parùm congruit. Sensus videtur esse; *Ulyssem* genua et brachia flexisse, non φλοιῷφ λόγῳ, (uti ait *Eustathius*;) sed simpliciter ad defatigationem vehementem, quâ ex tam diutino natatu afficiebantur, nonnihil levandam. Vide et ad *Il.* τ', 72.

Ver. 455. Ὠδεῖ δὲ χρόα πάντα.] τὸ δὲ, " βῦς χρόα," ἀντὶ τοῦ, ἔβρεγματο. *Eustath.*

Et *sale tabentes* artus in littore ponunt.
Æn. I, 177.

Ibid. — θάλασσα δὲ πόντια πολλὰ "Αν στόμα.]

Et salsos —— revocantem pectore fluctus.
Æn. V, 198.

Ver. 456. —— ὁ δ' ἄπνευστος.] Apud *Eustathium* in commentario, ὁ δ' ἀπ' ἀπνευστος.

Ver. 459. —— ἀπὸ ῥα.] Vide ad *Il.* ά, 51.

Ver. 463. Σχοίνῳ.] Εἴδος φύτος, ἢ σχοῖνος. *Schol.*

Ibid. —— πόντι δὲ ζείδωρον ἄρουραν.]

—— magno telluris amore
Egressi, optatâ potiuntur Troës arenâ.
Æn. I, 175.

Ibid. —— ἄρουραν.] Vide ad *Il.* ζ', 142.

Ver. 465. —— τί νύ μοι μήσεται γένηται;] Vide suprà ad *ver.* 299.

Ver. 467. —— στίβη.] Ἡ πάχνη, παρὰ ἀντίφρασιν ἢ τὸ ἰδιαίτερον ψῦχος. *Schol.*

Ἐξ ὀλιγηπελίης, δαμάσῃ πεπαφητότα θυμόν·
Αὔρη δ' ἐκ ποταμοῖο ψυχρὴ πνέει ἠῶθι πρό.
Εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην,
Θάμνοις ἐν πυκινοῖσι καταδραθῶ, εἴ με μεθείη
Ῥῖγος καὶ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ,
Δείδω, μὴ θήρεσσιν ἕλωρ καὶ κύρμα γένωμαι.
Ὡς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Βῆ ῥ' ἴμεν εἰς ὕλην· τὴν δὲ σχεδὸν ὕδατος εὗρεν
Ἐν περιφαινομένῳ· δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους,
Ἐξομόθεν πεφυῶτας· ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης.
Τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
Οὐδέποτ' ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
Οὔτ' ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνοὶ

" Prae imbecillitate, conficiat afflictum animo:
" Aura nempe ex fluvio frigida spirat matutino tempore.
" Si verò ad clivum conscendens et umbrosam sylvam,
" Arbustis in densis dormiero, si me sineret
" Frigus et lassitudo, jucundus autem mihi somnus obreperet;
" Vereor, nè feris captura et praeda fi. n."
Sic sanè ei deliberanti visum est satiùs esse:
Perrexit nempe ire in sylvam; hanc autem prope aquam invenit
In conspicuo-loco; duo autem deinde subiit arbusta,
Ex-uno-loco enata, hoc quidem oleastri, illud autem oleae.
Haec quidem neque ventorum perflat vis humidùm spirantium,
Neque unquam sol lucens radiis percutiebat,
Neque imber penetrabat penitùs; sic sanè densa

Ibid. ——— ἴμεν.] Ita edidit *Barnesius*. *Vulgg.* ἰέμεν. Sed hoc leviculum.

Ver. 468. ——— πεπαφητότα.] Vide ad *Il.* ά, 265. et σ', 46.

Ver. 469 —— πνέει.] *Eustathius* in commentario videtur legisse πίλει'.

Ver. 470. —— κλιτύν.] Τὴν ὑψηλὴν σρόσβασιν τοῦ ὄρους. *Schol.* Vide et suprà ad *Il.* φ', 390.

Ibid. et *ver.* 475. ——— ὕλην.] Vide ad *Il.* γ', 151.

Ver. 471. Θάμνοις ἐν πυκινοῖσι.] Apud *Eustathium*, Θάμνοισι πυκινοῖσι.

Ibid. —— εἴ με.] *Al.* εἴ κε.

Ibid. —— μεθείη.] Apud *Eustathium*, μεθίοι. Vide ad *Il.* φ', 762.

Ver. 473. —— θήρεσσιν ἕλωρ καὶ κύρμα.] Vide ad *Il.* λ', 452.

Ver. 476. Ἐν περιφαινομένῳ.] Περιερωμένῳ περὶ ὃν τόπον οὐκ ἐστὶν ὕλη, ἀλλὰ μόνον θάμνοι· τὸ δὲ περὶ αὐτὸν, ψιλόν. *Schol.*

Ver. 477. Ἐξομόθεν.] Ἐκ τοῦ αὐτοῦ τόπου. *Schol.*

Ibid. —— ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης.] Ὅρα δὲ καινὸν σχῆμα ἐν τῷ, " δύο ὑπῆλθε θάμνους· " ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης." Ἔχρῆν μὲν γὰρ εἰπεῖν, τὸν μὲν φυλίης, τὸν δ' ἐλαίης. Ὁ δὲ, στείλας τελείαν ἐν τῷ, " ἐξομόθεν πεφυῶτες," εἶτα ὡς ἐξ ὑπαρχῆς ἐπάγει. κατὰ ἔλλειψιν ὑπαρτικοῦ ῥήματος, τό, " ὁ μὲν, ὁ δὲ·" ἵνα λέγῃ, ὡς ὁ μὲν ἦν φυλίης ὁ δ' ἦν ἐλαίης. *Eustath.* De hujusmodi syntaxi, vide infrà ad μ', 73. item ad *Il.* γ', 211.

Ibid. —— φυλίης.] Εἶδος ἐλαίης τῆς παλαιμένης φυλίης. *Schol.*

Ver. 478. —— διάει.] *Al.* διάη.

Ibid. ——— ὑγρὸν ἀέντων.] Καὶ ἀνέμων δὲ φησιν ἀκριβῶς κατιόντων ["Ομηρος] ὧν τὸν μὲν γίνεσθαι ἐκ τῶν ὑγρῶν εἶναι· τοῦ μὲν γὰρ ὕδατος μεταβολὴ εἰς ἀέρα γίνεται· ὁ δ' ἄνεμος ἐστὶν ἀὴρ ῥέων. Τεύτε δὲ ἐν τι ἄλλοις τ' ἀλλοῖς ἐμφαίνει, καὶ ἐν οἷς φησὶν, " —— ἀνέμων μετὰ ὑγρὸν " ἄητον." *Dionys Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 13.

Ver. 479. Οὐδέποτ' ἠέλιος.] *Al.* Οὐδ' αὖ ἠέλιος.

Solis inaccessam radiis—. *Æn.* VIII, 195.

Ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· οὓς ὑπ' Ὀδυσσεὺς
Δύσετ'· ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν
Εὐρείαν· φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,
Ὅσσον τ' ἠὲ δύω, ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι
Ὥρῃ χειμερίῃ, εἰ καὶ μάλα περ χαλεπαίνοι. 485
Τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς·
Ἐν δ' ἄρα μέσσῃ λέκτο, χύσιν δ' ἐπεχεύατο φύλλων.
Ὡς δ' ὅτε τις δαλὸν στοδιῇ ἐνέκρυψε μελαίνῃ,
Ἀγροῦ ἐπ' ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι,
Σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὖοι· 490
Ὣς Ὀδυσεὺς φύλλοισι καλύψατο· τῷ δ' ἄρ' Ἀθήνη
Ὕπνον ἐπ' ὄμμασι χεῦ', ἵνα μιν παύσειε τάχιστα
Δυστοκέος καμάτοιο, φίλα βλέφαρ' ἀμφικαλύψας.

Invicem creverunt alterum-alteri intertextum; quae Ulysses
Subiit; statimque cubile congessit manibus charis
Latum: foliorum enim erat copia affatim ingens;
Quantum utique duos, vel tres viros tegeret
Tempestate hiberna, etiamsi vel admodùm saeviret. 485
Illam quidem videns gavisus est patiens nobilis Ulysses;
In medio autem decubuit, copiamque superingessit foliorum.
Quemadmodum autem cùm aliquis torrem ciuere absconderit nigro,
Agro in extremo, cui non adsunt vicini alii,
Semen ignis servans, ut nè quà aliundè incendat; 490
Sic Ulysses foliis se-obtexit; huic autem Minerva
Somnum in oculis fudit, ut ipsum *is* cessare-faceret citissimè
A-difficili labore, charas palpebras obtegens.

Ver. 482. Δύσετ'.] Vide ad *Il. β'*, 33. et *ι*, 109.

Ibid.——εὐνήν.] *Al.* ὕλην.

Ver. 487.——λέκτο.] Vide ad *Il. β'*, 515.

Ibid.——ἐπεχεύατο.] Vide infrà ad *ver.* 491. et ad *ι*, 296.

Ver. 488. 490. Ὡς δ' ὅτε τις δαλὸν——Σπέρμα πυρὸς σώζων.] Καὶ ἔστιν ἀστεῖα ἡ παραβολή· τὸν γὰρ ἥδη λιπονψυχοῦντα καὶ βραχὺ ἔχοντα τὸ ζωτικὸν καὶ οἷον σβεννύμενον, ζωπύρου τινάζει καὶ σπινθῆρι τῷ κατὰ σποδίαν· ἐξ οὗ, εἶα καὶ στέρματος, πολὺ παρατρέμεθα πῦρ. *Eustath.* Similiter et Dna. *Dacier*; "Cette "comparaison," inquit, "est très-agreable "et très-juste. Ulysse, à qui il ne reste "qu'un soufle de vie, et qui s'en va presque "éteint, est très bien comparé à un ti-"son, qui ne conserve que dans un bout "un reste de feu. Comme ce tison, caché "la nuit sous la cendre, se ranime le len-"demain, et s'embrase; de même Ulysse "rechauffé pendant la nuit sous cette cou-"verture de feuilles, se ranimera le lende-"main." Observatione, ut mihi quidem videtur, subtiliori et nimis minutâ.

Ver. 489.——ἐσχατιῆς.] *Al.* ἐπ' ἐσχατιῇ.

Ver. 490. Σπέρμα πυρὸς σώζων.] Τὸν σποδοῦμενον τοῦ πυρός. *Schol.* "Σπέρμα πυρὸς σώ-"ζων," ἀντὶ τοῦ, γόνιμον ἀρχήν. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7.

——quærit pars *semina* flammæ.
Æn. VI, 6.

Quem locum *Macrobius* inter eos recenset, in quibus Poetarum "*par penè splendor am-*"*borum est.*" *Lib.* V. *cap.* 12.

Ver. 491.——φύλλοισι καλύψατο.] Notandus hîc primarius et maximè proprius Vocis *Mediæ* Usus. *Foliis se ipse cooperuit.* Sic suprà *ver.* 487. "χύσιν δ' ἐπεχεύατο "φύλλων," *Foliorum acervum sibi ipse ingessit.* Similiter, τιμήσομαι, *honorabilem me præstabo*; μισήσομαι, *odiosum me reddam*; κάψομαι, *cædam me ipse*; &c. Vide infrà ad *ι*, 296. item ad *Il. γ'*, 141.

Ver. 493. Δυστοκέος καμάτοιο.] Καλιστὸν πόνον ὑπιφέροντος. *Schol.* Cæterùm *Dionysius Halicarnassensis*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 23. citat Δυσπραγίας καμάτοιο. Quam lectionem et præfert *Barnesius.*

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ζ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ζ'.

Ἀθηνᾶ ἱστᾶσα ἵησι τῇ Ἀλκινόου θυγατρὶ Ναυσικάᾳ, κελεύει αὐτῇ τὴν ἐσθῆτα ἐπὶ τὸν ποταμὸν ἀγαγούσῃ, πλύνειν· πλησίον γὰρ αὐτῇ εἶναι τὸν γάμον· ἡ δὲ τὸ κελευσθὲν ποιεῖ. Ἔπειτα παίζει μετὰ τῶν θεραπαινῶν· ἀκούσας δὲ αὐτῶν ὁ Ὀδυσσεὺς, ἱκετεύει· καὶ δηθεὶς Ναυσικάᾳ, ἐσθῆτα καὶ τροφὴν παρ' αὐτῆς λαβὼν, ἕπεται αὐτῇ εἰς τὴν πόλιν.

Ἄλλη ὑπόθεσις.

ΝΑΥΣΙΚΑΑ, ἡ Ἀλκινόου θυγάτηρ, ὑπὸ ὀνείρου τραπεῖσα, ἐπὶ τὸν ποταμὸν κάτεισι, πλύνουσα τὴν ἐσθῆτα· μετὰ δὲ τὸ πλῦναι, παιδιά τις, ὁποία εἰκὸς, διὰ σφαίρας ταῖς κόραις γίνεται. Ὀδυσσεὺς δὲ, θορύβου γενομένου, διεγείρεται, καὶ ἐσθῆτος τυχὼν, μίσχει τοῦ τῆς Ἀθηνᾶς ἱεροῦ, ὃ πρὸ τῆς πόλεως ἦν, συνάπτει τῇ κόρῃ.

Ἐπιγραφαί.

Ὀδυσσέως ἄφιξις εἰς Φαίακας.

Ἄλλως.

Σῖτα δὲ Nausicaa lavat in Scheriâ Odyssea.

Ὣς ὁ μὲν ἔνθα κάθευδε πολύτλας δῖος Ὀδυσσεὺς,
Ὕπνῳ καὶ καμάτῳ ἀρημένος· αὐτὰρ Ἀθήνη

Sic illic dormiebat quidem patiens nobilis Ulysses,
Somno et labore oppressus: verùm Minerva

Ver. 1. Ὣς ὁ μὲν ἔνθα κάθευδε.] Ὅρα δὲ ὡς πομπεύσας τὸν Ὀδυσσέα μετὰ τὸν οἶνον πολὺν κίνδυνον, εἶτα τῶν ἰφθίμων γενόμενος, ἱστορίαν παρεισάγει, οὐκ ἀναγκαίαν μὲν ἄλλως, ἅμα δὲ γοργῶς συνειλλεγμένην καὶ ἐμφερῶσαν τὸ τῆς γραφῆς μεγαλεῖον. *Eustath.*

Ibid. —— κάθευδε.] *Barnesius* edidit κατεῦδε. Sed nihil opus. Vide ad *Il.* ά, 611.

Ver. 2. Ὕπνῳ καὶ καμάτῳ ἀρημένος.] Βιβλαμβίνος· ἤγουν συλληπτικῶς· ὑπὸ μὲν γὰρ τοῦ καμάτου βίβλαπτο, ὑπὸ δὲ τοῦ ὕπνου οὐκ ἦν. Ἢ, κατὰ ἀντίφρασιν, τὸν ἀγρυπνίαν, ὕπνον ἔφη. Ἢ, ἐπὶ τῷ καμάτῳ ὑπνώσειν εἶτα ἀρημένος,

Βῆ ῥ' ἐς Φαιήκων ἀνδρῶν δῆμόν τε πόλιν τε·
Οἳ πρὶν μὲν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ,
Ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερηνορεόντων,
Οἳ σφέας σινέσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν.
Ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδὴς,
Εἷσεν δ' ἐν Σχερίῃ, ἐκὰς ἀνδρῶν ἀλφηστάων·
Ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει, καὶ ἐδείματο οἴκους,
Καὶ νηοὺς ποίησε θεῶν, καὶ ἐδάσσατ' ἀρούρας.
Ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς ἄϊδόσδε βεβήκει·
Ἀλκίνοος δὲ τότ' ἦρχε, θεῶν ἀπὸ μήδεα εἰδώς.
Τοῦ μὲν ἔβη πρὸς δῶμα θεὰ γλαυκῶπις Ἀθήνη,
Νόστον Ὀδυσσῆϊ μεγαλήτορι μητιόωσα·
Βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἐνὶ κούρη
Κειμᾶτ', ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη,

Ibat ad Phaeacum virorum populumque urbemque;
Qui anteà quidem habitabant in spaciosâ Hypereâ,
Prope Cyclopas, viros superbientes;
Qui ipsos infestabant; viribus autem potiores erant.
Inde excitos *illos* deduxit Nausithous deo-similis,
Collocavitque in Scheriâ, procul ab hominibus ingeniosis;
Circùm verò murum duxit urbi, et aedificavit domos,
Et templa fecit deorum, et divisit agros.
Sed hic quidem jamjam fato domitus, ad inferos descenderat:
Alcinous verò tunc imperabat, à diis consilia doctus.
Hujus quidem ivit ad domum dea cassia-oculos Minerva,
Reditum Ulyssi magnanimo moliens:
Perrexit autem ire ad thalamum fabrè-factum, in quo puella
Cubabat, immortalibus oris-habitu et formâ similis,

ὑπὸ τῶν Ποσειδῶνος βλαπέων καὶ πταισθέν, ἢ καταπεπτωκόσιν. *Schol.* Quæ omnes admodùm invenustæ videntur explicandi rationes. Sententia reverà est, "*Labore defatigatus, somnoque oppressus.*" Vide ad *Il.* ν', 98.

—— confectum curis, somnoque gravatum. *Æn.* VI, 520.

Ibid. —— ἀρημένος.] *Al.* ἀρηρώς.

Ver. 5. —— ὑπερηνορεόντων.] Ὑπερεχόντων τῇ ἀνδρείᾳ, ἢ ἐπεὶ τῇ ἀνδρείᾳ, καὶ διὰ τοῦτο ὑπερηφάνων. *Schol.*

Ver. 6. —— σινέσκοντο.] Vide ad *Il.* β', 221. Item infrà ad *Odyss.* λ', 109.

Ibid. —— βίηφι.] Vide ad *Il.* ν', 588.

Ver. 7. —— ἀναστήσας.] Ἀναπομίσας, ἀπαναστήσας ἐκ τῆς πολεμίας. *Schol.*

Ibid. —— Θεοειδὴς.] Vide ad *Il.* ά, 217.

Ver. 8. —— Σχερίῃ.] Ἡ τῶν Φαιάκων πόλις. *Schol.*

Ibid. —— ἐκὰς ἀνδρῶν.] *Plutarchus* περὶ φυγῆς, citat ἐκὰς ἄλλων.

Ibid. — ἀλφηστάων.] Τῶν ἰδιωτικῶν καὶ ἀπειρομάχων ἀνθρώπων. *Schol.* Cæterùm post hunc versum, alium ex *Plutarcho*, loco suprà citato, inseruit *Barnesius*;

"Ἀνθρώπων ἀνάπλεων, πολυπλόκου ἐπὶ πόνοις." *Dictio hîc*, ut ait, *ob rotunditatem Periodi desideratum.* Verùm ex contextu liquet *Plutarchum* versum istum non hinc, sed ex *ver.* 204. infrà, citâsse. Quin et præcedente, "ἐκὰς ἀνδρῶν ἀλφηστάων" sequens illud, "Ἀνθρώπων ἀνάπλεων," admodùm *tautologus* erit et invenustum.

Ver. 9. Ἀμφὶ δὲ τεῖχος, &c.] "Duobus "versibus omnia complectitur, quæ urbem "habitandam spectant." *Spondan.*

Ver. 11. 25. —— βεβήκει —— πεφάσθαι.] Vide ad *Il.* ά, 221. et ϑ', 492.

Ver. 13. 24. 41. 47 et 112. —— γλαυκῶπις Ἀθήνη.] Vide ad *Il.* ά, 206. "Ὅτι τῇ φρονήσει Ἀθηνᾶ τὰ κατὰ τὴν ῥητόρων Ναυσικάαν ὁ Ποιητὴς ἀναπέπλασεν, ὡς πάνυ σοφῶς αἰνεῖ καὶ συνιστάντα τὸ τοιοῦτον πλάσμα μετακεχειρισάμενος. *Eustath.*

Ver. 16. —— ἀθανάτῃσι.] Similiterque

Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Πὰρ δὲ δύ' ἀμφίπολοι, Χαρίτων ἀπὸ κάλλος ἔχουσαι,
Σταθμοῖιν ἐκάτερθε· θύραι δ' ἐπέκειντο φαειναί.
Ἡ δ' ἀνέμου ὡς πνοιὴ ἐπέσσυτο δέμνια κούρης·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν,
Εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος,
Ἣ οἱ ὁμηλικίη μὲν ἔην, κεχάριστο δὲ θυμῷ·
Τῇ μιν ἐεισαμένη προσέφη γλαυκῶπις Ἀθήνη·
Ναυσικάα, τί νύ σ' ὧδε μεθήμονα γείνατο μήτηρ;
Εἵματα μέν τοι κεῖται ἀκηδέα, σιγαλόεντα·
Σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
Ἐννυσθαι τὰ δὲ τοῖσι παρασχεῖν, οἵ κέ σ' ἄγωνται.
Ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
Ἐσθλή· χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
Ἀλλ' ἴομεν πλυνέουσαι ἅμ' ἠοῖ φαινομένῃφι,
Καί τοι ἐγὼ συνέριθος ἅμ' ἕψομαι, ὄφρα τάχιστα
Ἐντύνεαι· ἐπεὶ οὔτοι ἔτι δὴν παρθένος ἔσσεαι·
Ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον

Nausicaa, filia magnanimi Alcinoi:
Juxtà autem duae ancillae, à Gratiis pulchritudinem habentes,
A-postibus utrinque; fores verò admotae-erant splendidae.
Illa verò venti veluti flatus accessit ad cubilia puellae:
Stetitque supra caput, et ipsam sermone allocuta est,
Assimilata filiae celebris-in-re-nauticâ Dymantis,
Quae ei aequalis quidem erat, grataque animo:
Huic seipsam cùm assimilàsset, allocuta est caesia-oculos Minerva:
" Nausicaa, quid te sic negligentem peperit mater?
" Vestes etenim tibi jacent neglectae, pulchrae;
" Tibi verò nuptiae instant, ubi oportet pulchras quidem teipsam
" Induere, aliasque illis praebere, qui te ducant.
" Etenim ex his fama apud homines oritur
" Bona; gaudent verò pater et veneranda mater.
" Quin eamus loturae simul ac aurora illuxerit,
" Et ego adjutrix unà comitabor; ut celerrimè
" Expediaris; quoniam non ampliùs diù virgo eris:
" Jamjam enim te ambiunt optimi in populo

---

infrà *ver.* 309. ἀέκαντος. Vide ad *Il.* ά, 398.

Ver. 19. Σταθμοῖιν ἐκάτερθε.] Ὁ ἐστὶν ἐκατέρωθεν τῶν παραστάδων. *Eustath.*

Ver. 20. —— ἐπέσσυτο.] *Al.* ἐπ' ἔσσυτο.

Ver. 21. Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς.]

Devolat, et supra caput astitit ——.
Æn. IV, 702.

Ver. 24. Τῇ μιν ἐεισαμένη.] Vide ad *Il.* γ', 389. *Al.* Τῇ μὲν ἐεισαμένη.

Ver. 27 et 111. —— καλά.] Similiterque *ver.* 87. Καλόν· et *ver.* 108. καλαί. Vide ad *Il.* β', 43.

Ver. 28. —— τὰ δὲ τοῖσι παρασχεῖν, οἵ κέ σ' ἄγωνται.] Ἕθος γάρ, φασὶν, ἦν, τὰς νύμφας τοῖς τοῦ νυμφίου, ἰσθῆτας ἐν τῇ τοῦ γάμου παιρῇ χαρίζεσθαι. *Eustath.*

Ver. 31. 33. —— πλυνέουσαι —— Ἐντύνεαι.] Quâ analogiâ ex μαρτύρομαι, fit μαρτύρεσθαι, μάρτυρος· ex κρίνω, κρίνεσθαι, κρίσις· ex θαρσύνω, θαρσύνεσθαι, θάρσυνος· eâdem ex πλύνω, fit πλύνεσθαι, πλύνος· ex ἐντύνω, ἐντύνεσθαι· &c. Vide ad *Il.* ά, 338. σ', 70. et χ', 153.

Ver. 32. —— συνέριθος.] Συνεργὸς, παρὰ τὴν ἀγαθὴν ἔριν. *Schol.*

Ver. 33. —— ἔσσεαι.] Enuntiabatur ac si scriptum esset ἔσῃ.

Πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῇ.
Ἀλλ' ἄγ', ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ,
Ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσι
Ζῶστρά τε, καὶ πέπλους, καὶ ῥήγεα σιγαλόεντα.
Καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ἠὲ πόδεσσιν
Ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ κλυνοὶ εἰσὶ πόληος.
Ἦ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη
Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
Ἔμμεναι· οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀνεφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη·

" Omnium Phaeacum; ubi tibi genus et ipsi.
" Verùm age, hortare patrem inclytum sub auroram,
" Mulos et currum apparare, qui vehat
" Cingulaque, et peplos, et pallia mirabilia.
" Quippe tibi sic ipsi multò honestius est, quàm pedibus
" Ire; multùm enim absunt labra ab urbe."
Sic quidem locuta abiit caesia-oculos Minerva
Ad Olympum, ubi aiunt deorum sedem firmam semper
Esse: neque ventis concutitur, neque unquam imbre
Rigatur, neque nix ingruit; sed omnino serenitas
Panditur innubis; candidusque ambit splendor:

Ver. 35. —— ὅθι τοι.] *Al.* ὅτι τοι, et ἤ τοι, sive ἦ τοι.

Ver. 37. 72 et 260. —— ἅμαξαν.] Vide ad *Il.* ά, 711 et 782.

Ibid. et *ver.* 57. 69. —— ἐφοπλίσαι —— ἐφοπλίσατε —— ἐφοπλίσουσι.] Vide ad *Il.* ά, 140. et ψ', 55.

Ver. 38. Ζῶστρα.] Τὰ περὶ ζώνην ἱστιοφόρια ἐνδύματα. *Schol.*

Ibid. —— ῥήγεα.] Vide ad *Il.* ά, 644.

Ver. 40. —— πλυνοί.] Πλυνοὶ δὲ, παρὰ μὲν ἄλλοις, σπάνιαι τινὲς χρήσιμοι πλύσεις· παρὰ δὲ Ὁμήρῳ, βάθρα ἐν οἷς ἔπλυνον. *Eustath.* Vide et suprà ad *ver.* 31.

Ver. 42. Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος.] *Al.* Οὔλυμπόνδ', ἤ φασι.

Apparet Divûm numen, sedesque quietæ:
Quas neque concutiunt venti, neque nubila nimbis
Adspergunt; neque nix acri concreta pruinâ
Cana cadens violat; semperque innubilus æther
Integit, et largè diffuso lumine ridet.
Lucret. lib. III, 18.

—— nubes excedit Olympus
Lege deûm; minimas rerum discordia turbat:
Pacem summa tenent ——
Lucan. Pharsal. lib. II, 271.

" Pars superior mundi et ordinatior, ac
" propinqua sideribus, nec in nubem cogi-
" tur, nec in tempestatem impellitur, nec
" versatur in turbinem; omni tumultu ca-
" ret." *Seneca de Irâ, lib.* III. *cap.* 6. Cæterùm de vocibus, "Ὀλυμπος, οὐρανός," ita *Aristoteles*: Ἑτέρως καλοῦμεν, οὐρανὸν μὲν, ἀπὸ τοῦ ὁρᾶν εἶναι τῶν ἄνω ὀλυμπον δὲ, οἷον ὀλελαμπῆ, καὶ πανταχῆ ζόφου καὶ ἀτάκτου κινήματος πεχωρισμένον, οἷον γίνεται παρ' ἡμῖν διὰ χειμῶνος καὶ ἀνέμων βίας, ὥστε ἴφι καὶ ὁ Ποιητὴς Ὁμηρος· " Οὔλυμπόνδ', ὅ φασι, &c." *Lib. de Mundo, cap.* 6. Conjecturâ, ut opinor, satis incertâ.

Ibid. —— θεῶν ἕδος ἀσφαλὲς αἰεί.]

Ὁ δὲ χάλκιος ἀσφαλὴς αἰεὶ θόος
Μίνυ οὐρανός· ——
Pindar. Nemeor. Ode VI. *ver.* 6.

Ver. 44. —— ἀλλὰ μάλ' αἴθρη Πέπταται.]

Largior hîc campos æther et lumine vestit
Purpureo ——— *Æn.* VI, 640.

Ver. 45. 65. Πέπταται —— ἐπιδέδρομεν —— μίμηλεν.] Vide ad *Il.* ά, 37. et β', 614.

Ibid. —— ἀνεφελὲς.] *Aristoteles*, loco suprà citato, legit ἀνέφελος. Quod et ferri posset. Vide ad *Il.* ά, 398.

Ibid. —— ἐπιδέδρομεν.] *Aristoteles*, *ibid.* citat ἀναδέδρομεν. Vulgatam autem lectionem potiorem esse contendit *Eustathius*.

Τῷ ἐνὶ τέρπονται μάκαρες θεοὶ ἤματα πάντα.
Ἔνθ' ἀπέβη Γλαυκῶπις, ἐπεὶ διεπέφραδε κούρῃ.
Αὐτίκα δ' Ἠὼς ἦλθεν ἐύθρονος, ἣ μιν ἔγειρε
Ναυσικάαν ἐύπεπλον· ἄφαρ δ' ἀπεβαύμασ' ὄνειρον.
Βῆ δ' ἴέναι διὰ δώμαθ', ἵν' ἀγγείλειε τοκεῦσι,
Πατρὶ φίλῳ καὶ μητρί· κιχήσατο δ' ἔνδον ἐόντας.
Ἡ μὲν ἐπ' ἰσχάρῃ ἧστο, σὺν ἀμφιπόλοισι γυναιξίν,
Ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα· τῷ δὲ θύραζε
Ἐρχομένῳ ξύμβλητο μετὰ πλειστοὺς βασιλῆας
Ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί·
Ἡ δὲ μάλ' ἄγχι στᾶσα φίλον πατέρα προσέειπε·
Πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
Ὑψηλὴν, εὔκυκλον, ἵνα κλυτὰ εἵματ' ἄγωμαι
Ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
Καὶ δέ σοι αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἰόντι
Βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ' ἔχοντα.
Πέντε δέ τοι φίλοι υἱὲς ἐνὶ μεγάροις γεγάασιν,
Οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠΐθεοι θαλέθοντες·

In quo delectantur beati dii diebus omnibus.
Eò abiit Pallas, postquam consilium consulerat puellae.
Statim verò Aurora advenit pulchro-sedens-in-solio, quae ipsam excitabat
Nausicaam pulchro-peplo: continuò autem ea admirata est somnium.
Perrexit verò ire per aedes, ut annunciaret parentibus,
Patri charo et matri: deprehendit autem eos intùs existentes.
Illa quidem ad focum sedebat, cum ancillis mulieribus,
Pensa versans marinâ-purpurâ-tincta: in ipsum autem forìs
Egredientem incidit ad inclytos reges
Ad consilium, quò ipsum vocabant Phaeaces eximii.
Haec autem valdè propè astans charum patrem allocuta est:
" Pater chare, nonne jam mihi apparaveris currum
" Excelsum, agilem-rotis; ut pulchras vestes feram
" Ad flumen lotum, quae mihi sordidatae jacent?
" Etenim tibi ipsi convenit inter primores versanti
" Consilia consulere, puras corpori vestes habenti.
" Quinque autem tibi chari filii in aedibus sunt,
" Quorum duo in-matrimonio, tres autem caelibes florentes:

Ver. 46. Τῷ ἐνὶ τέρπονται μάκαρες θεοί.] Vide *Plutarchum de audiendis Poetis*, ubi hunc versum laudat.

Ver. 47. —— διεπέφραδε.] Vide ad *Il.* ξ, 500.

Ver. 48. —— ἰδέσθαι.] Θρέψαν τῶν νῦν ἀεμάντων λίγυ πᾶσι θεῶς ἰφθιμοτάτοισι· οὐ γάρ ἔσαν ἰδεῖν ἢ θεοὶς αὖτοι ἢ νῦν ἰδεῖσθαι. *Schol.*

Ver. 49. —— ἀναβαίνειν.] Similiterque ver. 181. ἰκάνειν. Vide ad *Il.* ά, 140.

Ver. 50. —— δεδέγμεθ'.] *Al.* πεπότ' δέγμεθ'.

Ver. 53 et 306. ἀλιπόρφυρα.] Vide ad *Il.* ά, 482.

Ver. 57. —— ἐφοπλίσσειας.] *Al.* ἐφωπλίσσειας.

Ver. 58 et 70. —— εὔκυκλον.] Εὔτροχον. κύκλοι γὰρ οἱ τροχοί. *Schol.*

Ver. 59. 64. —— κλυτὰ εἵματα —— κάλλιστα.] Vide supra ad ver. 31.

Ver. 60. —— ἰόντι.] *Al.* ἰόντα.

Ver. 63. Οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠΐθεοι.] Ὅτι τοὺς ἴδιους διασύλλυ καὶ ἰστανῦν τρεῖς τοὺς

Οἱ δ' αἰεὶ ἐθέλουσι, νεόκλυτα εἵματ' ἔχοντες,
Ἐς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμῇ φρενὶ πάντα μέμηλεν.
Ὣς ἔφατ· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
Πατρὶ φίλῳ· ὁ δὲ πάντα νόει, καὶ ἀμείβετο μύθῳ·
Οὔτε τοι ἡμιόναν φθονέω, τέκος, οὔτε τευ ἄλλου.
Ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην
Ὑψηλὴν, εὔκυκλον, ὑπερτερίην ἀραρυῖαν.
Ὣς εἰπὼν, δμώεσσιν ἐπέκλετο· τοὶ δ' ἐπίθοντο.
Οἱ μὲν ἄρ' ἐκτὸς ἄμαξαν ἐΰτροχον ἡμιονείην
Ὦρσεν, ἡμιόνους θ' ὕπαγον, ζεῦξάν θ' ὑπ' ἀπήνῃ·
Κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινὴν,
Καὶ τὴν μὲν κατέθηκεν ἐϋξέστῳ ἐπ' ἀπήνῃ·
Μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδὴν,
Παντοίην, ἐν δ' ὄψα τίθει, ἐν δ' οἶνον ἔχευεν
Ἀσκῷ ἐν αἰγείῳ· (κούρη δ' ἐπεβήσετ' ἀπήνης·)
Δῶκε δὲ χρυσείῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,

" Hi semper volunt, recens-lotis vestibus induti,
" Ad choream ire; haec autem meae menti omnia curae sunt."
Sic dixit; verebatur enim floridas nuptias nominare
Patri charo; ille verò omnia intelligebat, et respondit sermone:
" Neque tibi mulos invideo, filia, neque quicquam aliud.
" Abi; caeterùm tibi famuli apparabunt currum
" Altum, agilem-rotis, contabulatione instructum."
Sic loquutus, servis praecipit; illi verò paruerunt.
Illi quidem foràs currum agilem-rotis à mulis-tractum
Instruebant, mulosque submiserunt, junxeruntque sub curru;
Virgo autem è thalamo ferebat vestes pulchras;
Et eas quidem deposuit benè-polito in curru:
Mater verò in cistâ collocabat animo-gratum cibum,
Varium, obsoniaque imposuit, vinumque infudit
Utre in caprino; (puella verò conscendit currum:)
Dedit etiam sureâ in ampullâ humidum oleum,

ἰστιόωντας, ἱστάν· " Οἱ δύο ἱστιόωντες, φησὶ δ' " ἀϊδίως θαλίοντες." ὡς εἶναι ἀΐδιον, τὸν μήπω γάμῳ ἰαδόντα. *Eustath.*

Ver. 68. —— οὔτε τευ ἄλλου.] *Eustathius* in commentario citat, οὔτε του ἄλλου.

Ver. 70. —— ἰΰκυκλον.] *Al.* ἰΰκυκλον.

Ibid. —— ὑπερτερίην.] Ὑπερτερίη δὲ, τὸ ἱστασίμενον ὑπερέχοντα πλευρὰν τῷ ἄξονι. *Eustath.*

Ver. 72. —— ἅς'] *Proindè, ut jussi erant* ——.

Ver. 73. Ὄπλιον.] *Al.* Ὤπλιον.

Ibid. —— ζεῦξάν θ'.] *Al.* ζεῦξάν δ'.

Ver. 74. —— ἐσθῆτα φαεινὴν.] Οὐ τότε οὖσαν φαεινὴν, ἐφύετο γὰρ ἀλλὰ τῇ φύσει καθαρὰν. (Ita *Barnesius* pro vulgato καθαρῆ.) *Schol.*

Ver. 78. —— κούρη δ' ἐπεβήσετ' ἀπήνης.] *Pausanias* picturam fuisse narrat, ubi inter alia videre erat γυμφίους ἐπὶ ἡμιόνων, τὴν μὲν ἔχουσαν ἡνίας, τὴν δὲ ἐπεπαρμένην πέλομμα ἐπὶ τῇ κεφαλῇ· Ναυσικᾶν τε νομίζουσι εἶναι τὴν Ἀλκίνου, καὶ τὴν Θεράπναιαν, ἑλκυσούσας ἐπὶ τοὺς πλυνούς. *Eliac. lib.* V. *cap.* 19. sub fine.

Ibid. —— ἐπεβήσετ'.] Vide ad *Il.* β', 35. et *l*, 109.

Ver. 79. Δῶκε δὲ χρυσείῃ ἐν ληκύθῳ.] Ita pro vulgato χρυσείῃ ἐν ληκύθῳ restituit *Barnesius.* Nec malè. Verisimilius tamen videtur, ex *ver.* 215. infrà, voculam *οἱ* hìc excidisse, veramque lectionem fuisse, Δῶκε δὲ οἱ χρυσείῃ ἐν ληκύθῳ· ut pronuntietur vidalicet χρυσεῖῃ ut alibi sæpè.

Εἵως χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξίν.
Ἡ δ' ἔλαβεν μάστιγα καὶ ἡνία σιγαλόεντα,
Μάστιξεν δ' ἐλάαν· καναχὴ δ' ἦν ἡμιόνοιϊν.
Αἱ δ' ἄμοτον ταίνοντο· φέρον δ' ἐσθῆτα, καὶ αὐτὴν,
Οὐκ οἴην· ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
Αἱ δ' ὅτε δὴ ποταμοῖο ῥόον περικαλλέ' ἵκοντο,
Ἔνθ' ἦτοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ' ὕδωρ
Καλὸν ὑπερπροέει, μάλα κεν ῥυπόωντα καθῆραι·
Ἔνθ' αἵγ' ἡμιόνους μὲν ὑπερπροέλυσαν ἀπήνης,
Καὶ τοὺς μὲν σεῦαν ποταμὸν παρὰ δινήεντα,
Τρώγειν ἄγρωστιν μελιηδέα· ταὶ δ' ἀπ' ἀπήνης
Εἵματα χερσὶν ἕλοντο, καὶ ἐσφόρεον μέλαν ὕδωρ·
Στεῖσον δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι.

Ut ungeretur cum famulis mulieribus
Illa verò accepit flagellum et habenas pulchras,
Flagellavitque ut-inirent-cursum ; strepitus autem erat mulorum.
Illi verò incessanter contendebant, ferebantque vestes, et ipsam,
Non solam ; unà cum illâ scilicet et ancillae ibant aliae.
Illae verò cùm jam fluvii ad alveum pulchrum pervenissent,
Ubi labra erant perennia, multaque aqua
Pulchra profluebat, etiam admodùm sordidata ad purgandum ;
Ibi illae mulos quidem solverunt à curru ;
Et eos quidem egerunt fluvium propter vorticosum,
Ut-ederent gramen dulce ; ipsae verò à curru
Vestes manibus sumpserunt, et inferebant in nigram aquam :
Constipabant autem in scrobibus celeriter certamen proferentes.

Ibid. et *ver.* 215. —— λιπάδη.] Ἐλαιοδόχῳ ἀγγείῳ. *Schol.*

Ver. 80. —— χυτλώσαιτο.] Λουσαμένην ἀλείψαιτο· χύτλας γὰρ, τὸ μεθ' ὕδατος ἔλαιον *Schol.*

Ver. 81. —— σιγαλόεντα.] *Al.* φοινικόεντα. Quæ si verâ sit lectio, pronuntiandum erit φοινικοῦντα. *Secunda* enim necessariò producitur. Vide ad *Il.* β', 267.

Ver. 82. —— καναχὴ δ' ἦν ἡμιόνοιϊν.] Ὅτι τὸν τῶν ἡμιόνων ἐν τῷ συντόνως πορεύεσθαι ἦχον, εἰς καναχὴν ὑπερτατωσεν. *Eustath.* Vide ad *Il.* Υ', 455.

Ver. 86. 93. 95. —— πλυνοὶ —— πλῦναν —— ἀπεπλύνοντο.] Vide suprà ad *ver.* 31.

Ibid. —— ἐπηετανοί.] Ἐπηετανοὺς αὐτοὺς εἶναι, ὡς δι' ὅλου ἔτους κοίλους μένοντας, καὶ μὴ ἀναπληρουμένους, οἷα ἐπὶ πάχιον τὰ βεβοθρευμένα δι' ἀρύζεως. *Eustath.*

Ver. 86. —— πολὺ δ' ὕδωρ Καλὸν ὑπερπροέει.] Ἐν δὲ τοῖς ῥήμασι γίνεται ἐξαλλαγὴ τῶν —— χρόνων, ὅταν ὁ ἐνεστὼς —— ἀντὶ τοῦ παρωχημένου [scil. ᾖ·] "Ἐνθ' ἦτοι πλυνοὶ ἦσαν" ἐπηετανοί, πολὺ δ' ὕδωρ Καλὸν ὑπερπροέει." ἀντὶ τοῦ, ἦν. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 8. Consultò certè hîc ita scripsit Poeta, cùm aequè tulisset versus Καλὸν ὑπερπροέρρει, &c.

Ver. 88. —— ὑπερπροέλυσαν ἀπήνης.] Ὅτι τοὺς ἰζευγμένους ἡμιόνους ὑπὸ τῇ ἀπήνῃ, ἴζω ζυγοῦ ἀγαγόντες, περιεχόσθαι ἅρπαξί τις φησὶν. *Eustath.* Vide et ad *Il.* Σ', 504. 543.

Ver. 90. Τρώγειν ἄγρωστιν.] Τὸ δὲ, τρώγειν, ὀνοματοποιεῖσθαι ἐοῖ ἀλόγων, τραχύνοντα ἴσχει καὶ ἰτηρίσοντα πολλὴν πρὸς τὸ ἰσθίειν, ὅπερ ἐπὶ λογικῶν μάλιστα λέγεται. *Eustath.*

Ibid. —— ἄγρωστιν.] Εἶδος βοτάνης, ἤτις ἐστὶ τόα χορτώδης *Schol.*

Ibid. —— ταὶ δ'. *Al.* Αἱ δ'.

Ver. 91. —— καὶ ἐσφόρεον μέλαν ὕδωρ.] "C'est pour φέρειν ἐς μέλαν ὕδωρ." *Dacier.* Eandemque interpretationem in Versione secutus est *Barnesius.* Verùm cùm constructio ista paulò sit durior, nescio annon rectiùs exponat *Eustathius* ; Ἐσφόρεον δὲ (inquit) ὕδωρ, ἀντὶ τοῦ, ἔφερον ἐσω τῶν πλυνῶν. Et iterùm in comment. ad ἡ, 86. Ἐσφόρεον — μέλαν ὕδωρ εἰς τοὺς πλυνοὺς αἱ ἀμφίπολοι.

Αὐτὰρ ἐπεὶ πλύναν τε, κάθηρέν τε ῥῦτά ἕαστα,
Ἐξείης τίτασαν παρὰ θῖν' ἁλὸς, ἦχι μάλιστα
Λάϊγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.
Αἱ δὲ, λουσσάμεναι, καὶ χρισάμεναι λίπ' ἐλαίῳ,
Δεῖπνον ἔπειθ' εἵλοντο παρ' ὀχθῃσιν ποταμοῖο·
Εἵματα δ' ἠελίοιο μένον τερσήνασαι αὐγῇ.
Αὐτὰρ ἐπεὶ σίτου τάρφθεν θρῳωτί τε, καὶ αὐτῇ,
Σφαίρῃ ταί τ' ἄρ' ἔπαιζον, ἀπὸ κρηδέμνα βαλοῦσαι

At postquam lavâssentque, purgâssentque sordes omnes,
Ordine explicuerunt ad littus maris, ubi potissimùm
Lapillus ad littus abluebat mare.
Ipsæ porrò lotæ, et unctæ pingui oleo,
Prandium deinde sumpserunt ad ripas fluvii:
Vestes autem, solis manebant dum siccarentur splendore.
Cæterùm postquam cibo saturatæ sunt ancillæque, et ipsæ;
Pilâ ipsæ deinde ludebant, capitis-redimiculis depositis:

Ver. 94. —— *τίτασαν.*] Vide ad *Il. ά*, 67.

Ver. 95. —— *ἀποπλύνεσκε.*] Vide ad *Il. ά*, 37. et *β'*, 221. *Al. ἀποπλύνεσκε.*

Ver. 96. —— *λουσσάμεναι, καὶ χρισάμεναι.*] Vide suprà ad *ί*, 491. Cæterùm *Eustathius* in commentario legit, *λουσάμεναι καὶ ἀλειψάμεναι.*

Ver. 100. —— *ἄρ'.*] *Deinde* ——.

Ver. 102. Οἵη δ' Ἄρτεμις.]

Qualis in Eurotæ ripis, aut per juga Cynthi
Exercet Diana choros, quam mille secutæ
Hinc atque hinc glomerantur Oreades:
illa pharetram
Fert humeris, gradiensque Deas supereminet omnes:
Latonæ tacitum pertentant gaudia pectus:
Talis erat Dido; talem se læta ferebat
Per mediòs, instans operi regnisque futuris. *Æn.* I, 502.

Quo de loco *Gellius*: "Meminî," inquit, "audisse me ex Valerii Probi discipulis—"solitum eum dicere, nihil quicquam tam "improsperè Virgilium ex Homero ver-"tisse, quàm versus hos amœnissimos, quos "de Nausicaâ Homerus fecit.—Primum "omnium id visum esse dicebant Probo, "quòd apud Homerum quidem virgo Nau-"sicaa ludibunda inter familiares puellas in "locis solis rectè atque commodè confertur "cum Dianâ venante in jugis montium in-"ter agrestes deas; nequaquam autem con-"venienter Virgilium fecisse, quoniam Dido "in urbe mediâ ingrediens inter Tyrios "principes, cultu atque incessu serio, *in-*"*stans operi*, sicut ipse ait, *regnisque futuris*, "nihil ejus similitudinis capere posset, quæ "lusibus atque venatibus Dianæ congruit. "Tum posteà quòd Homerus studia atque "oblectamenta in venando Dianæ honestè "apertéque dicit; Virgilius autem, quum "de venatu deæ nihil dixisset, pharetram "tamen facit eam ferre in humero, tan-"quam si onus et sarcinam. Atque illud "impensè Probum esse demiratum in Vir-"gilio dicebant, quòd Homerica quidem "Ἀντὸν gaudium gaudeat genuinum et in-"timum, atque in ipso penetrali cordis et "minimè vigens, (siquidem non aliud est, "γλυκὺ δέ τι φρένα ἀπτεῖ) ipse autem imitari "hoc volens, gaudia fecerit pigra et levia "et cunctantia, et quasi in summo pectore "supernantia: nescire enim sese quid sig-"nificaret aliud, *pertentant*. Præter ista "omnia, florem ipsius totius loci Virgilium "videri omisisse; quòd hunc Homeri ver-"sum exiguè secutus sit: 'Ἥτοι δ' ἀμφιγύητα "φίλατό καλαὶ δέ τε πᾶσαι' quando nulla "major cumulatiorque pulchritudinis laus "dici potuerit, quàm quòd una inter om-"nes pulchras excelleret, una facilè ex om-"nibus nosceretur." *Lib.* IX. *cap.* 9. Notandum porrò, (ut rectè observavit *Fulvius Ursinus* ad hunc *Virgilii* locum,) aptiorem esse *Homeri* comparationem *Nausicaæ* innuptæ, cuique mater *Arete* vivebat; quàm *Virgilii Didoni*, quæ *Sichæo* nupta fuerat, et cui mater jam non erat. *Scaliger* tamen *Virgilium Homero* hoc in loco longè superiorem contendit. *Poetic. lib.* V. *cap.* 3.

Ibid. —— *κατ' οὔρεος.*] *Heraclides Ponticus* citat, *κατ' οὔρεα.*

Τῆσι δὴ Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς.
Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα,
Ἢ κατὰ Τηΰγετον περιμήκετον, ἢ Ἐρύμανθον,
Τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι·
Τῇ δέ θ' ἅμα Νύμφαι, κοῦραι Διὸς Αἰγιόχοιο, 105
Ἀγρονόμοι παίζουσι· γέγηθε δέ τε φρένα Λητώ·
Πασάων δ' ὑπὲρ ἦγε κάρη ἔχει ἠδὲ μέτωπα,
Ῥεῖα δ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι·
Ὡς ἦγ' ἀμφιπόλοισι μετέπρεπε παρθένος ἀδμής·
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πάλιν οἰκόνδε νέεσθαι, 110
Ζεύξασ' ἡμιόνους, τυτθάσά τε εἵματα καλά.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη,
Ὡς Ὀδυσεὺς ἔγροιτο, ἴδοι τ' εὐωπίδα κούρην,
Ἣ οἱ Φαιήκων ἀνδρῶν πόλιν ἡγήσαιτο.
Σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια· 115

Illis verò Nausicaa pulchra-ulnas exordiebatur cantûs.
Qualis autem Diana incedit per montem sagittis-gaudens,
Aut per Taygetum arduum, aut Erymanthum,
Oblectans-se apris, et velocibus cervis:
Simul autem cum illâ Nymphae, filiae Jovis Aegiochi 105
Agrestes ludunt; gaudet verò mente Latona:
Omnes autem ipsa capite supereminet, atque fronte:
Faciléque conspicua est, pulchrae verò et omnes:
Sic illa inter ancillas excellebat virgo indomita.
Sed quum jam erat domum reditura, 110
Junctis mulis, plicatisque vestibus pulchris:
Tunc rursùs aliud cogitavit dea caesia-oculis Minerva,
Ut Ulysses excitaretur, videretque pulchram-oculos puellam,
Quae ipsum ad Phaeacum virorum urbem duceret.
Pilam deinde jecit versus ancillam regina: 115

Ver. 103. —— Τηΰγετον.] Ὄρος τῆς Λακωνικῆς. *Schol.* Ἔστι δ' ὄρος μηκρὸν ὑπὲρ τῆς θαλάττης ὑψηλόν τι, καὶ ὄρθιον, συνάπτον κατὰ τὰ προσάρκτια μέρη ταῖς Ἀρκαδικαῖς ὀνομείαις. *Strabo, Geograph. lib.* VIII. *pag.* 557. *al.* 363.

Ibid. —— Ἐρύμανθον.] Ὄρος τῆς Ἀρκαδίας, καὶ ποταμός· ἔνθα ὁ Ἐρυμάνθιος κάπρος. *Schol.*

Ver. 104. —— κάπροισι καὶ ὠκείῃς ἐλάφοισι.] Ἡ Πηλοποννησος λέοντων ἄγονος ἐστι. Καί, ὅσα γε εἰπεῖν, Ὀρηροις ποικιλοδερμίη φρενὶ συνιδὼν τοῦτο, τὴν Ἄρτεμιν ἐκεῖ θηρεύουσαν ἔδειν, εἶπεν, ὅτι ἄρα ἔστιν ὅτε καὶ τὸν Ταΰγετον καὶ τὸν Ἐρύμανθον, "Τερπομένη κάπροισι καὶ ὠκείαις ἐλάφοισι." *Æl. de Animal. lib.* III. *cap.* 27.

Ibid. —— ὠκείῃς.] *Al.* ὠκείαις.

Ver. 105. Τῇ δέ θ' ἅμα.] *Al.* Τῇ δὲ ἅμα et Τῇ δέ θ' ἅμαι.

Ibid. et *ver.* 324. —— Αἰγιόχοιο.] Vide ad *Il.* α, 202.

Ver. 106. —— γέγηθε.] Vide ad *Il.* ά, 37. et γ', 494.

Ver. 107. Πασάων δ' ὑπὲρ ἦγε κάρη ἔχει.]

Verùm hæc —— alias inter caput extulit ——. *Virg. Ecl.* I, 25.

—— gradiensque deas supereminet omnes. *Æn.* I, 505.

Quem posteriorem locum inter eos recenset *Macrobius*, in quibus "*Virgilius Homero* "*vici carminis majestatem non æquet.*" *Lib.* V. *cap.* 13.

Ver. 110. —— ἄρ'.] *Ut par erat* ——.

Ver. 115. —— ἀμφίπολον βασίλεια.] *Al.* ἀμφιπόλου βασιλείης.

Ἀμφιπόλου μὲν ἄμαρτε· βαθείη δ' ἴμπεσε δίνη.
Αἱ δ' ἐπὶ μακρὸν ἄϋσαν· ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς·
Ἐζόμενος δ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν·
Ὤ μοι ἐγὼ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ἦ ῥ' οἵγ' ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι;
Ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
Ὥστε με κουράων ἀμφήλυθε βῆλος ἀϋτὴ
Νυμφάων, αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα,
Καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.
Ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων;
Ἀλλ' ἄγ', ἐγὼν αὐτὸς πειρήσομαι, ἠδὲ ἴδωμαι.
Ὡς εἰπὼν θάμνων ὑπεδύσετο δῖος Ὀδυσσεύς·
Ἐκ πυκινῆς δ' ὕλης πτόρθον κλάσε χειρὶ παχείῃ
Φύλλων, ὡς ῥύσαιτο περὶ χροῒ μήδεα φωτός.
Βῆ δ' ἴμεν, ὥστε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθὼς,

Ab ancillâ quidem aberravit: profundum autem incidit in vorticem.
Illae verò altè clamârunt: experrectus autem est nobilis Ulysses;
Sedensque cogitabat in mente et in animo:
" Hei mihi, quorum demùm hominum in terram deveni?
" Anne hi injurii et agrestes, neque justi?
" An hospitales, et ipsis est mens deorum-reverens?
" Ut me puellarum circumvenit foemineus clamor
" Nympharum, quae habitant montium summos vertices,
" Et fontes fluviorum, et palustria-loca herbosa.
" An jam alicubi homines sum prope vocales?
" Quin age, ego ipse experiar atque videbo."
Sic locutus arbustis egrediebatur nobilis Ulysses:
Ex densâ autem sylvâ ramum fregit manu crassâ,
Foliosum, ut tegeret circa corpus pudenda viri.
Perrexit autem ire, veluti leo montanus, viribus confisus,

Ver. 116. — *ἵμπεσε.*] *Eustathius* in commentario legit *ἵμβαλε.*

Ver. 119. —— *τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;*] Pronuntiabatur *τῶν αὖτε, &c.*

—— quas vento accesserit oras
Qui teneant, (nam inculta videt,) hominesne, feræne,
Quærere constituit ——. *Æn.* I, 311

Quæ loca, quive habeant homines, ubi mœnia gentis,
Vestigemus ——. *Æn.* VII, 131.

Ver. 122. —— *ἀμφήλυθε.*] Constabit hoc quidem in loco Temporum ratio, sive vox *ἀμφήλυθε* ex *Perfecto ἀμφήλυθα*, sive ex *Aoristo ἀμφήλυθον* deducta intelligatur. Perindè enim est, sive dicat *Ulysses*, clamorem aures sibi *pulsare*; sive *jamjam pulsâsse*. Vide ad *Il. ά*, 37. et *ν'*, 736

Ver. 124. — *πίσεα.*] *Τοὺς διὰ γέγωνε τόπους· παρὰ τὸ πίσαι, ὃ ἐστὶ πεπῆσαι. Schol.* Cæterùm *Eustathius* in commentario citat *πίσεα.*

Ver. 125. —— *αὐδηέντων;*] *Εὐφόνιον,* (*Al.* Ἐμφόνιον,) *ἰκάδε φωνῇ χερείονι. Schol.* Vide suprà ad *ί*, 334.

Ver. 127. —— *ὑπεδύσετο.*] *Al. ὑπεδέδυτο*, Quod versum perimit.

Ver. 128. —— *ἄλης.*] Vide ad *Il. γ'*, 151.

Ibid. —— *πτόρθον κλάσε.*] Ὁ δὲ πτόρθος ἴσως κλάδος ἴσως πλατύς τε καὶ ὑπερφανής. *Eustath.*

Ver. 130. *Βῆ δ' ἴμεν, ὥστε λέων, ὀρεσίτροφος.*] Fuerunt qui *Ulyssem* hoc in loco, viribus defectum procellâque penè enecatum, leoni fero parùm aptè comparari crediderint. *Eustathius* vim similitudinis in eo consistere existimat, quòd *Ulysses* puellis, *Nausicaæ* comitibus, haud minùs quàm leo, terribilis apparuerit. "Ὅτι τὸν Ὀδυσσέα γυμνὸν ὄντα, καὶ ὑποφρίσσοντος διὰ τοῦτο φαίνεται μετὰ βλαυμένους μίλλοντα ταῖς κόραις, λέοντι παραβάλλει, τέτων· " Βῆ δ' ἴμεν ὥστε λέων, &c." Εἶτα διακρίνει ὡς οὐ περὶ τὴν Ὀδυσσέως ἀνδρίαν ἡ παραβολὴ, ἀλλὰ περὶ ἔκπληξιν, ἣν ἐξ αὐτοῦ αἱ γυναῖ-

Ὅστ' εἴσ' ὑόμενος καὶ ἀήμενος· ἐν δέ οἱ ὄσσε
Δαίεται· αὐτὰρ ὁ βουσὶν ἐπέρχεται, ἤ οἰέεσσιν,
Ἠὲ μετ' ἀγροτέρας ἐλάφους· κέλεται δέ ἑ γαστὴρ,
Μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·
Ὣς Ὀδυσεὺς κούρῃσιν ἐϋπλοκάμοισιν ἔμελλε
Μίξεσθαι, γυμνός περ ἐών· χρειὼ γὰρ ἵκανε.
Σμερδαλέος δ' αὐτῇσι φάνη, πεπαλαιμένος ἅλμῃ,
Τρέσσαν δ' ἄλλυδις ἄλλη ἐπ' ἠιόνας προὐχούσας·
Οἴη δ' Ἀλκινόου θυγάτηρ μένε· τῇ γὰρ Ἀθήνη
Θάρσος ἐνὶ φρεσὶ θῆκε, καὶ ἐκ δέος εἵλετο γυίων.

Qui incedit complutus et ventos-passus; intusque ei oculos
Ardent: caeterùm is boves invadit, aut oves,
Aut agrestiores cervas; jubet nempè eum venter,
Pecudes tentaturum, etiam in densam domum ire:
Ita Ulysses puellis pulchris-comas erat
Congressurus, nudus licèt esset; necessitas enim urgebat.
Horribilis autem ipsis apparuit, deturpatus salsugine:
Diffugerunt autem huc atque illuc per ripas prominentes:
Sola autem Alcinoi filia mansit: ei enim Minerva
Audaciam in mente indidit, et metum exemit è membris.

ais ἴταλον, ἰσάγει [*ver.* 137.] "Σμερδαλέος — "*ος δ' αὐτῆς φάνη, &c.*" Dna. *Dacier* leoni eum ideò comparari arbitratur, quia audito puellarum strepitu hominibusne mitibus an crudelibus occursurus esset ignarus, ex arbusto nudus animoque intrepido egrederetur. Mihi in eo potiùs consistere videtur comparationis vis, tum quòd *Ulysses* mari tumidus, totusque spumâ fœdatus, leoni agresti ventis procellisque afflicto, "*Ὅστ'* "*εἴσ' ὑόμενος καὶ ἀήμενος,*" similis dicatur; tum quòd necessitate coactus, [*ver.* 136.] ex arbusto puellis timidis sese nec opinatò ostenderit; ipsisque (uti observat *Eustathius*) fugam et terrorem haud minorem, quàm leo ferus ovibus aut hinnulis imbecillibus, incusserit.

Ibid. —— *ἀλμί.*] Vide ad *Il. i*, 299.

Ibid. —— *πεπαλάς.*] Vide ad *Il. β'*, 314. et infrà ad *ξ'*, 467.

Ver. 131. —— *ἐν δέ οἱ ὄσσε Δαίεται.*] Scholia ex duobus MSS. *Barnesio* excerpta interpretantur, *σφοδρὸν ὁρμὴν ἔχει.* Similiterque ipse *Barnesius*; "Sensus," (inquit) "*λίαν* "*ἐν ἑαυτῷ ἦν· ὅσον δείσας* ut *Eustath.* ex- "ponit, *fol.* 1555. *lin.* 40." At quanto simplicior et facilior erit constructio, si vox *ὄσσε* neutrius generis accipiatur, (vide *Iliad. γ*, 435. 617. *ψ'*, 477.) ut sit sententia, quomodo ad hunc locum exponit *Eustathius*; *Οἱ δὲ ὀφθαλμοὶ αὐτῷ καίονται.* Vide et ad *Il. ά*, 104. *μ'*, 466. *τ'*, 16. 17. et *Odyss. δ'*, 662. ubi similem ferè loquendi rationem usurpat Poeta.

Ver. 132. —— *ἐπέρχεται.*] *Al. μετέρχεται.*

Ver. 133. —— *μήλων δὲ ἑ γαστήρ.*]

—— quos improba ventris
Exegit cæcos rabies ——. *Æn.* II, 356.
Suadet enim vesana fames ——.
Æn. IX, 340. X, 724.

Ver. 135. *Ὣς Ὀδυσεὺς κούρῃσι.*] "Ἐγερσις δὲ [ἡ Παλλάντιος] καὶ περὶ τῆς γυναικὸς, καὶ ἐν ᾗ τὸν Ναυσικάᾳ πλησίασεν Ἰφιτέμιδι Ὀδυσέα κατὰ τὰ αὐτὰ, καθὰ δὴ καὶ Ὅμηρος ἱστόρησεν. *Pausan. Attic. lib.* I. *cap.* 22.

Ver. 136. —— *χρειὼ γὰρ ἵκανε.*] Vide ad *Il. α'*, 45.

Ver. 137. *Σμερδαλέος δ' αὐτῇσι φάνη.*] "Ὅταν δὲ οἰκτρὸν ἢ φρικῶδες —— ἔπῃ εἰσάγῃ, τῶν τι φοντίνων οὐ τὰ πρόσωπα δίδει, ἀλλὰ τῶν ψοφούντων. ἢ ἀφώνων τὰ ἐκπληκτικώτατα λέγεται, καὶ καταπλήττει τοῦτοις τὰς συλλαβάς· οἷα ἐστὶ ταυτί, "Σμερδαλέος δ' αὐτῇσι φάνη "πεπαλαιμένος ἅλμῃ." *Dionys. Halicarn. περὶ συνθέσεως, § 16.* Καὶ τὸ ὕφαιμον δ' ἰόεν, διὰ τὸ συμπίπτειν καὶ αἷμα, σμερδαλέον εἰρῆσθαι· "Σμερδαλέος δ' αὐτῇσι φάνη πεπαλαιμένος ἅλ- "μῃ." ἤγουν ὕφαιμον βλέπων, διὰ τὸ συμπεπτωκὸς [*Al. συμπεπτωὸς*] ἔχειν ὀφθαλμούς, ἐκ τῆς ἁλῆς. *Porphyr. Quæst. Homeric.* 3.

Ibid. Σμερδαλέος.] *Al. Σμερδαλέος.*

Ver. 138. —— *ἐπ' ἠιόνας προὐχούσας.*] "Ἠιόνες δὲ προὐχουσαι, αἱ προεξέμυσαι ἵνα καθ' ὃν λόγον προβλῆτες πίτυροι λέγονται, οὕτω καὶ αἰγιαλοὶ προὐχοντες. *Eustath.*

Ver. 139. —— *τῇ γὰρ Ἀθήνη Θάρσος ἐνὶ φρεσὶ θῆκε.*] Vide infrà ad *ver.* 199.

Στῆ δ' ἀιτασχομένη· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς,
Ἢ γούνων λίσσοιτο λαβὼν εὐώπιδα κούρην,
Ἢ αὕτως ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι
Λίσσοιτ', εἰ δείξειε πόλιν, καὶ εἵματα δοίη.
Ὡς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Λίσσεσθαι ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι,
Μή οἱ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη.
Αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον·
Γουνοῦμαί σε, ἄνασσα· θεός νύ τις, ἢ βροτὸς ἐσσί;
Εἰ μέν τις θεὸς ἐσσὶ, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἀρτέμιδί σε ἔγωγε, Διὸς κούρῃ μεγάλοιο,
Εἶδός τε, μέγεθός τε, φυήν τ', ἀγχίστα ἐΐσκω·
Εἰ δέ τις ἐσσὶ βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,
Τρισμάκαρες μέν σοί γε πατὴρ καὶ πότνια μήτηρ,

Stetit verò contrà-expectans: deliberabat autem Ulysses,
An supplicaret genubus prehensis pulchræ-oculos puellæ;
An ut-erat, verbis eminùs-stans blandis
Precaretur, si ostenderet urbem, et vestes daret.
Sic sanè ei deliberanti visum est satius esse,
Precari verbis eminùs-stantem blandis,
Nè ei genua prehendenti iraceretur mente puella.
Protenùs blandum et solertem dixit sermonem:
" Supplex te oro, ô regina; deane aliqua, an mortalis es?
" Siquidem aliqua ex diis sis, qui latum cœlum incolunt,
" Dianæ te ego, Jovis filiæ magni,
" Formâque, staturâque, orisque habitu, quàm-proximè assimilo:
" Sin aliqua sis hominum, qui super terram habitant,
" Ter-beati quidem tibi pater et veneranda mater,

Ver. 143. —— αὔτως.] Ἤγουν οὕτως ὡς ἦχε. *Eustath.*

Ver. 145. Ὡς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.] Vide infrà ad *Il.* ω'. 155.

Ver. 148. —— μειλίχιον καὶ κερδαλέον φάτο μῦθον.] Ἐνταῦθα δὲ ὅτι μειλίχια μὲν οἱ τοῦ Ὀδυσσέως λόγοι, δηλοῖ τὸ ὑγιεμφατικὸν τῆδε. Εἰδέναι γὰρ αἱ πολλαὶ, τοὺς ἐν ἡμῖν αὐτοὺς ἑταίρους χαίροντας μειλίσσεσθαι. Κερδαλέον δὲ, διότι μαντικὰ αἰτήματα, (δῆλα γὰρ, φησὶ, μάλιστα [infrà ver. 178.] καὶ ἄνευ δείξεως) περδαίνει μεγάλα ἐν τοῖς βασιλικοῖς σκηπτοῖς, ἐναγχίσας οἷς ἐκεκεύθει, καὶ διακριτέους τὸ δῖον. *Eustath.*

Ver. 149. —— Θεός νύ τις, ἢ βροτὸς ἐσσί; —— Ἀρτέμιδί σε ἔγωγε.]

O (quam te memorem?) Virgo: namque haud tibi vultus
Mortalis, nec vox hominem sonat. O Dea certè:
An Phœbi soror ——. *Æn.* I, 331.

Ἐνταῦθα δὲ ὅτι τὸ ἀμφότερον τῶν ποιημάτων, ἐκπληξις περίεστιν, τὸν περὶ τὸ θεῖον ἀγαλλόμενον· ἐπειδὴ καὶ τὸν ἥρωα περδαλέοντα καὶ τοῦνο συλήσας, καὶ ἀφανίσας αὐτὸν τὴν τῶν ἡλίων γνῶμαν ἐκπλήττει λανθάνων. *Eustath.* Vide supra ad ver. 148. Cæterùm Vulgati hic legunt *Dubito ne tu sis, ô Virgo ipsa!* sine interrogatione. Quod multò videtur languidius.

Ver. 154. Τρισμάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ.]

Ὀλβιοι ἦς σ' ἐφύτευσαν, καὶ ἐλαΐη ἥ τίκε μάτηρ. *Musæus,* Ἡρὼ καὶ Λίανδ. 138.

—— qui tanti talem genuere parentes? *Æn.* I, 610.

Similiter apud *Petronium*, in *Satyr.* " O fe-" licem —— matrem tuam, quæ te talem " peperit!"

Ver. 154. 158. Τρισμάκαρες μὲν —— Κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος.] Ita apud *Anthologiam*:

Εὐδαίμων ὁ βλέπων σε, περιφλεγὲς ἔντος ἀκοίτης·
Ἁπλόος δ' ὁ φιλῶν, ἀθάνατος δ' ὁ σπόσας.
Paulus Epigramm. lib. VII.

Τρισμάκαρες δὲ κασίγνητοι· μάλα πού σφισι θυμὸς
Αἰὲν ἐϋφροσύνησιν ἰαίνεται, εἵνεκα σεῖο,
Λευσσόντων τοιόνδε θάλος χορὸν εἰσοιχνεῦσαν.
Κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
Ὅς κέ σ' ἐέδνοισι βρίσας οἴκονδ' ἀγάγηται.
Οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀφθαλμοῖσιν,
Οὔτ' ἄνδρ', οὔτε γυναῖκα· σέβας μ' ἔχει εἰσορόωντα.
Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ

" Ter-beati et fratres; valdè nimirùm ipsorum animus
" Semper lætitiâ perfunditur, tui gratiâ,
" Videntibus tale germen choream *te* ingredientem.
" Ille verò rursùs animo felicissimus præter cæteros,
" Quicunque te sponsaliis præponderans, domum duxerit.
" Nondum enim talem vidi mortalem oculis,
" Neque virum, neque mulierem; admiratio me tenet aspicientem.
" In Delo equidem aliquando tale, Apollinis juxta aram,

Ibid. et *ver.* 155. Τρισμάκαρες.] Vide suprà ad ι, 306. *Al.* Τρὶς μάκαρες.

Ver. 155. 156. 157. ——μάλα πού σφισι θυμὸς —— ἰαίνεται —— Λευσσόντων.] Σημείωσαι δὲ καὶ τὸ, " σφίσι θυμὸς ἰαίνεται λευσ-" σόντων," δεικνῦν σολοίκως ἔχειν, " λύεσθαι" γὰρ, ἀφιλεῖν ἐστιν. Ἔστι δὲ τοιοῦτον σχῆμα καὶ ἐν τοῖς κατὰ τὸν Κύκλωπα, ὅτι ἴδωμ (infrà ι, 256. 257.) " Ἡμῖν δὲ κατειλλάδην φίλον " ἦτορ Διοσάντων φόβητρον βαρύν." Κατασχετικὸς γὰρ καὶ αὐτὸ, σόλοικον δὲ οὐκ ὄν. *Eustath.* Vide infrà ad ψ', 205. 206. et ad *Il.* ξ', 141.

Ver. 156. ——ἰαίνεται.] Κρατοῦν δὲ [τὸ θυμὸν] τοῦ ψυχροῦ, διάχυσιν παρέχει καὶ ἄλλαν τῷ σώματι μεθ' ἡδονῆς· ὅπερ Ὁμηρος ἰαίνεσθαι κέκληκεν. *Plutarch. de primo frigido.*

Ver. 157. ——τοῖόνδε θάλος χορὸν εἰσοιχνεῦσαν.] Vide infrà ad λ', 90. 91. *Eustathius* quidem in dubium vocat, utrùm vox εἰσοιχνεῦσαν contracta sit ex εἰσοιχήσουσαν, an sit ipsa participium neutrius generis; sed minùs rectè: alibi enim apud Poetam occurrunt voces οἰχνέω, εἰσοιχνέω· at οἰχνέω, εἰσοιχνέω, nusquam.

Ibid. et *ver.* 244. ——τοιόνδε——τοῖόνδε.] Vide ad *Il.* ι', 357.

Ver. 159. Ὅς κέ σ' ἐέδνοισι βρίσας.] Editio *Wetsteniana* istud ἐέδνοισι βρίσας vertit, " *dote* " *gravis*." *Scholiastes* autem ἐέδνοισι exponit, " Τοῖς πρὸ γάμου δώροις, μνήστροις· vocemque βρίσας interpretatur βαρήσας. Quæ quidem et ad sententiam potior videtur explicatio; et isto sensu semper ferè apud Poetam usurpatur vox ἔεδνα. Notandum tamen vocem βρίθω nusquam alibi apud Poetam *sensu activo* usurpari. Vide *Iliad.* ή, 343. μ', 286. 346. ε', 233. 512. σ', 561. *Odyss.* ί, 216. τ', 112. Undè verior fortassè sententiæ interpretatio quam hìc affert *Eustathius*: Τὸ δὲ, " βρίσας," (inquit) ἀντὶ τοῦ πιέσας ἴδιον πάλαι τοὺς ἄλλους μνηστῆρας, διὰ τὸ τῆς κόρης δηλαδὴ στερισμάχητον. Καὶ ἐστὶν ἡ μεταφορὰ, ἐκ τῶν σταλμιζομένων ῥοπῶν. Cæterùm Scholia ex MS. *Aloysii* excerpta apud *Barnesium*, vocem βρίσας hìc à βρίζω deductam volunt; sed malè omninò, et ad sensum, et ad prosodiam. Vide ad *Il.* ά, 140. et ή, 343.

Ibid. ——ἐέδνοισι.] Vide ad *Il.* ι', 382.

Ver. 162. Δήλῳ δή ποτε τοῖον. " Quod " Homericus Ulyxes Deli se proceram et " teneram palmam vidisse dixit, hodie mon-" strant eandem." *Cic. de Legibus, lib.* I. sub initio. " Nec non palma Deli ab ejus-" dem dei [*Apollinis*] ætate conspicitur." *Plin. Nat. Hist. lib.* XVI. *cap.* 44. Ὁ δὲ πολυφωνότατος ἀπάντων τῶν ποιητῶν Ὅμηρος, ὅταν μὲν ὦσιν ἔψυχοι τυμέφθου, καὶ πάλαι ἡδονῆς ἐπαγωγὸν ἐπιδείξασθαι βούληται, τῶν τε φωνήεντων τοῖς κρατίστοις χρήσεται, καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις, καὶ οὐ παπαφανεῖσι τοῖς ἀφόνοις τὰς συλλαβὰς, οὐδὲ συγκόψει τοὺς ἤχους, παραπαίοις ἀλλήλοις τὰ διαίφορα, περιΐασι δὲ τισὶ ποιήσει τὴν ἁρμονίαν τῶν γραμμάτων, καὶ ῥέουσαν ἀλύπως διὰ τῆς ἀκοῆς· ὡς ἔχω ταυτὶ——" Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος " παρὰ βωμῷ, Φοίνικος νέον ἔρνος ἀνεχόμενον " ἰνήνην." *Dionys. Halicarn.* περὶ συνθέσεως, § 16. Ἔστι καὶ παρ' αὐτῷ [Ὁμήρῳ] πολλὰ φυτὰ στερνότερα ἀκούσαι τῶν ἐρεμίνων· " Δή-" λῳ δή ποτε τοῖον, ἐκ." Καὶ ἡ διηγήσασα τῆς Καλυψοῦς νῆσος· καὶ τῆς Κίρκης σκήλαιον· καὶ ὁ Ἀλκινόου κῆπος. Εὖ ἴσθι, τούτων οὐδὲν ὄψει στερνότερον. *Julian. Imperat. Misopog.*

Ibid. ——παρὰ βωμῷ.] *Casaubonus*, in annotationibus ad *Athenæi, lib.* XIV. *cap.* 9. citat περὶ βωμῷ. *Julianus* antem loco jam suprà citato, legit, aut memoriter citat, παρὰ βωμόν.

Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα·
(Ἦλθον γὰρ καὶ κεῖσε, πολὺς δέ μοι ἕσπετο λαὸς
Τὴν ὁδὸν, ἣ δὴ ἔμελλεν ἐμοὶ κακὰ κήδε' ἔσεσθαι·)
Ὡς δ' αὕτως καὶ κεῖνο ἰδὼν, ἐτεθήπεα θυμῷ
Δήν· ἐπεὶ οὔτω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης·
Ὥς σε, γύναι, ἄγαμαί τε, τίθημά τε, δείδιά τ' αἰνῶς
Γούνων ἅψασθαι· χαλεπὸν δέ με πένθος ἱκάνει.
Χθιζὸς εἰκοστῷ φύγον ἤματι οἴνοπα πόντον·
Τόφρα δέ μ' αἰεὶ κῦμα φόρει κραιπναί τε θύελλαι
Νήσου ἀπ' Ὠγυγίης· νῦν δ' ἐνθάδε κάββαλε δαίμων,
Ὄφρ' ἔτι που καὶ τῇδε πάθω κακόν· οὐ γὰρ ὀΐω
Παύεσθ'· ἀλλ' ἔτι πολλὰ θεοὶ τελέουσι πάρεισιν.
Ἀλλὰ, ἄνασσ', ἐλέαιρε, σὲ γὰρ κακὰ πολλὰ μογήσας
Ἐς πρώτην ἱκόμην· τῶν δ' ἄλλων οὔτινα οἶδα
Ἀνθρώπων, οἵ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν.
Ἄστυ δέ μοι δεῖξον, δὸς δὲ ῥάκος ἀμφιβαλέσθαι,
Εἴτι που εἴλυμα σπείρων ἔχες ἐνθάδ' ἰοῦσα.

" Palmae recens germen succrescens vidi:
" (Profectus enim eram et illuc, multus autem me sequebatur populus
" In eâ profectione, quae demùm erat mihi malum damnum futura.)
" Utque similiter et illud conspicatus, obstupui animo
" Diù, quandoquidem nunquam tale succrevit lignum è terrâ;
" Ita te, mulier, admiror, obstupeo, et vereor admodùm
" Genua prehendere: gravis autem me dolor occupat.
" Heri vigesimo effugi die nigrum pontum:
" Eousque verò me perpetuò fluctus ferebat, et celeres procellae
" Insulâ ab Ogygiâ: nunc verò me huc appulit deus,
" Ut adhuc fortassè et hîc patiar malum; non enim puto
" Cessaturos; sed adhuc multa dii efficient priùs.
" Verùm, regina, miserere, te enim mala multa passus
" Primam accessi; caeterorum autem neminem novi
" Hominum, qui hanc urbem et terram incolunt.
" Urbem verò mihi ostende, daque pannum ad *me* circumcingendum,
" Si quod fortassè involucrum pannorum haberes huc profecta.

Ver. 163. *Φοίνικος νέον ἔρνος.*] Τὸν ἀναστάντα λέγει φοίνικα τῇ Δήλῳ, οὗ ἐφαψαμένη ἀνεπαύσατο. *Schol.*

Ἔνθα τριετήρικός τι φοβεῖ,
Δάφνη θ' ἱερὸν ἄνσχε
Πτόρθοις Λητοῦ φίλᾳ
Ὠδῖνος ἄγαλμα βίας.
Euripid. Hecub. ver. 458.

Φαῖδε ἄναξ ὅστ μὲν σὺ διὰ νῆσ πότνια Λητὼ,
Φοίνικος βαθυῆς χερσὶν ἐφαψαμένη.
Theognid. Gnom. ver. 5.

Ver. 164. Ἦλθον γὰρ κἀκεῖσε, πολὺς δέ μοι.] Πλουσίως ἐμφαίνει τινὰ τῶν ἀτυφοτέρων, ἵνα μὴ φεύγοις, ἢ κωμῳδήσῃ τίνα δείξῃ. *Schol.*

Ver 165. —— ἣ δὴ ἔμελλεν.] Ita Vulgati. Sed legendum potiùs crediderim, ἥ δὲ ut sit, " *Quâ demùm erant mihi mali casus futuri.*"

Ver. 168. —— τίθημά τε, δείδιά τ'.] Similiterque *ver.* 265. Εἰρύατο. Vide ad *Il. δ*, 37. et *ν*, 736.

Ver. 174. Παύεσθ'.] Apud *Eustathium* in commentario, Παύεσθε.

Ver. 178. Ἄστυ δέ μοι δεῖξον, δὸς δὲ ῥάκος.] Vide suprà ad *ver.* 148.

Σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς,
Ἄνδρα τε καὶ οἶκον, καὶ ὁμοφροσύνην ὀπάσσαι
Ἐσθλήν· οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον,
Ἔργα τ' ἐκίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς.
Ἔκτοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
Τετράγυος· περὶ δ' ἕρκος ἐλήλαται ἀμφοτέρωθεν.
Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,
Ὄγχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι, 115

Benè-textis autem à linteis distillat humidum oleum.
Tantum Phaeaces supra omnes periti sunt homines
In celeri nave per pontum dirigendâ: tantum etiam mulieres *praestant*
In telâ texendâ; suprà-modum enim illis dedit Pallas 110
Operaque scire perpulchra, et ingenium bonum.
Extra verò aulam ingens hortus prope januas
Quatuor-jugerum: circà autem septum ductum est utrinque.
Ibi verò arbores procerae crescebant virentes,
Pirus, et malus-punica, et mali pulchrum-fructum-ferentes, 115

Ver. 107. Καιρεσίων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον.] Ἦτοι οὗτος ἦσαν πυκναὶ, ὡς μηδὲ ἔλαιον δι' αὐτῶν διελθεῖν· ἢ ἕξωθεν ὡς ἔλαιον ἔστιλλεν, διὰ τὴν λιπαρότητα· ἢ τροφεῖα ἦσαν, ὡς δοκεῖν ἔλαιον ἀπορρεῖν· ἢ οὕτως ἀπεστίλβειν τὸν μίτον, ὡς δοκεῖν ἔλαιον ἀποβάλλειν. *Schol.* Easdemque ferè interpretationes affert et *Eustathius*. *Plutarchus* primam interpretationem secutus videtur; "Ὁμηρος εἶπεν, "Καὶ "ῥοιῶν δ' ὀθονῶν ἀπολείβεται ὑγρὸν ἔλαιον," ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ λειότητα τοῦ ὕφους, τῷ μὴ τερετισμὸν τὸ ἔλαιον, ἀλλ' ἀπορρεῖν καὶ ἀπολισθαίνειν τῆς συνύφαντος, οὐ δίησιν. *De Pythiae Oraculis*, haud longè ab initio. Optima autem, ut opinor, postrema *Eustathii* explicatio; nempè ut στίλβειν αἱ συμπύκνοι λέγοντο ἐν ὑφάσι, ὡς ἴδιόν τι ἔλαιον αὐτῶν ἀπολείβειν, διὰ τὸ στιλπνὸν χρῶμα τῶν πεπυφότων καὶ ἴσα ἀπλούτων ὑφασμάτων. Cui accipiendi rationi favet id quod legitur *Iliad.* σ', 595. "——— οἱ δὲ χιτῶνας Εἵματα ἰμάσσοντες, ἅμα στίλβοντι ἐέσσας ἐλαίῳ." Et *Odyss.* γ', 408. "——— "ἐπὶ ξεστῆσι λίθοισι, Οἵ οἱ ἔσαν προπάροιθε "θυράων ὑψηλάων λειναὶ, ἀποστίλβουσιν ἀλείφατος." Quem locum hîc respicit *Eustathius*, quum addit; "Ὅτι δὲ καὶ ῥόαι λάβρως οὕτω στίλβουσι, ἐν τῇ κατὰ συχνὴν σαφηνείᾳ λειάνσιμοι, οἱ κατὰ Πίνδαρον μακρόμηροι Ῥόδιοι ἰδήλωσαν.

Ibid. Καιρεσίων.] Εὐῦφῶν, ὦ πυκνοκρεμνώδη καίρεσμα δὲ ἐστὶ τὸ διαλειπόμενον ἐν τῷ στήμονι, παρὰ τὸν μίτον ὑπὲρ καὶ ὑπὸ μέρους τοῦ μὴ συγχωρεῖσθαι τοῖς στήμοσι· ὕθεν ἀπὸ μέρους τοῦ μετώπατος, τοὺς ἄλους ἰσύφεις λέγει. *Schol.*

Ibid. ——— ὀθονέων.] Pronuntiabatur ὀθονῶν. Quo modo et legit *Plutarchus*, loco suprà citato.

Ver. 108. Τόσσον.] *Al.* Ὅσσον.

Ver. 110. ——— τιχνῆσαι.] *Scholiastes* videtur legisse στιχνῆσαι ex στιχνήσασαι notante *Barnesio*.

Ver. 112. ——— μίγας ὄρχατος.] Ἡ ἐπὶ στίχον, καὶ ἐν τάξει τῶν ἐμπίλων φυτεία, ὄρχατος λέγεται, ἢ κῆπος. *Schol.* Vide et suprà ad ζ', 162.

Ver. 113. Τετράγυος.] Τετράγωνος γωνὸν γόνι δὲ μίτρον γῆς γεωμετικόν. *Schol.* Τετράγυος δὲ, οὐ ἐκάστη τῶν τετράρων πλευρῶν γύον εἴχεν. *Eustath.*

Ibid. ——— περὶ δ' ἕρκος ἐλήλαται.] Sic apud *Hesiodum*:

Τὸν πέρι χάλκειον ἕρκος ἐλήλαται ———.
Theogon. ver. 726.

Ibid. ——— ἐλήλαται.] Similiterque *ver.* 123. ἐρίζωται.] Vide ad *Il.* ά, 37.

Ver. 114. Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει.] Τῶν δένδρων τὰ μὲν παρεμφερῆ καλὰ προσαγορεύειν ἔνθα, "Δένδρεα καλὰ συφάκι, Ὄγχναι, "καὶ ῥοιαὶ, καὶ μηλέαι" τὰ δ' εἰς ξυλείαν εὐθετα, μακρὰ· τοῖς ἱστίοις τὰς κεραίας διατείλαν. *Athenaeus, lib.* I. *cap.* 19. Ubi notandum, pro δένδρεα μακρὰ, legisse hîc *Athenaeum*, δένδρεα καλά. Vide et suprà ad ί, 238.

Ver. 115. Ὄγχναι.] Nonnulli legunt Ὄχναι. Quam et veriorem esse lectionem contendit *Barnesius*, ex *Odyss.* ώ, 246. Οὐκ ὄγχνη, οὐ συκέαι σοι ἔπειν κεμάδας κατὰ κῆπον· "ubi *Prior* Syllaba." inquit, "communis." Sed vide ad istum locum.

Ibid. ——— μηλέαι ἀγλαόκαρποι.] Ζήτησις οὖν ἦν διὰ τί τὰς μηλέας ὁ Ποιητὴς ἀγλαοκάρπους εἰρηκέναι πρόκειται. Καὶ Τρύφων μὲν ὁ ἰατρὸς ἔλεγε, κατὰ τὴν πρὸς τὸ δένδρεα εἰρηκο-

Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.
Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἐπιλείπει
Χείματος, οὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ μάλ' αἰεὶ
Ζεφυρίη πνείουσα, τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
Αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ.
Ἔνθα δέ οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται·
Τῆς ἕτερον μὲν, θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
Τέρσεται ἠελίῳ· ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
Ἄλλας δὲ τραπέουσι· πάροιθε δέ τ' ὄμφακες εἰσὶν,

Ficusque dulces, et oleæ virescentes.
Ex iis fructus nunquam perit, neque deficit
Hyeme, neque æstate, perennis; sed omninò semper
Zephyrus spirans, alia quidem crescere-facit, alia verò maturescere.
Pirus post pirum senescit, malum post malum,
Ac post uvam uva, ficusque post ficum.
Ibi porrò ei fructuosa vinea plantata est:
Hujus alterum quidem apricum solum lato in loco
Siccatur sole; alias autem vindemiant,
Alias verò calcant; antè autem uvæ immaturæ sunt,

Θαι σύγκρισιν, ὅτι μικρὸν ὂν καμὸν, καὶ τὴν ὕλην ὠφέλιμος, καλὸν καὶ μέγαν ἐκφέρει τὸν καρπόν. Ἄλλος δὲ τὶς ἴφη, τὸ καλὸν ἐκ πάντων συντίθησι, μόνῳ τούτῳ τῶν ἀκροδρύων ἐφῆν ὑπάρχειν· καὶ γὰρ τὸν ψαῦσον ἔχει καθάπερ ἴσον, ὅσον μὴ μαλάσσει, ἀλλ' ὑφάδας ἀναπιμπλάναι τὸν ἀστέμφυτον, καὶ τὸν γεῦσιν ἡδίαν· ἐκφαίνουσι δέ τι καὶ θεῖον ὑστερίζοντα τοῦ ὄντος· διὸ καὶ πάσας ἐμοὶ τὰς αἰσθήσεις προσαγόμενον, ὑπέσχον ἐκπλῆξαι. *Plutarch. Symposiac. lib.* V. *Probl.* 8. sub initio.

Ver. 116. Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.] Καλὰ δὲ καὶ τὰ ὑπ' ἐνίων. Παραστησάμενος γὰρ ὁ Πανὼν ἐνδέκατον δένδρον ὑπ' ἐνίων ἐκφέρεσθαι καιρὸν φασὶν ἰδώνυτα. Καλὸν μὲν γὰρ τὸ μῆλον· καὶ ὡς αὐτὸς φησὶ, καρπὸς ἀγλαὸς· διὸ καὶ ἀγλαόκαρπος ἀμαλθὶς, ὡς αὐτίκα εἰρήσεται. Γλυκὺ δὲ ὑπερβαλλόντως τὸ σῦκον ἐν ὑπόροις. Ἀειθαλὴς δὲ ἡ ἐλαία. *Eustath.* Ὅμηρος δὲ ὁ σοφὸς τὰ μὲν ἄλλα τῶν καρπῶν εἰς μέγεθος, ἢ χρόαν, ἢ κάλλος ἰσασιῇ μόνῳ δὲ τῷ σύκῳ τὴν τῆς γλυκύτητος ἰσονομίαν συγχωρεῖ· καὶ τὸ μὲν μῆλα χλοερὰ καλεῖ, διὰ τὸ μὴ λάβη γλυκύ, προσιὸν δὲ καὶ πικρὸν εἶναι πολλάκις συμβαίνει· τῷ σύκῳ ἴσα δὲ μόνῳ ἀποδίδωσι τὴν εἰσίαν εὐφημίαν, ὅσπερ τῷ νέκταρι, διότι καὶ μόνον γλυκὺ τῶν ἄλλων ἐστίν. *Julian. Epist.* 24.

Ver. 117. —— οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἐπιλείπει.] Τοιοῦτον οὐδ' ὑπὸ τοὺς πάθους φθίνουσι, οὐδὲ μὴν διακαιόμενος ἀπολείπει. *Eustath.*

Ibid. —— ἐπιλείπει.] Ita *Henricus Stephanus* et Vulgati. *Eustathius* autem et in contextu et in commentario legit ἀπολείπει· uti edidit et *Barnesius*. Cumque iis facit et MS. unus à *Tho. Bentleio* collatus. *Al.* ἀπολήγει.

Ver. 118. —— ἐπετήσιος.] Ἐπετησιὸς καὶ διπτυχὴς καὶ ἐξαρκῶν εἰς ἄλλο ἔτος. *Eustath.*

Ver. 119. Ζεφυρίη.] Ἡ τοῦ Ζεφύρου πνοή. *Schol.* Vide et ad *Il.* Υ, 398.

Ver. 120. Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει.] *Diodorus Siculus* de insulâ quâdam in Oceano versus meridiem repertâ: Τὰς ὥρας δὲ παρ' αὐτοῖς παρ' ὅλον τὸν ἐνιαυτὸν ἀμιμήτως ἔφασαν καὶ ὁ Πανὼν φησὶν· "Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ, Αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ." *Bibliothec. Hist. lib.* II. haud longè à fine. Ἐπιμελουμένους δὲ αὐτοὺς [ἥρωας] εἰσάγει [Ὁμηρος] καὶ τῶν ἀκροδρύων· "Ὄχνη γὰρ ἐπ' ὄχνῃ σὺν γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ." *Athenæus, lib.* I. *cap.* 19. Observat autem idem *Athenæus* fructus hosce nemini usquam ad edendum appositos memorari: Καὶ μὴν οὐδ' ὑπώραι παραπίπτουσί τισι, καὶ περὶ οὗσαι πολλαὶ, καὶ ἴδιαι παύσης μνημονεύουσι, καὶ πάντα χρόνον παρασκευάζουσι ἀδάπανον. "Ὄχνη" γὰρ φησὶν "ἐπ' ὄχνῃ." καὶ τὰ ἑξῆς. *Lib.* I. *cap.* 8.

Ibid. Ὄγχνη — ὄγχνῃ.] Vide suprà ad *ver.* 115.

Ver. 123. —— θειλόπεδον.] Ἔνθα θίλος γίνεται βοτρύων, καὶ ἁλωῦνται, καὶ ψύχονται ἢ ὑ ψυκτῆρ. *Schol.*

Ver. 124. —— ἑτέρας δ' ἄρα τε τρυγόωσιν.] *Al.* ἑτέρας δὲ ἄρα τρυγόωσιν.

Ver. 125. —— τραπέουσι.] Ἀντὶ τοῦ πατοῦσιν. *Eustath.*

Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσιν.
Ἔνθα δὲ κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
Παντοῖαι πεφύασιν, ἐπηετανὸν γανόωσαι·
Ἐν δὲ δύω κρῆναι, ἡ μέν τ' ἀνὰ κῆπον ἅπαντα
Σκίδναται, ἡ δ' ἑτέρωθεν ὑπ' αὐλῆς οὐδὸν ἵησι
Πρὸς δόμον ὑψηλόν, ὅθεν ὑδρεύοντο πολῖται.
Τοῖά ῥ' ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
Ἔνθα στὰς θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐπειδὴ πάντα ἑῷ θηήσατο θυμῷ,
Καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσατο δώματος εἴσω.
Εὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας
Σπένδοντας δεπάεσσιν ἐυσκόπῳ Ἀργειφόντῃ,
Ὧ κυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου,

Florem emittentes, aliae verò submaturescunt.
Ibi porrò excultae areolae ad extremum ordinem
Omnis generis consitae sunt, perennè florentes:
Insunt autem duo fontes; alter quidem per hortum totum
Dispergitur, alter verò ex-alterâ-parte sub aulae limen fluit
Ad domum excelsam, undè aquabantur cives.
Talia utique in Alcinoi *domo* deorum erant splendida dona.
Ibi stans admirabatur patiens nobilis Ulysses.
Caeterùm postquam omnia suo admiratus esset animo,
Celeriter super limen ingressus est domum intra.
Invenit autem Phaeacum ductores atque principes
Libantes poculis speculatori Argicidae;
Cui ultimo libabant, quando cogitabant de-lecto.

Ver. 126. Ἄνθος ἀφιεῖσαι.] Ἀπὸ ἄνθους εἰς ὄμφακας μεταβάλλουσαι. *Schol.*

Ibid. —— ἀφιεῖσαι.] "*Prior* Syllaba τοῦ "ιῖς," inquit *Barnesius*, "per se *communis*, "plus semel *Homero* producitur, ut *Iliad.* "ά, *ver.* 51. Αὐτὰρ ἔπειτ' αὐτοῖσι βίλος ἐχι- "πινὴς ἰφθίμῃσι· Et *Odyss.* μ', 192. "Ὡς φά- "σαν, ἰῖσαι ὅπα πάλλιμον." Quæ quàm supervacanea sit annotatio, vide ad *Il.* ν', 103. et ά, 24.

Ibid. —— ὑποπερκάζουσιν.] Τῇ παρεπτάσει ἀμφιέζουσιν· οἷον ἐκ τοῦ ὄμφακος μεταβάλλουσιν εἰς τὸ μέλαν τῆς σταφυλῆς χρῶμα πεπαινόμενα. *Schol.*

Ver. 127. Ἔνθα δὲ κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον.] Παριστᾶσι δὲ τοὺς ἥρωας διατρύφαι καὶ λάχανα. Ὅτι δὲ οἴδασι τὰς λαχανικὰς, δῆλον ἐκ τῶν παρὰ νείατον ὄρχον κοσμηταὶ πρασιαί. *Athenæus, lib.* I. *cap.* 19.

Ibid. —— πρασιαί.] Αἱ λαχανικαί, ἢ αἱ τῶν φυτικῶν τετράγωνοι σχίσεις ὡς τὰ πλινθία. *Schol.*

Ibid. —— ὄρχον.] Στίχον ἀμπέλου. *Schol.*

Ver. 128. —— πεφύασιν.] Vide ad *Il.* ν', 736. et ά, 37.

Ver. 130. —— ἵησι.] *Al.* ἵησι.

Ver. 131. —— ὅθεν ὑδρεύοντο πολῖται.] Ita ex *Scholiaste* et ex *Henrico Stephano* restituit *Barnesius*: Quocum facit et MSS. nonnulli à *Tho. Bentleio* collati. Ita porrò, notante *Barnesio*, in omnibus codicibus legitur infrà ρ', 206. ubi idem hemistichium occurrit. Apud *Eustathium*, Editionumque veterum nonnullas, hoc in loco corruptè ὑδρεύοντα.

Ver. 132. Τοῖά ῥ'.] *Talia inquam* ——. *Al.* Τοῖ' ἄρ'. Quod idem.

Ver. 138. Ὧ κυμάτῳ σπένδεσκον.] Ἐπεὶ ὀνειρόπομπος, ἢ ὕπνου παρεπιπομὴς· διὸ καὶ "Εἴλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλ- "γει," [suprà ε, 47.] *Schol.* Ἐσπένδον δὲ ἀπὸ τῶν δείπνων ἀναλύοντες, καὶ τὰς σπονδὰς ἐποιοῦντο Ἑρμῇ ——. Δοκεῖ γὰρ Ἑρμῆς ὕπνου προστάτης εἶναι. *Athenæus, lib.* I. *cap.* 14. Οἱ δὲ τῷ Ἑρμῇ κυμάτῳ σπένδοντες, ὅτε μνησαίατο κοίτου, ἀφ' οὗ καὶ εἰς τὸ αὐτὸ συνάγουσι τῷ οἴνῳ τὸν λόγον; Ὡς γοῦν παρόντι καὶ συνεπικοσμοῦντι τῷ φρονιμωτάτῳ θεῷ πρῶτον ἀπαλλαττόμενοι προσεύχονται. *Plutarch. Symposiac. lib.* VII. *Probl.* 9.

Ibid. —— σπένδεσκον.] Vide ad *Il.* ά, 37. et β', 221.

Αὐτὰρ ὁ βῆ διὰ δῶμα πολύτλας δῖος Ὀδυσσεὺς,
Πολλὴν ἠέρ' ἔχων, ἣν οἱ περίχευεν Ἀθήνη,
Ὄφρ' ἵκεθ' Ἀρήτην τε καὶ Ἀλκίνοον βασιλῆα.
Ἀμφὶ δ' ἄρ' Ἀρήτης βάλε γούνασι χεῖρας Ὀδυσσεύς.
Καὶ τότε δὴ ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ.
Οἱ δ' ἄνεῳ ἐγένοντο δόμον κατὰ φῶτα ἰδόντες·
Θαύμαζον δ' ὀρόωντες· ὁ δ' ἐλλιτάνευεν Ὀδυσσεύς·
Ἀρήτη, θύγατερ Ῥηξήνορος ἀντιθέοιο,
Σόν τε πόσιν, σά τε γούναθ' ἱκάνω, πολλὰ μογήσας,
Τούσδε τε δαιτυμόνας, τοῖσιν θεοὶ ὄλβια δοῖεν
Ζωήμεναι, καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος
Κτήματ' ἐνὶ μεγάροισι, γέρας θ', ὅ,τι δῆμος ἔδωκεν·
Αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε πατρίδ' ἱκέσθαι
Θᾶσσον· ἐπειδὴ δηθὰ φίλων ἀπὸ πήματα πάσχω.
Ὣς εἰπὼν, κατ' ἄρ' ἕζετ' ἐπ' ἰσχάρῃ ἐν κονίῃσι
Πὰρ πυρί· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Ὀψὲ δὲ δὴ μετέειπε γέρων ἥρως Ἐχένηος,
Ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν,

Verùm ivit per domum patiens nobilis Ulysses,
Multam caliginem habens, quam ei circumfudit Minerva,
Donec pervenit ad Areten et Alcinoum regem.
Circumjecit autem Aretae genubus manus Ulysses.
Et tum demùm retrò ab eo dissipatus est divinitùs-affusus aër.
Illi verò muti facti sunt per domum, virum conspicati;
Admirabanturque intuentes: supplicabat autem Ulysses:
" Arete, filia Rhexenoris deo-paris,
" Ad tuum maritum, et ad tua genua venio, multa passus,
" Et ad hosce convivas; quibus dii feliciter dent
" Vivere, et liberis transmittat unusquisque
" Possessiones in aedibus, honoremque, quemcunque populus dederit:
" At mihi deductionem parate, in patriam ut-perveniam
" Ocyùs; quoniam diù *procul* ab amicis aerumnas patior."
Sic fatus, resedit ad focum in cineribus
Juxta ignem; illi verò omnes obmutuerunt silentio.
Serò autem tandem interfatus est senex heros Echeneus,
Qui sanè Phaeacum virorum maximus-natu erat,

Ver. 140. —— ἣν οἱ περίχευεν Ἀθήνη.] Τουτέστι φρόνησιν, ἡ προβουλευσαμένη τὸν τοιοῦτον παιρόν. *Eustath.* Vide suprà ad ver. 15.

Ver. 142. —— ἄρ'.] *Proindè, ut ei præceperat Nausicaa* ——, suprà ζ, 310.

Ver. 143. Καὶ τότε δὴ ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ.]

Vix ea fatus erat, cùm circumfusa repentè
Scindit se nubes, et in æthera purgat apertum.

Restitit Æneas, claràque in luce refulsit.
Æn. I, 590.

Ver. 145. —— ἰλλιτάνευεν Ὀδυσσεύς.] Ita *Barnesius*. *Al.* ἰλιτάνευεν Ὀδυσσεύς. Quæ omnia eodem modo pronuntianda. Vide ad *Il.* ά, 4. 51. et φ', 71.

Ver. 149. —— ἐπιτρέψειεν ἕκαστος.] *Al.* ἐπιτρέψειεν ἕκαστος.

Ver. 153. 160. —— ἵζετ' —— ἐν κονίῃσι —— ἥστο —— ἐν κονίῃσι.] Vide ad *Il.* ά, 593. et θ', 156.

Καὶ μύθοισι πάπαστο, παλαιά τε, πολλά τε εἰδώς.
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀλκίνοε, οὐ μέν τοι τόδε κάλλιον, οὐδὲ ἔοικε,
Ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ' ἰσχάρῃ ἐν κονίῃσιν·
Οἵγε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
Ἀλλ' ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
Εἵσον ἀναστήσας· σὺ δὲ κηρύκεσσι κέλευσον
Οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνῳ
Σπείσομεν, ὅσθ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ·
Δόρπον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσ' ἱερὸν μένος Ἀλκινόοιο,
Χειρὸς ἑλὼν Ὀδυσῆα δαΐφρονα ποικιλομήτην,
Ὦρσεν ἀπ' ἰσχαρόφιν, καὶ ἐπὶ θρόνου εἷσε φαεινοῦ,
Υἱὸν ἀναστήσας ἀγαπήνορα Λαοδάμαντα,
Ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκε.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.

Et eloquentiâ praestabat, priscaque et plurima doctus.
Qui inter eos benè-volens concionatus est et dixit:
" Alcinoë, non sanè tibi hoc honestius, neque convenit,
" Hospitem quidem humi sedere ad focum in cineribus:
" Hi verò tuum jussum expectantes continent-se.
" Verùm age jam hospitem in sede argenteis-clavis-distincta
" Colloca erectum: tu autem praeconibus impera
" Vinum infundere; ut et Jovi fulmine-gaudenti
" Libemus, qui utique supplices venerandos comitatur:
" Coenam verò hospiti proma det ex intùs reconditis."
At postquam hoc audiisset sacra vis Alcinoi,
Manu prehensum Ulyssem prudentem versutum,
Erexit à foco, et in sedem collocavit splendidam,
Filio exsuscitato, virtutis-amante Laodamante,
Qui ei proximus sedebat; maximè autem *ipse* eum diligebat.
Aquam verò ancilla gutturnio infudit ferens
Pulchro, aureo, super argenteum lebetem
Ad lavandum, juxtaque positam extendit mensam.

Ver. 158. Ὅς σφιν.] Ita *Barnesius*. *Vulgg.* Ὅ σφιν.

Ver. 164. Οἶνον ἐπικρῆσαι.] Ἐπὶ τῷ ὄντι ἔπιτρεψον ἐπικρᾶσαι. *Schol.*

Ver. 169. —— ἰσχαρόφιν.] *Al.* ἰσχαρέφιν.

Ver. 170. Υἱὸν ἀναστήσας.] Ἐσκινοῦμεν δὲ καὶ τὸν Ἀλκίνουν, ὅτι τὸν ξένον ἐδρύει παρ' αὑτόν. " Υἱὸν ἀναστήσας ἀγαπήνορα Λαοδάμαντα, Ὅ. " οἱ πλησίον ἧστο, μάλιστα δέ μιν φιλέεσκεν." τὸ γὰρ τίς τὴν τοῦ φιλουμένου χάριν παθεῖσαι οὐκ ἀκτῆται, ἀπιδέξιον ἡμιλλῶς καὶ φιλάνθρωπον. *Plutarch. Symposiac. lib.* I. *Probl.* 2.

Ibid. —— ἀγαπήνορα.] Τὸ ἀνδρῶν ἠγαπημένον, ἢ φιλάνθρωπον· ἢ τὸν ἀγαπῶντα ἀνδρείαν. *Schol.*

Ibid. —— Λαοδάμαντα.] Apud *Plutarchum*, loco suprà citato, Λαομέδοντα.

Ver. 171. —— πλησίον ἷζε.] Apud *Plutarchum*, πλησίον ἧστο.

Ver. 172. Χέρνιβα δ' ἀμφίπολος.]

Dant famuli manibus lymphas ——
Æn. I, 704.

Ver. 173. Καλῇ.] Similiterque *ver.* 191. 235 et 336. καλά. Vide ad *Il.* β', 43.

Ver. 174. Νίψασθαι.] Παραπεπηγότων δὲ καὶ, ὅταν Ὀδυσσεὺς ἀπονιζόμενος τὰς χεῖρας πιεῖ,

Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Αὐτὰρ ὁ πῖνε καὶ ἦσθε πολύτλας δῖος Ὀδυσσεύς.
Καὶ τότε κήρυκα προσέφη μέγας Ἀλκινόοιο·
Ποντόνοε, κρητῆρα περασσάμενος μέθυ νεῖμον
Πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνῳ
Σπείσομεν, ὅσθ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Ὣς φάτο· Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα·
Νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν·
Αὐτὰρ ἐπεὶ σπείσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε·
Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Νῦν μὲν δαισάμενοι κατακείετε οἶκαδ' ἰόντες·
Ἠῶθεν δὲ γέροντας ἐπὶ πλείονας καλέσαντες,
Ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν, ἠδὲ θεοῖσι
Ῥέξομεν ἱερὰ καλά· ἔπειτα δὲ καὶ περὶ πομπῆς

Panem verò veneranda proma apposuit ferens,
Fercula multa apponens, largiens de praesentibus.
Caeterùm bibebat et comedebat patiens nobilis Ulysses.
Et tum praeconem allocuta est vis Alcinoi:
" Pontonoë, cratere mixto vinum distribue
" Omnibus per domum: ut et Jovi fulmine-gaudenti
" Libemus, qui utique supplices venerandos comitatur."
Sic ait: Pontonous autem dulce vinum miscebat:
Distribuitque omnibus, auspicatus poculis.
Caeterùm postquam libassentque, bibissentque, quantum volebat animus,
Illis dein Alcinous concionatus est et interfatus:
" Audite, Phaeacum ductores atque principes,
" Ut dicam, quae me animus in pectoribus jubet.
" Nunc quidem epulati cubetis domum profecti:
" Manè verò senibus pluribus advocatis,
" Hospitem in aedibus hospitio-excipiemus, atque diis
" Faciemus sacra pulchra: deinde autem et de reductione

περὶ μισταλκῶν τροφῆς· ἐν Ἰλιάδι δὲ τοὺς στρατιώτας οὕτω λέγειν ἔφη. Σχολαζόντων γὰρ βίος ἐν Ὀδυσσείᾳ, καὶ διὰ τὴν εἰρήνην τρυφώντων. *Athenæus, lib.* I. *cap.* 15.

Ver. 180. —— *ἀνὰ μέγαρον.*] Apud *Eustathium* in commentario, *ἀνὰ μέγαρα.*

Ver. 185. *Νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν.*] Τὸ δὲ "πᾶσιν," οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἀνδράσιν. Ἀλκίνοος γοῦν τῷ Ποντονόῳ φησὶ, [suprà *ver.* 179.] "Μίσγε νεῖμον "Πᾶσιν ἀνὰ μέγαρον." Καὶ ἑξῆς ἐπάγει· "Νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν." *Athenæus, lib.* I. *cap.* 11.

Ibid. —— *ἄρα.*] *Deinceps* ——. *Ut jusserat Alcinous* —— *ver.* 179.

Ver. 184. —— *σπείσάν τ'.*] MS. à *Tho. Bentleio* collatus, *σπείσαντ'*· uti et Editi habent *Iliad. ι*, 177. ubi idem versus occurrit. Sed *σπείσάν τ'* usitatior lectio.

Ver. 186. *Κέκλυτε, Φαιήκων ἡγήτορες.*]

Audite, ô proceres, ait ——.
Æn. III, 103.

Ver. 188. —— *δαισάμενοι.*] *Eustathius* in commentario citat *δαινύμενοι.* Minùs rectè.

Μνησόμεθ', ὡς χ' ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
Πομπῇ ὑφ' ἡμετέρῃ ἣν πατρίδα γαῖαν ἵκηται
Χαίρων, καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστί·
Μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθησι,
Πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι· ἔνθα δ' ἔπειτα
Πείσεται ἄσσα οἱ αἶσα, κατακλῶθές τε βαρεῖαι,
Γεινομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.
Εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθεν,
Ἄλλο τι δὴ τόδ' ἔπειτα θεοὶ περιμηχανόωνται.
Αἰεὶ γὰρ τοπάρος γε θεοὶ φαίνονται ἐναργεῖς
Ἡμῖν, εὖθ' ἕρδωμεν ἀγακλειτὰς ἑκατόμβας·
Δαίνυνταί τε παρ' ἄμμι καθήμενοι, ἔνθα περ ἡμεῖς.
Εἴ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβληται ὁδίτης,

" Cogitabimus, ut hospes absque labore et molestiâ
" Deductione sub nostrâ suam in patriam perveniat,
" Gaudens celeriter, etiam si valdè procul sit:
" Neque quid interea mali et damni patiatur,
" Antequam ipse suam terram conscendat; ibi verò deinde
" Patietur quaecunque ei Fatum, Parcaeque graves
" Nascenti neverunt filo, quando ipsum peperit mater.
" Quòd si quis immortalium utique de coelo venerit,
" Aliud quippiam hoc deinceps dii moliuntur.
" Semper enim antea quidem dii apparent manifesti
" Nobis, quando facimus inclytas Hecatombas;
" Convivanturque apud nos sedentes, ubi scilicet nos.
" Si autem aliquis et solus profectus occurrerit viator,

Ver. 192. —— *ἀνίης.*] Vide ad *Il ó*, 24.

Ver. 195. — *μεσσηγύς γε.*] *Al. μεσσηγύς τι.*

Ver. 197. *Πείσεται ἄσσα οἱ αἶσα, κατακλῶθές τε βαρεῖαι, Γεινομένῳ νήσαντο λίνῳ.*]

Κλωθώ τε, Λάχεσίς τε, καὶ Ἄτροφος· αἵ τε βροτοῖσιν
Γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τι καὶ κακόν τε.
Hesiod. Theogon. ver. 218.

—— —— *οὐκ ἐστὶν ἀλύξαι*
Ἀνθρώπους ὅ τι μοῖρα κατὰ κλωστῆρος ἐτίλγει.
Theocrit. Idyll. XXIV. *ver.* 68.

Sive ita nascenti legem dixere sorores:
Nec data sunt vitæ fila severa meæ.
Ovid. Heroïd. Epist. XV. *ver.* 81.

Porrò colligit hinc *Lucianus* in *Philopatride*, *Homerum* in eâ sententiâ fuisse, Fato nempè omnia regi. Οὐχ Ὅμηρος ὁ ἀοίδιμος ποιητὴς εἴρηκε, [*Iliad. ζ*, 488.] " *Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν.*" —— *ἀλλὰ καὶ ὅλον τὸν βίον παδιμάρθαι, καὶ τὰς ἐν τούτῳ μεταζολάς·* "—— *ἔνθα δ' ἕπεσθαι Πείσεται ἄσσα* " *οἱ αἶσα, &c.*" —— Ὥστε πάντα ὑπὸ τῶν Μοιρῶν γίνεσθαι ὁ Ποιητὴς μεμαρτύρηκε. E contrario autem contendit *Eusebius*, *μηδαμῶς τὸν Ὅμηρον μηδ' ἐν ἑτέροις τοῖς ἔπεσι συμμαρτυρεῖν αὐτῷ τῷ δόγματι.* Οὐ γὰρ τὸ πάντα γίνεσθαι κατ' εἱμαρμένην, ἀλλὰ μᾶλλον τὸ τινὰ κατ' ἐκείνην συμβαίνειν ἐξ αὐτῶν ὑποβάλλων ὑφιθήσεται. —— Καὶ τὸ, [*Iliad. ύ*, 127.] "—— *ὕστερον* " *αὖτις τὰ πεπρωμένα, ὅσσα οἱ αἶσα Γεινομένῳ ἐπέ-* " *νησε λίνῳ* ——" *τὸ αὐτὸ βούλεται· οὐ γὰρ, ὅτι πάντα αὐτῷ κατ' εἱμαρμένην τὰ μετὰ ταῦτα συμβήσεται, λέγει· ἀλλ' ὅτι κατ' ἀνάγκην αὐτῷ τινὰ συμβήσεται· ἡ γὰρ τοῦ* " *ὅσσα*" *διαστολὴ τί ποτε ἴσχυρον ἢ τοῦτο σημαίνει;* —— Καὶ τὸ, " *Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον* ——," *ἄρτιον εἴρηται. Τίς γὰρ ἂν δύναιτο τὰ κατ' ἀνάγκην φαντὶ ζῴων τυγχυρούντα διαφυγεῖν;* *Præparat. Evangel. lib.* VI. *cap.* 8. sub initio. Vide et suprà ad *ά*, 7

Ibid. —— *αἶσα, κατακλῶθές τε βαρεῖαι.*] *Al. αἶσα, κατὰ κλῶθές τε βαρεῖαι. Al. αἶσα κατακλώθησι βαρεῖα.* Quæ posterior lectio, uti rectè hic annotat *Burnesius*, ferri non potest, propter sequentem, " *Γεινομένῳ νήσαν-* " *το λίνῳ.*"

Ibid. —— *κατακλῶθες.*] *Al κατακλώθουσαι καὶ καταμειροῦσαι ἑκάστῳ τὸ εἱμαρμένον. Schol.*

Ver. 198. *Γεινομένῳ νήσαντο λίνῳ.*] Vide suprà ad *δ'*, 208. Cæterùm *Lucianus*, loco suprà ad *ver.* 197. citato, legit *Γεγενεμένῳ νήσαντο, &c.*

Οὔτι κατακρύπτουσιν· ἐπεί σφισιν ἐγγύθεν εἰμὲν,
"Ωσπερ Κύκλωπές τε, καὶ ἄγρια φῦλα Γιγάντων.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀλκίνοε, ἄλλο τί τοι μελέτω φρεσίν· οὐ γὰρ ἔγωγε
Ἀθανάτοισιν ἔοικα, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Οὐ δέμας, οὐδὲ φυὴν, ἀλλὰ θνητοῖσι βροτοῖσιν·
Οὕς τινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀϊζὺν
Ἀνθρώπων· τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην.
Καὶ δ' ἔτι κεν καὶ πλείον' ἐγὼ κακὰ μυθησαίμην,
"Οσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
Ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε, κηδόμενόν περ·
Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
Ἔπλετο, ἥτ' ἐκέλευσεν ἔο μνήσασθαι ἀνάγκῃ,
Καὶ μάλα τειρόμενον, καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα.
Ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν· ἡ δὲ μάλ' αἰεὶ

" Nequaquam occultant; quoniam ipsos propè sumus,
" Quemadmodum Cyclopesque, et agrestes gentes Gigantum."
Hunc autem respondens allocutus est solers Ulysses:
" Alcinoë, aliud quid tibi curae-sit in animo; non enim ego
" Immortalibus similis-sum, qui coelum latum habitant,
" Neque corpore, neque oris habitu; sed mortalibus hominibus:
" Quoscunque vos nóstis maximè subeuntes aerumnam
" Hominum; hisce in doloribus aequiparārer.
" Et adhuc etiam plura ego mala dicerem,
" Quae sanè omnia deorum voluntate pertuli.
" Verùm me quidem coenare sinite, dolentem licèt:
" Non enim odioso ventre importunius aliud
" Est, qui jubet sui recordari necessitate,
" Etiam valdè afflictum *hominem*, et in animo dolorem habentem.
" Sic et ego luctum quidem habeo in animo; hic verò omninò semper

---

Ver. 206. "Ωσπερ Κύκλωπές τι, καὶ ἄγρια φῦλα Γιγάντων.] Ὡς ὑμεῖν ἀλλήλων ἐγγὺς Κύκλωπές τε καὶ Γίγαντες, ἅτα κατὰ γένος, ἢ κατὰ τόπον, ἢ κατὰ ἀδικίαν· οὕτως καὶ ἡμεῖς θεοῖς πλησίον κατὰ δικαιοσύνην. *Schol.*

Ver. 212. —— τοῖσιν κεν.] *Al.* τοῖσιν καί.

Ibid. —— ἰσωσαίμην.] Vide supra ad ι, 491.

Ver. 213. —— πλείον.] *Al.* μάλλον.

Ver. 215. Ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε.] Καὶ τὸν Ὀδυσσέα δὲ Ὅμηρος πολυφάγον καὶ λαίμαργον παραδίδωσι, ὅταν λέγῃ " Ἀλλ' ἐμὲ " μὲν δορπῆσαι ἐάσατε, &c." Τριῳδάλλουσα γὰρ ἐν τούτοις φαίνεται αὐτοῦ λαιμαργία, μετὰ τοῦ μηδὲ ἐν δίσκοις τὰ περὶ τῆς γαστρὸς, γναμολογεῖν. Ἔχρῆν γάρ, εἰ καὶ ἐλίμωττε, διαπαρτεῖν, ἢ μετρεάζειν τὰ περὶ τὴν τροφήν. Τὸ δὲ τελευταῖον καὶ τὴν τελειοτάτην αὐτοῦ παρίστησι λαιμαργίαν καὶ γαστριμαργίαν. " Ὡς καὶ ἐγὼ πέν-θος μὲν ἔχω φρεσίν, &c." [*ver.* 219.] *Athenæus, lib.* X. *cap.* 1. sub fine. Verùm, uti notavit *Barnesius*, minùs hoc Ulyssi vitio vertendum est, quia diutino jejunio afflictus depingatur: " —— δηρὸν γὰρ ἰδυπτόος ἦεν " ἄκαστος suprà ζ', 250.

Ibid. —— ἐάσατε.] Vide suprà δ', 42. Malè *Barnesius* ἐάσατε.

Ver. 216. Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον, &c.] Haud dissimiliter *Oppianus*:

"Ως οὐδὲν λιμοῖο κακώτερον, οὐδὲ βαρείης
Γαστέρος, ἣ κρατέει μιν ἐν ἀνθρώποισιν ὑπνὸς,
Καὶ χαλεπὴ δίψησινα συείστιος· οὔποτε δασμῶν
Λησόμεθ' ——. *Halicutic. lib.* III, 199.

Ver. 218. —— καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα.] Apud *Athenæum*, loco suprà citato, καὶ ἐνκαλησθῆναι ἀνώγει. Sed minùs rectè, propter sequentem, " Ὡς καὶ ἐγὼ πένθος μὲν, &c."

Ἐσθέμεναι πέλεται καὶ πινέμεν· ἐκ δέ με πάντων
Ληθάνει, ὅσσ' ἔπαθον, καὶ ἐνιπλήσασθαι ἀνώγει.
Ὑμεῖς δ' ὀτρύνεσθε ἅμ' ἠοῖ φαινομένῃφιν,
Ὡς κέ με τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης,
Καί περ πολλὰ παθόντα· ἰδόντα με καὶ λίποι αἰὼν
Κτήσιν ἐμὴν, δμῶάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Οἱ μὲν κακκείοντες ἔβαν οἴκονδε ἕκαστος.
Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Πὰρ δέ οἱ Ἀρήτη τε, καὶ Ἀλκίνοος θεοειδὴς,
Ἧσθην· ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός.
Τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων,
Ἔγνω γὰρ φᾶρός τε, χιτῶνά τε, εἵματ' ἰδοῦσα,
Καλὰ, τά ῥ' αὐτὴ τεύξε, σὺν ἀμφιπόλοισι γυναιξί·
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτὴ,
Τίς; πόθεν εἰς ἀνδρῶν; τίς τοι τάδε εἵματ' ἔδωκεν;
Οὐ δὴ φῂς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;

" Comedere jubet, et bibere; et me omnium
" Oblivisci facit, quaecunque passus sum, et repleri jubet.
" Vos autem festinate, simul atque aurora illuxerit,
" Ut me infaustum meam deducatis in patriam,
" Quamvis multa passum: conspicatum me, vel relinquat vita,
" Possessionem meam, famulosque, et altam magnam domum."
Sic dixit: illi autem omnes approbabant, et hortabantur
Deducere hospitem, quoniam rectè locutus erat.
At postquam libassentque, bibissentque, quantum volebat animus,
Illi quidem decubituri iverunt domum unusquisque.
At in aedibus relinquebatur nobilis Ulysses,
Apud autem ipsum Areteque, et Alcinous deo-par,
Sedebant; famulae autem auferebant vasa convivii.
His verò Arete ulnas-candida exordiebatur sermonis,
Agnovit enim pallium et tunicam, vestimenta videns,
Pulchra, quae scilicet ipsa fecerat, cum ancillis mulieribus;
Et ipsum allocuta verba alata dixit:
" Hospes, hoc quidem te primùm interrogabo ipsa,
" Quis? undè es hominum? quis tibi haec vestimenta dedit?
" An non dicis, per mare errantem te huc venisse?"

Ver. 221. —— ἐνιπλήσασθαι.] *Athenæus* et hic legit ἐνιπλησθῆναι.

Ver. 222. —— ἐτρύνεσθε.] *Al.* ἐτρύνεσθαι.

Ver. 224. —— ἰδόντα με καὶ λίποι αἰών.] Ita Præco *Græcus* apud *Æschylum*, è *Troja* in patriam reversus:

Χαίρω· τεθνᾶναι δ' οὐκ ἔστ' ἀντεῖν θεοῖς.
Agamem. ver. 548.

Ver. 232. —— ἔντεα δαιτός.] Τὰ ἔσκλα τῆς ἰωχίας, οἷον τραπέζας, καὶ τὰ τοιαῦτα. *Schol.*

Ver. 238. Τίς; πόθεν εἰς ἀνδρῶν;] Ita apud *Ovidium*:

Quid veniat, queram, quisque, quibusve locis.
Trist. lib. III. *Eleg.* xii. *ver.* 34.

Τὴν δ' ἀταμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι
Κήδε', ἐπεί μοι πολλὰ δόσαν θεοὶ οὐρανίωνες.
Τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι, ἠδὲ μεταλλᾷς.
Ὠγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται,
Ἔνθα μὲν Ἄτλαντος θυγάτηρ, δολόεσσα Καλυψώ,
Ναίει ἰὺπλόκαμος, δεινὴ θεός· οὐδέ τις αὐτῇ
Μίσγεται, οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων.
Ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων
Οἶον, ἐπεί μοι νῆα θοὴν ἀργῆτι κεραυνῷ
Ζεὺς ἴλασας ἐκέασσε, μέσῳ ἐνὶ οἴνοπι πόντῳ·
Ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι·
Αὐτὰρ ἐγὼ, τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης,
Ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ

Hanc autem respondens allocutus est solers Ulysses:
" Difficile, Regina, penitùs enarrare
" Aerumnas, quandoquidem mihi multas dederunt dii coelestes.
" Hoc autem tibi dicam, quod me interrogas et inquiris.
" Ogygia quaedam insula procul in mari jacet,
" Ubi quidem Atlantis filia, dolosa Calypso,
" Habitat comas-pulchra gravis dea: neque quisquam cum ipsâ
" Versatur, neque deorum, neque mortalium hominum.
" Sed infelicem me inquilinum *ei* duxit deus
" Solum; postquam mihi navem velocem candenti fulmine
" Jupiter percussam diffidit, medio in nigro mari;
" Ubi alii quidem omnes perière boni socii:
" At ego, carinâ ulnis comprensâ navis utrinque-remis-agitatae,
" Novem diebus ferebar: decimâ autem me nocte nigrâ

Ver. 241. Ἀργαλέον, βασίλεια.] Infandum, regina, jubes renovare dolorem,
Trojanas ut opes &c. —— *Æn.* II, 3.

Ver. 244. Ὠγυγίη τις νῆσος.] Δρόμον ἡμερῶν πέντε βορειοτάτης ἀπέχουσα, σταδίους πρὸς ἑσπέραν. *Plutarch. de facie in orbe Lunæ.*

Ver. 248. —— ἱφίστιον ἤγαγε.] Ἐπὶ τὴν οἰκίαν αὐτῆς ἠκολουθηκέναι. *Schol.*

Ver. 250. —— ἴλασας.] Ita *Henricus Stephanus* Editionesque plerasque; Itáque habet *Eustathius* et in contextu et in commentario. *Scholiastes* autem, et Editio *Didymi*, eamque secutus *Barnesius*, hìc legunt ἰλάσας· quibuscum facit et MS. à *Tho. Bentleio* collatus. Atqui occurrit idem versiculus supra ι, 132. ubi ipsæ *Didymi* et *Barnesii* Editiones cum Vulgatis habent ἴλασας.

Ver. 252. —— τρόπιν.] Τὸ κατάστατον μέρος τῆς νεὼς. στρὶ δ σχίζεται τὸ ὕδωρ· ἢ τὸ μέσον τῆς νεὼς ξύλον. *Schol.*

Ibid. —— ἀγκὰς.] Vide ad *Il.* ξ', 346.

Ver. 253. Ἐννῆμαρ φερόμην.] *Longinus* locum hunc inter eos recenset, quibus *Homeri* in *Odysseâ* ingenii defectum indicari contendit. Παρεξίζειν δ' εἰς παῦδ', (inquit) ἵνα διίδωμαι, ὡς εἰς λῆρον ἐνίοτε ῥέπτοντα κατὰ τὴν ἀπαυδὴν τὰ μεγαλόφυῆ παραπλήσιται. Οἷα —— τὸν ἐπὶ τοῦ ναυαγίου διὰχ' ἡμέρας ἕξειον (Ὀδυσσέα supplet *Tollius.*) —— Τί γὰρ ἂν ἄλλο φάσαιμεν παῦτα, ἢ τῷ ὄντι τοῦ Διὸς ἐνύπνια; *De Sublimitate, Sect.* 9. sub fine. Dna. *Dacier* è contrario hoc non incredibile contendit, sed ita reverà fieri posse arbitratur. *Barnesius* verò in annotationibus; " Dico autem Ego, " (inquit) hæc cum Grano salis esse sumenda, non quasi prorsùs ab omni cibo abstineret, verùm ab ordinario, tempestivo, et lautiori." Rectiùs fortassè *Scholiastes* ad ξ', 447. infrà, ubi idem ferè locus occurrit; Οὐ δεῖ ζητεῖν πῶς διεκαρτέρει ὁ ἥρως, ὑπνώδους τῆς Ἀθηνᾶς. (infrà ν, 47.) " Αὐτὰρ ἐγὼ Ζηὶ " εἰμὶ διαπρεπέϊ, ἢ σε φυλάσσω Ἐν πάντεσσι " πόνοισι" Vide et suprà ad ά, 1.

Ibid. —— διηκάτῃ δέ με νυκτί.] *Al.* διηκάτῃ δ' ἐν νυκτί.

Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ
Ναίει ἐϋπλόκαμος, δεινὴ θεός· ἥ με λαβοῦσα,
Ἐνδυκέως ἐφίλει τε, καὶ ἔτρεφεν, ἠδὲ ἔφασκε
Θήσειν ἀθάνατον, καὶ ἀγήραον ἤματα πάντα·
Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.
Ἔνθα μὲν ἑπτάετες μένον ἔμπεδον, εἵματα δ' αἰεὶ
Δάκρυσι δεύεσκον, τά μοι ἄμβροτα δῶκε Καλυψώ.
Ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,
Καὶ τότε δή με κέλευσεν ἐποτρύνουσα νέεσθαι,
Ζηνὸς ὑπ' ἀγγελίης, ἢ καὶ νόος ἐτράπετ' αὐτῆς.
Πέμπε δ' ἐπὶ σχεδίης πολυδέσμου· πολλὰ δ' ἔδωκε,
Σῖτον καὶ μέθυ ἡδύ· καὶ ἄμβροτα εἵματα ἕσσεν·
Οὖρον δὲ προέηκεν ἀπήμονά τε, λιαρόν τε.
Ἑπταδεκαίδεκα μὲν πλέον ἤματα ποντοπορεύων,
Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
Γαίης ὑμετέρης· γήθησε δέ μοι φίλον ἦτορ,

" Insulam ad Ogygiam appulerunt dii; ubi Calypso
" Habitat comas-pulchra, gravis dea; quae me susceptum
" Amicè tractabatque, et alebat, et dicebat *se*
" Facturam immortalem, et senii-expertem diebus omnibus:
" Sed meum nunquam animum in pectoribus flectebat.
" Illic quidem septem-annos manebam perpetuò, vestimenta autem semper
" Lachrymis rigabam, quae mihi divina dedit Calypso;
" Sed cùm jam octavus mihi revolutus annus venisset,
" Et tum demùm me jussit hortans redire,
" Jovis ex jussu, sive etiam animus mutatus est ipsius.
" Misit verò me in rate multis-vinculis-aptâ: multa autem dedit,
" Panem et vinum suave, et divinas vestes induit:
" Ventumque praemisit innocuumque, placidumque.
" Septendecim quidem navigabam dies per-mare-iter-faciens,
" Decimâ-octavâ verò apparuerunt montes umbrosi
" Terrae vestrae: laetatum verò est mihi charum cor,

Ver. 255. Ναίει.] *Al.* Ναίεν.

Ver. 259. Ἔνθα μὲν ἑπτάετες μένον ἔμπεδον.] Hinc *Ovidius:*

An grave sex annis pulchram fovisse Calypso,
Æquoreæque fuit concubuisse deæ?
Ex Ponto, lib. IV. *Epist.* x. *ver.* 13.

Ibid. —— αἰεί.] *Al.* αἰέν.

Ver. 261. —— ὄγδοον.] Pronuntiabatur ὔγδουν. Uti et notavit *Barnesius.*

Ibid. —— ἐπιπλόμενον ἔτος.

—— volventibus annis. *Æn.* I, 238.

Ver. 262. —— δή με κίλιυσιν.] *Al.* δή μ' ἐκίλιυσιν.

Ver. 263. —— ἐτράπετ'.] Vide suprà ad ε', 491. et ad *Il.* κ', 45.

Ver. 267. Ἑπταδεκαίδεκα μὲν πλέον ἤματα ποντοπορεύων.]

Tres adeò incertos cæcâ caligine soles
Erramus pelago ——. *Æn.* III, 205.

Ibid. Ἑπταδεκαίδεκα.] Ita edidit *Barnesius;* atque ita in Exemplaribus omnibus (uti ipse annotat) scriptum occurrit suprà ε', 278. Ita porrò hic legit et MS. à *Tho. Bentleio* collatus. Vulgati hìc corruptè, Ἑπταεκαίδεκα.

Ver. 268. Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα.]

Quarto terra die primùm se attollere tandem
Visa; aperire procul montes ac volvere fumum. *Æn.* III, 205.

Δυσμόρῳ· ἦ γὰρ ἔμελλον ἔτι ξυνέσεσθαι ὀϊζύϊ
Πολλῇ, τήν μοι ἐπῶρσε Ποσειδάων ἐνοσίχθων·
Ὅς μοι ἐφορμήσας ἀνέμους, κατέδησε κελεύθους,
Ὤρινεν δὲ θάλασσαν ἀθέσφατον· οὐδέ τι κῦμα
Εἴα ἐπὶ σχεδίης ἀδινὰ στενάχοντα φέρεσθαι.
Τὴν μὲν ἔπειτα θύελλα διεσκέδασ'· αὐτὰρ ἔγωγε
Νηχόμενος τόδε λαῖτμα διέτμαγον· ὄφρα με γαίῃ
Ὑμετέρῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
Ἔνθα κέ μ' ἐκβαίνοντα βιήσατο κῦμ' ἐπὶ χέρσου,
Πέτρῃς πρὸς μεγάλῃσι βαλὸν, καὶ ἀτερπέϊ χώρῳ·
Ἀλλ' ἀναχασσάμενος νῆχον παλιν, ἕως ἐπῆλθον
Ἐς ποταμὸν, τῇ δή μοι ἐείσατο χῶρος ἄριστος,
Λεῖος πετράων· καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο
Ἐκ δ' ἔπεσον θυμηγερέων· ἐπὶ δ' ἀμβροσίη νὺξ
Ἤλυθ'· ἐγὼ δ' ἀπάνευθε διϊπετέος ποταμοῖο
Ἐκβὰς ἐν θάμνοισι κατέδραθον· ἀμφὶ δὲ φύλλα
Ἠφυσάμην· ὕπνον δὲ θεὸς κατ' ἀπείρονα χεῦεν.
Ἔνθα μὲν ἐν φύλλοισι, φίλον τετιημένος ἦτορ,

" Infelici: certè tamen eram adhuc conflictaturus aerumnis
" Multis, quas mihi immisit Neptunus terrae-quassator;
" Qui mihi incitatis ventis impedivit iter,
" Commovitque mare immensum; neque ullo-pacto me fluctus
" Sinebat in rate vehementer ingemiscentem vehi.
" Hanc quidem deinde procella dispersit: at ego
" Natans hoc pelagum emensus-sum; donec me terrae
" Vestrae appulit ferens ventusque et aqua.
" Ibi me egredientem allisisset fluctus ad terram,
" Petras ad magnas jaciens, et inamabilem locum:
" Sed retrogressus natavi rursùs, donec veni
" Ad fluvium, ubi demùm mihi visus est locus opportunissimus,
" Laevis absque-petris; et receptus inerat à vento.
" Excidi autem animum-collecturus: divina verò nox
" Advenit: ego autem seorsùm ab à-Jove-fluente fluvio
" Egressus in arbustis dormivi: circumquaque verò folia
" Congessi: somnum autem deus immensum infudit.
" Ibi quidem in foliis, charo afflictus corde,

Ver. 270. — ὀϊζύϊ.] Pronuntiabatur ὀϊζῦ.

Ver. 272. —— ἐφορμήσας ἀνέμους, κατέδησε κελεύθους.] *Al.* ἐφορμήσας ἄνεμον, κατέδησε πέλαγος.

Ver. 273. —— οὐδέ τι κῦμα.] *Al.* οὐδ' ἔτι κῦμα· et οὐδέ με κῦμα.

Ver. 280. —— ἕως ἐπῆλθον.] Pronuntiabatur ὥσει ἐπῆλθον, vel ὥσ' ἐπῆλθον. Vide ad *Il.* ι', 539. *Barnesius* legendum conjicit, ἕως ἐπιῆλθον· scilicet ut pronuntietur, ὥς ἐπῆλθον. Sed nihil opus.

Ver. 281. —— τῇ δή.] *Quà demùm* ——.

Ver. 283. Ἐκ δ' ἔπεσον.] Τὸ δὲ, ἐκ δ' ἔπεσον ἀντὶ τοῦ, ἐξῶ ἔπεσον τῆς θαλάσσης, ἀψύχου τινὸς δίκην. *Eustath.* Cæterùm MS. à *Tho. Bentleio* collatus habet, Ἐν δ' ἔπεσον.

Ibid. —— θυμηγερέων.] Λυσιθυμούντων, ἢ συλλαμβάνων καὶ συνάγων καὶ ἀναπαύοντος τὴν ψυχήν. *Schol.*

Ver. 284. —— διϊπετέος ποταμοῖο.] Τοῦ ὑπὸ τῶν Διὸς ὄμβρων πληρουμένου ποταμοῦ. *Schol.* Vide suprà ad δ', 477 et 581. item ad *Il.* σ', 174.

Εὗδον παννύχιος, καὶ ἐπ' ἠῶ, καὶ μέσον ἦμαρ·
Δύσετό τ' ἠέλιος, καί μ' γλυκὺς ὕπνος ἀνῆκεν.
Ἀμφιπόλους δ' ἐπὶ δίνὶ τεῆς ἐνόησα θυγατρὸς
Παιζούσας, ἐν δ' αὐτὴ ἦην εἰκυῖα θεοῖσιν.
Τὴν ἱκέτευσ'· ἡ δ' οὔτι νοήματος ἤμβροτεν ἐσθλοῦ,
Ὡς οὐκ ἂν ἔλπτοιο νεώτερον ἀντιάσαντα
Ἐρξέμεν· αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν.
Ἤ μοι σῖτον ἔδωκεν ἄλις, ἠδ' αἴθοπα οἶνον,
Καὶ λοῦσ' ἐν ποταμῷ, καί μοι τάδε εἵματ' ἔδωκεν.
Ταῦτά τοι, ἀχνύμενός περ, ἀληθείην κατέλεξα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·

" Dormiebam totâ-nocte, usque ad auroram, et meridiem;
" Occidebatque sol, et me dulcis somnus dereliquit.
" Ancillas verò in littore tuae vidi filiae
" Ludentes: inter eas autem ipsa erat similis diis.
" Ei supplicavi: illa verò neutiquam à mente aberrabat bonâ;
" Ut non sperares juniorem obviam-factum
" Acturum: semper etenim juniores desipiunt.
" Quae mihi cibum dedit affatim, et generosum vinum,
" Et lavit in flumine, et mihi has vestes dedit.
" Haec tibi, tametsi afflictus, verè enarravi."
Huic autem rursùs Alcinous respondit, dixitque:

Ver. 288, — ἐπ' ἠῶ, καὶ μέσον ἦμαρ.] Δίγει μέν τοι [ὁ Ποιητὴς] καὶ τὸ ἀπὸ ἀνατολῆς ἡλίου ἕως μεσημβρίας διάστημα, ἠῶ· —— "Εὗδον "παννύχιος, καὶ ἐπ' ἠῶ, καὶ μέσον ἦμαρ." *Porphyr. Quaest. Homeric.* 12.

Ver. 289. Δύσετό τ' ἠέλιος.] Φασὶν οἱ Παλαιοὶ, ὡς Ἀρίσταρχος οὐ γεγράφει δύστο, ἀλλὰ διὶλιτο, ἤ ἐστὶν εἰς δῦσιν ἀπίκλιτο. *Eustath.* Atqui posterior ista vox *Homero* prorsus insuitata.

Ibid. —— ἀνῆκεν.] *Al.* ἀφῆκεν.

Ver. 290. Ἀμφιπόλους δ' ἐπὶ δίνὶ τεῆς ἐνόησα θυγατρὸς Παιζούσας.] Ἐν τούτοις δὶ, ὅρα ὅτι τὴν τῆς κόρης καὶ τῶν ἀμφιπόλων μελέτην καὶ τὴν διὰ σφαίρας παιδιὰν συγᾷ Ὀδυσσεὺς, ἵνα μὴ παταγορεύσῃ δοκῇ τῆς παιδός. *Eustath.*

Ver. 291. —— θεοῖσιν.] MSS. duo à *Tho. Bentleio* collati, θεῇσιν. Sed (uti notat *Barnesius*) perindè est. Vide suprà ad *ver.* 38.

Ver. 293. Ὡς οὐκ ἂν ἔλπτοιο.] *Barnesius* hoc in loco, de suo edidit, Ὡς οὐ κᾶν ἔλποιο. " Litteras," inquit, " olim malè disjunctas " nunc meliùs conjunxi, pro οὐκ ἄν, legens " οὐ κᾶν, et eodem tenore, *Metro* et *Sensui* " consului." Sed multùm errat Vir eruditus. Nam vocula, κᾶν, longè alium habet intellectum, nec locum hîc habere ullo modo potest: Quodque de *Metro* affert, planè nihili est. Vide ad *Il.* ά, 51.

Ver. 294. —— αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν.] " Temeritas est videlicet florentis " ætatis; prudentia senectutis." *Cicero, de Senectute,* § 6.

Ver. 296. —— εἵματ' ἔδωκεν.] MS. à *Tho. Bentleio* collatus, εἵματα ἔσσιν.

Ver. 297. —— ἀληθείην κατέλεξα.] Καὶ ἴδρα τὸ, ἀληθίην, ἀμφιβόλως ἔχον, εἴτε ἀπὸ περισπωμένου τοῦ ἀλήθεια, εἴτε ἀπὸ περιεσπασμένου τοῦ ἀληθίαν γίγονεν Ἰωνικῶς. Οἱ γὰρ Παλαιοὶ Ἀττικοὶ, κατὰ Αἴλιον Διονύσιον, ἐξέτεινον τὰς τῶν τοιούτων ὀνομάτων λήγουσας, διὸ καὶ παρέξυναν αὐτὰ ἡ ἀγροία γὰρ (φησὶν) ἔλεγον, καὶ ἡ ἰυκλεία, καὶ ἡ ἱερία &c. *Eustath.* Nequaquam tamen hoc ambiguum. Nam si ultima vocis ἀλήθεια brevis esset, minimè (ut rectè notat *Barnesius* ad *Iliad.* ψ', 361.) in Ionicum η verteretur. Ideoque ipse quidem *Barnesius* et isto in loco et hîc, nullis allatis codicibus, de suo edidit ἀλήθιαν· itáque semper apud *Homerum* legendum pronuntiat. Attamen nimis fideuter hoc vir eruditus; cùm et vocem ἀληθείαν, ultimâ productâ, veteribus usitatam hîc observet *Eustathius;* cúmque eadem vox novies in *Iliade* et *Odyssea* occurrat, quibus omnibus in locis Vulgati habent ἀλήθειην. Vide et ad *Il.* β', 314 et 633.

Ver. 298. 302 et 308. Τὸν δ'.] Vide ad *Il.* ά, 57. et Ϡ', 160.

Ξεῖν', ἦτοι μὲν τοῦτό γ' ἀναίσιμον οὐκ ἐνόησε
Παῖς ἐμὴ, οὔτε κά σ' οὔτι μετ' ἀμφιπόλοισι γυναιξὶν
Ἦγεν ἐς ἡμέτερον· σὺ δ' ἄρα πρώτην ἐκέτευσας.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἥρως, μή μοι τοῦτον ἀμύμονα νείκεε κούρην·
Ἣ μὲν γάρ μ' ἐκέλευε σὺν ἀμφιπόλοισιν ἕπεσθαι·
Ἀλλ' ἐγὼ οὐκ ἤθελον, δείσας, αἰσχυνόμενός τε,
Μήπως καὶ σοὶ θυμὸς ἐπισκύσαιτο ἰδόντι·
Δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
Ξεῖν, οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ
Μαψιδίως κεχολῶσθαι· ἀμείνω δ' αἴσιμα πάντα.
Αἴ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοῖος ἐὼν, οἷός ἐσσι, τά τε φρονέων, ἅτ' ἐγώ περ,

" Hospes, certè quidem hoc rectè non advertit
" Filia mea, quòd te neutiquam cum ancillis mulieribus
" Duxerit in nostram *domum* : tu nempe *illi* primae supplicâsti."
Hunc autem respondens allocutus est solers Ulysses :
" Heros, nè mihi ideò eximiam reprehende puellam :
" Nam ipsa quidem me jussit cum ancillis subsequi :
" Sed ego nolui, timens, reveritusque,
" Nè fortassis et tibi animus irasceretur conspicato :
" Suspicaces etenim sumus supra terram genus hominum."
Huic autem rursùs Alcinous respondit, dixitque :
" Hospes, non mihi tale in praecordiis charum cor,
" Temerè ut-irascatur : potiora autem honesta omnia.
" Utinam enim, Jupiterque pater, et Minerva, et Apollo,
" Talis existens, qualis es, eaque sentiens quae ego et ipse,

---

Ver. 301. Ἦγεν ἐς ἡμέτερον.] *Τοντέστιν, εἰς οἶκον ἡμέτερον εἶλκεν. Ἀττικὸς δὲ ὁ σχηματισμός. Schol.*

Ibid. —— ἄρα.] *Ut dixisti* ——, *ver.* 292.

Ver. 303. —— ἀμύμονα.] *Μῶμον καὶ ψόγον εἶναι ἔχουσαν, ἐγκλῆν. Schol.* Atqui vox, ἀμύμονα, non eam omni laude ornatam necessariò denotat; sed unâ pluribusve animi corporisve dotibus eximiam. Ut hoc in loco specie ac formâ corporis, itemque animi prudentiâ. Vide suprà ad ζ, 29.

Ver. 304. —— ἰσάσιν.] *Al.* ἰαλλουσιν.

Ver. 306. —— ἰκτυπέοιτο.] *Barnesius* edidit ἰκτυπέοιντο. *Al.* ἰκτυπέζοιτο.

Ver. 307. Δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.] Sic apud *Hesiodum*.

Ζῆλος δ' ἀνθρώποισιν ἐπιχθονίοις ἄκαιρος.
Ἔργ. καὶ Ἡμερ. I, 193.

Πολὺ τὸ δύσζηλον ἡ φύσις ἔχουσα καὶ τὸ βάσκανον, οὐ χαίρει τοιούτοις τοῖς βίοις, ἴσον ἀνάπτει τοῖς ἀλλοτρίοις ἀγαθοῖς. *Plutarch. de Animi Tranquillitate.* Caeterùm rectè hìc *Eustathius* : Τὸ δὲ, δύσζηλοι εἰμὲν, διὰ τῆς πολυσυνθέτου λεπτότητος παραμιγνύει τὸ σφαλὲς τῆς ἐντεμνήσεως· ὡς μὴ μόνον τοῦ Ἀλκινόου τοιοῦτον ὑπαισθάνεσθαι, ἀλλὰ γνησιώτης ἐν πολῷ τοῦ λόγου λιχθίνεσθαι. Unde *Barnesius* : " Ulysses," inquit, " non quidem *Alcinoum* vocat *Suspici-* " *osum*, verùm se involvit, dicens, *Nos ho-* " *mines suspiciosa gens sumus.*"

Ver. 309. —— ἐνὶ στήθεσσι φίλον κῆρ.] *Al.* ἐνὶ στήθεσι νόημα.

Ver. 310. —— ἀμείνω δ' αἴσιμα πάντα.] Τὰ καθήκοντα πάντα καλὰ ἐστιν. *Schol.*

Ver. 311. 313. Αἴ γάρ, — Παῖδά σ' ἐμὸν ἰκέσθαι.] Ταῦτα λέγει συμφώνως τοῖ Ὀδυσσέως τὰ ταῖς ἀληθείαις παραπίπτοντα. Διὸ γάμον τὸ γὰρ τροπικῶς ὑπόσχεται γαμέσθαι. πάντως ἰλλιγχθήσεται κἀκεῖνο ψευδόμενος. *Schol.* Cui tamen observationi nullus hìc videtur locus. Ἔθος δὲ ἄλλως ἦν τοῖς ἀρχαίοις, ἐπαλίγκτας τοὺς ἀρίστους τῶν ξένων, καὶ γαμβροὺς αἰνεῖν ποιεῖσθαι. *Eustath.*

Ver. 312. —— οἷος ἐσσί.] Vide infrà ad ν, 89.

Παῖδά τ' ἐμὴν ἐχέμεν, καὶ ἐμὸς γαμβρὸς καλέεσθαι,
Αὖθι μένων· οἶκον δὲ ἐγὼ καὶ κτήματα δοίην,
Αἴκ' ἐθέλων γε μένοις· ἀέκοντα δέ σ' οὔτις ἐρύξει
Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.
Πομπὴν δ' ἐς τόδ' ἐγὼ τεκμαίρομαι, ὄφρ' εὖ εἰδῇς,
Αὔριον· ἐς τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ
Λέξεαι· οἱ δ' ἐλόωσι γαλήνην, ὄφρ' ἂν ἵκηαι
Πατρίδα σὴν, καὶ δῶμα, καὶ εἴπου τοι φίλον ἐστίν·
Εἴπερ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ' Εὐβοίης·
Τὴν γὰρ τηλοτάτω φάσ' ἔμμεναι, οἵ μιν ἴδοντο
Λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
Ἦγον, ἐποψόμενον Τιτυὸν, γαιήϊον υἱόν·
Καὶ μέν οἱ ἔνθ' ἦλθον, καὶ ἄτερ καμάτοιο τέλεσσαν
Ἤματι τῷ αὐτῷ, καὶ ἀπήγαγον οἴκαδ' ὀπίσσω.

" Filiam meam habere velles, et meus gener vocari,
" Hic manens; domum autem ego et bona darem,
" Si modò volens maneres; invitum verò te nullus detinebit
" Phaeacum. nè hoc gratum Jovi patri sit.
" Deductionem verò in hoc ego constituam, ut benè intelligas,
" Crās: in id temporis autem tu quidem domitus somno
" Decumbes: illi verò remigabunt per-tranquillum; donec perveneris
" In patriam tuam, et domum, et sicubi tibi gratum sit;
" Etiamsi valdè multò longiùs absit quàm Euboea:
" Eam enim longissimè aiunt abesse, qui eam viderunt
" Ex populo nostro; quando flavum Rhadamanthum
" Duxerunt, invisurum Tityum, Terrae filium:
" Atque illi quidem illuc venerunt, et absque labore perfecerunt-*iter*
" Die eodem, et deduxerunt domum retrò.

Ver. 314. —— οἶκον δὲ ἐγώ.] *Al.* οἶκον δέ σ' ἐγώ.

Ver. 315. Αἴκ'.] *Al.* Εἴκ'.

Ver. 316. ——— μὴ τοῦτο.] In nonnullis, notante *Barnesio*, corruptè editum est μηδ' οὕτω.

Ver. 318. ——— ἐς τῆμος δέ.] *Barnesius* edidit ἐς τῆμόσδε.

Ibid. —— δεδμημένος ὕπνῳ.] Vide suprà ad ζ. 2.

Ver. 319. 346. Λίξεαι — λίκτο.] Vide ad *Il.* β'. 315. *Al.* Λίξαι.

Ver. 320. —— ἵπτου τοι φίλον ἐστίν.] Ita edidit *Barnesius* ex *Eustathio*; et ex *Scholiaste*, qui exponit: Ὅπου ἂν σοι προσφιλὴς ἐστιν. *Vulgg.* ἵπτου τι φίλον ἐστίν.

Ver. 321. —— ἱκανέμεν.] *Al.* ἱκανέμεν. Quod ferri non potest.

Ver. 322. —— Τὴν γάρ.] MSS. à *Tho. Bentleio* collati, Τήν περ.

Ver. 323. —— ὅτε τε.] *Ubi videlicet* —.

Ibid. ——— ξανθὸν Ῥαδάμανθυν Ἦγον, i. e. ποψέμενον Τιτυόν.] Καὶ ὅρα ὡς ἀφαιρῶν ὁ Ποιητὴς τὴν τοῦ λόγου ὑστεράτητα, παρενέβαλε τὴν περὶ τοῦ ἀδιμίστου Τιτυοῦ ἱστορίαν. *Eustathius.*

Ver. 324. —— ἱποψόμενον Τιτυὸν, γαιήϊον υἱόν.] Ἐλάρᾳ [*Barnesius* ex *Aloysii* MS. edidit Ἐλάρᾳ] δίτῃ Ὀρχομενοῦ, τινὶς Μίνωος, συνελθὼν Ζηνὶ, διὰ τὴν τῆς Ἥρας ζηλοτυπίαν ἐκρυψεν αὐτὴν κατὰ γῆς. Ἣ δὲ ἀνῆκε παῖδα ἐξοχώτατον, ὃς ὠμομάσθη Τιτυὸς, ὃς ἠράσθη Λητοῦς, καὶ ἐτοξεύθη, ὑπὸ Ἀπόλλωνος. Ἦκε δ' ὁ Ῥαδάμανθυς ἐπὶ Θῆαν τοῦ Τιτυοῦ, ἢ Διὸς ὤν, [apud *Eustathium* δίκαιος ὤν], ἐσωφρόνισεν αὐτόν. *Schol.*

Ibid. —— γαιήϊον υἱόν.] Ἐπὶ ἐννέα ἐν τοῖς ἐξῆς σου [infrà λ'. 576.] πεῖται πέλιτρα· διὸ καὶ γῆς υἱὸς εἶναι πλάττεται, διὰ τὸ βαρὺ καὶ τὸ ὡς ἐπὶ πᾶν ἐπώσιον ἄχθος τῆς γῆς. *Eustath.* Fortassè ideò potiùs appellatur "γαιήϊος "υἱὸς," quia mater sub terrâ occulta ipsum peperisse dicatur.

Ver. 326. —— ἀπήγαγον.] *Al.* ἀπήνυσαν.

Εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν, ὅσσον ἄρισται
Νῆες ἐμαὶ καὶ κοῦροι ἀναρρίπτειν ἅλα πηδῷ.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς·
Εὐξάμενος δ' ἄρα εἶπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Ζεῦ πάτερ, αἴθ' ὅσα εἶπε, τελευτήσειεν ἅπαντα,
Ἀλκίνοος· τοῦ μέν κεν ἐπὶ ζείδωρον ἄρουραν
Ἄσβεστον κλέος εἴη, ἐγὼ δέ κε πατρίδ' ἱκοίμην.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισιν
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐνθέμεναι οὔλας, καθύπερθεν ἕσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.
Αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
Ὄτρυνον Ὀδυσῆα παριστάμεναι ἐπέεσσιν·
Ὄρσο κέων, ὦ ξεῖνε, πεποίηται δέ τοι εὐνή.
Ὣς φάν· τῷ δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.

" Cognosces verò et ipse in mente, quàm optimae
" Naves meae et juvenes in torquendo mari remis."
Six dixit: gavisus est autem patiens nobilis Ulysses:
Precatus verò deinde dixit, verbumque fecit, et locutus est:
" Jupiter pater, utinam quaecunque dixit, perficeret omnia,
" Alcinous: hujus quidem per almam terram
" Immortalis gloria esset; ego autem in patriam venirem."
Sic illi quidem talia invicem colloquebantur.
Jussit autem Arete candida-ulnas ancillas
Cubilia sub porticu ponere, et stragula pulchra
Purpurea injicere, insternereque desuper tapetas,
Chlaenasque imponere villosas, ad supernè induendum.
Illae verò iverunt ex aedibus, facem in manibus tenentes.
Caeterùm postquam stravissent densum lectum accelerantes,
Hortabantur Ulyssem astantes verbis:
" Surge decubiturus, ô hospes; paratus verò est tibi lectus."
Sic dixerunt: huic verò gratum visum-est dormire.

Ver. 328. —— ἀναῤῥιπτεῖν.] *Al.* ἀναῤῥίπτειν Sed hoc leviculum.

Ibid. —— πηδῷ.] Νῦν οὐ πηδαλίῳ, οὐ γὰρ ἴσχουσι πηδάλια, ἀλλὰ κώπαις, παρὰ τὸ πάλλειν τὴν θάλασσαν. Πηδὸς γὰρ, εἶδος ξύλου· ἢ τῷ πλάτει τῆς κώπης. *Schol.*

Ver. 331. Ζεῦ πάτερ, αἴθ', &c.] " Ulysse " ne répond pas directement à l'obligeante " proposition que le Roi lui a faite de lui " donner sa fille; un refus auroit été trop " dur.——Il répond a tout indirecte- " ment pàr cette priere, qui fait voir l' im- " patience qu'il a de retourner dans ses " Etats, et la reconnoissance dout il est " penetré pour la promesse qu'il lui a " faite de lui en fournir les moyens." *Dacier.*

Ver. 332. —— μὲν κεν.] *Al.* μὲν ἂν.

Ver. 335. 336. Κέκλετο δ' Ἀρήτη —— Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι.] Καὶ στρωμνὰς δὲ δίδοι ["Ομηρος] διαφιστούσας. Τοιαύτας οὖν Ἀρήτη Ὀδυσσεῖ ὑποστρωμνύναι κελεύει. *Athenaeus, lib.* I. *cap.* 14.

Ibid. —— ἀμφιπόλοισιν.] *Al.* ἐν μεγάροισι.

Ver. 338. —— ἔσασθαι.] *Al.* ἕεσθαι.

Ver. 341. Ὄτρυνον.] *Al.* Ὤτρυναν. *Al.* Ὤτρυνον δ'.

Ὣς ὁ μὲν ἔνθα κάθευδε πολύτλας δῖος Ὀδυσσεὺς,
Τρητοῖς ἐν λεχέεσσιν, ὑπ' αἰθούσῃ ἐριδούπῳ.
Ἀλκίνοος δ' ἄρα λέκτο μυχῷ δόμου ὑψηλοῖο·
Πὰρ δὲ γυνὴ δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.

Sic ille quidem ibi dormiebat patiens nobilis Ulysses,
Tornatis in lectis, sub porticu sonante.
Alcinous verò decubuit in penetrali domûs excelsæ:
Juxta verò uxor regina lectum ornavit et cubile.

Ver. 344. —— *κάθευδι.*] *Barnesius* edidit *καθεύδι.* Sed nihil opus. Vide ad *Π.* ά, 611.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Θ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Θ'

Ἐκκλησία γίνεται τῶν Φαιάκων περὶ τοῦ ξένου, καὶ ναῦς καθίλκεται πρὸς ἐκπομπὴν τοῦ Ὀδυσσέως, καὶ ἱστιῶνται παρὰ τῷ Ἀλκινόῳ τῶν Φαιάκων οἱ ἄριστοι, καὶ μετὰ ταῦτα δίσκῳ ἀγωνίζονται Φαίακες καὶ Ὀδυσσεύς· καὶ ὁ Δημόδοκος ᾄδει, πρῶτα μὲν τὰ περὶ τὴν μοιχείαν Ἄρεως καὶ Ἀφροδίτης· ἔπειτα δὲ τὰ περὶ τὴν εἰσαγωγὴν τοῦ δουρείου ἵππου· καὶ τοῦ Ὀδυσσέως κλαίοντος, ὁ Ἀλκίνοος συνθάπτει, διὰ τί κλαίει, καὶ τίς, καὶ πόθεν εἴη.

Ἐπιγραφαί.

Σύστασις τοῦ Ὀδυσσέως πρὸς τοὺς Φαίακας.

Ἄλλως.

Ἀλκίνου ἀπόλογοι· ἢ, Τὰ τοῦ Ὀδυσσέως παρὰ Ἀλκίνῳ.

Ἄλλως,

Τὰ παρὰ Ἀλκίνῳ προδιηγήσεως· ἢ, Τῶν παρ' Ἀλκίνῳ προδιήγησις.

Ἄλλως,

Θῆτα δ' ἄθλοις Φαίηκες Ὀδυσσῆος πείρηθεν.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ὦρνυτ' ἄρ' ἐξ εὐνῆς ἱερὸν μένος Ἀλκινόοιο.
Ἂν δ' ἄρα διογενὴς ὦρτο πτολίπορθος Ὀδυσσεύς.
Τοῖσιν δ' ἡγεμόνευ' ἱερὸν μένος Ἀλκινόοιο

QUANDO verò manè-genita apparuit rosea-digitos Aurora,
Surrexit ex lecto sacra vis Alcinoi.
Surrexit porrò nobilis urbium-eversor Ulysses.
Illis verò praeibat sacra vis Alcinoi

Ver. 3. —— Πτολίπορθος Ὀδυσσεύς.] Vide suprà ad *ε*, 2. et ad *Il. β'*, 278.

Φαιήκων ἀγορήνδ', ἣ σφιν παρὰ νηυσὶ τέτυκτο.
Ἐλθόντες δὲ κάθιζον ἐπὶ ξεστοῖσι λίθοισι
Πλησίον· ἡ δ' ἀνὰ ἄστυ μετώχετο Παλλὰς Ἀθήνη,
Εἰδομένη κήρυκι δαϊφρονος Ἀλκινόοιο,
Νόστον Ὀδυσσῆϊ μεγαλήτορι μητιόωσα·
Καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον·
Δεῦτ' ἄγε, Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
Εἰς ἀγορὴν ἰέναι, ὄφρα ξείνοιο πύθησθε,
Ὅς νέον Ἀλκινόοιο δαϊφρονος ἵκετο δῶμα,
Πόντον ἐπιπλαγχθείς, δέμας ἀθανάτοισιν ὁμοῖος.
Ὣς εἰποῦσ', ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Καρπαλίμως δ' ἔμπλητο βροτῶν ἀγοραί τε καὶ, ἕδραι,
Ἀγρομένων· πολλοὶ γὰρ ἐθήησαντο ἰδόντες
Υἱὸν Λαέρταο δαϊφρονα· τῷ δ' ἄρ' Ἀθήνη
Θεσπεσίην κατέχευε χάριν κεφαλῇ τε, καὶ ὤμοις·
Καί μιν μακρότερον καὶ πάσσονα θῆκεν ἰδέσθαι,
Ὡς κεν Φαιήκεσσι φίλος πάντεσσι γένοιτο,
Δεινός τ', αἰδοῖός τε, καὶ ἐκτελέσειεν ἀέθλους

Phaeacum ad concionem, quae ipsis apud naves constituta erat.
Ingressi autem considebant in politis lapidibus
Propè-*invicem*: per urbem autem obibat Pallas Minerva,
Assimilata praeconi prudentis Alcinoi,
Reditum Ulyssi magnanimo meditans:
Et sanè unicuique viro astans dixit verbum:
" Huc agè, Phaeacum ductores, et principes,
" Ad concionem ite, ut de hospite audiatis,
" Qui recens Alcinoi prudentis venit domum,
" Ponto pererrato, corpore immortalibus similis."
Sic locuta, incitavit robur et animum uniuscujusque.
Citò verò implebantur hominibus, forumque, et sedilia,
Congregatis; multi enim admirati sunt conspicati
Filium Laërtis prudentem. ei verò Minerva
Divinam affudit gratiam capitique, et humeris;
Et ipsum proceriorem et crassiorem reddidit aspectu,
Ut Phaeacibus gratus omnibus fieret,
Gravisque et venerabilis, et ut perficeret certamina

Ver. 5.——ἣ σφιν παρὰ νηυσὶ τέτυκτο.] Vide suprà ad ζ. 266.

Ver. 7.—ἡ δ' ἀνὰ ἄστυ μετώχετο Παλλὰς Ἀθήνη, Εἰδομένη κήρυκι.] Ἔστι δὲ Ἀθηνᾶ ἐνταῦθα ἡ φήμη τὶς περὶ τοῦ, φρόνιμον τινὰ πλανήτην εἰς τὴν κατ' αὐτοὺς γῆν ἐλθεῖν, ἧς χάριν καὶ συν ἀγονται· ἢ ἡ παρ' ἑκάστῳ τῶν Φαιάκων φυσικὴ σύνεσις, καθ' ἣν μαθόντες ξένον ἄξιον λόγου ἐφιφοιτῆσαι, χρῆμα τοῦτο σπάνιον ἐν αὐτοῖς. ἤνουσ. κατὰ Θείαν πειρασόμενοι τοῦ ἀνδρος *Eustath.*

Ver. 12.——σύθησθε.] *Al.* σύθοισθε.

Ver. 16.——ἴμπλητο.] *Al.* ἴπλητο.

Ver. 17.——πολλοὶ γὰρ ἰθήησαντο.] *Eustathius* in commentario videtur legisse, πολλοὶ δ' ἄρα θηήσαντο.

Ver. 18.——τῷ δ' ἄρ' Ἀθήνη Θεσπεσίην κατέχευε χάριν.] Vide suprà ad ζ. 229.

Ver. 20.——πάσσονα.] Καὶ γίνεται ἀπὸ τοῦ παχὺς, παχίων, πάσσων· ὁποίῳ τρόπῳ καὶ ὁ μάσσων γίνεται ἐκ τοῦ μακρός· καὶ ὁ βράσσων, ἐκ τοῦ βραχύς· καὶ ὁ ἐλάσσων, ἐκ τοῦ ἐλαχύς. *Eustath.*

Ver. 22.——καὶ ἐκτελέσειεν ἀέθλους.] Πληθυντικῶς εἶπε τὸν τοῦ δίσκου ἆθλον. Κρά-

Πολλοὺς, οὓς Φαίηκες ἐπειρήσαντ' Ὀδυσῆος.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε·
Κέκλυτε, Φαιήκων ἡγήτορες, ἠδὲ μέδοντες,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
Ξεῖνος ὅδ', οὐκ οἶδ' ὅστις, ἀλώμενος ἵκετ' ἐμὸν δῶ,
Ἠὲ πρὸς Ἠοίων, ἢ Ἑσπερίων ἀνθρώπων·
Πομπὴν δ', ὀτρύνει, καὶ λίσσεται ἔμπεδον εἶναι.
Ἡμεῖς δ', ὡς τοτάρος περ, ἐποτρυνώμεθα πομπήν.
Οὐδὲ γὰρ οὐδέ τις ἄλλος, ὅτις κ' ἐμὰ δώματ' ἵκηται,
Ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει, εἵνεκα πομπῆς.
Ἀλλ' ἄγε, νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
Πρωτόπλοον· κούρω δὲ δύω, καὶ πεντήκοντα,
Κρινάσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι.
Δησάμενοι δ' εὖ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
Ἔκβητ'· αὐτὰρ ἔπειτα δόην ἀλεγύνετε δαῖτα,

Multa, quibus Phaeaces experirentur Ulyssem.
Caeterùm postquam convenerant, congregatique erant,
Illis dein Alcinous concionatus est et interlocutus:
" Audite, Phaeacum ductores atque principes,
" Ut dicam, quae me animus in pectoribus jubet:
" Hospes hic, nescio quis, errans venit meam domum,
" Sive ab Orientalibus, sive Occidentalibus hominibus:
" Deductionemque flagitat, et precatur ratam esse.
" Nos verò, ut anteà quidem, maturemus deductionem.
" Neque enim quisquam alius, quicunque meam domum pervenerit,
" Hic lugens diù manet, propter deductionem.
" Sed agè, navem nigram deducamus in mare vastum
" Recentem: juvenes autem duo, et quinquaginta,
" Eligantur è populo, quicunque olim sunt optimi.
" Ligatis autem benè omnes ad transtra remis
" Exite: ac deinde subitum apparate convivium,

τῆς δὲ τοὺς κατὰ Ἰθάκην ἤκουσεν πόνους. *Schol.* Quæ posterior explicatio nullo modo ferri potest.

Ver. 23. —— ὧς.] *Al.* τούς.

Ver. 24. —— ᾧ.] *Ut dictum est* ——. suprà *ver.* 16.

Ver. 25. Τοῖσιν δ'.] " Τοῖσινδ'," inquit *Barnesius*, " lego pro Τοῖσιν δ', cum το. δι, ni- " hil huc attineat; quòd Αὐτὰρ præcesserit." Similiter et suprà *ver.* 1. 4. edidit vir eruditus Ἠμόσθ', Τοίσινδ'. Sed minùs rectè. Vide ad *Il.* ά, 57. et 3', 160.

Ver. 30. —— ἵμεναι εἶναι.] Τὴν πρὸς πάντας ἐχομένην πομπὴν, ταύτην καὶ ἐπὶ τούτου τηρεῖν βιβαίαν. *Schol.*

Ver. 35. Πρωτόπλοον.] *Scholiastes* interpretatur simpliciter Καινήν. *Eustathius* autem, Πρωτόπλοος δὲ ναῦς, (inquit) οὐ μόνον ἡ ἐκ καινῆς ναυπηγηθεῖσα, ἀλλὰ καὶ ἡ πρώτη κατὰ τὸ πλεῖν· ἢ μετὰ πρώτου τινὸς πλεύσασα, ὅ ἐστι ναυαρχίς. Cæterùm " Metiendum," inquit *Barnesius*, " quasi esset πρωτόπλων." Quod tamen nihil opus. Vide suprà ad δ', 127. et ad *Il.* β', 557.

Ibid. —— κούρω δὲ δύω, καὶ πεντήκοντα Κρινάσθων.] Similiter infrà *ver.* 48. " Κούρω δὲ " κριθέντι δύω, καὶ πεντήκοντα, βήτην." Ὁ Πεισιτὴς οὐ μόνον δύω καὶ πεντήκοντα λέγει, ἀλλὰ καὶ τὴν τοῦ λόγου σύνταξιν πρὸς τὸ δύω ἀστοτίνει, οὐ πρὸς τὸ πληθυντικὸν, εἶτα· " Κούρω δὲ " κριθέντι &c." καὶ,—" κούρω δὲ δύω, καὶ πεντή- " κοντα Κρινάσθων." *Eustath.* Vide ad *Il.* ί, 182.

Ἡμέτερόνδ' ἐλθόντες· ἐγὼ δ' εὖ πᾶσι παρέξω.
Κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
Σκηπτοῦχοι βασιλῆες ἰμὰ πρὸς δώματα καλὰ
Ἔρχησθ', ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν,
Μηδέ τις ἀρνείσθω· καλέσασθε δὲ θεῖον ἀοιδὸν
Δημόδοκον· τῷ γάρ ῥα θεὸς πέρι δῶκεν ἀοιδὴν
Τερπνὴν, ὅππη θυμὸς ἐποτρύνῃσιν ἀείδειν.
Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
Σκηπτοῦχοι· κήρυξ δὲ μετὼχετο θεῖον ἀοιδόν.
Κούρω δὲ κριθέντε δύω, καὶ πεντήκοντα,
Βήτην, ὡς ἐκέλευσ', ἐπὶ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον, ἠδὲ θάλασσαν,
Νῆα μὲν οἵ γε μέλαιναν ἁλὸν βένθοσδε ἔρυσσαν,
Ἐν δ' ἱστόν τ' ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ.
Ἠερτύναντο δ' ἐρετμὰ τροποῖς ἐν δερματίνοισι,
Πάντα κατὰ μοῖραν· ἀνὰ δ' ἱστία λευκὰ τίτασσαν·

" Ad nostram *domum* profecti; ego autem lautè omnibus praebebo.
" Juvenibus quidem haec praecipio: at caeteri
" Sceptrigeri reges meam ad domum pulchram
" Veniatis; ut hospitem in aedibus amicè excipiamus;
" Neque quis recuset: advocate verò divinum cantorem
" Demodocum: huic etenim deus excellenter dedit cantilenam
" Jucundam, utcunque animus *ipsum* impellat ad-canendum."
Sic utique locutus praeivit; simul verò sequebantur
Sceptrigeri: praeco autem adibat divinum cantorem.
Juvenes verò electi duo, et quinquaginta,
Iverunt, ut praeceperat *Alcinous*, ad littus maris infructuosi.
Porrò postquam ad navem pervenissent, atque mare,
Navem quidem ipsi nigram maris in profundum deduxerunt,
Imposueruntque malum, et vela navi nigrae:
Aptâruntque remos vincula per coriacia,
Omnia ritè; velaque alba expanderunt:

Ver. 42. Ἐεχησθ'.] *Al.* Ἔρχεσθ'.

Ibid. —— ἐνὶ μεγάροις φιλέωμεν.] *Al* ἐνὶ μεγάροισι φιλέωμεν. Quod et ferri posset; pronuntiando scilicet φιλῶμεν.

Ver. 44. — κίρι δῶκεν.] Ita edidit *Barnesius*: atque ita in omnibus legitur, *Iliad.* σ', 727. *Vulgg.* hîc περιδῶκεν.

Ver. 45. Τερπνὴν, ὅππη θυμός.] *Al* Τέρπειν, ὅπῃ θυμός. Atque ita habent Codices nonnulli à *Tho. Bentleio* collati. Firmatur autem hæc lectio ex ά, 346. suprà, ubi haud dissimilem loquendi rationem usurpat Poeta:

—— τί τ' ἄρ' ἀν' αὖ φόρμιγξ, ἐρίηρον, ἀοιδὸν
Τέρπειν, ὅππη οἱ νόος ἔρνυται; ——

Ibid. —— ὅππη θυμὸς ἐποτρύνῃσιν.] Ὅσα βούλεται αὐτὸς, ἢ, ὅτα ἡ ἐνθυμία τῶν ἀκουόντων. *Schol.* Quæ posterior explicandi ratio ferri nequit.

Ver. 47. 62 69 et 107. —— κήρυξ.] *Barnesius* aliique ediderunt κῆρυξ· sed minùs rectè. Vide ad *Il.* β', 267.

Ver. 48. —— κριθέντε.] Ita rectè edidit *Barnesius*. Vulgati habent κριθέντε. Quod primam necessariò corripit. Vide ad *Il.* ά, 309. et γ', 129.

Ver. 53. Ἠερτύναντο.] Vide suprà ad Υ, 771. et ad *Il.* ά, 309. 338. *Al.* Ἠρτύναντο.

Ver. 54. —— ἀνὰ δ' ἱστία.] *Al.* κατὰ δ' ἱστία, et κατὰ δ' ἱστία.

Ibid. —— τίτασσαν.] *Al.* τάνυσσαν.

Ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν· αὐτὰρ ἔπειτα
Βάν ῥ' ἴμεν Ἀλκινόοιο δαΐφρονος ἐς μέγα δῶμα.
Πλῆντο δ' ἄρ' αἴθουσαί τε, καὶ ἔρκεα, καὶ δόμοι ἀνδρῶν
Ἀγρομένων· πολλοὶ δ' ἄρ' ἔσαν νέοι, ἠδὲ παλαιοί.
Τοῖσιν δ' Ἀλκίνοος δυοκαίδεκα μῆλ' ἱέρευσεν,
Ὀκτὼ δ' ἀργιόδοντας ὕας, δύο δ' εἰλίποδας βοῦς·
Τοὺς δέρον, ἀμφί θ' ἕπον, τετύκοντό τε δαῖτ' ἐρατεινήν.
Κήρυξ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν·
Τὸν περὶ Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε, κακόν τε·
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν
Τῷ δ' ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον
Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας·
Κὰδ δ' ἐκ πασσαλόφιν κρέμασεν φόρμιγγα λιγεῖαν
Αὐτοῦ ὑπὲρ κεφαλῆς, καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι

Altè verò in humidum ipsam stiterunt: caeterùm posteà
Perrexerunt ire Alcinoi prudentis ad magnam domum.
Implebantur autem porticusque, et septa, et domus viris
Congregatis: multi nempè erant juvenes atque senes.
Illis verò Alcinous duodecim oves mactavit,
Octoque albos-dentibus sues, duosque camuros boves:
Quos excoriârunt curâruntque, apparâruntque convivium amoenum.
Praeco autem propè venit ducens amabilem cantorem:
Quem supra-modum Musa dilexit, dedit verò bonumque malumque;
Oculis quidem privavit, dedit autem dulcem cantum.
Huic verò deinde Pontonous posuit sedem argenteis-clavis-distinctam,
In medio convivarum, columnae longae affixam:
Ex paxillo autem suspendit citharam argutam,
Ipsius supra caput, et monuit manibus prehendere

Ver. 56. ——— ῥ'.] *Ut jussi erant* ——— *ver.* 39. 40.

Ver. 57. —— αἴθουσαι.] Αἱ πρὸς ἥλιον στεγαμμέναι στοαί. *Schol.*

Ver. 58. Ἀγερομένων.] Deest hic versus in MS. uno à *Tho. Bentleio* collato.

Ver. 59. —— δυοκαίδεκα μῆλ' ἱέρευσεν, Ὀκτὼ δ' ἀργιόδοντας ὕας, δύο δ' εἰλίποδας βοῦς.]

Nec minùs intereà sociis ad littora mittit
Viginti tauros, magnorum horrentia centum
Terga suum, pingues centum cum matribus agnos. *Æn.* I, 637.

"*Solitaurilia*" (apud *Livium, lib.* I. § 44. *Suovetaurilia*) "jàm persuasum est esse ex "*sue, ove,* et *tauro*: et sanè ita se habet sa-"crum quale apud Homerum quoque est." *Quinctilian. lib.* I. *cap.* 5. sub fine.

Ver. 63. —— δίδου δ' ἀγαθόν τι, κακόν τι.] Πῶς οὖν ἐφίλησεν; Ἢτοι ἐπεὶ οἱ συφλὸν μουσικόν περοι, μὴ περὶ πολλὰ ἀσχολούμενον· ἢ οἰκονομικῶς, ἵνα μὴ ἐπιγνῷ τὸν Ὀδυσσέα· ἢ ἐπὶ πάντως ἐνθρωπον ὄντα δεῖ κατὰ τὶ δυστυχεῖν. *Schol.* Rectiùs, ut opinor, *Eustathius*: Ὅτι τὸν ἀνθρωπίνην εὐτυχίαν ὑποδηλῶν, ὡς ἐν Ἰλιάδι, ἐν ᾧ περὶ τῶν δύο πίθων λόγῳ, οὕτω δὲ καὶ ταῦθά φ Ποιητής, ἔχουσαν συναμειμιγμένα φαῦλα καλοῖς, φησὶν οὕτω περὶ Δημοδόκου· "Τὸν περὶ "Μοῦσα φίλησε, δίδου δ' ἀγαθόν τι, κακόν τι." Vide ad *Il.* ω, 527. Τινὲς δὲ (addit *Scholiastes*) φασὶν, ὡς αὐτὸν ταῦτα αἰνίττεσθαι τὸν Ποιητήν. Atque ita *Maximus Tyrius*: Τοιοῦτόν δὲ αὐτοῦ (Ὁμήρου,) κατὰ τὰ ἴσα ἃ περὶ τοῦ Δημοδόκου λέγει, ὅτι ἦν αὐτῷ πεπαιμένα μὲν ὡς τὴν αὐτοῦ τύχην, ἀναπλίμπλα δὲ τῷ Δημοδόκῳ· ἔχει δὲ τὰ ἴσα ὧδέ πως, "Τὸν περὶ "Μοῦσ' ἐφίλησεν, &c." Ἐγὼ δὲ αὐτῷ περὶ μὲν τῆς ᾠδῆς συντίθεμαι, περὶ δὲ τῆς συμφορᾶς οὐ συντίθεμαι· οὐ γὰρ μουσικὸν τὸ δῶρον. *Dissert.* XXII. sub initio.

Ver. 68. —— καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι.] Ἢτοι ἐσήμανεν, ἵνα ἀνέλητα ταῖς χερσὶν, ἢ τὰς χεῖρας ἐπίθηκεν, ἵνα γνῷ, ἵνθα κεῖται. *Schol.*

Ibid. —— ἐπέφραδε.] Similiterque *ver.* 142. πέφραδε. Vide ad *Il.* ξ', 500.

Κήρυξ· πὰρ δ' ἐτίθει κάνεον, καλήν τε τράπεζαν,
Πὰρ δὲ δέπας οἴνοιο, πιεῖν, ὅτε θυμὸς ἀνώγοι.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Μοῦσ' ἄρ' ἀοιδὸν ἄνηκεν ἀείδεμεναι κλέα ἀνδρῶν,
Οἴμης, τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε·
Νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος,
Ὡς ποτε δηρίσαντο, θεῶν ἐν δαιτὶ θαλείῃ,
Ἐκπάγλοις ἐπέεσσιν· ἄναξ δ' ἀνδρῶν Ἀγαμέμνων
Χαῖρε νόῳ, ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο.

Praeco; juxta autem apponebat canistrum, pulchramque mensam,
Juxtà etiam poculum vini, ut-biberet, quotie animus juberet.
Illi verò ad cibos paratos appositos manus extenderunt.
Caeterùm postquam potûs et cibi desiderium exemissent,
Musa dein cantorem excitavit, ut-caneret laudes virorum,
Cantilenae, cujus tunc utique gloria ad coelum latum pervenit;
Contentionem Ulyssis et Pelidae Achillis,
Ut quondam contenderunt, deorum in convivio celebri,
Acribus verbis: rex autem virorum Agamemnon
Gaudebat animo, cùm optimi Achivorum contenderent.

Ver. 69. —— πὰρ δ' ἐτίθει κάνεον, καλήν τε τράπεζαν, Πὰρ δὲ δέπας.] Ἑκάστῳ δὲ τῶν δαιτυμόνων παρ' Ὁμήρου παρέκειται (τοτήρια.) Παντὶ γοῦν παρατίθεται κάνεον καὶ τράπεζα καὶ δέπας, " πιεῖν, ὅτι θυμὸς ἀνώγοι." *Athenaeus. lib.* I. *cap.* 11. sub initio. Fortassè autem non unicuique Convivarum, sed *Demodoco* soli propter caecitatem, mensa propria et cibus et poculum appositi fuerint, reliquis unà epulantibus.

Ver. 70. —— πιεῖν, ὅτε θυμὸς ἀνώγοι.] *Al.* ὅ, τι θυμὸς ἀνώγοι.

Αὐτοθελὶ: ἥδιστος δὲ ποτός ——.
Anthologia, lib. II. *Epigramm.* 47.

Ver. 73. Μοῦσ' ἄρ' ἀοιδὸν ἄνηκεν ἀειδέμεναι κλέα ἀνδρῶν.] " Est in Originibus, solitos esse in epulis canere convivas ad tibicinem de clarorum hominum virtutibus." *Cic. Tusc. Disputat. lib.* I. *cap.* 2. Et iterùm, *lib.* IV. *cap.* 2. " Gravissimus auctor in Originibus dixit Cato, morem apud majores hunc epularum fuisse; ut deinceps, qui accubarent, canerent ad tibiam clarorum virorum laudes atque virtutes." Similiter et *Quinctilianus*: " Et Timagenes auctor est, omnium in literis studiorum antiquissimam musicen extitisse; et testimonio sunt clarissimi poetæ, apud quos inter regalia convivia laudes heroum ac deorum ad citharam canebantur." *Lib.* I. *cap.* 10.

—— Cithará crinitus Iöpas
Personat auratâ ——. *Æn.* I, 744.

Ibid. —— ἀειδέμεναι κλέα ἀνδρῶν.] Vide ad *Il. ί*, 189. Caeterùm alii, notante *Eustathio*, distinguunt, ἀειδέμεναι κλέα ἀνδρῶν Οἴμης, &c.

Ver. 74. Οἴμης, τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε.] Καὶ Ὁμηρος δὲ Τρωϊκὴν βιβλίον τὴν Ἰλιάδα ἔφη, ἧς τὸ κλέος οὐρανὸν εὐρὺν ἵκει. *Eustath.* Vide infrà ad *ver.* 489.

Ver. 75. Νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος.] Φασὶ τῷ Ἀγαμέμνονι χρεισμῳδῷ [Ita ex *Aloysii* MS. restituit *Barnesius* pro vulgato χρεισμόνιον] περὶ τοῦ κατὰ τὸν πόλεμον τέλους, ἀπιέναι τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, τότε τοξεύσειν τὸ Ἴλιον, ἅτ' ἂν οἱ ἄριστοι τῶν Ἑλλήνων στασιάσωσι· καὶ δὴ παρὰ πόδας διαλιχθέντων Ὀδυσσέως καὶ Ἀχιλλέως, τοῦ μὲν Ἀχιλλέως ἀνδρείαν ἐπαινοῦντος, τοῦ δὲ Ὀδυσσέως σύνεσιν, μετὰ τὴν Ἕκτορος ἀναίρεσιν· ὅτι ὁ μὲν βιάζεσθαι παρῄνει, διὸ καὶ ἀνῃρέθη· ὁ δὲ δόλῳ μετελθεῖν· καὶ Ἀγαμέμνονα, ὡς τέλους ἐόντος τοῦ λόγου, χαρῆναι. Ἐσήμανε δὲ τὴν αὐτοῦ διαφορὰν πρὸς Ἀχιλλέα. *Schol.* Οἱ παρ' Ὁμήρῳ δὲ ἀριστεῖς κοσμίως διετέθησαν ἐν Ἀγαμέμνονος· εἰ δ' ἐν Ὀδυσσείᾳ φιλονικοῦσιν Ἀχιλλεὺς καὶ Ὀδυσσεύς, καὶ Ἀγαμέμνων χαίρει νόῳ· ἀλλ' ἐφιλονείκουν αἱ φιλοτιμίαι, ζητούντων, λόγῳ ἢ μάχῃ αἱρεθῆναι διὸ τὸ Ἴλιον. *Athenaeus, lib.* I. *cap.* 14.

Ver. 76. —— δηρίσαντο.] *Barnesius* edidit δηρίσαντο. Idem porrò hic inter varias lectiones δηριόωντο retulit, ex versu 78. ubi et invicem refert δηρίσαντο. Sed utrobique praestat Vulgata lectio. Vide ad *Il. γ*, 84.

Ὡς γὰρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων
Πυθοῖ ἐν ἠγαθέῃ, ὅθ' ὑπέρβη λάϊνον οὐδὸν
Χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
Τρωσί τε καὶ Δαναοῖσι, Διὸς μεγάλου διὰ βουλάς.
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι,
Κεκριφαλῆς εἴρυσσε, κάλυψε δὲ καλὰ πρόσωπα·
Αἴδετο γὰρ Φαίηκας, ὑπ' ὀφρύσι δάκρυα λείβων.
Ἦτοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδός,
Δάκρυ' ὀμορξάμενος, κεφαλῆς ἀπὸ φᾶρος ἔλεσκε,
Καὶ δέπας ἀμφικύπελλον ἑλὼν, σπείσασκε θεοῖσιν·
Αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο, καὶ ὀτρύνειαν ἀείδειν
Φαίηκων οἱ ἄριστοι, (ἐπεὶ τέρποντ' ἐπέεσσιν·)
Ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος γαύμασκεν.
Ἔνθ' ἄλλους μὲν πάντας ἐλάνθανε, δάκρυα λείβων,
Ἀλκίνοος δέ μιν οἷος ἐπεφράσατ', ἠδ' ἐνόησεν,
Ἥμενος ἄγχ' αὐτοῦ· βαρὺ δὲ στενάχοντος ἄκουσεν·
Αἶψα δὲ Φαίηκεσσι φιληρέτμοισι μετηύδα·
Κέκλυτε, Φαίηκων ἡγήτορες, ἠδὲ μέδοντες·

Sic enim ei vaticinans praedixerat Phoebus Apollo,
In Pythiâ divinâ, quando supergressus est lapideum limen
Oraculum-petiturus: tunc enim devolvebatur mali principium,
Trojanisque et Danaïs, Jovis magni per consilia.
Ista utique cantor cantabat inclytus: at Ulysses
Purpùream ingentem vestem prehensam manibus robustis,
In-caput traxit, obtexitque pulchram faciem:
Reverebatur enim Phaeaces, sub superciliis lachrymas stillans.
At quando desiit canere divinus cantor,
Lachrymis abstersis, à capite vestem demsit,
Et poculo rotundo sumpto, libavit diis:
Verùm quando rursùs incipiebat, et hortabantur *eum*, ut-caneret,
Phaeacum optimates, (quippe oblectabantur *illius* carminibus:)
Rursùs Ulysses, capite obvoluto, lugebat.
Ibi alios quidem omnes latebat, lachrymas stillans,
Alcinous verò solus ipsum animadvertit atque observavit,
Sedens prope ipsum; graviter autem suspirantem audivit:
Continuò verò inter Phaeaces remigii-studiosos loquebatur:
" Audite, Phaeacum ductores, atque principes:

Ver. 79. 81. — χρείων — Χρησόμενος.] Notanda hîc diversa vocum harum significatio: Χρείων, *Oraculum reddens:* Χρησόμενος, *Oraculum petiturus.* Vide infrà ad ν', 284. 286.

Ver. 80. Πυθοῖ ἐν ἠγαθέῃ] Πυθὼ. πόλις τῆς Φωκίδος, ἡ αὐτὴ καὶ Δελφοί. *Schol.* Ταύτης δ' [τῆς φωκίδος] ἐπιφανέστατοι δύο πόλεις, Δελφοὶ καὶ Ἐλάτεια. Δελφοὶ μὲν διὰ τὸ ἱερὸν τοῦ Πυθίου Ἀπόλλωνος καὶ τὸ μαντεῖον ἀρχαῖον ὄν· ἔνθα Ἀγαμέμνων ἐκ' αὐτοῦ χρησηριάσασθαι λέγεται ὑπὸ τοῦ Ποιητοῦ. Ὁ γὰρ κιθαρῳδὸς ᾄδων ἐπάγεται, " Νῖτος Ὀδυσσῆος, &c. *Strabo, Geograph. lib.* IX. *pag.* 639. *al.* 517.

Ver. 81. Χρησόμενος.] *Al.* Χρείμενος.

Ver. 82. —— Διὸς μεγάλου διὰ βουλάς.]

— nam sæva Jovis sic numina poscunt.
Æn. XI, 901.

Ver. 92. Ἂψ Ὀδυσεύς.] *Al.* Ἂψ δ' Ὀδυσεύς. Quod et ferri potest. Vide ad *Il.* ά, 57.

Ver. 93. —— λείβων.] *Al.* ἴβων.

Ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐΐσης,
Φόρμιγγός θ', ἣ δαιτὶ συνήορος ἐστὶ θαλείῃ·
Νῦν δ' ἐξέλθωμεν, καὶ ἀέθλων πειρηθῶμεν
Πάντων· ὥς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν,
Οἴκαδε νοστήσας, ὅσσον περιγινόμεθ' ἄλλων,
Πύξ τε, παλαισμοσύνῃ τε, καὶ ἅλμασιν, ἠδὲ πόδεσσιν.
Ὣς ἄρα φωνήσας, ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο.
Κὰδ δ' ἐκ πασσαλόφιν κρέμασε φόρμιγγα λιγεῖαν,
Δημοδόκου δ' ἕλε χεῖρα, καὶ ἔξαγεν ἐκ μεγάροιο
Κήρυξ· ἦρχε δὲ τῷ αὐτὴν ὁδὸν, ἥνπερ οἱ ἄλλοι
Φαιήκων οἱ ἄριστοι, ἀέθλια θαυμανέοντες.
Βὰν δ' ἴμεν εἰς ἀγορὴν, ἅμα δ' ἕσπετο πουλὺς ὅμιλος,
Μυρίοι· ἂν δ' ἵσταντο νέοι πολλοί τε, καὶ ἐσθλοί.
Ὦρτο μὲν Ἀκρόνεώς τε, καὶ Ὠκύαλος, καὶ Ἐλατρεὺς,
Ναυτεύς τε, Πρυμνεύς τε, καὶ Ἀγχίαλος, καὶ Ἐρετμεὺς,
Ποντεύς τε, Πρωρεύς τε, Θόων, Ἀναβησίνεώς τε,
Ἀμφίαλός θ', υἱὸς Πολυνήου Τεκτονίδαο·
Ἂν δὲ καὶ Εὐρύαλος, βροτολοιγῷ ἶσος Ἄρηϊ,

" Jam quidem convivio saturavimus animum aequali,
" Citharâque, quae convivio congruens est lauto:
" Nunc verò exeamus, et certamina experiamur
" Omnia; ut hospes narret suis amicis,
" Domum reversus, quantùm superemus alios,
" Pugilatuque, luctâque, et saltu, atque cursu."
Sic utique locutus, praecivit; illi verò unà secuti sunt.
E paxillo autem suspendit citharam argutam,
Demodocum verò prehendit manu, et eduxit ex aedibus
Praeco; praeibat autem ei eandem viam, quam et alii
Phaeacum optimates, certamina spectaturi.
Perrexerunt autem ire ad forum, simulque sequebatur ingens turba,
Innumeri; surgebant verò juvenes multique, et fortes.
Surrexit quidem Acroneusque, et Ocyalus, et Elatreus,
Nauteusque, Prymneusque, et Anchialus, et Eretmeus,
Ponteusque, Proreusque, Thoon, Anabesineusque,
Amphialusque, filius Polyneï Tectonidae;
Surrexit etiam Euryalus, homicidae similis Marti,

Ver. 98. —— δαιτὸς κεκορήμεθα θυμὸν ἴσης.] *All.* θυμὸν κεκορήμεθα δαιτὸς ἴσης. Quae et probabilior lectio.

Ver. 99. —— ἣ δαιτὶ συνήορος ἐστὶ θαλείῃ.] *Τουτέστι ἥτις συνήρμοσται καὶ συνίζυκται πρέπουσα μιᾷ συμποσίου καὶ συνεστιατικῇ τῇ ἱλαρότητι. Διὸ τινὲς τῶν ἀντιγράφων ἀντὶ τοῦ, θαλείῃ, ἐτυμίζῃ γράφουσι. Eustath.*

Μολπή τ', ἐχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός. Suprà ά, 152.

Vide et infrà ad ε', 271.

Ver. 103. Πύξ τε, παλαισμοσύνῃ τε, —— ἠδὲ πόδεσσιν.] Vide infrà ad *ver.* 206.

Ibid. 108. —— θαυμανέοντες.] Ὁ ἐστὶ θαυμασόμενοι, ἢ θεασόμενοι. *Eustath.* Cæterùm fuerunt, notante eodem *Eustathio*, qui hoc in loco scripserint, θαῦμα ἑαυτοὺς ἤγουν τὶς θαῦμα ποιοῦντας. Satis ineptè.

Ver. 111. —— Ἀκρόνεώς τε, &c.] Phaeacibus navigando celeberrimis consultè aptata videntur hæc nomina, ex rebus nauticis omnia ferè desumpta.

Ver. 116. —— Θόων.] *Al.* Θόων τ'.

Ναυβολίδης Θ', ὃς ἄριστος ἔην εἶδός τε, δέμας τε,
Πάντων Φαιήκων, μετ' ἀμύμονα Λαοδάμαντα·
Ἂν δ' ἔσταν τρεῖς παῖδες ἀμύμονες Ἀλκινόοιο,
Λαοδάμας Θ', Ἄλιός τε, καὶ ἀντίθεος Κλυτόνηος.
Οἱ δή τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσιν.
Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· οἱ δ' ἅμα πάντες
Καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο.
Τῶν δὲ θέειν ὄχ' ἄριστος ἔην Κλυτόνηος ἀμύμων·
Ὅσσον τ' ἐν νειῷ οὖρον πέλει ἡμιονοῖϊν,
Τόσσον ὑπεκπροθέων λαοὺς ἵκεθ', οἱ δ' ἐλίποντο.
Οἱ δὲ παλαισμοσύνης ἀλεγεινῆς πειρήσαντο·
Τῇ δ' αὖτ' Εὐρύαλος ἀπεκαίνυτο πάντας ἀρίστους.
Ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστερος ἦεν·
Δίσκῳ δ' αὖ πάντων προφερέστατος ἦεν Ἐλατρεύς·

Naubolidesque, qui optimus erat specieque, corporeque,
Omnium Phaeacum, post egregium Laodamantem:
Surrexerunt porrò tres filii eximii Alcinoi,
Laodamasque, Haliusque, et deo-par Clytoneus.
Hi porrò primùm quidem periculum-fecerunt pedibus.
Eis autem à carceribus extensus-erat cursus; sinul verò omnes
Celeritèr volabant pulverem-excitantes in-campo.
Horum autem currendo longè optimus erat Clytoneus eximius:
Quantumque in novali spatium est mularum,
Tantum praecurrens ad populum venit; caeteri verò relicti sunt.
Alii autem luctae molestae periculum-fecerunt:
In hâc porrò Euryalus vicit omnes optimates,
Saltu verò Amphialus omnium optimus erat:
Disco autem omnium praestantissimus erat Elatreus:

Ver. 116. —— ὃς ἄριστος ἔην —— Πάντων Φαιήκων, μετ' ἀμύμονα Λαοδάμαντα.]

—— quo pulchrior alter
Non fuit, excepto Laurentis corpore Turni. *Æn.* VII, 649.

Vide ad *Il.* β', 673.

Ver. 118. —— ἀμύμονες.] *Al.* ἀμύμονος.

Ver. 121. Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος.

—— locum capiunt, signoque repentè
Corripiunt spatia audito, limenque relinquunt
Effusi nimbo similes ——. *Æn.* V, 315.

Ver. 122. —— κονίοντες.] Vide ad *Il.* ά, 24.

Ver. 123. τῶν δὲ θέειν ὄχ' ἄριστος ἔην Κλυτόνηος.]

Primus abit, longéque ante omnia corpora Nisus
Emicat, et ventis et fulminis ocior alis. *Æn.* V, 318.

Σημείωσαι δὲ καὶ ὅτι ἐν Ἰλιάδι ἀγωνοθετήσας ὁ Ποιητὴς, [*Il.* Ψ', 257. &c.] οὐκ ἔστιν ὅπου τοιούτοις ἐνασχολῆσαι τὴν ἑαυτοῦ μοῦσαν ἴδιον καιροῦ· διὸ καὶ ἐπιτρέχει αὐτά. *Eustath.*

Ver. 124. Ὅσσον τ' ἐν νειῷ οὖρον πέλει ἡμιονοῖϊν.] Οὖρον, ὅρμημα, διάστημα. *Schol.* Ὅσον ἀφορίζονται τῶν βοῶν ἀροτρεῦσαι ἡμίονοι, ὡς προφερίστερα βοῶν οὖσαι ἄροτρον ἑλκύσιν. *Eustath.*

—— ὅσσον τ' ἐφίουσα πέλονται
Ἡμιόνων· αἱ γάρ τε βιὴν προφερέστεραι εἰσὶν
Ἑλκέμεναι νειοῦ βαθείης πηκτὸν ἄροτρον.
Iliad. κ', 351.

Ibid. —— νειῷ.] Ἠροτριασμένῃ γῇ. *Schol.*

Ver. 128. 129. 130.] Quanto cum artificio Poeta, in rebus *minutis* narrandis, sententias singulas singulis versibus absolvat; vide ad *Il.* ά, 436. β', 102. et ί, 589.

Ver. 128. —— προφερίστερος.] MS. à *Tho. Bentleio* collatus hîc legit προφερίστατος· versuque sequenti pro προφερίστατος, habet πολὺ φέρτατος.

Πὺξ δ' αὖ Λαοδάμας, ἀγαθὸς παῖς Ἀλκινόοιο.
Αὐτὰρ ἐπειδὴ πάντες ἐτέρφθησαν φρένα ἀέθλοις,
Τοῖς ἄρα Λαοδάμας μετέφη, παῖς Ἀλκινόοιο·
Δεῦτε φίλοι, τὸν ξεῖνον ἐρώμεθα, εἴτιν' ἀέθλων
Οἶδέ τε καὶ δεδάηκε· φυὴν γε μὲν οὐ κακὸς ἐστὶ,
Μηρούς τε, κνήμας τε, καὶ ἄμφω χεῖρας ὕπερθεν.
Αὐχένα τε στιβαρὸν, μέγα τε σθένος· οὐδέ τι ἥβης
Δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν.
Οὐ γὰρ ἔγωγέ τι φημὶ κακώτερον ἄλλο θαλάσσης,
Ἄνδρα τε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.
Τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο, φώνησέν τε·
Λαοδάμα, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες.
Αὐτὸς νῦν προκάλεσσαι ἰὼν, καὶ πέφραδε μύθῳ.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσ' ἀγαθὸς παῖς Ἀλκινόοιο,
Στῆ ῥ' ἐς μέσσον ἰὼν, καὶ Ὀδυσσῆα προσέειπεν·
Δεῦρ' ἄγε καὶ σὺ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
Εἴ τινά που δεδάηκας· ἔοικε δέ σ' ἴδμεν ἀέθλους·
Οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦσιν,
Ἢ ὅτι ποσσίν τε ῥέζῃ καὶ χερσὶν ἐῇσιν.

Pugilatu denique Laodamas, eximius filius Alcinoi.
Caeterùm postquam omnes oblectàssent animum certaminibus,
Inter hos deinde Laodamas locutus est, filius Alcinoi:
" Agite, amici, hospitem rogemus, si quod certamen
" Novitque et didicit: habitu-corporis quidem non malus est,
" Femoribusque, et cruribus, et ambabus manibus supernè,
" Cerviceque firmà, ingentique robore; neque omninò vigore-juvenili
" Caret; et malis confractus est multis.
" Non enim ego quid existimo pejus aliud mari,
" Ad hominem confringendum, etiam si valdè fortis fuerit."
Huic autem rursùs Euryalus respondit, dixitque:
" Loadama, sanè hunc sermonem rectè dixisti.
" Ipse nunc provoca profectus, et admone sermone."
At postquam hoc audiisset eximius filius Alcinoi,
Stetit in medium progressus, et Ulyssem allocutus est:
" Huc age et tu, hospes pater, periculum-hic certaminum,
" Si quod fortassis didicisti; par enim est, te scire certamina:
" Neque enim major gloria hominis, quo-ad fuerit,
" Quam quòd pedibus strenuè-agat et manibus suis.

Ver. 130. 132 et 143. —— παῖς.] *Al.* πάϊς.
Ver. 132. —— ἄρα.] *Deinde* ——.
Ver. 133. — εἴτιν' ἀέθλων.] *Al.* εἴτιν ἀέθλων.
Ver. 134. 137. 146. 151. Οἶδε —— δεδαπας —— συνέρρηκται —— δεδάηκας —— κατείρυσται.] Vide ad *Il.* α, 37. et ν', 736.
Ver. 141. —— ἴσιτις.] Apud *Eustathium*, ἴστας. Quod idem.
Ver. 147. Οὐ μὲν γὰρ μεῖζον κλέος &c.] *Al.* Οὐ γάρ τι μεῖζον.

—— ὑμνητὸς οὗτος
Ἀνὴρ γίνεται σοφοῖς,
Ὅς ἂν χερσὶν, ἢ ποδῶν ἀρετᾷ
Κράτησι, τὰ μιγιστ' ἀέθλων ἐλὼν
Τολμᾷ τε καὶ σθένει.
Pindar Pythior. Od. X. *ver.* 34.

Ver. 148. —— ὅτι —— ῥίξῃ.] Legendum fortassè, ὅ, τι —— ῥίξῃ, *Quodcunque fecerit.*

Ἀλλ' ἄγε πείρησαι, σκέδασον δ' ἀπὸ κήδεα θυμοῦ·
Σοὶ δ' ὁδὸς οὐκ ἔτι δηρὸν ἀπίσσεται, ἀλλά τοι ἤδη
Νηῦς τε κατείρυσται, καὶ ἑταρτέες εἰσὶν ἑταῖροι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Λαοδάμα, τί με ταῦτα κελεύετε κερτομέοντες;
Κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν, ἤπερ ἄεθλοι,
Ὅς πρὶν μὲν μάλα πολλ' ἔπαθον, καὶ πολλ' ἐμόγησα·
Νῦν δὲ μεθ' ὑμετέρῃ ἀγορῇ νόστοιο χατίζων
Ἥμαι, λισσόμενος βασιλῆά τε, πάντα τε δῆμον.
Τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο, νείκεσέ τ' ἄντην·
Οὐ γάρ σ' οὐδὲ, ξεῖνε, δαήμονι φωτὶ ἐίσκω
Ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται·
Ἀλλὰ τῷ, ὅς θ' ἅμα νηὶ πολυκληῖδι θαμίζων,
Ἀρχὸς ναυτάων, οἵτε πρηκτῆρες ἔασιν,
Φόρτου τε μνήμων, καὶ ἐπίσκοπος ἦσιν ὁδαίων,
Κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ἔοικας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·

" Verùm age, fac-periculum; et pelle moestitiam ab animo:
" Tibi verò profectio non adhuc diù aberit, sed tibi jam
" Et navis deducta est, et parati sunt socii."
Hunc autem respondens allocutus est solers Ulysses:
" Laodama, quid me ista jubetis incessentes?
" Dolores mihi etiam magis in animo, quàm certamina;
" Qui anteà quidem valde multa passus sum, et multa pertuli;
" Nunc verò in vestro consessu reditûs indigens
" Sedeo, precans regemque, omnemque populum."
Huic verò rursùs Euryalus respondit, objurgavitque palàm:
" Neque enim te, hospes, perito viro assimilo
" Certaminum, qualia utique multa inter homines sunt;
" Sed illi, qui apud navem multis-transtris-instructam frequentèr-versans,
" Princeps nautarum, qui et negotiatores sunt,
" Onerisque memor, et inspector sit viaticorum,
" Lucrique rapto-acquisiti; neque athletae similis-es."
Illum autem torvè intuitus allocutus est solers Ulysses:

Ibid. ——— *ῥίξῃ.*] Apud *Eustathium* in commentario, *ῥίξω.*

Ver. 159. Οὐ γάρ σ' οὐδέ.] Refertur istud, γάρ, ad id quod elegantèr reticetur. " *Op-* " *timè fecisti, quòd certamina inire recusave-* " *ris*; Vel, " *Ne nos te ad certamina ine-* " *unda coacturos esse metuas; Nequaquam* " *ENIM* revera *&c.*"

Ver. 161. ——— ὅς θ'.] *Qui scilicet* ———

Ibid. ——— θ' ἅμα.] *Al.* θαμά.

Ver. 162. ——— εἵτε πρηκτῆρες ἔασιν.] " Πράττεσθαι propriè de re pecuniariâ, *pe-* " *cuniam exigere, rem facere, lucrari, lucrum* " *facere et exculpere è re aliquâ*: hinc πρᾶ- " ξις *negotiatio, mercatura*; et πρακτὴρ, ἵμ- " πορος, πραγματευτὴς, *mercator, negotiator.* " Ita sumo apud Homerum: ——

" Ἀρχοὶ ναυτάων, οἵτε πρηκτῆρες ἔασιν.

" Πρηκτῆρες, i. e. ἔμποροι, πραγματευταί." *Duport. Prælect. in Theophrast. cap.* 6. Vide et suprà ad ῥ', 319.

Ver. 163. Φόρτου τε μνήμων.] Ἐπιμελόμε- νος τῶν φορτίων· ἢ μνημονίων ἕπασιν, πόσου ἠ ἄξιον. *Schol.*

Ibid. ——— ἐπίσκοπος.] *Al.* ἐπίστροφος.

Ibid. ——— ὁδαίων.] Ὁ ἐστὶ ἐφοδίων. *Eu- stath.*

Ξεῖν', οὐ καλὸν ἔειπες· ἀτασθάλῳ ἀνδρὶ ἔοικας.
Οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν
Ἀνδράσιν, οὔτε φυὴν, οὔτ' ἄρ φρένας, οὔτ' ἀγορητύν.
Ἄλλος μὲν γάρ τ' εἶδος ἀπιδνότερος πέλει ἀνὴρ,
Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει· οἱ δέ τ' ἐς αὐτὸν
Τερπόμενοι λεύσσουσιν· ὁ δ' ἀσφαλέως ἀγορεύει
Αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν·

" Hospes, non honestè dixisti; protervo viro similis-videris.
" Ita non omnibus deus amabilia-*munera* donat
" Hominibus, neque formam, neque ingenium, neque eloquentiam.
" Etenim alius quidem specie invenustior est vir,
" At deus formam verbis ornat: alii verò in ipsum
" Oblectati aspiciunt: hic autem securè loquitur
" Modestiâ *cum* suavi, eminetque inter congregatos:

Ver. 167. 169. —— *οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν* —— "Ἄλλος μὲν γὰρ &c.] Ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι βροτῶν
Πίφυκεν, ἄλλῳ δ' ἄλλο πρέσσειν γίγας·
Σὲ μὲν μάχεσθαι, τοὺς δὲ βουλεύειν καλῶς.
Euripid. Rhes. ver. 106.

——— nunquam sincera bonorum
Sors ulli concessa viro: quem vultus honestat,
Dedecorant mores: animus quem pulchrior ornat,
Corpus destituit: bellis insignior ille,
Sed pacem fœdat vitiis: hic publica felix,
Sed privata minùs: partita singula quemque
Nobilitant: hunc forma decens; hunc robur in armis;
Hunc rigor; hunc pietas; illum solertia juris:
Hunc soboles, castique tori ———.
Claudian. in prim. Consul. Stilic. ver. 25.

——— non omnia possumus omnes.
Virg. Ecl. VIII, 63.

Similiter porrò et *Maharbal* apud *Livium*; " Non omnia nimirùm eidem Dii dedere. " Vincere scis, *Annibal*; victoriâ uti ne- " scis." *Lib.* XXII. § 51.

Ibid. —— *θεὸς χαρίεντα δίδωσιν.*] Ita *Henricus Stephanus*, eumque secutus *Barnesius*. *Al.* θεοὶ χαρίεντα διδοῦσιν.

Ver. 169. "Ἄλλος μὲν γάρ τ' εἶδος ἀπιδνότερος ——, Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει.] Ἡ νόμος ἐστὶ, πᾶσαν μὲν ἀμορφίαν σοφίας εἶναι κατάκριτον, εἰδὲν δ' ὡς ἀγαθὸν ἐπαινεῖσθαι τὸν καλόν; Ἀλλά τοι κατὰ τὸν μέγαν ἀληθείας περφήτην Ὅμηρον, " εἶδός τις ἀπιδνότερος πέλει " ἀνὴρ· Ἀλλὰ θεὸς &c." *Lucian. Amores.*

Si mihi difficilis formam natura negavit,
Ingenio formæ damna rependo meæ.
Ovid. Heroïd. Epist. XV, 31.

Ὅτι δὲ ἐν τῇ τῶν ἀγαθῶν συγκρίσει, —— τὸ φρονεῖν τοῦ καλοῦ εἴδους ἄμεινον, [δηλοῖ Ὅμηρος·] " Ἄλλος μὲν γάρ τ' εἶδος ἀπιδνότερος " &c." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου σοφίας, § 26. Atqui nullam hoc in loco inter hasce corporis animique dotes comparationem instituit Poeta; sed eas simul omnes uni eidemque nunquam ferè concessas dicit.

Ver. 170. Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει.] Τοὺς γὰρ αὖ τὴν ὄψιν ἀμόρφους, φησὶν, ἀναπλησοῖ ἡ τοῦ λόγου πιθανότης. *Athenæus, lib.* X. *cap.* 5.

Ver. 171. 173. —— ὁ δ' ἀσφαλίως ἀγορεύει Αἰδοῖ μειλιχίῃ ——— Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς, εἰσορόωσιν.] Totum hunc locum transtulit ferè *Hesiodus*:

Τοῦ δ' ἴσα' ἐς στόματος ῥεῖ μείλιχα· οἱ δέ τε λαοὶ
Πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
Ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλίως ἀγορεύων,
Αἶψά τι καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσεν ——.
Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς, ἰλάσκονται,
Αἰδοῖ μειλιχίῃ· μετὰ δὲ σφίσι ἀγρομένοισι.
Theogon. ver. 84. 91.

" In quo igitur homines exhorrescunt? " Quem stupefacti dicentem intuentur? in " quo exclamant? Quem deum, ut ita di- " cam, inter homines putant? Qui distinc- " tè, qui explicatè, qui abundantèr, qui il- " luminatè, et rebus et verbis dicunt, &c.' *Cic. de Orat. lib.* III. § 14.

Ibid. —— ἀσφαλίως ἀγορεύει.] Μὴ σφαλλόμενος ἐν τῷ λόγῳ. *Schol.* " Propriam (id " enim est, non errare verbis) et carentem " supervacuis eloquentiam." *Quinctilian. lib.* XII. *cap.* 10. Vide et *Dionys. Halicarn. lib. qui inscribitur* Τέχνη, haud longè à fine; ubi hunc locum citat.

Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς, εἰσορόωσιν·
Ἄλλος δ' αὖ εἶδος μὲν ἀλίγκιος ἀθανάτοισιν·
Ἀλλ' οὔ οἱ χάρις ἀμφιπεριστέφεται ἐπέεσσιν. 175
Ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπὲς, οὐδέ κεν ἄλλως
Οὐδὲ θεὸς τεύξειε· νόον δ' ἀποφώλιος ἐσσί.
Ὠρινάς μοι θυμὸν ἐνὶ στήθεσσι φίλοισιν,
Εἰπὼν οὐ κατὰ κόσμον· ἐγὼ δ' οὐ νῆϊς ἀέθλων,
Ὡς σύ γε μυθεῖαι, ἀλλ' ἐν πρώτοισιν οἴω 180
Ἔμμεναι, ὄφρ' ἤβη τε πεποίθεα, χερσί τ' ἐμῇσι·
Νῦν δ' ἔχομαι κακότητι καὶ ἄλγεσι· πολλὰ γὰρ ἔτλην,
Ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων.
Ἀλλὰ καὶ ὣς, κακὰ πολλὰ παθὼν, πειρήσομ' ἀέθλων·
Θυμοδακὴς γὰρ μῦθος· ἐπώτρυνας δέ με εἰπών. 185
Ἦ ῥα, καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον

" Incedentem autem *eum* per urbem, deum veluti, aspiciunt:
" Alius verò rursùs formâ quidem similis immortalibus;
" Verùm haud ei gratia circùm-affunditur sermonibus. 175
" Sic et tibi species quidem decora, neque aliter
" Nè deus quidem fingeret; mente verò imperitus es.
" Irritasti mihi animum in præcordiis charis,
" Locutus indecenter: ego verò non ignarus certaminum,
" Ut tu fabularis, verùm inter primos puto 180
" Fuisse *me*, donec juventâ fretus fui, manibusque meis:
" Nunc verò premor aerumnâ et doloribus; multa enim passus sum,
" Virorumque bella, saevosque fluctus penetrans.
" Sed etiam sic, mala multa passus, periculum-faciam certaminum;
" Mordax enim *est* sermo *tuus*; impulisti autem me locutus." 185
Dixit utique, et cum-ipsâ veste impetu-facto prehendit discum

---

Ver. 175. ——— ἀμφιπεριστέφεται.] *Al.* ἀμφιπεριστρέφεται. Minùs rectè: Ut liquet ex præcedente " Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει," *ver.* 170. *Al.* ἀμφὶ περιστέφεται.

Ver. 176. ——— οὐδέ κεν ἄλλως Οὐδὲ θεὸς τεύξειε.] Rectè hîc *Eustathium* reprehendit Dna. *Dacier*, qui hoc ita accipit, ac si diceret *Ulysses*, " *Nè deum quidem, quod semel* " *factum sit, immutare posse.*" Τὸ δὲ, " οὐδ' " ἂν ἄλλως οὐδὲ θεὸς τεύξειεν," ἀληθιμὸν δηλοῖ πρᾶγματος· τὸ γὰρ πεπραγμένον, οὐκ ἔστιν ἀποίητον γενέσθαι. Quod, uti eadem annotat Dna. *Dacier*, longè aliud est ac quod hîc dicere vult Poeta; nempè, " *Nè à deo qui-* " *dem pulchriorem effici posse:*" Sive potiùs, uti exponunt Scholia ex MS. *Aloysii* à *Barnesio* excerpta, (commate solummodò post vocem ποιῆσαι apposito;) Εἰ θεὸς θελήσαι καλὸν ποιῆσαι, τοιοῦτον, οἷος εἶ σὺ, nempè τεύξειε.

Ver. 179. ——— ἐγὼ δ' οὐ νῆϊς ἀέθλων.] Τὸ δὲ, " νῆϊς ἀέθλων," ἀντὶ τοῦ ἄπειρος, ἀνεπιστήμων. *Eustath.*

Ver. 183. Ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων.] Vide ad *Il.* ω, 8.

Ver. 185. Θυμοδακὴς γὰρ μῦθος· ἐπώτρυνας δέ με.]

Ἐκπεπρότομον δὲ παῖδες,
Ἀταλώτροι Λυκίου,
Δακέθυμά μοι λέγοντες.
Anacreon, Ode VIII. *ver.* 125.

Ποτανὸν δὲ χρῆμα λιθοξόος ὡς θυμοδακὲς ἀληθῶς καὶ ἀμύττον ψυχὴν μᾶλλον ἢ σίδηρος χρῶτα. Οὐκοῦν καὶ τὸν Ὀδυσσέα παροξύνων εἰς δύναμιν ἀμύνασθαι λόγῳ τι καὶ ἔργῳ· δηκνίσθη γοῦν ὑπὸ τούτου πρὸς τὸν ξυνδεῖπνον, αὐτὸς ὢν ἀλήτης καὶ ξένος· καὶ ταῦτα εἰδώς, ὅτι (infrà *ver.* 209.) " Ἄφρων ——— καὶ οὐτιδανὸς πάλιν ἀνὴρ Ὅστις ξυνδόκιμον ἴριδα προφέρηαι βαρείαν." *Julian. Imperat. Orat.* II.

Ver. 186. Ἦ ῥα, καὶ αὐτῷ φάρει ἀναΐξας.] Τὸ δὲ ἀτυδίτως εἰπεῖν, " ἴφθη δὴ, καὶ ἀναΐξας ἰδίσκευε," τῇ τοῦ ἥρωος σπουδῇ τὸν λόγον συνεσχημάτισε. Συντομώτερος γὰρ καὶ ὁ ἀσύνδετος λόγος τοῦ μετὰ συνδέσμων προφερομένου. *Eustath.*

Ibid. ——— αὐτῷ φάρει.] Σὺν τῷ ἱματίῳ ὡς εἶχεν. *Schol.*

Μείζονα καὶ πάχετον, στιβαρώτερον οὐκ ὀλίγον περ,
Ἢ οἵῳ Φαίηκες ἐδίσκεον ἀλλήλοισι.
Τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός·
Βόμβησεν δὲ λίθος· κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες,
Λᾶος ὑπαὶ ῥιπῆς· ὁ δ' ὑπέρπτατο σήματα πάντων,
Ῥίμφα θέων ἀπὸ χειρός· ἔθηκε δὲ τέρματ' Ἀθήνη,
Ἀνδρὶ δέμας εἰκυῖα· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Καί κ' ἀλαὸς τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα
Ἀμφαφόων· ἐπεὶ οὔτι μεμιγμένον ἐστὶν ὁμίλῳ,
Ἀλλὰ πολὺ πρῶτον· σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον·
Οὔτις Φαιήκων τόνγ' ἵξεται, οὐδ' ὑπερήσει.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
Χαίρων, οὕνεχ' ἑταῖρον ἐνηέα λεῦσσ' ἐν ἀγῶνι·
Καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσι·
Τοῦτον νῦν ἀφίκεσθε, νέοι· τάχα δ' ὕστερον ἄλλον
Ἥσειν ἢ τοσσοῦτον οἴομαι, ἢ ἔτι μᾶσσον.

Majorem et crassum, gravioremque non paulò quidem,
Quam quali Phaeaces ludebant invicem.
Hunc utique circumrotatum misit validâ è manu:
Insonuit verò lapis; inclinaverunt autem se ad terram
Phaeaces longis-remis-utentes, navigatione-celebres viri,
Lapidis ab impetu: is verò supervolavit signa omnium
Rapidè ruens à manu: posuit verò signa Minerva,
Viro corpus assimilata, verbumque dixit, et locuta est:
" Etiam caecus ubi, hospes, posset distinguere signum
" Palpando; quandoquidem neutiquam mixtum est multitudini,
" Sed longè primum: tu autem confide hoc quidem in certamine:
" Nullus Phaeacum ad hoc utique perveniet, neque transmittet."
Sic ait, laetatus vero est patiens nobilis Ulysses,
Gaudens, quòd socium benignum videret in circo:
Et tum leniùs allocutus est Phaeacas:
" Hunc nunc assequimini, Juvenes; brevi autem denuò alium
" *Me* missurum esse aut tantum puto, aut adhuc majus.

Ver. 187. —— πάχετον.] *Scholiastes* exponit παχύτερον.

Ibid. —— οὐκ ὀλίγον περ.] *Al.* οὐκ ὀλίγον γε.

Ver. 189. Τὸν ῥα περιστρέψας ἧκε.] Ὁ δίσκος ἐκ μέσου σχοινὸν ἶσχε. *Schol.*

Ver. 190. Βόμβησεν δὲ λίθος.] De hujusmodi ὀνοματοποιΐα, vide ad *Il.* β', 455.

Ibid. —— κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ Φαίηκες.] Κατέπτυσαν ἐπελαγόντες. *Schol.* Ἔστι δὲ καταπτῆξαι πρὸς τῇ γῇ, τὸ διὰ δίος καταπύψαι ὡς καὶ εἰς γῆν, διὸ τὰ ἕλασσον περὶ τὴν ἀφετέρας πιφαλῆ. *Eustath.*

Ver. 192. —— ὑπαί.] *Al.* ὑπό.

Ibid. —— ὑπέρπτατο.] Ita *Barnesius*, et *Henricus Stephanus*, aliique. Nonnulli habent ὑπέπτατο.

Ibid. —— σήματα.] *Al.* βήματα.

Ibid. —— πάντων.] *Eustathius* in commentario legit πάντα. Ut *Il.* Ψ, 843.

Ver. 195. —— διακρίνειε.] Vide ad *Il.* ά, 309.

Ver. 197. —— τόνδε γ'.] *Al.* τόνδε σ'.

Ver. 202. Τοῦτον νῦν ἀφίκεσθε.] Τὸν τόσον, ἢ τὸν λίθον. *Schol.* Γραφεται δὲ καὶ ἱφικεσθε, ἀντὶ τοῦ ἱφάψεσθε, καταλάβετε. *Eustath.* Atque hoc modo legitur apud *Porphyrium*, *Quæst. Homeric.* 16.

Ver. 203. —— μᾶσσον.] Vide suprà ad ver. 20.

Τῶν δ' ἄλλων, ὅτινα κραδίη θυμός τε κελεύει,
Δεῦρ' ἄγε πειρηθήτω, ἐπεί μ' ἐχολώσατε λίην,
Ἦ πυξ, ἠὲ πάλῃ, ἢ καὶ ποσὶν, οὔτι μεγαίρω,
Πάντων Φαιήκων, πλὴν γ' αὐτοῦ Λαοδάμαντος·
Ξεῖνος γάρ μοι ὅδ' ἐστί· τίς ἂν φιλέοντι μάχοιτο;
Ἄφρων ὅς κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνὴρ,
Ὅστις ξεινοδόκῳ ἔριδα προφέρηται ἀέθλων,
Δήμῳ ἐν ἀλλοδατῷ· ἕο τ' αὐτοῦ πάντα κολούει.
Τῶν δ' ἄλλων οὔπερ τιν' ἀναίνομαι, οὐδ' ἀθερίζω,
Ἀλλ' ἐτέλω ἴδμεν καὶ πειρηθήμεναι ἄντην.
Πάντα γὰρ οὐ πακὸς εἰμὶ μετ' ἀνδράσιν, ὅσσοι ἄεθλοι
Εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι·

" Ex aliis verò, quemcunque cor animusque jubet,
" Huc age, periculum-faciat, quoniam me irritâstis valdè,
" Aut pugilatu, aut luctâ, aut etiam cursu; nihil recuso;
" Ex omnibus Phæacibus, præter ipsum Laodamantem;
" Hospes enim mihi ille est: quis cum amico pugnaverit?
" Insipiens ille et nullius-pretii est vir,
" Quicunque cum-hospite contentionem proferat certaminum,
" Populo in alieno; suique ipsius res omnes perturbat.
" Aliorum autem haudquaquam ullum rejicio, neque despicio:
" Sed volo cognoscere et periculum-facere palàm.
" Non enim omninò ignavus sum inter homines, quotquot certamina sunt:
" Benè quidem arcum novi perpolitum tractare:

Ver. 204. ——— ὅτινα.] Ἰστέον δὲ ὅτι τὸ " ὅτινα," ποιητικὸν ὄν, κῶλα μὲν ἀντὶ τοῦ ὅτινα· γίνεται δὲ ἀπὸ τοῦ, τινὰ, πλεονασμῷ τοῦ, ὅ, καθ' ὁμοιότητα τοῦ ὅτου, καὶ ὅτῳ, καὶ ὅτουσιν. *Eustath.* Vide *Iliad.* ὁ, 491. χ', 450. *Odyss.* δ, 394. Cæterùm in nonnullis hìc scriptum est ὅττινα. Quod ferri non potest.

Ver. 206. Ἦ πυξ, ἠὲ πάλῃ, ἢ καὶ ποσίν.] Πρῶτον γὰρ ἀεὶ συγμὸν πρὸς αὐτῷ, διύτερον πάλην, καὶ τελευταῖον ὁ δρόμος τῶν γυμνικῶν ἀεὶ τίτακται.——Ὅτι μὲν αἱ Πατρόκλου ταφαὶ ταύτην ἔχουσι τῶν ἀγωνισμάτων τὴν τάξιν, [*Il.* Ψ', 660. 701. 740.] ἄτοπον, ὡς ἔπος, εἰπεῖν, ἴσως ἐστί. Διατηρῶν δὲ τὴν τάξιν ὁμαλῶς ὁ Ποιητὴς, ——— τὸν μὲν Ἰθυσσέα, τοὺς Φαίακας πρωταλεύειν [στιχάσιμα], " Ἦ πυξ, ἠὲ πάλῃ, ἢ καὶ ποσίν·" τὸν δὲ Ἀλκίνοον ἀποκρινόμενον, [infrà *ver.* 246.] " Οὐ " γὰρ συγμάχοι ἐμὶν ἀμύμονες, οὐδὲ παλαιστὰ " ταὶ, Ἀλλὰ ποσὶ κραιτνῶν θόομεν." ὡς οὐ κατὰ τύχην ἐκ τοῦ παρεσταμένου τῇ τάξει χρώμενος ἄλλοτε ἄλλως, ἀλλὰ τοῖς ἰδιαμένοις τότε καὶ δραμέῖσις κατὰ νόμον ἀκολουθῶν. *Plutarch. Symposiac. lib.* II. *Probl.* 5.

Ver 208. ——— τίς ἂν φιλέοντι μάχοιτο]

——— τοῦτο δ' εἰ σοφὸν βροτῶν
Ἐξιολαΐζουσι, μὴ φίλοις τινὶ χρῆν ἴριν.
Euripid. Andromache, ver. 643.

" At me fœdus amicitiæ Diique hospitales
" —hostili certamine congredi tecum ve-
" tant." *Crispinus* apud *Valerium Maximum, lib.* V. *cap.* 1.

Ver. 210. Ὅστις ξεινοδόκῳ ἔριδα.]

Ξένος πτῶχος, τοὺς ξενοδόχους [fortè τοὺς εὖ ξενοδόχους] σέβου.
Incert. apud Grotium in Excerptis.

Ibid. ——— ἔριδα προφέρηται ἀέθλων.] *Julianus Imperator, Orat.* II. citat, ἔριδα προφέρησι βαρεῖαν. Vide suprà ad *ver.* 185.

Ver. 211. ——— ἕο τ' αὐτοῦ] *Al.* ἕο δ' αὐτοῦ.

Ver. 214. Πάντα γὰρ οὐ κακὸς εἰμί.] Σαφεστέρως δὲ ὅτι τὰ μὲν, " οὐ κακὸς εἰμὶ" μετρίως εἶπε καὶ ἰκανῶς Ὀδυσσεὺς δυνάμενος εἰπεῖν, ὡς πάνυ ἐξιόν ἐχω· ἵνα εἴπῃ τὸ, αὐ πάνυ κακὸς, οὐ μόνον πακίας ἀντίφασις, ἀλλὰ καὶ ἀντὶ τοῦ λίαν δεινὸς ἢ ἀνδρεῖος. *Eustath.* Vide ad *Il.* ν', 344.

Ver. 215. Εὖ μὲν τόξον.] *Barnesius* edidit Εὖ μὲν τόξον δ' οἶδα additâ nimirum voculâ, " δ'," quæ tamen hoc in loco satis invenustè videtur inserta. Vide et ad *Il.* ά, 51.

Πρῶτός κ' ἄνδρα βάλοιμι, ὀϊστεύσας ἐν ὁμίλῳ
Ἀνδρῶν δυσμενέων· εἰ καὶ μάλα πολλοὶ ἑταῖροι
Ἄγχι παρασταῖεν, καὶ τοξαζοίατο φωτῶν.
Οἷος δή με Φιλοκτήτης ἀπεκαίνυτο τόξῳ,
Δήμῳ ἐνὶ Τρώων, ὅτε τοξαζοίμεθ' Ἀχαιοί.
Τῶν δ' ἄλλων ἐμὲ φημὶ πολὺ προφερέστερον εἶναι,
Ὅσσοι νῦν βροτοὶ εἰσὶν ἐπὶ χθονὶ σῖτον ἔδοντες·
Ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω,
Οὔθ' Ἡρακλῆϊ, οὔτ' Εὐρύτῳ Οἰχαλιῆϊ,
Οἵ ῥα καὶ ἀθανάτοισιν ἐρίζεσκον περὶ τόξων·
Τῷ ῥα καὶ αἶψ' ἔθανεν μέγας Εὔρυτος, οὐδ' ἐπὶ γῆρας
Ἵκετ' ἐνὶ μεγάροισι· χολωσάμενος γὰρ Ἀπόλλων
Ἔκτανεν, οὕνεκά μιν προκαλίζετο τοξάζεσθαι.

" Primus virum contingerem, sagittâ-missâ in turbâ
" Virorum hostilium; etiamsi valdè multi socii
" Juxtà astarent, et sagittas-mitterent in viros,
" Solus sanè me Philoctetes vincebat arcu,
" Populo in Trojanorum, quando arcum-tendebamus Achivi.
" Aliis verò me aio longè præstantiorem esse,
" Quotquot nunc mortales sunt in terrâ panem edentes:
" Cum viris autem priscis contendere nolo,
" Neque cum Hercule, neque cum Euryto Oechaliensi;
" Qui etiam cum immortalibus contendebant de arcuum-peritiâ:
" Ideò etiam statim mortuus est ingens Eurytus, neque ad senectutem
" Pervenit in aedibus; iratus enim Apollo
" Occidit, eò-quòd ipsum provocâsset ad arcum-tendendum.

Ver. 216. 217. Πρῶτός κ' ἄνδρα βάλοιμι—εἰ καὶ μάλα πολλοὶ ἑταῖροι Ἄγχι παραστ.] *Eustathius* istud " μάλα πολλοὶ ἑταῖροι" de Ulyssis ipsius sociis intelligit, quos in sagittando præversurum se dicat. Τὸ δὲ, " εἰ " καὶ μάλα πολλοὶ ἑταῖροι," καὶ ταχυτοξότην τὸν Ὀδυσσέα εἶναι δηλοῖ· ὃς, εἰ καὶ πάνυ πολλοὶ περὶ αὐτὸν εἶεν, ἀλλὰ πρῶτος αὐτὸς βαλεῖ τὸν δυσμενῆ. Dna. *Dacier* verò istud " ἑταῖροι " de hostibus accipiendum contendit. Il dit " qu'au milieu d'une foule d'ennemis, il " frapperoit celui qu'il auroit choisi, quand " même tous ces gens-là auroient l'arc " bandé, et qu'ils seroient prêts à tirer sur " lui." Pro *Eustathii* expositione nonnihil facere videntur sequentia *ver.* 219. 220. ubi sese inter amicos arcu certantem planè depingit *Ulysses*.

Ver. 220. —— ὅτι.] *Al.* ὅτι.

Ver. 221. —— εἶναι.] *Al.* εἶναι.

Ver. 222. Ὅσσοι νῦν βροτοὶ εἰσὶν ἐπὶ χθονὶ σῖτον ἔδοντες.] " Par là [σῖτον ἔδοντες] Ulysse " veut marquer les Nations civilisées, polies, et non pas des Nations barbares, qui " ne connoissent pas l'usage du bled." *Dacier*. Τὸ δὲ, σῖτον ἔδοντες, πρὸς διαστολὴν ἴσως ἡμίφη ἀτίμων βροτῶν μὴ τοιούτων. *Eustath.* Multo simplicius videtur, ut per istud, " σῖτον ἔδοντες" homines universi sine distinctione intelligantur.

Ver. 224. —— Ἡρακλῆϊ, οὔτ'.] Nullâ ex analogiâ produci potest istud ι. Pronuntiabatur fortè *Heracleïtvout'*. Vide ad *Il.* ε, 542. et α. 285.

Ibid. —— Εὐρύτῳ Οἰχαλιῆϊ.]

Οἵ τ' ἶχον Οἰχαλίην πόλιν Εὐρύτου Οἰχαλιῆος. *Iliad.* β', 730.

Ἡ Οἰχαλία, πόλις τῆς Θεσσαλίας. *Schol.* Vide *Pausaniam, lib.* IV. *cap.* 2. item *Strabonem, lib.* IX. *pag.* 669. *al.* 438.

Ver. 225. Οἵ ῥα καὶ ἀθανάτοισιν ἐριζεσκον.]

—— et cantu vocat in certamina Divos. *Æn.* VI, 172.

Ver. 227. —— ἐνὶ μεγάροισι.] Ita ex *Eustathio* edidit *Barnesius*; quocum facit et MS. à *Tho. Bentleio* collatus: Atque ita alibi perpetuò *Homerus*. *Vulgg.* ἐπὶ μεγάροισι.

Ibid. —— χολωσάμενος γὰρ Ἀπόλλων Ἔκτανεν.] Ἔοικε δὲ αἴφνης θανεῖν καὶ ὁ Εὔρυτος· τοῦτο γὰρ δηλοῖ ὁ πρὸς Ἀπόλλωνος θάνατος, ὡς πολλαχοῦ φαίνεται. *Eustath.* Vide infrà ad ο, 409.

Δουρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ·
Οἷοισιν δείδοικα ποσὶν, μήτις με παρέλθῃ
Φαιήκων· λίην γὰρ ἀεικελίως ἐδαμάσθην
Κύμασιν ἐν πολλοῖς· ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα
Ἧεν ἐπηετανός· τῷ μοι φίλα γυῖα λέλυνται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
Ἀλκίνοος δέ μιν οἷος ἀμειβόμενος προσέειπε·
Ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις,
Ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ,
Χωόμενος, ὅτι σ' οὗτος ἀνὴρ ἐν ἀγῶνι παραστὰς
Νείκεσεν· ὡς ἄν σὴν ἀρετὴν βροτὸς οὔτις ὄνοιτο,
Ὅστις ἐπίσταιτο ἧσι φρεσὶν ἄρτια βάζειν.
Ἀλλ' ἄγε, νῦν ἐμέθεν ξυνίει ἔπος, ὄφρα καὶ ἄλλῳ
Εἴπῃς ἡρώων, ὅτε κεν σοῖς ἐν μεγάροισι
Δαινύῃ παρὰ σῇ τ' ἀλόχῳ καὶ σοῖσι τέκεσσιν,

" Hastâ porrò jaculor, quantum non alius quisquam sagittâ :
" Solis timeo pedibus, nè aliquis me superet
" Phaeacum ; nimiùm enim malè domitus sum
" Fluctibus in multis ; quoniam non commeatus apud navim
" Erat perpetuus ; idcoque mihi chara membra soluta sunt."
Sic dixit ; illi verò omnes obmutuerunt silentio :
Alcinous autem ipsum solus respondens allocutus est :
" Hospes, quandoquidem non ingrata inter nos haec concionaris,
" Sed vis virtutem tuam ostendere, quae te comitatur ;
" Iratus, quòd te ille vir in certamine astans
" Objurgavit ; ut tuam virtutem mortalis nullus vituperaret,
" Quicunque nòrit suâ mente idonea loqui.
" Sed agè, nunc meum intellige sermonem ; ut etiam alii
" Dicas heroum, quando tuis in aedibus
" Epulèris apud tuamque uxorem et tuos liberos,

Ver. 229. Δουρὶ δ' ἀκοντίζω.] Καὶ ὁ ἱστὸν, " Δουρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ," τῷ παλτῷ λίγει δῆρατι. *Strabo, lib.* X. *pag.* 689. *al.* 449.

Ver. 232. — ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα Ἧεν ἐπηετανός.] Τὸ δὲ, ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα ἦν, ἀντὶ τοῦ, ἐπεὶ ὤλισθ' ἡ ναῦς· οὐ γὰρ διὰ τὸ μὴ κομιδὴν ἐν βρώμασιν ἔχειν ἐδαμάσθη Ὀδυσσεὺς τοῖς κύμασιν, ἀλλ' ὅτι ἐθραύσθη κύμασιν ἡ τὴν κομιδὴν ἔχουσα ναῦς. *Eustath. Barnesius* aliter accipit : " Ego," inquit, " puto hìc simplicitèr *Ulyssem* damnare Vitam mari- " nam, ut minùs elegantem, salubrem, aut " rebus convenientibus et necessariis in- " structam." Quae tamen explicatio, ut opinor, vix ferri potest : praecipuè cùm (uti et ipse fatetur vir eruditus,) navis Ulyssis rebus omnibus necessariis affatim et abundantèr à Calypso instructa dicatur suprà ε, 264. *&c.* adeò ut ante naufragium nihil pati potuerit.

Ver. 236. Ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα.] Ἔστι δὲ ἡ ἀπόδοσις τοῦ " ἐπεὶ" συνδέσμου, ἐν τῷ, [infrà *ver.* 239.] " ὡς ἄν σὴν ἀρετὴν οὔτις ὄνοιτο" ἵνα λίγῃ ὅτι ἐπεὶ οὐκ ἀχάριστα φῂς, ὅτους ἂν οὐδεὶς μέμψοιτο σε. *Eustath.* Mihi ad sententiæ vim et elegantiam rectius videtur, ut Apodosis hìc, uti alibi sæpè, reticeri intelligatur. Vide suprà ad γ', 103 et ad *Il.* α, 135. 137.

Ver. 240. ——— ἴσιστ᾽ αιτο ἧσι φρεσίν.] *Barnesius* in *Scholiis Aldinis*, itemque in uno MS. scriptum reperit, ἰσιστάιν ἧσι φρεσίν. Vide ad *Il.* ξ', 92.

Ver. 243. Δαινύῃ.] " *Media* Syllaba," inquit *Barnesius*, " hìc longa ; at ν', *ver.* " 328. Δαινύη, ἄνθρωποι δὲ *&c.* brevis." Quod quâ ratione fiat, vide ad *Il.* ι, 24.

Ἡμετέρης ἀρετῆς μεμνημένος, οἵα καὶ ἡμῖν
Ζεὺς ἐπὶ ἔργα τίθησι διαμπερὲς ἐξέτι πατρῶν.
Οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες, οὐδὲ παλαισταὶ,
Ἀλλὰ ποσὶ κραιπνῶς θέομεν, καὶ νηυσὶν ἄριστοι·
Αἰεὶ δ' ἡμῖν δαίς τε φίλη, κίθαρίς τε, χοροί τε,
Εἵματά τ' ἐξημοιβά, λοετρά τε θερμὰ, καὶ εὐναί.
Ἀλλ' ἄγε, Φαιήκων βητάρμονες, ὅσσοι ἄριστοι,
Παίσατε· ὡς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν,
Οἴκαδε νοστήσας, ὅσσον περιγινόμεθ' ἄλλων
Ναυτιλίῃ, καὶ ποσσὶ καὶ ὀρχηστύϊ, καὶ ἀοιδῇ.
Δημοδόκῳ δέ τις αἶψα κιὼν φόρμιγγα λίγειαν
Οἰσέτω, ἥ που κεῖται ἐν ἡμετέροισι δόμοισιν.

" Nostrae virtutis recordatus; qualia etiam nobis
" Jupiter opera imponat perpetuò jam indè à majoribus.
" Non enim pugiles sumus inclyti, neque luctatores,
" Sed pedibus celeritèr currimus, et navibus optimi sumus:
" Semper autem nobis conviviumque gratum, citharaque, chorique,
" Vestesque mutatoriae, lavacraque calida, et cubilia.
" Verùm agè, Phaeacum saltatores, quotquot optimi,
" Ludite; ut hospes dicat suis amicis,
" Domum reversus, quantum superemus alios
" Rei-nauticae-peritiâ, et pedibus, et saltatione, et cantu.
" Demodoco verò aliquis statim profectus citharam agutam
" Afferat, quae alicubi jacet in nostris aedibus."

Ver. 245. —— ἐξέτι πατρῶν.] Ὁ ἐστὶν, ἐκ προγόνων ἀνέκαθεν. *Eustath.*

Ver. 246. Οὐ γὰρ πυγμάχοι εἰμέν.] Ἐλιγχθεὶς ἀπῆται, [*Barnesius* edidit ἀρτῆται,] ἴσως ἵνα τὸ μὴ παρεξῦναι τὸν Ὀδυσσέα. *Schol.* Cæterùm hæc ad homines universos transfert *Plutarchus*, περὶ Τύχης. Quem videas. Vide et suprà ad *ver.* 206.

Ver. 248. Αἰεὶ δ' ἡμῖν δαίς τε φίλη.] Ἀστλευστικὸς δὲ ἐστὶ παρ' αὐτῷ καὶ ὁ τῶν Φαιάκων βίος. " Αἰεὶ γὰρ ἡμῖν δαίς τε φίλη, κίθαρίς τε," καὶ τὰ ἑξῆς. *Athenaeus, lib.* I. *cap.* 14. sub initio. Vide infrà ad *Il. i, 5.*

Ibid. —— χοροί τε, Εἵματά τ' ἐξημοιβά.]

Vobis picta croco et fulgenti murice vestis,
Desidiæ cordi: juvat indulgere choreis:
Et tunicæ manicas, et habent redimicula mitræ. *Æn.* IX, 614.

At non in Venerem segnes, nocturnaque bella: [chi,
Aut ubi curva choros indixit tibia Bac-
Expectare dapes et plenæ pocula mensæ.
Hic amor, hoc studium ——. XI, 736.

—— Alcinoïque
In cute curandâ plus æquo operata juventus;
Cui pulchrum fuit in medios dormire dies, et
Ad strepitum citharæ cessatum ducere curam:

Sive, uti emendavit vir eruditissimus *Richardus Bentleius*;

Ad strepitum citharae cessantem ducere somnum.

Horat. Epist. lib. I. ii. 28.

Ver. 250. Ἀλλ' ἄγι.] *Strabo. Geograph. lib.* X. *pag.* 725. *al.* 475. citat. Δεῦτ' ἄγε.

Ibid. —— βητάρμονες.] Ὀρχησταὶ, ἀπὸ τοῦ βαίνειν ἁρμοδίως. *Schol.* Et ad *ver.* 383. infrà: Βητάρμονες, ὀρχησταὶ, οἱ διὰ τῶν ποδῶν ὀρχούμενοι, ἀπὸ τοῦ ἡρμοσμένως βαίνειν. Et *Strabo*, loco jam citato; Καὶ Κερύδαντις δὲ, ἀπὸ τοῦ κορύσσοντας βαίνειν ὀρχηστικῶς· οὗς καὶ βητάρμονας λέγει Πομπήϊος· " Δεῦτ' ἄγε, Φαιήκων βητάρμονες, ὅσσοι ἄριστοι."

Ver. 253. —— ὀρχηστύϊ.] Pronuntiabatur ὀρχηστῦϊ, vel ὀρχηστυῖ, tribus syllabis.

Ver. 254. 261 et 537. —— λίγειαν.] Ita Vulgati. *Barnesius* autem scribendum existimat λιγέιαν.

Ver. 255. Οἰσέτω.] Aut imperativus hic ex Futuro deductus, quod tamen non ag-

Ὣς ἔφατ' Ἀλκίνοος θεοείκελος· ὦρτο δὲ κήρυξ
Οἴσων φόρμιγγα λιγυρὴν δόμου ἐκ βασιλῆος.
Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν
Δήμιοι, οἳ κατ' ἀγῶνας ἐϋπρήσσεσκον ἕκαστα·
Λείηναν δὲ χορὸν, καλὸν δ' εὔρυναν ἀγῶνα.
Κήρυξ δ' ἐγγύθεν ἦλθε φέρων φόρμιγγα λίγειαν
Δημοδόκῳ· ὁ δ' ἔπειτα κί' ἐς μέσον· ἀμφὶ δὲ κοῦροι
Πρωθῆβαι ἵσταντο, δαήμονες ὀρχηθμοῖο·
Πέπληγον δὲ χορὸν θεῖον ποσίν· αὐτὰρ Ὀδυσσεὺς
Μαρμαρυγὰς θηεῖτο ποδῶν, θαύμαζε δὲ θυμῷ.
Αὐτὰρ ὁ φορμίζων ἀνεκάλλετο καλὸν ἀείδειν,
Ἀμφ' Ἄρεος φιλότητος, ἐϋστεφάνου τ' Ἀφροδίτης,

Sic dixit Alcinous deo-similis: surrexit autem pracco
Allaturus citharam argutam domo ex regis.
Praefecti autem Ludorum lecti novem omnes surrexerunt
Publici, qui in certaminibus ordinabant singula:
Complanârunt autem aream, pulchrumque dilatârunt circum.
Praeco verò propè venit ferens citharam argutam
Demodoco; is autem deinde ivit in medium: circùm verò juvenes
Jam-pubescentes stabant, periti saltationis:
Quatiebant verò circum divinum pedibus: at Ulysses
Micationes admirabatur pedum, stupescebatque animo.
Cæterùm *Demodocus* citharam-pulsans coepit pulchrè canere,
De Martis amore, pulchréque-coronatae Veneris,

---

noscunt Grammatici; aut erit à verbo ficto in præsenti, οἴσω, eodem modo ac βήσομαι, δύσομαι, &c. uti notavit *Barnesius*. Vide ad *Il.* β', 35. item infrà ad υ, 154.

Ver. 256. Ὣς ἔφατ'.] Ita *Barnesius*. *Vulgg.* Ὡς ἔφαθ'.

Ibid. et *ver.* 264. —— κήρυξ.] Vide suprà ad *ver.* 47.

Ver. 257. —— λιγυρὴν.] *Al.* γλαφυρὴν. notante *Scholiaste*.

Ver. 258. Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα.] Αἰσυμνῆται οἱ πρὸς ἡμῶν λεγόμενοι βραβευταὶ, καὶ ἀγωνοθέται, ἤτοι ἐπίσκοποι τοῦ ἀγῶνος. *Schol.* Αἰσυμνᾶν ἐστὶ τὸ ἡγεῖσθαι καὶ ἄρχειν.—" Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα κ. λ." *Schol. ad Euripid. Medea, ver.* 19.

Ibid. —— κριτοὶ.] Vide ad *Il.* ά, 309 et 314.

Ibid. — ἐννέα πάντες.] *Non pauciores quàm novem.* Vide ad *Il.* ή, 161. et σ', 373.

Ver. 259. —— ἐϋπρήσσεσκον.] *Al.* ἐϋπρήσσεσκον. Vide et ad *Il.* σ', 192.

Ver. 260. —— ἀγῶνα.] Ἀγῶνα λίγυς μὲν καὶ τὸν τόπον, " Λείηναν δὲ χορὸν, καλὸν δ' εὔρυναν ἀγῶνα." *Porphyr. Quæst. Homeric.* 20.

Ver. 262. —— ἀμφὶ δὲ κοῦροι Πρωθῆβαι ἵσταντο.] Οἵδε δὲ ὁ Ποιητὴς καὶ τὴν πρὸς ἡβὴν ὀρχησιν. Δημοδόκου γοῦν ᾄδοντος, κοῦροι πρωθήβαι ὠρχοῦντο. *Athenæus, lib.* I. *cap.* 13. sub initio.

Ver. 265. Μαρμαρυγὰς θηεῖτο ποδῶν.] Τὰς συντόνους τῶν ποδῶν κινήσεις· ἐν γὰρ ταῖς ὀξείαις κινήσεσι ἀκόντιλψις τῶν ποδῶν γίνεται. *Schol.* Καὶ ἐν' ὀρχήσεως συντόνου μεταφέρων, ἔφη " Μαρμαρυγὰς θηεῖτο ποδῶν," τὰς ἐν τῇ κινήσει στιλζηδόσας, ἃς ποιεῖ καὶ τὸ ὕδωρ κινούμενον. *Porphyr. Quæst. Homeric.* 9.

Ver. 266. —— ἀνεκάλλετο καλὸν ἀείδειν.] Vide *Gatakeri Adversaria Miscellanea, lib.* I. *cap.* 10. item suprà ad ά, 155.

Ver. 267. Ἀμφ' Ἄρεος φιλότητος, ἐϋστεφάνου τ' Ἀφροδίτης.] Καὶ ἡ Καμῳδία ἐνθένδε [ἐξ Ὁμήρου] ἐσθιεν ἴλαδι τὴν ἀφορμην· Εὐρε γαρ, ὅτι καὶ παρὰ τῷ τὰ σεμνότατα καὶ ὑψηλότατα διηγουμένῳ, ἐπιτυθίδια τινὰ ἐστὶ γέλωτα κινοῦντα. Διὸ ἐν τῇ —— Ὀδυσσείᾳ, ὁ παρὰ τοῖς ἡδυπαθοῦσι Φαίαξι Δημοδόκος ᾄδει τὴν Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν, καὶ ὅπως ἐμπεσόντες εἰς τὰ τοῦ Ἡφαίστου δεσμὰ κατάφωρόι σε ἐγένοντο, καὶ γέλωτα παρεῖχον τοῖς ἄλλως θεοῖς, οἳ καὶ ἔσκωψαν χαριέντως πρὸς ἀλλήλους. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 25. Porrò vituperat hunc locum *Plato*; Οὐδ' Ἄρεώς σε καὶ Ἀφροδίτης ὑπὸ Ἡφαίστου δεσμὸν, οὐδ' ἕτερα τοιαῦτα· Οὐ μὰ τὸν Δία —— οὐ μοι φαίνεται ἐπιτηδεια. Ἀλλ' εἶπεν τινὶ παιδιᾷ πρὸς

Ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισι
Λάθρῃ· πολλὰ δ' ἔδωκε, λέχος δ' ἤσχυνε καὶ εὐνὴν
Ἡφαίστοιο ἄνακτος· ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν
Ἥλιος, ὅ σφ' ἐνόησε μιγαζομένους φιλότητι.
Ἥφαιστος δ', ὡς οὖν δυμαλγέα μῦθον ἄκουσε,
Βῆ ῥ' ἴμεν ἐς χαλκεῶνα, κακὰ φρεσὶ βυσσοδομεύων·
Ἐν δ' ἔθετ' ἀκμοθέτῳ μέγαν ἄκμονα, κόπτε δὲ δεσμοὺς
Ἀῤῥήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν.
Αὐτὰρ ἐπειδὴ τεῦξε δόλον, κεχολωμένος Ἄρει,
Βῆ ῥ' ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνι' ἔκειτο·
Ἀμφὶ δ' ἄρ' ἐρμῖσιν χέε δέσματα πύκλῳ ἁπάντη·
Πολλὰ δὲ καὶ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο,
Ἠΰτ' ἀράχνια λεπτὰ, τά κ' οὔ κέ τις οὐδὲ ἴδοιτο

Ut primùm coïerunt in Vulcani aedibus
Clàm: plurima autem dedit, lectumque dedecoravit et cubile
Vulcani regis: statim verò illi nuncius venit
Sol, qui ipsos observavit commixtos amore.
Vulcanus autem, ubi tristem sermonem audiverat,
Perrexit ire in officinam, mala animo profundè-cogitans:
Imposuit autem incudis-repositorio ingentem incudem, cudebatque vincula
Infrangibilia, insolubilia; ut firmitèr illic manerent.
Caeterùm postquam struxisset dolum, iratus Marti,
Perrexit ire in thalamum, ubi ei chara cubilia strata-erant:
Circumfudit autem *lecti*-fulcris vincula circulatim omni-ex parte;
Multa autem et desuper è-fastigio effusa-erant,
Perindè atque araneae-fila tenuia, quae nemo nè cerneret quidem

---

ἅπαντα, καὶ λιγονται καὶ προσττονται ὑπὸ ἰλλεγίμων ἀνθρώπων, θεατίον τι καὶ ἀκουστέον. *De Republ. lib.* III. *Scholiastes* autem; Μακρόβιον, inquit, παιδιάν αὐτους μὴ ἀσιλγαίνειν, ὡς καὶ θεῶν δὲ ταῦτα ἀσχημονούντων. Et *Plutarchus*; Ἐν μὲν γοῦν τοῖ περὶ τῆς Ἀφροδίτης, διδασκει τους προσίχοντας, ὅτι μουσικὴ φαυλὴ, καὶ ἄσματα πονηρα, καὶ λόγοι μοχθηρὰς ὑποθέσεις λαμβανοντες, ἀκόλαστα ποιουσιν ἤθη, καὶ βιους ἀνάνδρους, καὶ ἀνηρτους τυχῆ καὶ μαλακίαν καὶ γυναικοπρεπειαν ἀγαπῶντας, "Εἴμασά σ' ἰξημοῖσι, λεσε" φράτις θερμὰ, καὶ ἰύναι." [suprà *ver.* 249.] *De audiendis Poetis.* Vide et *Athenaeum, lib.* I. *cap.* 12. Caeterùm totam hanc fabulam allegoricè exponit *Heraclides Ponticus*, quem videas.

Ibid. Ἀμφ' Ἄρεος.] Ὁ δὲ Ἄρης τὸν μὲν συστέλλει τὴν ἀρχὴν ὡς καὶ ἐν τῷ, "ἀΐδηλον" "Ἄρηα·" καὶ "ἰλίην Ἄρηα·" [infrà *ver.* 309. 330.] καὶ ἐν ἀλλοις. Ἐν δὲ τῷ "κιχλαμένος" "Ἄρει," καὶ "χρυσήνιος Ἄρης," [*ver.* 276. 285.] ἐκτείνεται τὸ αὐτό. *Eustath.* Quâ de re, vide ad *Il.* ι, 31.

Ver. 270. ——— ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν Ἥλιος, ὅς σφ' ἐνόησε.]

Ἥλιος γάρ οἱ σποτιὴν ἔχεν ——.
Infrà *ver.* 302.

Indicio Solis (quis Solem fallere possit?)
Cognita Vulcano conjugis acta suae.
Ovid. Art. Amator. lib. II. *ver.* 573.

Ver. 271. —— ὅ σφ' ἐνόησε.] Ita Vulgati. *Barnesius* edidit ὅς σφ' ἐνόησε· Sed nihil opus. Vide ad *Il.* Θ', 283.

Ver. 272. —— οὖν.] *Eo modo quo dictum est* ———. Non enim hìc supervacaneum est istud οὖν.

Ver. 273. ——— βυσσοδομεύων.] Κατὰ βάθους τῆς διανοίας βουλευόμενος. *Schol.*

Ver. 275. Ἀῤῥήκτους, ἀλύτους.] Οὔς οὔτε ἀναγνάμψας τις ῥήξαι λύσει, οὔτε προὸς βίαν ῥήξει. *Eustath.* Caeterùm de prosodiâ vocis, ἀλύτους, vide ad *Il.* ά, 314. et ζ', 434.

Ver. 278. 280. Ἀμφὶ δ' ἄρ' ἐρμῖσιν χέε δέσματα —— τά κ' οὔ κέ τις οὐδὲ ἴδοιτο.]

Mulciber obscuros lectum circaque superque
Disponit laqueos: lumina fallit opus.
Ovid. Art. Amator. lib. II. *ver.* 577.

Ibid. ——— ἐρμῖσιν.] Τοῖς ποσὶ τῆς κλίνης. Ἔρμα γὰρ ὥσπερ εἰσὶ τῆς κλίνης παρὰ τὸ ἐπίρεισθαι. *Schol.*

Ver. 279. ——— μελαθρόφιν.] Ἐκ τῆς ὀροφῆς. *Schol.*

Ver. 280. —— τά κ'.] Apud *Eustathi-*

Οὐδὲ θεῶν μακάρων· πέρι γὰρ δολόεντα τέτυκτο,
Αὐτὰρ ἐπειδὴ πάντα δόλον περὶ δέμνια χεῦεν,
Εἴσατ' ἴμεν ἐς Λῆμνον, εὐκτίμενον πτολίεθρον,
Ἦ οἱ γαίαων πολὺ φίλτατα ἔστὶν ἁπασέων.
Οὐδ' ἀλαοσκοπιὴν εἶχε χρυσήνιος Ἄρης,
Ὡς ἴδεν Ἡφαιστον κλυτοτέχνην ὀσσοφι πιόντα·
Βῆ δ' ἴμεναι πρὸς δῶμα περικλυτοῦ Ἡφαίστοιο,
Ἰσχανόων φιλότητος ἐϋστεφάνου Κυθερείης.
Ἡ δὲ νέον παρὰ πατρὸς ἐρισθενέος Κρονίωνος
Ἐρχομένη κατ' ἄρ' ἕζετ· ὁ δ' εἴσω δώματος ἦλθε,
Ἔν τ' ἄρα οἱ φῶτ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Δεῦρο, φίλη, λέκτρονδε τραπείομεν ἰανθέντε·
Οὐ γὰρ ἔθ' Ἡφαιστος μεταδήμιος, ἀλλά που ἤδη
Οἴχεται ἐς Λῆμνον, μετὰ Σίντιας ἀγριοφώνους.
Ὣς φάτο· τῇ δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.

Neque deorum beatorum: perquàm enim dolosa facta erant.
Caeterùm postquam omnem dolum circa lectum fudisset,
Simulavit se ire in Lemnum, pulchrè-aedificatum oppidum,
Quae illi terrarum multò charissima est omnium.
Neque caecam-speculationem habebat aureo-fraeno-utens Mars,
Ut vidit Vulcanum Iuclytum-arte soorsùm profectum:
Perrexit autem ire ad domum inclyti Vulcani,
Cupiens amoris pulchrè-coronatae Veneris.
Illa verò recens à patre praepotente Saturnio
Veniens jam desidebat; ille verò intra domum ivit,
Inque manu ejus haesit, verbumque dixit, atque compellavit:
" Age, chara, ad lectulum divertamus decubituri;
" Non enim ampliùs Vulcanus domi-est, sed alicubi jam
" Proficiscitur in Lemnum, ad Sintias barbaros-vocé."
Sic dixit: huic autem gratum visum-est cubare.

ιση, in commentario, τὸ γ'. Quae forte et serior lectio, propter sequentem, ὦ πέ τις.

Ver. 281. —— γάρ.] *Al.* γέ.

Ver. 285. Εἶσατ' ἴμεν ἐς Λῆμνον.]

Fingit iter Lemnon: —— *Ovid. ibid.* 579.

Τὸ δὲ, "εἴσατο ἴμεν," δύναται ὅμοιον εἶναι καὶ τῷ, "βῆ δ' ἴέναι" ἵνα ᾖ καὶ ἀντὶ τοῦ ἐφαντάζετο, τὸ Εἴσατο, καὶ μὴ μόνον ἀντὶ τοῦ ἴδοξε. *Eustath.* Atqui Εἶσατ' ἴμεν hoc in loco non est "*Ibat*," sed "*Simulabat se iturum*." Quomodo et accipit *Scholiastes*, qui exponit Ὑποκρινόμενος. Atque ita etiam expressit *Ovidius* loco jam citato.

Ver. 284. Ἦ οἱ γαίαων πολὺ φίλτατα.] Ὅτι δὲ φιλτάτη γαῖαν ἡ Λῆμνος τῷ Ἡφαίστῳ, διὰ τοῦτο ἴσως κρατῆρας τοῦ σκήπτου. *Eustath.* Vide ad *Il.* ά, 593.

Ibid. — ἐστὶν ἁπασέων.] *Al.* ἔστιν ἁπάντων.

Ver. 285. Οὐδ' ἀλαοσκοπιὴν.]

At non haec nullis hominum sator atque Deorum
Observans oculis, summo sedet altus Olympo. *Æn.* XI, 725.

Ver. 287. Βῆ δ' ἴμεναι.] *Al.* Βῆ δ' ἴέναι.

Ver. 288. —— Κυθερείης.] Ἐπεὶ Κυθήρων περιοικίδι. Κύθηρα δὲ νῆσος τῆς Λακωνικῆς. *Schol.*

Ver. 291. —— ἄρα.] *Ut solent amantes obvidam facti* ——.

Ver. 292. Δεῦρο, φίλη.] *Al.* Δεῦρο, γύναι.

Ibid. —— ἰανθέντε.] *Scholiastes* legit ἰανθέντες. Utrumque hoc quidem in loco rectè. Vide ad *Il.* ά, 566.

Ver. 294. —— μετὰ Σίντιας.] Τοὺς τὴν Λῆμνον κατοικοῦντας βαρβάρους. *Schol.*

Τὼ δ' ἐς δέμνια βάντε κατέδραθον· ἀμφὶ δὲ δεσμοὶ
Τεχνήεντες ἔχυντο πολύφρονος Ἡφαίστοιο·
Οὐδέ τι κινῆσαι μελέων ἦν, οὐδ' ἀναεῖραι.
Καὶ τότε δὴ γίνωσκον, ὅτ' οὐκ ἔτι φυκτὰ πέλονται.
Ἀγχίμολον δέ σφ' ἦλθε περικλυτὸς Ἀμφιγυήεις,
Αὖτις ὑποστρέψας, πρὶν Λήμνου γαῖαν ἱκέσθαι·
Ἥλιος γάρ οἱ σκοπιὴν ἔχεν, εἶπέ τε μῦθον.
Βῆ δ' ἴμεναι πρὸς δῶμα, φίλον τετιημένος ἦτορ·
Ἔστη δ', ἐν προθύροισι, χόλος δέ μιν ἄγριος ἦρει·
Σμερδαλέον δ' ἐβόησε, γέγωνέ τε πᾶσι θεοῖσι·
Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Δεῦθ', ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ ἴδησθε·
Ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
Αἰὲν ἀτιμάζει, φιλέει δ' ἀΐδηλον Ἄρηα·
Οὕνεχ' ὁ μὲν καλός τε καὶ ἀρτίπος, αὐτὰρ ἔγωγε

Illi verò lectum ingressi concumbebant; vincula autem
Fabrefacta circumfundebantur prudentis Vulcani:
Neque ullum movere erat membrum, neque attollere.
Et tum demùm agnoscebant, non ampliùs effugium patere.
Propè autem eis venit inclytus Vulcanus,
Retrò reversus, antequam ad Lemni terram venisset:
Sol enim ei speculationem habuit, narravitque historiam.
Perrexit autem *is* ire ad domum, charo afflictus corde:
Stetitque in vestibulo, ira autem ipsum vehemens cepit:
Horrendùm verò clamavit, auditumque movit omnibus diis:
" Jupiter pater, atque alii beati dii semper existentes,
" Venite, ut, opera ridicula et non tolerabilia videatis:
" Ut me, claudus cùm-sim, Jovis filia Venus
" Semper ignominiâ-afficit, amatque perniciosum Martem:
" Eò-quòd ille quidem pulcher et sanus-pedibus, at ego

Ver. 296. Τὼ δ' ἐς δέμνια βάντε κατέδραθον· ἀμφὶ δὲ δεσμοὶ Τεχνήεντες ἔχυντο.]

——— veniunt ad fœdus amantes;
Impliciti laqueis nudus uterque jacent.
Ovid. Art. Amator. II, 579.

Ver. 298. Οὐδέ τι.] *Al.* Οὐδ' ἔτι.
Ver. 299. Καὶ τότε δὴ γίνωσκον.]

Mars quoque deprensus fabrilia vincula sensit.
Ovid. Amor. lib. I. *Eleg.* ix. *ver.* 39.

Ibid. —— φυκτά.] *Barnesius* edidit φευκτά. Rationibus haud satis idoneis. Vide ad *Il.* ζ, 488.

Ibid. —— στίλονται.] Postulare videtur Temporum ratio, ut hoc in loco legatur στίλοντο potiùs quàm στίλονται. At sine Codicibus nihil mutandum.

Ver. 303. Βῆ δ' ἴμεναι πρὸς δῶμα.] " Hic " versus," inquit *Henricus Stephanus*, " in " quibusdam editionibus non habetur; qui " tamen necessarius esse videtur; alioqui " ex præcedenti paginâ huc irrepsisse credi " posset." Atqui minùs necessarius videtur hic versus propter præcedentem, " Ἀγ- " χίμολον δέ σφ' ἦλθε περικλυτὸς Ἀμφιγυήεις." *ver.* 300.

Ver. 305. —— γίγωνε.] Ἐξέκλυνεν ἐζόησε. *Schol.* Vide ad *Il.* ξ', 469.

Ver. 307. Δεῦθ', ἵνα ἔργα γελαστά.] Τὸ δὲ, ἔργα γελαστὰ, γράφεται καὶ ἔργ' ἀγέλαστα, ἤγουν οὐκ ἄξια γέλωτος. *Eustath.* Atque hanc lectionem veriorem existimat Dna. *Dacier.* *Barnesius* autem hoc in loco legendum conjicit, ἔργα γ' ἄλαστα· quæ posterior vox Homero non inusitata. Sed et vulgatæ lectioni nonnihil favere videtur, quod infrà legitur; " Ἀσβέστης δ' ἄρ' ἐνῶρτο γέλως, &c." *ver.* 326.

Ἠπεδανὸς γενόμην· ἀτὰρ οὔτι μοι αἴτιος ἄλλος,
Ἀλλὰ τοκῆε δύω· τὼ μὴ γείνασθαί ὄφελλον.
Ἀλλ' ὄψεσθ', ἵνα τώ γε παθεύδετον ἐν φιλότητι,
Εἰς ἐμὰ δέμνια βάντες· ἐγὼ δ' ὁρόων ἀπάχημαι.
Οὐ μὲν σφέας ἔτ' ἔολπα μίνυνθά γε κείμεν οὕτω,
Καὶ μάλα περ φιλέοντε· τάχ' οὐκ ἐθελήσετον ἄμφω
Εὕδειν· ἀλλὰ σφῶε δόλος καὶ δεσμὸς ἐρύξει,
Εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδώσει ἔδνα,
Ὅσσα οἱ ἐγγυάλιξα, κυνώπιδος εἵνεκα κούρης·
Οὔνεκά οἱ καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος.
Ὣς ἔφαθ'· οἱ δ' ἀγέροντο θεοὶ ποτὶ χαλκοβατὲς δῶ.
Ἦλθε Ποσειδάων γαιήοχος· ἦλθ' ἰριούνης
Ἑρμείας· ἦλθεν δὲ ἄναξ ἑκάεργος Ἀπόλλων.
Θηλύτεραι δὲ θεαὶ μένον αἰδοῖ οἶκοι ἑκάστη.
Ἔσταν δ' ἐν προθύροισι θεοὶ, δωτῆρες ἐάων·

" Imbecillis fuerim: at neutiquam mihi causa alius est,
" Quàm parentes duo; qui non genuisse debebant.
" Sed videte, ubi illi dormiunt in amore,
" Meo lecto consenso; ego autem aspiciens tristor.
" Non quidem illos ampliùs puto vel paululùm dormituros hoc modo,
" Et valdè licèt amantes: citò non volent ambo
" Dormire: sed ipsos dolus et vinculum detinebit,
" Donec mihi prorsùs omnia pater retribuat sponsalia,
" Quaecunque ei praebui, impudentem ob puellam:
" Quoniam illi pulchra filia, at non animi-continens."
Sic dixit; congregati autem sunt dii aeream ad domum.
Venit Neptunus terrae-quassator; venit et utilitatum-auctor
Mercurius; venit etiam rex jaculator Apollo.
Foeminae autem deae manebant pudore domi singulae.
Stabant verò in vestibulo dii, datores bonorum:

Ver. 312. ——— τὼ μὴ γείνασθαι ὄφελλον.] Ἐν δὲ τῷ "αἴ μὴ γείνασθαι ὄφελλον," λύσης πάντως ἕξεις, τὸ τοὺς γονεῖς αἰτιᾶσθαι τοῦ τελέσθαι. *Eustath.*

Ver. 315. Οὐ μὲν σφέας ἔτ' ἔολπα μίνυνθά γε κείμεν οὕτω, Καὶ μάλα περ φιλέοντε.] Καὶ περ καθ' ὑπερβολὴν φιλοῦντες, οὐ δυνήσονται ὁμιλῆσαι ἀλλήλοις διὰ τοὺς δεσμούς· ἢ οὐκέτι ἐθελήσουσι, φόβῳ τῶν δεσμῶν, τάλιν συνελθεῖν. *Schol.* Quæ posterior verior videtur explicandi ratio.

Ibid. —— σφέας.] Ita *Barnesius. Vulgg.* σφᾶς, sive σφῶς· quo modo et σφέας scilicet pronuntiabatur.

Ibid. —— ἔολπα.] Vide ad *Il.* ά, 37. et γ', 736.

Ver. 318. —— ἔδνα.] Ἔιδνα δὲ φασιῶς καὶ ἐνταῦθα τὰ ἐκ τοῦ νυμφίου τῇ γαμετῇ δεδόμενα *Eustath.* Atqui hoc in loco dona haec non ipsi Sponsæ, sed ejus patri data fuisse dicuntur.

Ver. 320. ——— καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος.] "Raram facit misturam cum sa" pientiâ forma." *Petron. Satyr.*

Ver. 322. —— γαιήοχος.] Vide suprà ad ί, 282.

Ibid. ——— ἰριούνης Ἑρμείας.]

Ἑρμεία, —— δῶτορ ἑάων. Infrà *ver.* 335.

Δεικνῦσι δ' ἅμωγε καὶ τὸν Ἑρμῆν οἱ Ποιηταὶ τὸν τῆς σοφίας ταύτης ἡγεμόνα καὶ προστάτην, τούτου χάριν τῷ κοινῷ τῶν Διὸς μόνου παλιὸν ἐνάμασιν καινῇ μὲν γὰρ ἅπαντας δωτῆρας ἑάων [*ver.* 325.] ἐνομάζουσιν· ἰδίᾳ δ' οὗτος μόνου τούτου, καὶ ἀκάκητά γε, καὶ ἰριούνιον, ὅτι καιρὸν μὲν οὐδὲν ἡ παρ' αὐτοῦ δωρεὰ, ἀγαθὸν δ' ἐξῆς ἅπαντα παρίζει τοῖς ἀνθρώποις, ἐν πολέμοις, ἐν εἰρήνῃ, ἐν γῇ, ἐν θαλάσσῃ, ἐν δυσκολίαις, ἐν εὐφροσύναις, σταυταχοῦ. *Aristid. Tom.* III. *Orat. pro Rhetor.*

Ver. 325. — ἐν προθύροισι.] *Al.* εἰν θύρῃσι.

Ibid —— θεοὶ, δωτῆρες ἑάων.] Θεοὶ δὲ ἀπὸ πάντα τὰ ἀγαθὰ παρεπίνουσιν, ὅσους ἥλιος ἀνίσχων τὸ φῶς. *Procl. in Platon. Theolog.*

Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
Τέχνας εἰσορόωσι πολύφρονος Ἡφαίστοιο.
Ὧδε δέ τις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν·
Ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἶλεν Ἄρηα, 330
Ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Χωλὸς ἐών, τέχνῃσι· τὸ καὶ μοιχάγρι' ὀφέλλει.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἑρμῆν δὲ προσέειπεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
Ἑρμεία, Διὸς υἱὲ, διάκτορε, δῶτορ ἑάων, 335
Ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς
Εὕδειν ἐν λέκτροισι παρὰ χρυσῇ Ἀφροδίτῃ;
Τὸν δ' ἠμείβετ' ἔπειτα διάκτορος Ἀργεϊφόντης·

Immensus verò risus exortus est diis beatis,
Artificia inspicientibus prudentis Vulcani.
Sic autem aliquis dicebat intuitus proximum alium:
" Non benè succedunt mala opera; assequitur tardus celerem:
" Ut nunc Vulcanus, cùm sit tardus, cepit Martem, 330.
" Velocissimum licèt deorum, qui Olympum tenent,
" Claudus existens, artificio; propter quod et adulterii mulctam debet."
Sic illi quidem talia inter se loquebantur.
Mercurium autem allocutus est rex, Jovis filius, Apollo:
" Mercuri, Jovis fili, internuncie, dator bonorum, 335
" Nunquid in vinculis velles fortibus compressus
" Dormire in lectulo, apud auream Venerem?"
Huic autem respondit deinde internuncius Mercurius:

---

cap. 17. " Commoda quibus utimur, lucemque quâ fruimur, spiritumque quem ducimus, ab eo (Jove) nobis dari atque impertiri videmus." *Cic. Orat. pro Sext. Rosc. Amerino.*

Ver. 326. Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως.] Vituperat hìc *Plato*, non locutionem Poeticam, quæ est pulcherrima, sed Rem ipsam: Ἀλλὰ μὴν οὐδὲ φιλογέλωτάς γε δεῖ εἶναι.——— Οὔτι ἄρα ἀνδρώτους ἀξιοῖς λόγου, κρατουμένους ὑπὸ γέλωτος ἂν τις σαφῶς, ἀποδεικτέον· σκοπῶ δὲ ἆττον, ἢν Διός. ——— Οὐκοῦν Ὁμήρου οὐδὲ τὰ τοιαῦτα ἀποδεξόμεθα περὶ θεῶν, " Ἄσβεστος " δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσι. *De Republ. lib.* III.

Ver. 329. Οὐκ ἀρετᾷ κακὰ ἔργα.]

——— τὸ δὲ κἀκ δίκας
Γλυκὺ, πικροτάτα μίτυι τελευτά.
Pindar. Isthm. Od. VII. *ver* 6.

Εἴ δὲ καὶ ταῖς ἀπιθάνοις χρῶτο [Ὅμηρος,] πολλὰς τοῦ ψεύδους ἰδέας ἂν ἐφεῦρεν τοῖς πρεσβυτέροις ἢ λεγομένοις· ἀεὶ μὲν γὰρ τῆς μοιχείας τοῦ Ἄρεως, ταῖς θείαις τοῦτον λέγουσιν, " Οὐκ ἀρετᾷ " κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν." *Plutarch. de audiendis Poetis.* Vide et *Athenæum, lib.* XII. *cap.* 1.

Ibid. —— κιχάνει τοι βραδὺς ὠκύν.]

Καὶ βραδὺς ὠκύλλους εἶλεν ταχὺν ἄνδρα διώκων.
Thogn. Gnom. ver. 329.

Ver. 332. —— τὸ καὶ μοιχάγρι' ὀφέλλει.] " Μοιχάγρια, *adulterii pretium.*" *Duport. Prælect. in Theophrast. cap.* 6. Μοιχάγρια, τὰ ὑπὲρ τῆς ἀγρεύσεως καὶ συλλήψεως τῶν μοιχῶν ἐκτινύμενα. *Schol.* Similiter *Eustathius*: Μοιχάγρια δὲ, τὰ ὑπὲρ ἀγρεύσεως ἢ ἐστὶν συλλήψεως μοιχῶν ἐκτινύμενα. Ἢ δὲ σύνθεσις αὐτοῦ ἁμέα τῷ ζωάγρια, βαάγρια, ἀνδράγρια. Cæterùm *Athenæus*, loco jam suprà citato, versum hunc legit hoc modo:

Καλὸς ἰὼν, εἰ χὴ· τῷ καὶ ζωάγρι' ὀφέλλει.

Ver. 336. —— δεσμοῖς θέλοις.] Ita ex *Eustathio Barnesius*: Quocum facit et MS. à *Tho. Bentleio* collatus. *Al.* δεσμοῖσι θέλοις. Vide infrà ad *ι*, 316. et ad *Il. ά*, 155.

Ver. 337 et 342. —— χρυσῇ.] *Barnesius* edidit χρυσέῃ. Quod eodem modo pronuntiandum. Vide ad *Il. ν'*, 525.

Ver. 338. —— διάκτορος.] Διάκτορον τὸν ἀγγελίας. *Schol.* Apud *Ovidium*, " *Nuncius* " *alee.*" *Epist.* XVII. *ver.* 68.

Αἲ γὰρ τοῦτο γένοιτο, ἄναξ ἑκατηβόλ' Ἀπολλον
Δεσμοὶ μὲν τρὶς τόσσοι ἀτειρέες ἀμφὶς ἔχοιεν,
Ὑμεῖς δ' εἰσορόωτε θεοὶ, πᾶσαί τε θέαιναι,
Αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρυσῇ Ἀφροδίτῃ.
Ὣς ἔφατ'· ἐν δὲ γέλως ὦρτ' ἀθανάτοισι θεῇσιν.
Οὐδὲ Ποσειδάωνα γέλως ἔχε, λίσσετο δ' αἰεὶ
Ἥφαιστον κλυτοεργὸν, ὅπως λύσειεν Ἄρηα·
Καί μιν φωνήσας ἔπτα πτερόεντα προσηύδα·
Λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, (ὡς σὺ κελεύεις,)
Τίσειν αἴσιμα πάντα μετ' ἀθανάτοισι θεῇσι.
Τὸν δ' αὖτε προσέειπε περικλυτὸς Ἀμφιγυήεις·
Μή με, Ποσείδαον γαιήοχε, ταῦτα κέλευε·
Δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.

" Utinam enim hoc fieret, ô rex jaculator Apollo:
" Vincula quidem tèr tot infinita circumfusa essent,
" Vos autem inspiceretis dii, omnesque dese,
" At ego dormirem apud auream Venerem."
Sic dixit; risus autem exortus est immortalibus diis.
Non verò Neptunum risus tenebat, precabatur autem *is* indesinentèr
Vulcanum inclytum-artificem, ut solveret Martem:
Et ipsum allocutus verba alata dicebat:
" Solve; ego autem tibi ipsum spondeo, (ut tu jubes,)
" Pensurum sequa omnia inter immortales deos."
Hunc autem rursùs alloquitus est inclytus Vulcanus:
" Nè me, Neptune terræ-quassator, hæc jube:
" Miseræ utique pro-miseris etiam sponsiones ad-spondendum.

Ver. 339. Αἲ γὰρ τοῦτο γένοιτο.] Hos aliquis ridens, " In me, fortissime " Mavors,
" Si tibi sint oneri, vincula transfer;" ait. *Ovid. Art. Amator.* II, 585.

Cæterùm refertur hoc in loco vocula, γὰρ ad id quod elegantèr reticetur: " *Nè vin-* " *cula me terrefactura existimes, Utinam E-* " *NIM*, &c."

Ver. 343. —— ἄρτ' ἐλαύνοντα θεᾶσθαι.] *Al.* ἄρτο μαιμώοντα θεᾶσθαι.

Ver. 348. 356. Τίσειν —— τίσειν.] Vide ad *Il.* i, 508. et χ', 19. 20.

Ver. 351. Δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.] Tres hujus loci explicationes affert *Eustathius*: Τὸ δὲ, " Δειλαί τοι δει- " λῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι," ἀντὶ τοῦ τῶν κακῶν καὶ ἐγγύαι κακαὶ δοτοὶ ἐγγυᾶσθαι· ὡς οὐ δίκαι ἐν οὐδὲ νῦν ἐγγύαι δεδῆσθαι ἀπὸ τοῦ φαυλοτάτου Ἄρεως —— Ἕτεροι δὲ φασὶν ὅτι δειλαὶ αἱ ἐγγύαι εἰσὶ, τουτέστι δυστυχεῖς, καὶ δειλῶν ἀν- δρῶν τὸν ἐγγυᾶσθαι· ὡς παθόλου μὴ δίκαι ἐν ἐγγυᾶσθαι τινὰ, κατὰ τὸ ἐν Δελφοῖς ἐπίγραμμα, " Ἔγγυα· πάρα δ' ἄτα." —— Φασὶ —— ἄλλοι, ὅτι τῶν δειλῶν καὶ ἐντελῶν, ἐντελεῖς ἐφι- λοῦντο εἶναι καὶ αἱ ἐγγύαι, ὡς ἂν ἔχοντο ἄγειν τοὺς ἐγγυητὰς οἱ ἐντελεῖς ὡς ἰσοίους. Secundam harum expositionum secuti videntur *Plutarchus, de septem Sapientum Convivio*, in fine; *Dionysius Halicarnassensis*, περὶ τῆς Θουκύδου στοιχείας, § 19. sub initio; et *Duportus* in *Gnomologiâ* ad hunc locum: Sed minùs rectè. Cum reliquâ enim sententiâ nullo modo congruit hæc interpretatio. Et præterea istâ ratione dicendum esset non, ἐγγυᾶσθαι, sed, ἐγγυᾶν uti et ipse deinceps addit *Eustathius*. Ἐγγυᾶ μὲν, φασὶν, ὁ δίδους ἐγγυᾶσθαι δὲ, ὁ λαμ- βάνων. (Vide suprà ad ver. 79. 81.) Porrò neque alteræ *Eustathii* expositiones rem videntur attigisse. Optimam (ut opinor) hujus loci explicationem, inter plures subob- scuras, affert *Scholiastes*: Αἱ ἀντὶ τῶν κακῶν καὶ δειλῶν ἐγγύαι καὶ αὗται κακαί εἰσι, τὴν τοι- αὐτὴν ἀντὶ τῶν τοιούτων μηδενὸς ἀναγκαίου δυναμένου. Nempè sponsiones pro iis, qui ad debiti so- lutionem adigi nequeant, nihil valere, neque cuiquam esse accipiendas. Hoc nimirùm et cum ipsius vocis ἐγγυάσθαι sensu, et cum sequentibus aptè congruit. Quum enim

Πῶς ἂν ἐγώ σε δέοιμι μετ' ἀθανάτοισι θεοῖσιν,
Εἶκεν Ἄρης οἴχοιτο, χρέος καὶ δεσμὸν ἀλύξας;
Τὸν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Ἥφαιστ', εἶπερ γάρ κεν Ἄρης χρεῖος ὑπαλύξας
Οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τίσω.
Τὸν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
Οὐκ ἔστ', οὐδὲ ἔοικε, τεὸν ἔπος ἀρνήσασθαι.
Ὣς εἰπὼν, δεσμὸν ἀνίει μένος Ἡφαίστοιο.
Τὼ δ' ἐπεὶ ἐκ δεσμοῖο λύθεν, κρατεροῦ περ ἐόντος,
Αὐτίκ' ἀναΐξαντε, ὁ μὲν Θρῄκηνδε βεβήκει,
Ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
Ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις.

" Quo-pacto ego te obligàrim inter immortales deos,
" Si Mars abiêrit, debito et vinculis elapsus ?"
Hunc autem rursùs allocutus est Neptunus terrae-quassator:
" Vulcane, etiamsi enim Mars debitum renuens
" Abiêrit fugiens, ipse tibi ego haec persolvam."
Huic autem respondit deinde inclytus Vulcanus:
" Non fas-est, neque decet, tuam orationem abnuere."
Sic locutus, vincula solvit robur Vulcani.
Illi verò postquam è vinculis soluti erant, fortia licèt essent,
Statim prosilientes, ille quidem in Thraciam ivit;
Ad Cyprum verò pervenit risum-amans Venus,
In Paphum; ubi scilicet ei lucus araque odorata.

pollicitus est *Neptunus* (infrà *ver.* 355.) se ipsum, si aufugerit *Mars*, omnia persoluturum; *Martem* statim dimittit *Vulcanus*, *ver.* 358. 359.

Ver. 352. Πῶς ἂν ἐγώ σε δέοιμι;] *Aristarchus*, notante *Scholiaste*, hoc in loco legit, " Πῶς ἂν ὑφόοιμι;"

Ver. 353. —— χρέος.] *Eustathius* in commentario legit χρεῖος· et infrà *ver.* 355. χρεῖος.

Ver. 355. Ἥφαιστ', εἶπερ γάρ.] " Nè " *hanc ob causam recuses; Siquidem ENIM* " &c"

Ver. 359. Ὣς εἰπὼν, δεσμὸν ἀνίει.]

Vix precibus, Neptune, tuis captiva resolvit
Corpora.——————
Ovid. Art. Amator. II, 585.

Ibid. —— εἰπὼν —— μένος Ἡφαίστοιο.] Vide infrà ad λ', 90. 91.

Ibid. —— δεσμὸν ἀνίει.] Ita *Henricus Stephanus* et Vulgati. *Barnesius* autem ex editionum vetustiorum nonnullis, et ex *Eustathio*, edidit δεσμῶν ἀνίει· et δεσμὸν preli errorem esse contendit. Atqui firmatur vulgata lectio ex *ver.* 353. suprà:

Εἶκεν Ἄρης οἴχοιτο, χρέος καὶ δεσμὸν ἀλύξας.

Et ex *ver.* 360.

Τὼ δ' ἐπεὶ ἐκ δεσμοῖο λύθεν ——.

Ver. 361. Αὐτίκ' ἀναΐξαντε, ὁ μὲν.] Ὅρα δ' ἐν τούτοις καὶ τὰ καινοφωνίας τοῦ, " Αὐτίκ' ἀ- " ναΐξαντες, ὁ μὲν Θρῄκηνδε βεβήκει, Ἡ δὲ Κύ- " προν ἵκανε." *Eustath.* Vide infrà ad μ', 73. Ubi notandum, pro ἀναΐξαντε legisse *Eustathium* ἀναΐξαντες· quo modo et edidit *Barnesius*. Utrumque hoc quidem in loco rectè dicitur. Vide ad *Il.* ά, 566.

Ibid. —— ὁ μὲν Θρῄκηνδε βεβήκει, Ἡ δ' ἄρα Κύπρον —— ἐς Πάφον.] " Homere peint " par-la le genie et le naturel de ces deux " peuples. Mars va en Thrace, parceque " les Thraces sont belliqueux; et Venus " va en Cypre, dont les habitans sont mous " et effeminez, et adonnez à l'amour." *Dacier.*

—— Mars Threcen occupat; illa Paphon. *Ovid. Art. Amator.* II, 585.

Ver. 362. —— φιλομμειδὴς Ἀφροδίτη.]

Dulce Venus risit ——————.
Ovid. Epist. XVI, 83.

Ver. 363. Ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις.] Πάφον, πόλις Κύπρου. *Schol.*

Ipsa Paphum sublimis abit, sedesque revisit
Læta suas; ubi templum illi, centumque Sabæo
Ture calent aræ, sertisque recentibus halant. *Æn.* I, 419.

Ἔνθα δέ μιν Χάριτες λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ
Ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας·
Ἀμφὶ δὲ εἵματα ἕσσαν ἑπήρατα, θαῦμα ἰδέσθαι.
Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Τέρπετ' ἐνὶ φρεσὶν ἦσιν ἀκούων, ἠδὲ καὶ ἄλλοι
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.
Ἀλκίνοος δ' Ἄλιον καὶ Λαοδάμαντα κέλευσεν
Μουνάξ ὀρχήσασθαι, ἐπεὶ σφισιν οὔτις ἔριζεν.
Οἱ δ' ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἕλοντο
Πορφυρέην, τήν σφιν Πόλυβος ποίησε δαίφρων·
Τὴν ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα,
Ἰδνωθεὶς ὀπίσω· ὁ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθείς,
Ῥηϊδίως μεθέλεσκε, πάρος ποσὶν οὖδας ἱκέσθαι.
Αὐτὰρ ἐπειδὴ σφαίρῃ ἀν' ἰθὺν πειρήσαντο,
Ὠρχείσθην δὴ ἔπειτα ποτὶ χθονὶ πουλυβοτείρῃ,
Ταρφέ' ἀμειβομένω· κοῦροι δ' ἐπελήκιον ἄλλοι,

Ibi autem ipsam Gratiae lavârunt, et unxerunt oleo
Immortali, qualia diis gratiam-addunt semper existentibus:
Vestesque induerunt amabiles, mirabile visu.
Haec utique cantor cantabat inclytus: at Ulysses
Oblectabatur mente suâ audiens, atque etiam alii
Phaeaces longis-remis-utentes, re-nauticâ-inclyti viri.
Alcinous autem Halium et Laodamanta jussit
Solos tripudiare, quoniam cum-ipsis nemo certabat.
Hi igitur postquam pilam pulchram in manibus accepissent
Purpuream, quam ipsis Polybus fecerat prudens:
Hanc alter jactabat ad nubes umbrosas,
Flexus retrò; alter autem à terrâ in altum elevatus,
Facilè receptabat, antequam pedibus in solum venisset,
At postquam pilâ in rectum-jaciendâ periculum-fecissent,
Saltabant deinde in terrâ almâ,
Frequentèr alternantes; juvenes verò applaudebant caeteri,

Ibid. —— τίμινος.] Τίμινος δὲ, γῆ ἀποτεμὰς, ἡ ἐστὶν ἀποτετμημένη τῶν περίξ. Καὶ νῦν μὲν ἱερὸν τοῦτο τίμινος. Κοινῶς μέν τοι καὶ πᾶς τόπος, παρὰ τὴν Ποιητὴν, ὃς τῶν ἄλλων ἀφώρισται. *Eustath.*

Ver. 365. —— ἰστινύσθην.] Postulat Temporum ratio, ut vox ἰστινύσθην hîc sit ex *Praeterito* ἰστινύσθα potiùs quàm ex *Aoristo* ἰστινύσθην. Vide ad *Il.* ά, 37. et β', 219.

Ver. 366. —— ἑπήρατα.] Vide ad *Il.* ε', 512.

Ver. 374. 376. —— βλητασκε —— μεθέλεσκε.] Vide ad *Il.* β', 221. et π', 363.

Ver. 376. Ῥηϊδίως μεθέλεσκε, πάρος ποσὶν.] Ἤγουν ἀναπηδήσας καὶ ἴστι μετέωρος ἂν μετελάμβανε. Καὶ ἦν ἔθος παλαιὸν οὕτω παίζειν. *Eustath.*

Ver. 377. —— σφαίρῃ.] *Al.* σφαῖραν.

Ibid. —— ἀν' ἰθύν.] *Al.* ἀνιθύν.

Ver. 378. —— δὴ ἔπειτα.] Ita edidit *Henricus Stephanus.* Atque ita habet *Eustathius* et in contextu et in commentario. *Al.* δὴ ἔστητα. Vide supra ad ά, 290.

Ver. 379. Ταρφέ' ἀμειβομένω.] Οἱ Φαίακες δὲ παρ' Ὁμήρῳ, καὶ ἄνευ σφαίρας [*Casaubonus* legendum contendit, καὶ ἄνευ σφαίρας καὶ μετὰ σφαίρας] ὀρχοῦντο. Καὶ ὀρχοῦνται πού ἀνὰ μέρος πυκνῶς· τοῦτο γὰρ ἐστὶ τὸ, "Ταρφέ' ἀμειβόμενω," ἄλλων ἑφισταμένων καὶ ἀναπαυομένων τοῖς λιχανοῖς δακτύλοις, ὅ φησὶ λημᾶν. *Athenaeus, lib.* I, *cap.* 13.

Ibid. —— ἀμειβομένω.] Legitur et ἀμειβόμενω, notante *Henrico Stephano.* Atque ita legit *Athenaeus* loco jam citato.

Ἑσταότες κατ' ἀγῶνα, πολὺς δ' ὑπὸ κόμπος ὀρώρει.
Δὴ τότ' ἄρ' Ἀλκίνοον προσεφώνεε δῖος Ὀδυσσεύς·
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Ἦ μὲν ἀπίλησας βητάρμονας εἶναι ἀρίστους,
Ἦ δ' ἄρ' ἑτοῖμα τέτυκτο· σέβας μ' ἔχει εἰσορόωντα.
Ὣς φάτο· γήθησεν δ' ἱερὸν μένος Ἀλκινόοιο·
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
Κέκλυτε, Φαίηκων ἡγήτορες ἠδὲ μέδοντες·
Ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι.
Ἀλλ' ἄγε, οἱ δῶμεν ξεινήϊον, ὡς ἐπιείκες·
Δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
Ἀρχοὶ κραίνουσι, τρισκαιδέκατος δ' ἐγὼ αὐτός·
Τῶν οἱ ἕκαστος φᾶρος ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,
Καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος·
Αἶψα δὲ πάντα φέρωμεν ἀολλέες, ὄφρ' ἐνὶ χερσὶ
Ξεῖνος ἔχων, ἐπὶ δόρπον ἴῃ χαίρων ἐνὶ θυμῷ

Stantes in certamine: multus autem strepitus subortus est.
Tum verò Alcinoum allocutus est nobilis Ulysses:
" Alcinoë rex, omnium clarissime populorum,
" Sanè quidem pollicitus es tripudiatores esse optimos:
" Sanè autem proindè perfecta sunt: stupor me tenet inspicientem."
Sic dixit: laetata autem est sacra vis Alcinoi;
Statimque Phaeaces remigii-studiosos allocutus est:
" Audite, Phaeacum ductores atque principes:
" Hospes mihi valdè videtur prudens esse.
" Verùm agite, ei demus hospitale-munus, uti par est:
" Duodecim enim in populo praeclari reges
" Principes imperant, tertius-decimus autem ego ipse.
" Horum singuli ei vestem benè-lotam et tunicam,
" Et auri talentum ferte pretiosi:
" Statim verò omnia portemus conferti; ut in manibus
" Hospes habens ad coenam veniat gaudens in animo.

Quod hìc quidem perindè est. Vide ad *Il.* ά, 566.

Ibid. —— ἰπιλήσας.] *Athenaeus*, loco jàm citato, exponit, ἱκανοὺς ὄντας τοῖς λιχανοῖς δακτύλοις. *Casaubonus* verò in annotationibus ad istum locum, cur ita explicetur, " neque video equidem (inquit) causam, neque puto ullam esse. Nam λησεῖν Ionicum est pro λαχεῖν, hoc autem manifestè factitium verbum est, ut κτυπεῖν, δυπεῖν, ψοφεῖν, σμαραγεῖν, πελαρύζειν· φλοῖσβος, et alia multa." Similiter *Eustathius*: Τὸ δὲ, " ἰπιλήσιον," δηλοῖ μὲν τὸ ἱκανοῦσθαι. Ὀνομαστικῶς δὲ τρίτος ἐστί. Καὶ γίνεται ἀπ' αὐτοῦ καὶ τὸ Λακεῖν· ἄδω, "λάκει δ' ἐσσία." Sic et in sequenti versu: " —— πολὺς δ' ὑπὸ " κόμπος ὀρώρει." Vide ad *Il.* ϑ, 455.

Ver. 380. —— κόμπος.] *Al.* δοῦπος.

Ver. 383. Ἦ μὲν ἀπιλήσας.] Πρωτεύουσι, ὑπίσχου, ἱκανοῦσι. *Schol.* Sic *Il.* ψ' 872.

Αὐτὰρ ὃ ἀπιλήσας ἰκάνεν Ἀσίλλαν.
Ἀρνῶν πρωτογόνων βλῆτο πλείστην ἑκατόμβην.

Cæterùm MS. à *Tho. Bentleio* collatus hìc habet, Ἦ μὲν ἰπιγγείλω.

Ibid. —— βητάρμονας.] Vide suprà ad *ver.* 250.

Ver. 384. Ἦ δ' ἄρ' ἑτοῖμα τέτυκτο.] Φαιηκὰ ἦν, οὕτως εἶχεν. *Schol. Al.* Ταῦτα δ' ἑτοῖμα τέτυκτο.

Ver. 391. —— τρισκαιδέκατος.] *Al.* τρισσκαιδέκατος.

Ver. 393. —— ἰνείκατε.] *Al.* ἰνίγκατε.

Ver. 394. —— ἀολλέες.] MSS. nonnulli à *Tho. Bentleio* collati, ἀολλέα.

Εὐρύαλος δέ ἑ αὐτὸν ἀρισσάσθω ἐπέεσσι
Καὶ δώρῳ· ἐπεὶ οὔτι ἔπος κατὰ μοῖραν ἔειπεν.
"Ως ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον, ἠδ' ἐκέλευον·
Δῶρα δ' ἄρ' οἰσέμεναι πρόσαν κήρυκα ἕκαστος.
Τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο, φώνησέν τε·
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις·
Δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη
Ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
Ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται.
"Ως εἰπὼν, ἐν χερσὶ τίθει ξίφος ἀργυρόηλον,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ' εἴπερ τι βέβαπται

" Euryalus autem eum ipsum placet verbis,
" Et dono; quoniam nequaquam decentèr locutus est."
Sic dixit: illi autem omnes approbabant, et hortabantur;
Donaque portatum praemiserunt praeconem singuli.
Huic autem rursùs Euryalus respondit, dixitque:
" Alcinoë rex, omnium clarissime populorum;
" Equidem ego hospitem placabo, sicut tu jubes:
" Dabo ei hunc ensem totum-aereum, cui est manubrium
" Argenteum, vagina autem recens-secti eboris
" Circumdata est: magni autem ei pretii erit."
Sic fatus, in manibus posuit ensem argenteis-clavis-distinctum,
Et ipsum allocutus verba alata dixit:
" Gaude, pater ò hospes; verbum verò si quod temerè-dictum est

---

Ver. 396. Εὐρύαλος δέ ἑ αὐτὸν ἀρισσάσθω.] Editiones plurimæ hìc habent ἑαυτὸν, vertuntque, "*seipsum.*" Quod sententiam planè pessundat. " Nec dubito," inquit *Henricus Stephanus*, " quin ad fulciendam versûs " mensuram, à quibusdam, de ejus senten- " tiâ non cogitantibus, ex *αὐτὸν* factum fue- " rit ἑαυτόν." Ipse itaque Εὐρύαλος δὲ αὐτὸν ἀρισσάσθω edidit; quo modo in commentario citat *Eustathius*. Verùm ut vocula δὲ etiam extra cæsuram, sequente neque Consonanti neque Vocali aspiratâ, producatur; (id quod virum eruditum non fugit;) valdè durum est. *Bergerus* in *Præfatione ad Iliad. Edit Wesseling.* " Ego," inquit, " crederem scribendum, Εὐρύαλος δέ ἑ αὐτὸν, " *illum ipsum*; ut ἑ hoc loco idem significet " quod in *Il.* ν', 119. Ἀλλά ἑ μοῖρα δάμασ- " σεν———. Sic esset pleonasmus alteru- " trius Pronominis." Atque ita edidit *Barnesius*; veruntque contendit esse lectionem. Sed et hoc satis videtur invenustum. Melius paulò Editiones *Cantabrigiensis* 1664. et *Oxoniensis* 1705. quæ habent Εὐρύαλος δὲ καὶ αὐτὸν. Ad sententiam autem omnium potissima altera *Bergleri* conjectura; nempè ut legatur Εὐρύαλος δὲ ἑ αὐτὸν ἀρισσάσθω. Verùm cùm lectionem hanc nulla (quòd sciam) agnoscant Exemplaria; alteraque ista, " Εὐρύαλος δὲ καὶ αὐτὸν ἀρισσάσθω," paràm idoneâ nitatur auctoritate; *Barnesii* Textum non muto.

Ver. 399. ——ἄορ.] *Proindè* ——.

Ver. 403. ——παγχάλκεον.] *Al.* παγχρύσεον.

Ver. 404. ——κολεὸν δὲ νεοπρίστου ἐλέφαντος Ἀμφιδεδίνηται.]

——atque habilem vaginâ aptârat eburnâ.
Æn. IX, 305.

Ver. 408. Χαῖρε, πάτερ ὦ ξεῖνε.] *Barnesius* edidit Χαῖρε, πατὴρ ὦ ξεῖνε. Sed nihil opus. Vide ad *Il.* ά, 51. Casterùm legendum conjicit vir idem eruditus, Χαῖρε, πατὴρ ὁ ξεῖνος. Satis inficetè.

Ibid. ——εἴπερ τι βέβαπται Δυσὸν, ἄφαρ τό.]

——εἴ τι κακὸν νῦν
Εἶρηται· τὰ δὲ πάντα θεοὶ μειλόξια θεῖεν.
Iliad. Υ, 362.

Ibid. ——βέβαπται.] Πεφλυάρηται. Ἔνιοι καὶ βαβάξ, ὁ πρόπετης, παρὰ τὸ βάζειν. *Schol.*

Δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
Σοὶ δὲ θεοὶ ἄλοχόν τ' ἰδέειν, καὶ πατρίδ' ἱκέσθαι,
Δοῖεν· ἐπειδὴ δηθὰ φίλων ἀπὸ πήματα πάσχεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Καὶ σὺ, φίλος, μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν·
Μηδέ τί τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο
Τούτου, ὅ δή μοι δῶκας ἀρεσσάμενος ἐπέεσσιν.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισι θέτο ξίφος ἀργυρόηλον.
Δύσετό τ' ἠέλιος, καὶ τῷ κλυτὰ δῶρα παρῆεν·
Καὶ τάγ' ἐς Ἀλκινόοιο φέρον κήρυκες ἀγαυοί·
Δεξάμενοι δ' ἄρα παῖδες ἀμύμονος Ἀλκινόοιο,
Μητρὶ παρ' αἰδοίῃ ἔθεσαν περικαλλέα δῶρα.
Τοῖσιν δ' ἡγεμόνευ' ἱερὸν μένος Ἀλκινόοιο·
Ἐλθόντες δὲ κάθιζον ἐν ὑψηλοῖσι θρόνοισι.
Δή ῥα τότ' Ἀρήτην προσέφη μένος Ἀλκινόοιο·
Δεῦρο, γύναι, φέρε κηλὸν ἀριπρεπέ', ἥτις ἀρίστη·
Ἐν δ' αὐτῇ θὲς φᾶρος ἐϋπλυνές, ἠδὲ χιτῶνα.

" Grave, statim illud auferant abreptum procellae.
" Tibi autem dii uxorem videre, et in patriam redire,
" Dent, quandoquidem diù procul-ab amicis aerumnas pateris."
Hunc autem respondens allocutus est prudens Ulysses:
" Et tu, amice, valdè gaude; dii verò tibi felicia dent;
" Neque ampliùs tibi ensis desiderium posthàc fiat
" Hujus, quem jam mihi dedisti ubi-placàsses verbis."
Dixit utique, et circa humeros sibi-posuit ensem argenteis-clavis-distinctum.
Occidebat autem sol, et ei inclyta dona aderant:
Et haec in domum-Alcinoi tulerunt praecones illustres:
Suscepta autem filii eximii Alcinoi,
Matrem juxta venerandam posuerunt perpulchra dona.
Illis autem praeibat sacra vis Alcinoi:
Profecti verò sedebant in altis soliis.
Tunc utique Areten allocuta est vis Alcinoi:
" Agè, mulier, fer arcam perpulchram, quae optima;
" Inque eâ pone vestem benè-lotam et tunicam.

Cæterùm *Plutarchus*, *Quæst. Platonicæ*, sub finem, citat λίλιεται.

Ver. 409. ——— ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.] Haud dissimiliter *Horatius*:

——— tristitiam et metus
Tradam protervis in Mare Creticum
Portare ventis ———
Carm. lib. I. *Od.* XXVI. *ver.* 1.

Et *Catullus*:

Irrita ventosæ linquens promissa procellæ.
De Nuptiis Pelei et Thetidos, ver. 54.

Ver. 414. Μηδέ τί τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο.] *Eustathius* hoc ita accipit, ac si optet Ulysses, *Sibi* nunquam, ut ense utatur, opus fore. Τοῦτο δὲ (inquit) πρὸς ἀποτροπιασμὸν ἐρρέθη μὴ καὶ ἐπὶ καιρῷ ἡ τοῦ ξίφους δέοις ἀποβαίη δυσευχῶς. Εὔχεται γὰρ Ὀδυσσεὺς μὴ δεηθῆναί ποτε τοῦ ξίφους τούτου, ἀλλ' ἀπόβετον φυλάξειν αὐτό. Verùm, ut vim vocula τοι omittamus, cum voce ποθὴ parùm aptè congruit hæc interpretatio: Et præterea non erat Ulysses hoc in loco *sibi*, sed *Euryalo* benè optaturus. Sententiam rectè (ut opinor) explicat *Spondanus*; " Utinam " te Deus sic felicitet et fortunet, ut nun- " quam hujus ensis, quo me donas, penuriâ " labores."

Ver. 417. Δύσετο.] *Al.* Δύσατο.

Ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ,
Ὄφρα λοεσσάμενός τε, ἰδὼν τ' εὖ κείμενα πάντα
Δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν,
Δαιτί τε τέρπηται, καὶ ἀοιδῆς ὕμνον ἀκούων.
Καί οἱ ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω,
Χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
Σπένδῃ ἐνὶ μεγάρῳ Διΐ τ', ἄλλοισίν τε θεοῖσιν.
Ὣς ἔφατ'· Ἀρήτη δὲ μετὰ δμωῇσιν ἔειπεν,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν ὅττι τάχιστα.
Αἱ δὲ λοετροχόον τρίπος' ἔστασαν ἐν πυρὶ κηλέῳ·
Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἐλοῦσαι.
Γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ·
Τόφρα δ' ἄρ' Ἀρήτη ξεινῳ περικαλλέα κηλὸν
Ἐξέφερεν θαλάμοιο, τίθει δ' ἐνὶ κάλλιμα δῶρα,
Ἐσθῆτα, χρυσόν τε, τά οἱ Φαίηκες ἔδωκαν·
Ἐν δ' αὐτῇ φᾶρος θῆκεν, καλόν τε χιτῶνα,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἔηλον,

" Et ei super ignem ahenum calefacite, tepefaciteque aquam;
" Ut ubi et laverit-se, et viderit benè posita omnia
" Dona, quae ei Phaeaces eximii huc tulerunt,
" Conviviloque oblectetur, et cantilenae melos audiens.
" Atque ei ego hoc poculum meum perpulchrum praebebo,
" Aureum; ut mei memor diebus omnibus
" Libet domi-*suae* Jovique, aliisque diis."
Sic ait: Arete autem ancillis dixit,
Ut super ignem ponerent lebetem magnum quàm celerrimè.
Hac autem lavacralem lebetem posuerunt super ignem ardentem:
Aquamque infuderunt, subtusque ligna accendebant allata.
Alvum quidem tripodis ignis ambibat, calefiebatque aqua;
Interea verò Arete hospiti perpulchram arcam
Efferebat è thalamo, imposuitque pulchra dona,
Vestes, aurumque, quae ei Phaeaces dederant:
In eà porrò pallium imposuit, pulchramque tunicam,
Et ipsum allocuta verba alata dixit:
" Ipse nunc vide de-operculo, statim verò vinculum inde,

Ver. 427. —— λοεσσάμενός τε.] *Al.* λοεσσάμενός γε.

Ver. 430. Καί οἱ ἐγὼ τόδ' ἄλεισον.] Ἐν τούτοις δὲ ὁ Ἀλκίνοος ἐμφαίνει καὶ τὸ σοφὸν τοῦ καλάντου μὴ εἶναι σολύ. Ἑκάστου γὰρ τῶν ἀλλων βασιλέων [suprà *ver.* 393.] κάλαντον διερησαμένου, αὐτὸς χρύσεον δίδωσιν ἄλεισον. *Eustath.*

Ver. 432 Σπένδῃ ἐνὶ μεγάρῳ Διΐ.] Τοῦτο δὲ σημεῖόν ἐστι. Σπένδειν γὰρ δίδωσιν, ἵνα μὴ δόξῃ προσεπιδίζειν τῇ ξένῃ τὸ οἰνοστατεῖν. *Eustath.* Observatione, ut mihi quidem videtur, satis ineptâ.

Ver. 435. —— ἔστασαν.] Vide ad *Il.* μ', 55. *Al.* ἵστασαν. Quæ fortè et verior lectio. Ita enim in omnibus legitur *Iliad.* σ', 346. ubi idem versus occurrit; atque ita hic habet MS. à *Tho. Bentleio* collatus.

Ver. 436. Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν.] Ita edidit *Barnesius* ex *Iliad.* σ', 347. *Vulgg* ἔχευαν.

Ver. 438. Τόφρα δ'.] Vide ad *Il.* μ', 12. *Barnesius* minus rectè, Τοφρά δ'.

Ver. 443. —— ἰσὸ δεσμὸν ἔηλον.] Παλαιὸν δὲ, φασὶν, ἦν, κατασφαλίζεσθαι δεσμοῖς. Ἡ πλεῖς γὰρ ναυτέρων. *Eustath.*

Μήτις τοι καθ' ὁδὸν δηλήσεται, ὁππόταν αὖτε
Εὕδῃσθα γλυκὺν ὕπνον, ἰὼν ἐν νηῒ μελαίνῃ.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε πολύτλας δῖος Ὀδυσσεύς,
Αὐτίκ' ἐπήρτυε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἔπλε
Ποικίλον, ὃν ποτέ μιν δίδαε φρεσὶ πότνια Κίρκη.
Αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγεν,
Ἐς ῥ' ἀσάμινθον βάνθ'· ὁ δ' ἄρ' ἀσπασίως ἴδε θυμῷ
Θερμὰ λοίτρ'· ἐπεὶ οὔτι κομιζόμενός γ' ἐθάμιζεν,
Ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο·
Τόφρα δέ οἱ κομιδή γε, θεῷ ὣς, ἔμπεδος ἦεν.
Τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν χλαῖναν καλὴν βάλον ἠδὲ χιτῶνα,
Ἐκ ῥ' ἀσαμίνθου βὰς ἄνδρας μετὰ οἰνοποτῆρας
Ἤιε· Ναυσικάα δὲ, θεῶν ἀπὸ κάλλος ἔχουσα,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο·
Θαύμαζεν δ' Ὀδυσῆα ἰὼν ὀφθαλμοῖσιν ὁρῶσα,

" Nè quis tibi in itinere damnum-afferat, cùm fortè
" Dormiêris dulcem somnum, profectus in nave nigrâ."
Caeterùm postquam hoc audiisset prudens nobilis Ulysses,
Statim aptavit operculum, celeriterque vinculum indidit
Varium, quod olim eum docuit in-animo veneranda Circe,
E-vestigio autem ipsum mulier-oeconoma lavari jussit,
In balneum ingressum; ille verò libenter vidit animo
Calida lavacra; quoniam neutiquam curatus scilicet frequenter-fuerat,
Ex-quo reliquerat domum Calypsûs comas-pulchrae:
Tunc autem ei curatio, tanquam deo, perpetua erat.
Hunc verò postquam ancillae lavássent et unxissent oleo,
Circaque ipsum laenam pulchram jecissent atque tunicam,
E balneo utique egressus viros ad vini-potatores
Ibat: Nausicaa verò, à diis pulchritudinem habens,
Stetit juxta postes tecti pulchrè fabricati:
Admirabatur autem Ulyssem oculis aspiciens,

Ver. 444. ——— *ἐπέβραν.*] *Al. ἐπνίσ' ἄν.*

Ver. 448. —— *ὃν ποτέ μιν δίδαε.*] Ἐδίδαξεν, διὰ τὸ τοὺς ἰκαίους αὐτοῦ [infrà ν', 47.] λῦσαι τὸν τοῦ ἀσκοῦ δεσμόν. *Schol.* Quod longè videtur petitum. Caeterùm δίδαε hoc in loco non est à *Perfecto* δέδαα, quo modo non constaret Temporum ratio; sed, aut ex *Imperfecto* verbi ficti δαΐδω, aut ex *Aoristo* secundo δίδαον, per reduplicationem ut in voce ἐπέφνον, *Iliad.* ά, 591. ί, 23. Rectéque proindè exponit *Scholiastes* Ἐδίδαξεν. Vide ad *Il.* ά, 37. et ί, 346.

Ibid. —— *δίδαε φρεσὶ πότνια Κίρκη.*] *Barnesius*, vulgatas versiones secutus, reddit, " *Docuerat ingenio veneranda Circe.*" Verùm cum " *φρεσὶ πότνια*" sit phrasis prorsùs insuetata, vocem *φρεσὶ* ad praecedentem δίδαε potiùs referendam crediderim, ut sit sententia; " *Quo ei animum instruxerat veneranda Circe.*"

Ver. 449. Αὐτόδιον δ' ἄρα μιν ταμίη.] Πάντα δ' ὧν ἀκριβῶς Ὅμηρος, καὶ τὸ μικρὸν τοῦτο οὐ παρίλιπε, τὸ δεῖν διερωτῶντα τὸ σωμάτιον καὶ λουσάμενον ἵνα μὴ πρὸς τὸ δεῖπνον. Ἐκεῖ γ' οὖν τοῦ Ὀδυσσέως ὄντος πρὸ τῆς παρὰ Φαίαξι δοίνης, " Αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἄνωγε." —— Ἀκριτὸς γὰρ ἦν, φησὶν Ἀριστοτέλης, ἥκιστα ἐν τῷ συμπόσιον εἰς ἑδῶσι πολλῷ καὶ ποικίλῳ. *Athenaeus, lib.* IV. *cap.* 27. Vide et suprà ad ή, 174.

Ibid. Αὐτόδιον.] Παραχρῆμα, ἐξ αὐτῆς ὁδοῦ, οὐκ ἀλλαχοῦ που χωρισθέντα· ἢ αὐτόδιον, πρὶν ἀλλαχοῦ ποιεῖσθαι, μετὰ τὸ ἔδεσθαι τὴν πλοιωτὸν τοῦ Ὀδυσσέως. *Schol.*

Ver. 452. Ἐπειδὴ λίπε δῶμα.] Vide ad *Il.* Ψ', 2.

Ver. 456. —— ῥ'.] *Ut fieri solet* ——.

Καί μιν φωνήσας' ἔπεα πτερόεντα προσηύδα·
Χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίῃ
Μνήσῃ ἐμεῖ, ὅτι μοι πρώτῃ ζωάγρι' ὀφέλλεις.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ναυσικάα, θύγατερ μεγαλήτορος Ἀλκινόοιο,
Οὕτω νῦν Ζεὺς θεὶη ἐρίγδουπος πόσις Ἥρης,
Οἶκαδέ τ' ἐλθέμεναι, καὶ νόστιμον ἦμαρ ἰδέσθαι·
Τῷ κέν τοι κἀκεῖθι, θεῷ ὣς, εὐχετοώμην
Αἰεὶ ἤματα πάντα· σὺ γάρ μ' ἐβίωσαο, κούρη.
Ἦ ῥα, καὶ ἐς θρόνον ἷζε παρ' Ἀλκίνοον βασιλῆα.
Οἱ δ' ἤδη μοίρας τ' ἔιρυον, κεράσαντό τε οἶνον.
Κήρυξ δ' ἐγγύθεν ἦλθε, ἄγων ἐρίηρον ἀοιδὸν,
Δημόδοκον, λαοῖσι τετιμένον· εἷσε δ' ἄρ' αὐτὸν
Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας.
Δὴ τότε κήρυκα προσέφη πολύμητις Ὀδυσσεὺς,
Νώτου ἀποπροταμών· ἐπὶ δὲ πλεῖον ἐλέλειπτο
Ἀργιόδοντος ὑὸς, θαλερὴ δ' ἦν ἀμφὶς ἀλοιφή·
Κήρυξ, τῇ δὴ τοῦτο πόρε κρέας, ὄφρα φάγῃσι,
Δημοδόκῳ, καί μιν προσπτύξομαι, ἀχνύμενός περ.
Πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ

Et ipsum allocuta verba alata dicebat:
" Salve, hospes, ut etiam olim, cum-fueris in patriâ terrâ,
" Memineris meî, quòd mihi primae vitae-*conservatae*-pretium debes."
Hanc autem respondens allocutus est solers Ulysses:
" Nausicaa, filia magnanimi Alcinoi,
" Sic nunc Jupiter det altitonans maritus Junonis,
" Domumque ut veniam, et reditùs diem videam:
" Ita tibi etiam illic, deo veluti, vota-fecerim
" Semper diebus omnibus: tu enim me servásti, puella."
Dixit, et in thronum sedit juxta Alcinoum regem.
Hi verò jam portiones distribuebant, miscebantque vinum.
Praeco autem propè venit, ducens amabilem cantorem,
Demodocum, populo honoratum; collocavitque ipsum
In medio convivarum, ad columnam longam acclinatum.
Ac tunc praeconem allocutus est solers Ulysses,
A tergo parte-abscissâ; multum verò supererat
Albis-dentibus suis, florida autem erat circùm pinguedo:
" Praeco, accipe jam, hanc praebe carnem, ut comedat,
" Demodoco; et ipsum complectar, moestus licèt.
" Omnibus enim hominibus terrestribus cantores

Ver. 462. *Μνήσῃ.*] *Al. Μνήσαῃ.*
Ibid. —— *ἐμεῖ.*] *Al. ἐμεῖο.*
Ibid. —— *ζωάγρι'.*] Τὰ ἀντὶ τῆς ζωῆς ἀμοιβήν. *Schol.* Vide suprà ad *ver.* 332.
Ver. 464. —— *θύγατερ.*] *Al. θυγάτηρ.*
Ver. 471. 477. 482. *Κήρυξ.*] Vide suprà ad *ver.* 47.
Ibid. —— *ἦλθε, ἄγων.*] *Al. ἦλθε, φέρων.*
Ver. 475. —— *ἀποπροταμών.*] *Al. ἀπὸ προταμών.*
Ver. 479. Πᾶσι γὰρ ἀνθρώποισιν — ἀοιδοὶ Τιμῆς ἠμαρσί εἰσι, &c.] Δ ὃν πάντας διδάσκει καὶ τίς Ὅμηρον ὡς ἴδιον καὶ αὐτὸς Μούσαις τε φίλον, καὶ μουσικώτατον, καὶ σοφώτατον, καὶ ἱστοροῦντα τιμῆς, ἃ ἴσως τίμιον· τοῦτο γὰρ ὁ τιμῆς ἄξι-

Τιμῆς ἔμμοροί εἰσι καὶ αἰδοῦς, οὕνεκ' ἄρα σφέας
Οἶμας Μοῦσ' ἐδίδαξε· φίλησε δὲ φῦλον ἀοιδῶν.
Ὡς ἄρ' ἔφη· κήρυξ δὲ φέρων ἐν χερσὶν ἔθηκεν
Ἡρωϊ Δημοδόκῳ· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Δὴ τότε Δημόδοκον προσέφη πολύμητις Ὀδυσσεύς·
Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων·
Ἦ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς παῖς, ἦ σέ γ' Ἀπόλλων·
Λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
Ὅσσ' ἔρξαν τ', ἔπαθόν τε, καὶ ὅσσ' ἐμόγησαν Ἀχαιοί·
Ὡς τέ που ἢ αὐτὸς παρεὼν, ἢ ἄλλου ἀπούσας.
Ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ ἵππου κόσμον ἄεισον

" Honoris compotes sunt et reverentiae; eò quòd ipsos
" Cantus Musa docuit: amavitque genus cantorum."
Sic dixit: praeco autem ferens in manibus posuit
Heroi Demodoco: is autem accepit, gaudebatque animo.
Illi verò ad cibos paratos appositos manus extenderunt.
Caeterùm postquam potùs et cibi desiderium exemissent,
Tum verò Demodocum allocutus est solers Ulysses:
" Demodoce, longè sanè te supra-mortales laudo omnes:
" Aut te Musa docuit, Jovis filia, aut te Apollo;
" Valdè enim accuratè Achivorum fatum canis,
" Quanta fecerint, passique sint, et quanta laborârint Achivi:
" Tanquam alicubi aut ipse praesens *fueris*, aut ab alio audieris.
" Verùm age jam perge, et equi apparatum canta

μους. *Eustath.* Vide suprà ad *ver.* 74. et infrà ad *ver.* 489.

Ver. 480. — οὕνεκ' ἄρα σφέας Οἶμας Μοῦσ' ἐδίδαξε.] Ὥσπερ διδασκὰς Ὁμηρος υἱὸς ἑαυτοῦ, μὴ τὶς αὐτὸν φῇ παρ' ἑτέρου τὰ μαθηκέναι, ἀλλὰ μὴ παρ' αὐτῶν τῶν Μουσῶν. *Aristides, Orat. pro Rhetor. Tom.* III. Σώφρον δὲ τὸ ἦν τὸ τῶν ἀοιδῶν γένος, καὶ φιλοσόφων διαθέσεων ἐπίχαρι —. Κοινῶς δὲ που πάντας τοὺς ἀοιδοὺς αἰδοίους τοῖς ἀνθρώποις εἶναι φησὶ· " τοὔνεκ' " ἄρα σφέας Οἶμας Μοῦσ' ἐδίδαξε, φίλησέ τε " φῦλον ἀοιδῶν." *Athenaeus, lib.* I. *cap.* 12.

Ver. 483. Ἡρωϊ.] Nonnulli habent Ἥρῳ. Vide suprà ad ζ', 303.

Ver. 487. —— ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων.] Ἔγωγε εἰς τὰς Ὁμήρου φωνὰς ἰμπίπτων, οὐκ ἔχω παρ' ἑμαυτοῦ τὸν ἄνδρα ἰσαίνεσθαι, ἀλλὰ κἀντεῦθεν δίκαιόμαι αὐτοῦ ἐπιδοῦναί μοι τῶν ἐπῶν, ἵνα μὴ διαφθείρω τὸν ἔπαινον ψιλῷ λόγῳ· — " ἔξοχα δή σε βροτῶν," ὦ Ὄμηρε, " αἰνίζομαι πάντων." Ἢ σέ γε Μοῦσα ἐδίδαξε, &c." *Maximus Tyrius, Dissertat.* XVI. haud longè ab initio.

Ver. 488. Ἦ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς παῖς, ἦ σέ γ' Ἀπόλλων.]

Ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα, καὶ κιθαρισταί.
Hesiod. Theogon. ver. 94.

Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
Id. Ἔργ. καὶ Ἡμερ. II, 280.

Caeterùm versum hunc malè vertit *Barnesius:* "*SIVE te Musa DOCUERIT, SIVE* " *Apollo.*"

Ibid. —— ἦ σέ γ' Ἀπόλλων.] De posterioris istius " σε" elegantiâ, vide suprà ad β', 326. et ad *Il.* γ, 409.

Ver. 489. 491. Λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις — Ὡς τέ που ἢ αὐτὸς παρεών.] Δῆλον δ' ὡς ἑαυτὸν ἐνστρέζει ὁ Ποιητὴς καὶ ἐν τούτοις, ὃς Θῆβις ἀοιδὸς εἶναι δοκεῖ· ὡς καὶ αὐτὸς ἐκ Μουσῶν καὶ Ἀπόλλωνος ἅδων ἐκείνα εἷς ὢν αὐτὸς παρῆν, οὕτι ἄλλου ἀνθρώπου πάρεστι χόντος ἤκουσεν εἰς τὸ πᾶν, ἀλλὰ μικραῖς τισὶν ἱστορίαις παρακολουθήσας, ἢ καὶ τὰ πᾶν ἐκ Μούσης μαθὼν, μεγάλα ἴγρανψε, διασπουάσας τὰ σμικρὰ σμάσμασι σφενεῖς. *Eustath.*

Ver. 492. Ἀλλ' ἄγε δὴ μετάβηθι.] Καὶ τὸν, Ὀδυσσέα τὸν μίαρωδὸν σφοστάττοντα σπουδήσειν, " Ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ ἵππου κόσμον

Δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
Ὅν ποτ' ἐς ἀκρόπολιν, δόλον, ἤγαγε δῖος Ὀδυσσεὺς,
Ἀνδρῶν ἐμπλήσας, οἳ Ἴλιον ἐξαλάπαξαν.
Αἴκεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,
Αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισιν,
Ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν.
Ὣς φάθ'· ὁ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ' ἀοιδήν,
Ἔνθεν ἑλὼν, ὡς οἱ μὲν ἐϋσσέλμων ἐπὶ νηῶν
Βάντες ἀπέπλειον, πῦρ ἐν κλισίῃσι βαλόντες,
Ἀργεῖοι· τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα
Εἵατ' ἐνὶ Τρώων ἀγορῇ, κεκαλυμμένοι ἵππῳ·
Αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν ἐρύσαντο.

" Ligneî, quem Epëus fecit cum Minervâ,
" Quem quondam in arcem, dolum, duxit nobilis Ulysses,
" Viris impletum, qui Ilium diripuerunt.
" Si jam mihi haec accuratè enarraveris,
" Statim ego omnibus edicam hominibus,
" Quòd sanè tibi benignus deus praebuerit divinum cantum."
Sic dixit: ille verò concitus à deo incipiebat, exhibebatque cantilenam,
Indè aggressus, quo pacto alii quidem benè-tabulatis navibus
Conscensis enavigârunt, igne in tentoria injecto,
Argivi: alii verò jam inclytum circum Ulyssem
Sedebant in Trojanorum coetu, tecti equo:
Ipsi enim eum Trojani in arcem protraxerant.

" ἄιστον," παλαῖς ὑφηγούμενος τὸ παρὰ τῶν σωφρόνων καὶ νοῦν ἐχόντων χρῆναι λαμβάνειν τοὺς μουσικοὺς καὶ ποιητικοὺς τὰς ὑποθέσεις. *Plutarch. de audiendis Poetis.*

Ibid. —— ἴστωρ —— Δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ.]

Φοιτᾷς Ἐπειὸς, μηχαναῖσι Παλλάδος,
Ἐγκύμον' ἵστωρ πευκίνοις ξυναρμόσας,
Πύργων ἵππωνα λινὸς ὀλίζειον βάρος.
Ὅθεν πρὸς ἀνδρῶν ὑστέρων πληθύσεται
Δούρειος ἵστωρ κρυπτὸν ἀμπίσχων δόρυ.
Euripid. Troad. ver. 10

Nec clàm *durateus* Trojaï Pergama partu
Inflammâsset *equus* nocturno Grajugenarum. *Lucret. lib.* I. *ver.* 477.

Instar montis equum, divina Palladis arte,
Ædificant; sectâque intexunt abiete costas. *Æn.* II, 15.

Θυμὸς ἐποτρύνῃ, καὶ ἐπιπνεύσωσιν ἄηται.
Αὐτὰρ ἐπὶ κρατὸς λιμένος ῥέει ἀγλαὸν ὕδωρ,
Κρήνη ὑπὸ σπείους· περὶ δ' αἴγειροι πεφύασιν.
Ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευε
Νύκτα δι' ὀρφναίην· οὐδὲ προὐφαίνετ' ἰδέσθαι·
Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ ἦν, οὐδὲ σελήνη
Οὐρανόθεν προὔφαινε· κατείχετο γὰρ νεφέεσσιν.
Ἔνθ' οὔτις τὴν νῆσον ἐσίδρακεν ὀφθαλμοῖσιν·
Οὔτ' οὖν κύματα μακρὰ κυλινδόμενα ποτὶ χέρσον
Εἰσίδομεν, πρὶν νῆας ἐυσσέλμους ἐπικέλσαι.
Κελσάσησι δὲ νηυσὶ, καθείλομεν ἱστία πάντα·
Ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης·
Ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν ἠῶ δῖαν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,

Neque anchoras jacere, neque rudentes alligare,
Sed qui-appulerint manere aliquandiù, donec nautarum
Animus impulerit, et aspirârint venti.
Caeterùm in vertice portùs fluit limpida aqua,
Fons sub specu: circùm autem populi nascuntur.
Huc descendebamus, atque aliquis deus ducebat
Noctem per obscuram: non enim apparebat, ut videretur;
Caligo enim circa naves densa erat, neque luna
E-coelo lucebat; obtegebatur enim nubibus.
Hîc nullus insulam vidit oculis;
Neque sanè fluctus magnos volutos ad littus
Vidimus, antequam naves bonis-transtris-instructae appulissent.
Appulsis autem navibus, collegimus vela omnia:
Egressi autem et ipsi sumus in littus maris;
Ibique somno-soluti expectavimus auroram divinam.
Quando autem manè-genita apparuit rosca-digitos Aurora,

Ver. 141. —— πιφύασιν.] Apud *Eustathium* in commentario, πεφύκασιν. Quod ferri non potest. Antepenultimam enim producit.

Ver. 143. —— οὐδὲ προὐφαίνετ' ἰδέσθαι· Ἀὴρ γὰρ παρὰ νηυσὶ.]

Nam neque erant astrorum ignes, nec lucidus æthrâ
Sidereâ polus; obscuro sed nubila cœlo,
Et Lunam in nimbo nox intempesta tenebat. *Æn.* III, 585.

Ver. 144. Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ ἦν.] Ὅτι δὲ ἀὴρ τὸ πρώτως σκοτεινὸν ἐστὶν, οὗτοι τοὺς στωικοὺς λίληθεν· ἀέρα γὰρ τὸ σκότος καλοῦσιν· "Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθὺς ἦν, οὐδὲ σελήνη "Οὐρανόθεν προὔφαινεν." *Plutarch. de primo Frigido.* Ubi notandum pro βαθεῖ ἦν, legisse hic *Plutarchum*, βαθὺς ἦν.

Ibid. —— παρὰ νηυσί.] Ita edidit *Barnesius* ex emendatione *Henrici Stephani*. Atque ita legit *Plutarchus* loco jam suprà citato. Vulgati habent, περὶ νηυσί.

Ver. 145. —— κατείχετο γὰρ νεφέεσσιν.] *Eustathius* in commentario citat, κατείχετο δὲ νεφέεσσι. Quod et ferri posset. Vide ad *Il.* ά, 51.

Ver. 149. Κελσάσησι δὲ νηυσὶ, καθείλομεν ἱστία.] Κελσάσησι δὲ νηυσὶ, ὅ ἐστι, κατ' ἀντίπτωσιν, προσπεσιλασῶν δὲ τῶν νηῶν. *Eustath.* Attamen æquè rectè, ut opinor, dicitur Κελσάσησι δὲ νηυσὶ, ac (si tulisset versus) Κελσασῶν δὲ νηῶν.

Ver. 151. —— ἀποβρίξαντες.] Ἐπὶ βορᾷ καὶ τροφῇ ἀποκοιμηθέντες. *Schol.*

Ibid. —— ἐμείναμεν ἠῶ δῖαν.] Similiterque infrà *ver.* 306. Vide ad *Il.* Ψ, 561.

Νῆσον θαυμάζοντες ἐδινεόμεσθα κατ' αὐτήν.
Ὦρσαν δὲ νύμφαι, κοῦραι Διὸς Αἰγιόχοιο,
Αἶγας ὀρεσκῴους, ἵνα δειπνήσειαν ἑταῖροι.
Αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους
Εἱλόμεθ' ἐκ νηῶν· διὰ δὲ τρίχα κοσμηθέντες
Βάλλομεν· αἶψα δ' ἔδωκε θεὸς μενοεικέα θήρην.
Νῆες μέν μοι ἕποντο δυώδεκα, ἐς δὲ ἑκάστην
Ἐννέα λάγχανον αἶγες· ἐμοὶ δὲ δέκ' ἔξελον οἶῳ.
Ὡς τότε μὲν πρόπαν ἦμαρ, ἐς ἠέλιον καταδύντα,
Ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα, καὶ μέθυ ἡδύ.
Οὐ γάρ πω νηῶν ἐξέφθιτο οἶνος ἐρυθρὸς,
Ἀλλ' ἐνέην· πολλὸν γὰρ ἐν ἀμφιφορεῦσιν ἕκαστοι
Ἠφύσαμεν, Κικόνων ἱερὸν πτολίεθρον ἑλόντες.
Κυκλώπων δ' ἐς γαῖαν ἐλεύσσομεν, ἐγγὺς ἐόντων,

Insulam admirantes, obambulabamus per eam.
Excitârunt verò Nymphae, filiae Jovis Aegiochi,
Capras montanas, ut prandium sumerent socii.
Continuò incurvos arcus et hastas longis-cuspidibus
Cepimus ex navibus: in-tres-partes autem dispositi
Jaculabamur; statim verò dedit deus copiosam venationem.
Naves quidem me sequebantur duodecim; in unamquamque autem
Novem sortitò-contigerunt caprae, mihi verò decem elegi soli.
Sic tum toto die, ad solis occasum,
Sedebamus epulantes carnes immensas, et vinum dulce.
Nondum enim ex navibus absumptum erat vinum rubrum,
Sed inerat; multum enim in amphoris singuli
Hausimus, Ciconum sacro oppido capto.
Cyclopum autem ad terram prospiciebamus, propè existentium,

Ver. 154 Ὦρσαν δὲ νύμφαι, κοῦραι Διὸς Αἰγιόχοιο, Αἶγας ὀρεσκῴους.]

——— tres littore cervos
Prospicit errantes: hos tota armenta sequuntur
A tergo, et longum per valles pascitur agmen. *Æn.* I, 188.

Ver. 155. —— δειπνήσειαν.] Vide suprà ad δ', 535.

Ver. 156. Αὐτίκα καμπύλα τόξα, &c.]

Constitit hîc, arcumque manu celeresque sagittas
Corripuit, fidus quæ tela gerebat Achates.
Ductoresque ipsos primùm capita alta ferentes
Cornibus arboreis sternit; tum vulgus et omnem
Miscet agens telis nemora inter frondea turbam. *Æn.* I, 191.

Ver. 159. —— ἐς δὲ ἑκάστην Ἐννέα λάγχανον αἶγες.] *Al.* ἐν δὲ ἑκάστῃ.

Nec priùs absistit, quàm septem ingentia victor
Corpora fundat humi, et numerum cum navibus æquet. *Æn.* I, 196.

Ver. 160. Ἐννέα λάγχανον αἶγες.] *Barnesius* legendum censet, Ἐννέα λάγχανον αἶγας· "Ut sit, ἐς ἑκάστην οἱ ἑταῖροι ἐλάγχανον ἐννέα "αἶγας, οἳ καὶ ἐμοὶ μόνῳ δέκα ἔξελον." Quod etsi ferri possit, mutato tamen nihil opus. Nam vox λαγχάνω, (quod *Barnesium* non omninò fugit,) alibi apud Poetam *Sorte* aut *contingere* aut *eligi* significat:

——— ἀλλ' ἐμὶ μὲν κῆρ
Ἀμφίχαπε στυγερὴ, ἣτις λάχε γιγνόμενόν περ. *Iliad.* Ψ', 78.

Οἱ δ' ἔλαχον τοὺς ἄν τε καὶ ἤθελον αὐτὸς ἑλέσθαι. Infrà *ver.* 334. hujus libri.

Quin et MSS. à *Tho Bentleio* collati hîc habent αἶγες.

Ver. 162. —— κρέα τ' ἄσπετα.] Apud *Athenæum, lib.* XII. *cap.* 1. κρέατ' ἄσπετα.

Ver. 165. 204. Ἠφύσαμεν —— ἀφύσας.] Vide suprà ad δ', 559.

Καπνόν τ', αὐτῶν τε φθογγὴν, οἰῶν τε, καὶ αἰγῶν.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος, μετὰ πᾶσιν ἔειπον·
"Ἄλλοι μὲν νῦν μίμνετ' ἐμοὶ ἐρίηρες ἑταῖροι·
Αὐτὰρ ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισιν
Ἐλθὼν, τῶνδ' ἀνδρῶν πειρήσομαι, οἵ τινές εἰσιν·
Ἦ ῥ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαισι,
Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
Ὣς εἰπὼν, ἀνὰ νηὸς ἔβην· ἐκέλευσα δ' ἑταίρους,
Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.
Οἱ δ' αἶψ' εἰσέβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον·
Ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἀλλ' ὅτε δὴ τὸν χῶρον ἀφικόμεθ', ἐγγὺς ἐόντα,
Ἔνθα δ' ἐπ' ἰσχατιῇ σπέος εἴδομεν, ἄγχι θαλάσσης,
Ὑψηλὸν, δάφνῃσι κατηρεφές· ἔνθα δὲ πολλὰ
Μῆλ', οἵς τε, καὶ αἶγες ἰαύεσκον· περὶ δ' αὐλὴ

Fumumque, ipsorumque vocem, oviumque, et caprarum.
Quando autem sol occidit, et tenebrae advenerunt,
Sanè tunc decubuimus in littore maris.
Quando autem manè-genita apparuit rosea-digitos Aurora,
Tum verò ego concione habitâ omnes allocutus sum:
" Alii quidem nunc manete mihi dilecti socii;
" At ego cum navi meâ et meis sociis
" Profectus, hos homines explorabo, quinam sint;
" An illi contumeliosi et agrestes, neque justi,
" An hospitales, et ipsis mens sit deorum-reverens."
Sic fatus, navem conscendi; jussique socios
Ipsosque conscendere, et rudentes solvere.
Illi verò continuò conscendebant, et per transtra sedebant;
Ordine autem sedentes canum mare verberabant remis.
Sed cùm jam in locum pervenissemus, propè existentem,
Hìc deinde in extremâ-parte speluncam vidimus, prope mare,
Excelsam, lauris contectam: ibi verò multa
Pecora, ovesque, et caprae quiescebant: circùm autem chors

Ver. 168. Ἦμος δ' ἠέλιος κατέδυ, —— Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι.]

Sol ruit interea, et montes umbrantur opaci.
Sternimur optatæ gremio telluris ad undam,
Sortiti remos, passimque in littore sicco
Corpora curamus: fessos sopor irrigat artus. *Æn.* III, 508.

Ver. 174. —— οἵ τινές εἰσιν· Ἦ ῥ' οἵγ' ὑβρισταί.]

Τίνες δ' ἔχουσι γαῖαν, ἢ θηρῶν γένος; *Euripid. Cyclops, ver.* 117.

Vide et suprà ad ζ', 119.

Ver. 177. —— ἀνὰ νηὸς ἔβην.] Ὅτι τὸ, ἀνὰ νηὸς βῆναι, περίθεσιν ἔχει ἀντὶ περιστάσεως, ὡς εἴπερ, ἐπὶ νηὸς βῆναι. *Eustath.* Malè: Quidni enim et scribere potuit *Homerus* ἐπὶ νηὸς ἔβην; Reverà istud, ἀνὰ νηὸς ἔβην, est νηὶ ἀνέβην. Quod et virum eruditum non ex toto fugit.

Ver. 181. —— ἰάυεσκε.] *Al.* ἰάυεσκον.

Ὑψηλὴ δέδμητο κατωρυχέεσσι λίθοισι,
Μακρῇσίν τε πίτυσσιν, ἰδὲ δρυσὶν ὑψικόμοισιν.
Ἔνθα δ' ἀνὴρ ἐνίαυε πελώριος, ὅς ῥά τε μῆλα
Οἷος ποιμαίνεσκεν ἀπόπροθεν· οὐδὲ μετ' ἄλλους
Πωλεῖτ', ἀλλ' ἀπάνευθεν ἐὼν ἀθεμίστια ᾔδη.
Καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον· οὐδὲ ἐῴκει
Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
Ὑψηλῶν ὀρέων, ὅτε φαίνεται οἷον ἀπ' ἄλλων.
Δὴ τότε τοὺς ἄλλους πελόμην ἑρίηρας ἑταίρους
Αὐτοῦ πὰρ νηΐ τε μένειν, καὶ νῆα ἐρύσθαι·
Αὐτὰρ ἐγὼ κρίνας ἑτάρων δυοκαίδεκ' ἀρίστους
Βῆν· ἀτὰρ αἴγειον ἀσκὸν ἔχον μέλανος οἴνοιο,
Ἡδέος, ὅν μοι ἔδωκε Μάρων, Εὐάνθεος υἱὸς,
Ἱρεὺς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφιβεβήκει·
Οὕνεκά μιν σὺν παισὶ περισχόμεθ', ἠδὲ γυναικὶ,
Ἁζόμενοι· ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι
Φοίβου Ἀπόλλωνος· ὁ δέ μοι πόρεν ἀγλαὰ δῶρα·

Excelsa aedificata erat excisis lapidibus,
Procerisque pinis, et quercubus altè-comantibus.
Hic autem vir habitabat ingens, qui scilicet pecora
Solus pascebat procul; neque cum aliis
Versabatur; sed seorsùm existens nefaria sciebat.
Etenim monstrum erat horrendum, neque similis-videbatur
Homini pane-vescenti, sed cacumini sylvoso
Excelsorum montium, cùm appareat solum ab aliis.
Atque tum caeteros jussi dilectos socios
Illic apud navemque manere, et navem custodire:
Ast ego, electis sociorum duodecim optimis,
Ivi; caeterùm caprinum utrem habebam nigri vini
Dulcis, quod mihi dederat Maron, Euanthei filius,
Sacerdos Apollinis, qui Ismarum tuebatur;
Quòd ipsum cum liberis tutati simus atque uxore,
Reverentiâ-moti; habitabat enim in luco arborifero
Phoebi Apollinis: ille utique mihi dedit pulchra dona;

Ver. 185. —— *κατωρυχέεσσι λίθοισι.*] Τοῖς ἐν τῇ γῇ ἐνεργυμένοις, ὃ ἐστὶ τεθεμελιωμένοις. *Schol.*

Ver. 186. —— *πίτυσσιν.*] *Al. πίτυσσι.*

Ver. 189. —— *ᾔδη.*] *Al. ᾖδει.*

Ver. 191. —— *ἀλλὰ ῥίῳ ὑλήεντι Ὑψηλῶν ὀρέων, ὅτε φαίνεται οἷον ἀπ' ἄλλων.*]

Abietibus juvenes patriis et montibus æquos. *Æn.* IX, 674.

Melior in hâc Similitudine *Homeri* quàm *Virgilii* Persona. Καὶ Ὅμηρος δὲ ἐπὶ τοῦ Κύκλωπος ἀεὶ ἐπαύξει τὴν ὑπερβολήν· "Οὐ γὰρ "ᾤκει Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι" καὶ περαίτερω ὑψηλοῦ ὄρους καὶ ὑπερφαινομένου τῶν ἄλλων ὀρῶν. Ἀεὶ γὰρ καί τι μεῖζόν ἐστι τὸ πρότερον, ἤπερ ἐστὶ φαίνεται, μειζόνων αὐτοῖς τῶν μετὰ ταῦτα ὑπιφερομένων. *Demetrius Phalereus, περὶ Ἑρμηνείας, § 52.*

Ver. 197. —— *ὅν μοι ἔδωκε Μάρων, Εὐάνθεος υἱός.*]

Καὶ μὴν Μάρων μοι πῶμ' ἔδωκε παῖς Θεοῦ. *Euripid. Cyclops, ver.* 141.

Ver. 198. Ἱρεὺς Ἀπόλλωνος.] Τὸ δὲ, Ἱρεὺς, ψιλοῦται κατὰ τινας Ἰωνικῶς, καθὰ καὶ τὸ ἱερὸς, ὁ ἱερεύς. *Eustath.* Sed hoc leviculum.

Ver. 199. Οὕνεκά μιν σὺν παισὶ περισχόμεθ'.] Τὸ δὲ "σὺν παισὶ περισχέμεθα" Ἀρίσταρχος "σὺν παιδὶ" γράφει ἐπικῶς. Περισχίσθαι δὲ, τὸ βοηθῆσαι καὶ περισπάσασθαι. *Eustath.*

Χρυσοῦ μέν μοι δῶκε συεργέος ἑπτὰ τάλαντα·
Δῶκε δέ μοι κρητῆρα πανάργυρον· αὐτὰρ ἔπειτα
Οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσσας,
Ἡδὺν, ἀκηράσιον, θεῖον ποτόν· οὐδέ τις αὐτὸν
Ἠείδει δμώων, οὐδ' ἀμφιπόλων ἐνὶ οἴκῳ,
Ἀλλ' αὐτός τ', ἄλοχός τε φίλη, ταμίη τε μί' οἴη.
Τὸν δ' ὅτε πίνοιεν μελιηδέα οἶνον ἐρυθρὸν,
Ἓν δέπας ἐμπλήσας, ὕδατος ἀνὰ εἴκοσι μέτρα
Χεῦ'· ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει,
Θεσπεσίη· τόθ' ἂν οὔτοι ἀποσχέσθαι φίλον ἦεν.
Τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν· ἐν δὲ καὶ ἤϊα
Κωρύκῳ· αὐτίκα γάρ μοι ὀΐσσατο θυμὸς ἀγήνωρ,
Ἀνδρ' ἐπελεύσεσθαι μεγάλην ἐπιειμένον ἀλκὴν,
Ἄγριον, οὔτε δίκας εὖ εἰδότα, οὔτε θέμιστας.
Καρπαλίμως δ' εἰς ἄντρον ἀφικόμεθ', οὐδέ μιν ἔνδον

Auri quidem mihi dedit elaborati septem talenta;
Dedit autem mihi craterem totum argenteum: caeterùm deinde
Vinum in amphoris duodecim in ipsis haustum,
Suave, incorruptum, divinum potum: neque quisquam illud
Nôrat famulorum, neque ancillarum in domo,
Sed ipseque, uxorque chara, promaque una sola.
Hoc autem quoties biberent dulce vinum rubrum,
Unum poculum qui-impleverat, aquae viginti mensuras
Infundebat; dulcis autem odor à cratere spirabat,
Divinus: tum nequaquam abstinere gratum fuisset.
Hujus ferebam impletum utrem magnum; itemque viatica
In perâ: statim enim mihi suspicatus est animus generosus,
Virum superventurum ingenti praeditum robore,
Agrestem, neque jura benè doctum, neque leges.
Celeriter autem in antrum venimus, neque ipsum intùs

Ver. 203. 204. Δῶκε δέ μοι —— οἶνον ἐν ἀμφιφορεῦσι.]

Vina bonus quæ deinde cadis onerârat Acestes
Littore Trinacrio, dederatque abeuntibus heros *Æn.* I, 199.

Ver. 204. —— ἀμφιφορεῦσι δυώδεκα πᾶσιν.] *Amphoris duodecim ipsis.* Vide ad *Il.* σ', 373. 470. et τ', 247.

Ver. 205. —— ἀκηράσιον.] Καλὸν, καὶ ἀδιάφθαρτον· ἢ ἀκίρατον. *Schol.*

Ver. 208. 209. Τὸν δ' ὅτε πίνοιεν ——, ὕδατος ἀνὰ εἴκοσι μέτρα Χεῦ'.] "*Maroneum* " [vinum] vicies tanto addito aquæ miscen- " dum Homerus prodidit. Durat etiam vis " eâdem in terrâ generi vigorque indomi- " tus. Quippè cùm Mutianus ter Consul " ex his qui nuperrimè prodidere, sextarios " singulos octonis aquæ misceri compere- " rat, præsens in eo tractu." *Plin. Natural. Hist. lib.* XIV. *cap.* 4.

Ver. 212. —— ἐν δὲ καὶ ἤϊα.] Πολλοὺς ἀκιφάλους ποιεῖ στίχους ["Ομηρος,] καὶ λαγαρούς, ἵνα δὲ μισθῶσιν ——. Μίσουσι δὲ τινὲς αἱ [χαλκότητα ἴχνεσι] ἐπὶ τῆς ἐλαφρότητος εἶδος, —— "Τοῦ " φέρον ἐμπλήσας ἀσκὸν μέγαν· ἐν δὲ καὶ ἤϊα." *Athenæus, lib.* XIV. *cap.* 8. Atqui vox "ἤϊα" hoc in loco enuntiabatur ac si scriptum fuisset ἦα. Uti et notavit *Barnesius.* Vide suprà ad ι, 266.

Ver. 213. —— αὐτίκα γάρ μοι θύμος ἀγήνωρ.] Ἀνδρ' ἐπελεύσεσθαι.] Versiones vulgatæ reddunt, "*mihi excitabatur animus* " *generosus Virum adire.*" Id quod neque cum vocis θύμος neque vocis ἐπελεύσεσθαι significatione ullo modo congruit. *Barnesius*, quem fere secutus sum, meliùs vertit; " *mihi expectabat animus generosus, Virum* " *adfuturum.*"

Ver. 216. —— οὐδέ μιν ἔνδον.] *Al.* οὐδέ τιν' ἔνδον.

Εὕρομεν, ἀλλ' ἐνόμευε νομὸν κατὰ πίονα μῆλα.
Ἐλθόντες δ' εἰς ἄντρον ἐθηεύμεσθα ἕκαστα·
Ταρσοὶ μὲν τυρῶν βρῖθον, στείνοντο δὲ σηκοὶ
Ἀρνῶν ἠδ' ἐρίφων· διακεκριμέναι δὲ ἕκασται
Ἔρχατο· χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι,
Χωρὶς δ' αὖθ' ἕρσαι· νᾶον δ' ὀρῷ ἄγγεα πάντα,
Γαυλοί τε, σκαφίδες τε, τετυγμένα, τοῖς ἐνάμελγεν.
Ἔνθ' ἐμὲ μὲν πρώτισθ' ἕταροι λίσσοντ' ἐπέεσσι,
Τυρῶν αἰνυμένους ἴέναι πάλιν· αὐτὰρ ἔπειτα
Καρπαλίμως ἐπὶ νῆα θοὴν ἐρίφους τε καὶ ἄρνας
Σηκῶν ἐξελάσαντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ·
Ἀλλ' ἐγὼ οὐ πιθόμην, (ἦτ' ἂν πολὺ κέρδιον ἦεν,)
Ὄφρ' αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη·
Οὐδ' ἄρ' ἔμελλ' ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι.

Invenimus; sed pascebat per pascua pinguia pecora.
Ingressi verò antrum admirabamur singula:
Calathi quidem caseis gravabantur; repleta autem erant stabula
Agnorum atque hoedorum; separatae verò singulae
Inclusae erant; seorsùm quidem grandiores-natu, seorsùm et aetate-mediae,
Seorsùm itidem recens-natae: natabant autem sero vasa omnia,
Mulctraliaque, scaphiaque, elaborata; quibus immulgebat.
Tum me quidem imprimis socii precabantur verbis,
Ut sumptis caseorum-*nonnullis* abiremus retrò; at deinde
Confestim ad navem celerem hoedosque et agnos
E stabulis agentes navigaremus salsam aquam:
Sed ego non parui, (certè multò satius fuisset;)
Donec ipsum viderem, et *experirer* si mihi hospitalia daret:
Neque sanè erat sociis visus amabilis futurus.

Ver. 219. Ταρσοί.] Οἱ καλαθίσκοι, ἐν οἷς τυροποιοῦσι, καὶ ἐκτυπούνται οἱ τυροί. *Schol.*

Ibid. —— σηκοί.] Αἱ μάνδραι καὶ στιβόλοι, ἐν οἷς συγκλείονται τὰ θρίμματα· ἢ καταδύσεις τῶν θρεμμάτων. *Schol.*

Ver. 222. —— ἕρσαι.] Αἱ πιειναὶ καὶ ἁπαλαὶ καὶ δροσώδεις, ἀπὸ τῆς ἕρσης· ἢ ἐνδιεῖς τῇ ἡλικίᾳ. *Schol.* "Quia ros est ἀσθενὴς καὶ ἀδρανὴς "ὁμῦρος, ideò rori comparantur quæ sunt "tenera et mollia ——. Æschylus quo- "que in Agamemnone, δρόσους nominat te- "neros avium pullos. —— Sed primus "omnium pater elegantiarum Homerus "ἕρσην, id est, rorem, tenellos agniculos vo- "cavit; —— χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ "μιτάσσαι, Χωρὶς δ' αὖτ' ἕρσαι· quasi dicat, "τὰ ἐρσώδη sive δροσώδη πρόβατα." *Casaubon. Annotat. in Athenæum, lib.* IX. *cap.* 8.

Ibid. —— ὀρῷ.] Τῷ διαφεροῦσι γάλακτι, ἢ τῇ ὑποστάθμῃ τοῦ γάλακτος· ὀρὸς γὰρ λέγεται, ἡ τοῦ γάλακτος ὑδατώδης ὑπόστασις. *Schol.*

Ver. 223. Γαυλοί.] Ἀγγεῖα θωμιπὰ σκαφιδῆ, εἰς ἃ οἱ τιμῆεις ἀμέλγοντες δέχονται τὸ γάλα. *Schol.*

Ibid. —— σκαφίδες τε.] Τὸ δὲ σκάφος ὠνομάσθη ἀπὸ τῆς σκαφίδος· καὶ τοῦτο δὲ ἐστὶν ἀμοίως ξύλινον στρογγύλον, γάλα καὶ ὀρὸν δεχόμενον· ὡς καὶ παρ' Ὁμήρῳ λέγεται, "νᾶον δ' "ὄρῳ ἄγγεα πάντα, Γαυλοί τε, σκαφίδες τε, "τετυγμένα, τοῖς ἐνάμελγεν." *Athenæus, lib.* XI. *cap.* 14.

Ibid. —— τοῖς ἐνάμελγεν.] *Scholiastes* videtur legisse τοῖσιν ἀμέλγεν.

Ver. 225. Τυρῶν αἰνυμένους.] *Sumptis caseorum nonnullis.* Ut rectè *Eustathius. Al.* Τυρῶν ἀχθομένους· notante eodem.

Ibid. et *ver.* 232. —— αἰνυμένους —— αἰνύμενοι.] Vide ad *Il.* γ', 260.

Ver. 228. Ἀλλ' ἐγὼ οὐ πιθόμην.] Ἐμμελὴς δὲ καὶ χαρίεις ἡ λήθη τινὰ καθ' αὑτοῦ λέγων, ἢ ἄγνοιαν, ἢ φιλοτιμίαν, ἢ πρός τινὰ μαθήματα καὶ λόγους ἀκρίσιν. Ὡς Ὀδυσσεύς, —— "Ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον "ἦεν." *Plutarch. de Sui Laude.*

Ver. 230. Οὐδ' ἄρ' ἔμελλ'.] Vide infrà ad Ψ', 266. et ad *Il.* ν', 314.

Ἔνθα δὲ πῦρ κείαντες ἐθύσαμεν· ἠδὲ καὶ αὐτοὶ
Τυρῶν αἰνύμενοι φάγομεν· μένομέν τέ μιν ἔνδον
Ἥμενοι, ἕως ἐπῆλθε νέμων· φέρε δ' ὄβριμον ἄχθος
Ὕλης ἀζαλέης, ἵνα οἱ ποτιδόρπιον εἴη.
Ἔκτοσθεν δ' ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκεν· 235
Ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ' ἐς μυχὸν ἄντρου.
Αὐτὰρ ὅγ' εἰς εὐρὺ στόμ ἤλασε πίονα μῆλα
Πάντα μάλ', ὅσσ' ἤμελγε· τὰ δ' ἄρσενα λεῖπε θύρηφιν,
Ἀρνειούς τε, τράγους τε, βαθείης ἔκτοθεν αὐλῆς.
Αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας, 240
Ὄβριμον· οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἄμαξαι
Ἐσθλαὶ, τετράκυκλοι, ἀπ' οὐδεος ὀχλίσσειαν·

Tum verò igne accensâ sacrificavimus; et ipsi
E-caseis sumentes comedimus, expectabamusque ipsum intùs
Sedentes, donec venit pascens: ferebat autem ingens onus
Ligni aridi, ut ei ad-coenam esset.
Extra autem antrum dejiciens strepitum fecit; 235
Nos verò perterriti diffugimus in recessum antri.
Ast ille in latam speluncam egit pinguia pecora,
Omnia prorsùs, quae mulgebat: mares autem reliquit foris,
Arietesque, hircosque, altam extra chortem.
Caeterùm deinde admovit operculum ingens altè sublatum, 240
Grave: non illud duo et viginti currus
Fortes, quaternis-rotis, à solo dimovissent:

Ver. 231. Ἔνθα δὲ πῦρ κείαντες ἐθύσαμεν. Καὶ περὶ τοῦ Θυσιάσθαι δὲ, ἃ δὲ ποτὲ ἡμᾶς, διδάσκει πάλιν Ὅμηρος, ἀπαρχὰς τῶν βρωμάτων νέμειν τοῖς Θεοῖς. Οἱ γοῦν περὶ τὸν Ὀδυσσέα, καίτοι ὄντες ἐν τῷ τοῦ Κύκλωπος σπηλαίῳ, " Ἐνθάδε πῦρ κείαντες ἐθύσαμεν, ἠδὲ καὶ αὐτοὶ " Τυρῶν αἰνύμενοι φάγομεν." *Athenæus, lib.* IV. *cap.* 27.

Ibid. —— κείαντες.] *Al.* κήαντες.

Ibid. —— ἐθύσαμεν.] *Barnesius* ex Editionum vetustiorum nonnullis edidit ἐμείναμεν. " Quomodo enim," inquit, " imparati in " Antro alieno sacrificarent, de rebus non " suis?" Verùm, uti notat *Henricus Stephanus*, si ita legas, parùm aptè sequetur istud " μένομέν τέ μιν ἔνδον," *ver.* 232. Id quod nec ipsum *Barnesium* fugit. Sed et aptiùs congruere videtur ἐθύσαμεν cum sequenti " ἠδὲ καὶ αὐτοὶ Τυρῶν αἰνύμενοι φάγομεν." Ex parte nimirùm sacra faciebant, partem ipsi comedebant. Neque dissimilem loquendi rationem usurpat Poeta, *Iliad.* ζ', 239.

Ὡς σπείσῃς Διΐ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι
Πρῶτον· ἔπειτά δὲ σ' αὖτις ἐνήσεται, αἴκε σίῃσθα.

Porrò *Athenæus* loco suprà citato legit ἐθύσαμεν, itemque *Eustathius* in commentario, ubi alterius lectionis ne meminit quidem.

Ver. 233. Ἥμενοι, ἕως ἐπῆλθε.] Enuntiabatur ac si scriptum fuisset ἧσαι ἐπῆλθε, vel ἧς ἐπῆλθε. Vide suprà ad δ', 90.

Ver. 235. Ἔκτοσθεν δ' ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκεν.] Vide ad *Il.* γ', 363. et δ', 452.

Ver. 236. Ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ' ἐς μυχὸν ἄντρου.]

Ἄλλοι δ', ὅπως ὄρνιθες, ἐν μυχοῖς πίτυος
Πτῆξαντες ἴσχον, αἷμα δ' οὐκ ἐπῆν χροΐ.
Euripid. Cyclops, ver. 406.

Ver. 240. —— ἐπέθηκε θυρεόν.] Pronuntiabatur θυρεῶν.

Ver. 241. —— οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἅμαξαι.] Vide suprà ad *ver.* 191.

Ver. 242. Ἐσθλαὶ, τετράκυκλοι.] Si vera sit hæc lectio, tum vox τετράκυκλοι *secundam* producet eâdem ratione ac πεμπώβολα, διώτιδες, *Iliad.* ζ', 62. α', 174. et διαμπερὲς, infrà *ver.* 291. hujus libri. Cùm verò vox τετράκυκλοι occurrat, *Il.* ά, 324. syllabis duobus prioribus correptis; *Barnesius* hoc in loco ex conjecturâ edidit, τετρακυκλοι· eodem modo ac dicitur τετραφάλοιο, *Il.* ψ', 703.

Τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρῃσιν.
Ἕζόμενος δ' ἤμελγεν ὄϊς καὶ μηκάδας αἶγας,
Πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἦπεν ἑκάστῃ.
Αὐτίκα δ' ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος,
Πλεκτοῖς ἐν ταλάροισιν ἀμησάμενος κατέθηκε·
Ἥμισυ δ' αὖτ' ἔστησεν ἐν ἄγγεσιν, ὄφρα οἱ εἴη
Πίνειν δαινυμένῳ, καί οἱ ποτιδόρπιον εἴη.
Αὐτὰρ ἐπειδὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
Καὶ τότε πῦρ ἀνέκαιε, καὶ εἰσιδεν, εἴρετο δ' ἡμέας·
Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
Ἦ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε,
Οἵά τε λῃστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται
Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;
Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτε κατεπλάσθη φίλον ἦτορ,

Tantam excelsam petram admovit ostio.
Sedens autem mulgebat oves et balantes capras,
Omnia ritè, et foetum submisit singulis.
Statim autem dimidium ubi-coagulâsset albi lactis,
Textilibus in calathis constructum reposuit:
Dimidium verò rursùs constituit in vasibus, ut sibi esset
Ad-potandum epulanti, et sibi ad-coenam foret.
At postquam expediisset obiens sua opera,
Tum verò ignem accendebat, et aspexit, interrogabatque nos:
" O hospites, quinam estis? undè navigatis humidas vias?
" Nunquid ad negotiationem; an temerè erratis,
" Tanquam praedones super mare, qui errant,
" Animas periculo-objectantes, malum alienigenis ferentes?'
Sic dixit: nobis autem statim confractum est charum cor,

Ver. 243. —— ἠλίβατον πέτρην ἐπέθηκε θύρῃσιν.]

—— saxo occultabat opaco.
Æn. VIII, 211.

Ver. 245. —— ὑπ' ἔμβρυον ἦπεν.] Ὑπέθηκεν ἔμβρυον. Ὅμηρος γὰρ, ὑπεναντίον τῇ συνηθείᾳ, βρέφος μὲν λέγει τὸ κατὰ γαστρός· ἔμβρυον δὲ, νεογνὸν, ἢ τὸ τίκτον. *Schol.* Vide ad *Il.* Ψ', 266.

Ver. 246. —— θρέψας.] Τὸ δὲ, θρέψας, ἀντὶ τοῦ πήξας· ὅθεν καὶ τροφαλὶς τυρός. *Eustath.* Vide ad *Il.* ι, 903.

Ibid. —— λευκοῖο γάλακτος.] Ἐν μὲν γὰρ ποιήσει σφίσι γάλα λευκὸν μίσγων· ἐν δὲ λόγῳ τὰ μὲν [ὑπέθηκα] ἀφιστίστερα· τὰ δὲ, ἂν ᾖ κατασχεῖν, ἐξελίσσεται καὶ ποιεῖ φανερὸν ὅτι ποίησις ἐστίν. *Aristot. Rhetoric. lib.* III. *cap.* 3.

Ver. 249. Πίνειν δαινυμένῳ.] *Eustathius* in comment. ad *ver.* 225. citat Πίνειν αἰνυμένῳ. Atque ita habet MS. à *Tho. Bentleio* collatus.

Ibid.—ποτιδόρπιον εἴη.] *Al.* ποτιδόρπιον αὐτῷ.

Ver. 250. —— ἐπειδὴ.] *Al.* ἐπὶ δή.

Ver. 251. Καὶ τότε πῦρ ἀνέκαιε.]

Ἀνέκαυσε μὲν πῦρ πρῶτον ——
Euripid. Cyclops, ver. 382.

Ver. 252. Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;]

—— ὦ ταλαίπωροι ξένοι,
Τίνες πότ' εἰσίν; ——
Euripid. Cyclops, ver. 39.

—— πόθεν ἐκλύσασθ' ὦ ξένοι;
Πεδαστοί; —— *Ibid. ver.* 274.

Sed vos qui tandem? quibus aut venistis ab oris?
Æn. I, 373.

Vide suprà ad γ, 71. 74. ubi occurrunt hi quatuor versus 252. 255. *Nestoris*que ibi personæ etiam aptiùs quàm hîc *Cyclopis* conveniunt. Καὶ κεῖται, φασὶν οἱ Παλαιοὶ, κάλλιον ἐνταῦθα [γ', 71. &c.] οἱ στίχοι ἐκεῖνοι. Διὸ καὶ ἀστηρίκτως ὧδε προσκεῖσθαι αὐτῶν, δι' ὧν τὰ ἴπη ἐκφέρονται. *Eustath.*

Ver. 253. —— κατὰ πρῆξιν.] Vide suprà ad γ', 72, et ad *Il.* ν', 192.

Ver. 254. —— τοί τ' ἀλόωνται.] *Al.* μαχεόνται.

Ver. 256. — ἡμῖν δ' αὖτε κατεπλάσθη φί-

Δεισάντων φθόγγον τε βαρὺν, αὐτόν τε πέλωρον.
Ἀλλὰ καὶ ὣς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
Ἡμεῖς τοι Τροίηθεν ἀποπλαγχθέντες Ἀχαιοὶ
Παντοίοις ἀνέμοισιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης,
Οἴκαδε ἱέμενοι, ἄλλην ὁδὸν, ἄλλα κέλευθα
Ἤλθομεν· οὕτω που Ζεὺς ἤθελε μητιάασθαι.
Λαοὶ δ' Ἀτρείδεω Ἀγαμέμνονος εὐχόμεθ' εἶναι,
Τοῦ δὴ νῦν γε μέγιστον ὑπουράνιον κλέος ἐστί·
Τόσσην γὰρ διέπερσε πόλιν, καὶ ἀπώλεσε λαοὺς
Πολλούς· ἡμεῖς δ' αὖτε κιχανόμενοι τὰ σὰ γοῦνα
Ἱκόμεθ', εἴτι πόροις ξεινήϊον, ἠὲ καὶ ἄλλως
Δώῃς δωτίνην, ἥτε ξείνων θέμις ἐστίν.
Ἀλλ' αἰδοῖο, φέριστε, θεοὺς· ἱκέται δέ τοι εἰμέν·

Timentibus sonitumque gravem, ipsumque monstrosum.
Sed et sic ipsum verbis respondens alloquebar:
" Nos quidem à-Trojâ devii-acti Achivi
" Variis ventis super ingentes fluctus maris,
" Domum petentes, aliâ viâ, aliis itineribus
" Venimus: sic nimirùm Jupiter voluit constituere.
" Populi autem Atridae Agamemnonis gloriamur esse,
" Cujus sanè nunc maxima sub-coelo gloria est:
" Tantam enim diripuit urbem, et perdidit populos
" Multos: nos autem demùm procumbentes ad tua genua
" Supplicamus, si quod praebeas hospitale-munus, sive etiam alitèr
" Donum des; qui utique hospitum mos est.
" Sed verere, optime, deos; supplices nempè tibi sumus:

λον ἦτορ, Διισάντων &c.] Ὅρα δὲ τὸ, " ἡμῖν " δὲ κατακλάσθη ἦτορ διισάντων·" ὅτις εἰ καὶ σολοικισμὸν δοκεῖ, ἀλλ' ὅμως σέφρασται καὶ αὐτὸ καταλλήλως τῷ καιρῷ καὶ τῇ διαλήψει· — Καὶ νῦν μὲν ἡ ἐναλλαγὴ ἀπὸ δοτικῆς γίγνεται εἰς γενικήν· ἀλλαχοῦ δὲ, ἀνάπαλιν ἀπὸ γενικῆς εἰς δοτικήν· ὡς ἐν τῷ, " Ὡς τῶν ὕπνος ἀπὸ βλε- " φάρων ἔλυτο, Νύπτα φυλασσομένοισι" [*Iliad.* κ', 187.] Καὶ, " Ἀχιλλῆος ὀλοὸν κῆρ " γαθεῖ φόνον Ἀχαιῶν διεκαμέν." [*Il.* ξ', 139.] ἄμφω γὰρ " διεκαμέων" εἴρηται. Καὶ, " Τῆς δ' αὖτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ, Σή- " μαν' ἀναγνύσας" [*Odyss.* ψ', 205. 206.] Τὸ τοίνυν, " διισάντων," οὐκ ἐν εἴη, ὡς ἰρρίφη, σόλοικον, οὐ μόνον διὰ τὸ καὶ μιμητικῶς, φρασθῆναι καὶ ἀντιστατικῶς, ἀλλὰ καὶ διότι ἀσφαλεῖς οἱ πλαγιασμοὶ πρὸς σύνταξιν καὶ ἀσόλοικοι. *Eustath.* Vide suprà ad ζ', 155. et infrà ad ψ', 205.

Ver. 259. Ἡμεῖς τοι Τροίηθεν ἀποπλαγχθέντες.]

——— Ἰλίου δ' ἀπὸ
Πέρσαντες ἔσσυ, πνεύμασιν θαλασσίοις
Σὴν γαῖαν ἐξωσθέντες ἥκομεν, Κύκλωψ.
Euripid. Cyclops, ver. 276.

Ver. 260. ——— ὑπὲρ μέγα λαῖτμα θαλάσσης.] Τὸ δὲ " ὑπὲρ μέγα λαῖτμα," ἢ ἀντὶ τῆς κατὰ περίεισιν κεῖται, ἢ ἀντιστατικῶς ἰρρίφη ἀντὶ τοῦ, ὑπὲρ ἄνω μεγάλου κύματος. *Eustath.* At quidni tam rectè hoc in loco dicatur, ὑπὲρ μέγα λαῖτμα, quàm ὑπὲρ ἅλα, suprà *ver.* 254.? Aut quidni scribere potuisset Homerus " κατὰ μέγα λαῖτμα," si ita dictum oportuisset?

Ver. 262. ——— μητιάασθαι.] Nonnulli, notante *Scholiaste*, legunt μητίσασθαι.] Quibuscum facit et MS. à *Tho. Bentleio* collatus. " Rectiùs (inquit *Barnesius*) μητίσασθαι." Immò verò minùs rectè. Vide ad *Il.* α', 48.

Ver. 265. ——— διίσχεται.] *Al.* δὴ ἴσχεται.

Ver. 268. ——— ἦτι.] *Al.* ἦτις.

Ver. 269. ——— αἰδοῖε, φέριστε, θεοὺς· ἱκέται δὲ &c.] Ita *Apollonius*:

Ἀλλ' ἱκέται ξείνοιο Διὸς τίνειν αἰδέσασθε
Ξείνιον, ἱκτείοι τε· Διὸς δ' ἄμφω ἱκέται τε
Καὶ ξεῖνοι· ὁ δὲ πᾶσι καὶ ὑπέρτερος ἄμμι τέτυκται.
Argonautic. lib. II. *ver.* 1134.

Et Oraculum Jovis *Dodonaei*, apud *Pausaniam*:

Μηδ' ἱκέτας ἀδίκει· ἱκέται δ' ἱερόν τι καὶ ἄγγελοι.
Achaïc. lib. VII. *cap.* 25. sub initio.

Ibid. — αἰδοῖε.] *Al.* αἰδῖε. Uti *Il.* ω, 503.

Ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε, ξείνων τε,
Ξείνιος, ὅς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμείβετο νηλέϊ θυμῷ·
Νήπιος εἶς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας,
Ὅς με θεοὺς κέλεαι ἢ δειδίμεν, ἢ ἀλέασθαι.
Οὐ γὰρ Κύκλωπες Διὸς Αἰγιόχου ἀλέγουσιν,
Οὐδὲ θεῶν μακάρων· ἐπεὶ πολὺ φέρτεροι εἰμέν.
Οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος κεφιδοίμην,
Οὔτε σεῦ, οὔθ' ἑτάρων, εἰ μὴ θυμός με κελεύει.
Ἀλλά μοι εἶφ', ὅπη ἔσχες ἰὼν εὐεργέα νῆα·
Ἦ που ἐπ' ἐσχατιῆς, ἢ καὶ σχεδόν, ὄφρα θαείω.
Ὣς φάτο πειράζων· ἐμὲ δ' οὐ λάθεν εἰδότα πολλά·
Ἀλλά μιν ἄψορρον προσέφην δολίοις ἐπέεσσι·
Νέα μέν μοι κατέαξε Ποσειδάων ἐνοσίχθων,
Πρὸς πέτρῃσι βαλὼν, ὑμῆς ἐπὶ πείρασι γαίης,

" Jupiter autem ultor est supplicumque, hospitumque,
" Hospitalis, qui hospites simul venerandos comitatur."
Sic dicebam; ille verò mihi rursùs respondit saevo animo:
" Stultus es, ò hospes, vel longè advenisti,
" Qui me deos jubes aut timere, aut observare.
" Non enim Cyclopes Jovem Aegiochum curant,
" Neque deos beatos, quoniam multò praestantiores sumus.
" Neque ego Jovis inimicitias evitans pepercerim,
" Neque tibi, neque sociis, nisi animus me jubeat.
" Sed mihi dic, ubi appuleris huc-profectus fabrè-factam navem;
" An alicubi ad extremam-oram, an et propè, ut sciam."
Sic dixit tentans: me autem non latuit scientem multa;
Sed ipsum vicissim allocutus sum dolosis verbis:
" Navem quidem mihi confregit Neptunus terrae-quassator,
" Ad scopulos conjectam; vestrae ad fines terrae,

Ver. 270. Ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε, ξείνων τε.]

Jupiter, (hospitibus nam te dare jura loquuntur.) *Æn.* I, 731.

Ver. 274. —— δειδίμεν.] *Al.* δειδίμεν.

Ver. 275. Οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλίγουσιν.]

Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε·
Οὐδ' οἶδ' ὅτι Ζεὺς ἐστ' ἐμοῦ κρείσσων θεός.
Οὔ μοι μέλει τὸ λοιπόν. ——————
Euripid. Cyclops, ver. 319.

—————— ille immitis, et ipsis
Horrendus sylvis, et visus ab hospite nullo
Impunè, et magni cum Dis contemptor Olympi.
Ovid. Metam. lib. XIII. *ver.* 760.

Ibid. —— Διὸς αἰγιόχου ἀλίγουσιν.] Ἀστεῖος ὢν ὁ Πολύφημος, διαβάλλει καὶ τοὺς λοιποὺς· ὅτε γὰρ ἐκεῖνοι οὐκ ἦσαν ἄθλιοι, παρίστησιν ὁ Ποιητὴς, λέγων [infrà *ver.* 411.] " Νοῦσόν γ' οὕτως ἐστὶ " Διὸς μεγάλου ἀλίασθαι." *Schol.* Verùm hoc (ut opinor) ab iis dici potuit, etsi Deorum negligentes fuerint. Vide et suprà ad *ver.* 107.

Ver. 282. —— ἄψορρον προσέφην.] Τουτέστιν ἐμπαλὶν ὧν φάσας ἐλάλησεν. *Eustath.* Minùs rectè. Nihil enim (ut opinor) aliud sonat vox ἄψορρον quàm *iterùm*, sive *vicissim*. Vide infrà ad *ver.* 501.

Ver. 283. Νέα μέν μοι κατέαξε.] " *Anapæstus*" (inquit *Barnesius*) " in *Primo* loco. Ἔνθα τὸ " Νέα μέν μοι" ἀνάπαιστον ἔχει πόδα ἐν καταρχῇ στίχου. *Eustath.* Minùs rectè uterque. Pronuntiabatur enim Νᾶ μέν μοι κατέξε &c. Vide suprà ad β', 289.

Ἄκρῃ προσπελάσας· ἄνεμος δ' ἐκ πόντου ἔνεικεν·
Αὐτὰρ ἐγὼ σὺν τοῖσδε ὑπέκφυγον αἰπὺν ὄλεθρον.
Ὣς ἐφάμην· ὁ δέ μ' οὐδὲν ἀμείβετο νηλεὲϊ θυμῷ·
Ἀλλ' ὅγ' ἀναΐξας ἑτάροις ἐπὶ χεῖρας ἴαλλε·
Σὺν δὲ δύω μάρψας, ὥστε σκύλακας, ποτὶ γαίῃ
Κόπτ'· ἐκ δ' ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.
Τοὺς δὲ διαμελεϊστὶ ταμὼν ὡπλίσσατο δόρπον·
Ἤσθιε δ', ὥστε λέων ὀρεσίτροφος, οὐδ' ἀπέλειπεν
Ἔγκατά τε, σάρκας τε, καὶ ὀστέα μυελόεντα.
Ἡμεῖς δὲ κλαίοντες ἀνεσχέθομεν Διῒ χεῖρας,
Σχέτλια ἔργ' ὁρόωντες· ἀμηχανίη δ' ἔχε θυμόν.

" Promontorio impactam; ventus autem ex ponto tulit:
" At ego cum hisce effugi arduam perniciem."
Sic dicebam: ille autem mihi nihil respondit saevo animo:
Sed ipse impetu-facto sociis manus inferebat;
Simulque duos correptos, tanquam catulos ad terram
Illidebat: cerebrum autem humi fluebat, irrigabatque terram.
His verò membratim dissectis apparavit coenam:
Vorabat autem, quemadmodum leo montanus; neque relinquebat
Intestinaque, carnesque, et ossa medullis-plena.
Nos verò flentes sustulimus Jovi manus,
Misera opera videntes; desperatio autem tenebat animum.

Ver. 285. — *προσπελάσας.*] Vide ad *Il. ά*, 140.

Ibid. —— *ἄνεμος δ' ἐκ πόντου ἔνεικεν.*]

Ἀνέμων θύελλαι διῶξέ μ' ἥρπασαν βίᾳ.
Euripid. Cyclops, ver. 109.

Ver. 288. Ἀλλ' ὅγ' ἀναΐξας ἑτάροις ἐπὶ χεῖρας ἴαλλε· Σὺν δὲ δύω μάρψας.]

—— ῥῶτε συμμάρψας δύω,
Ἔσφαξ' ἑταίρων τῶν ἐμῶν ῥυθμῷ τινι·
Τὸν μὲν λίσητος εἰς κύτος χαλκήλατον,
Τὸν δ' αὖ τένοντος ἁρπάσας ἄκρου ποδὸς,
Παίων πρὸς ἐξὸν γ' ὄντυχα πετρώδη λίθου,
Ἐγκέφαλον ἐξέῤῥαντι. ——
Euripid. Cyclops, ver. 396.

—— vidi bina meorum
Ter quater affligi sociorum corpora terræ.
Quæ super ipse jacens, hirsuti more leonis, [dullis,
Visceraque, et carnes, oblisisque ossa me-
Semianimesque artus avidam condebat in alvum.
Ovid. Metam. lib. XIV. *ver.* 205.

Vidi egomet, duo de numero cùm corpora nostro
Prensa manu magnâ, medio resupinus in antro
Frangeret ad saxum, sanieque aspersa natarent [tia tabo
Limina: vidi, atro cùm membra fluentia tabo
Manderet, et tepidi tremerent sub dentibus artus.
Æn. III, 625.

Quem locum *Macrobius* inter eos recenset, *in quibus Virgilius Homerici carminis majestatem non æquet.* " Narrationem facti," inquit, " nudam et brevem Maro posuit; " contrà Homerus *σάφος* miscuit, et dolo- " re narrandi invidiam crudelitatis æqua- " vit." *Lib.* V. *cap.* 13. *Scaliger* tamen hoc in loco *Virgilium Homero* superiorem contendit. *Poetic. lib.* V. *cap.* 3.

Ver. 289. Σὺν δὲ δύω μάρψας, ὥστε σκύλακας.] Ἀριστοφάνων δὲ περὶ πίτυας ἀνθρώπων ψόφον τι καὶ μέρος αἰκτρὸν ἐνδιανύμενος, ἐπὶ τῶν ἀνδριστάτων τι καὶ παροφωνοτάτων χρονιεῖ γραμμάτων, οὐδαμῆ λαλίων τὴν κατασκευήν, οὐδὲ ἡδύνων. " Σὺν δὲ δύω μάρψας, ὥστε σκύλα- " κας, ποτὶ γαίῃ κόπτ'· ἐκ δ' ἐγκέφαλος χα- " μάδις ῥέε, δεῦε δὲ γαῖαν." *Dionys. Halicarn. περὶ συνθέσεως*, § 16.

Ver. 291. —— διαμελεϊστὶ ταμών.] *Strabo, Geograph. lib.* II. *pag.* 137. *al.* 83. citat, διαμμελιϊστί. Sed nihil opus. *Secundam* enim producere potest haec vox eâdem ratione ac *παρὰπαν, διὰπαντός &c.* Vide ad *Il. π'*, 174. *Al. διὰ μελιϊστὶ ταμών.* Quod est μελιστὶ διατεμών.

Ver. 295. —— ἀμηχανίη δ' ἔχε θυμόν.] *Al.* ἀμηχανίη δ' ἴχε θυμοῦ.

Sævit *inops animi.* —— *Æn.* IV, 300.

Αὐτὰρ ἐπεὶ Κύκλωψ μεγάλην ἐμπλήσατο νηδύν,
Ἀνδρόμεα πρέ' ἔδων, καὶ ἐπ' ἄκρητον γάλα πίνων,
Κεῖτ' ἔντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων.
Τὸν μὲν ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμὸν,
Ἆσσον ἰών, ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἦπαρ ἔχουσιν,
Χεῖρ' ἐπιμασσάμενος· ἕτερος δέ με θυμὸς ἔρυκεν.
Αὐτοῦ γάρ κε καὶ ἄμμες ἀπώλομεθ' αἰπὺν ὄλεθρον·
Οὐ γάρ κεν δυνάμεσθα θυράων ὑψηλάων
Χερσὶν ἀπώσασθαι λίθον ὄβριμον, ὃν προσέθηκεν.
Ὡς τότε μὲν στενάχοντες ἐμείναμεν ἠῶ δῖαν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Καὶ τότε πῦρ ἀνέκαιε, καὶ ἤμελγε κλυτὰ μῆλα
Πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἦκεν ἑκάστῃ.
Αὐτὰρ ἐπειδὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
Σὺν δ' ὅγε δ' αὖτε δύω μάρψας ὡπλίσσατο δεῖπνον.

Caeterùm postquam Cyclops magnum implevisset ventrem,
Humanas carnes comedens, et insuper merum lac bibens,
Jacebat intra antrum extensus inter pecora,
Hunc quidem ego volui, magnanimo in animo,
Propiùs accedens, gladio acuto stricto à femore,
Vulnerare ad pectus, ubi praecordia hepar circumdant,
Manu admotâ: aliud autem me consilium retinebat.
Ibidem enim et nos periissemus saevâ morte:
Non enim potuissemus ab ostio excelso
Manibus amovere saxum grave, quod admoverat.
Ita tum quidem ingemiscentes expectabamus auroram divinam.
Quando verò manè-genita apparuit rosea-digitos Aurora,
Tum verò ignem accendebat, et mulgebat egregia pecora
Omnia ritè, et foetum submisit singulis.
At postquam expedlisset obiens sua opera,
Simul ille rursùs duobus correptis apparavit prandium.

Ver. 296. Αὐτὰρ ἐπεὶ Κύκλωψ μεγάλην ἐμπλήσατο νηδύν.]

——simul expletus dapibus, vinoque sepultus. *Æn.* III, 630.

Ibid. ——ἐμπλήσατο νηδύν.] Notandus hîc primigenius Vocis *Mediæ* usus. Ἔμπλησεν, *alius*; Ἐμπλήσατο, *suum implevit ventrem.* Sic suprà *ver.* 291. ἐκπλήσσατο· *Sibi ipse paravit.* Et infrà *ver.* 298. τανυσσάμενος· *Quum se ipse extenderat.* Vide suprà ad *i.* 491. *Al.* ἐπλήσατο νηδύν.

Ver. 298. Κεῖτ' ἔντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων.] Τὸ μίγιδος αὐτοῦ ἐμφανίζων. *Athenæus, lib.* VII. *cap.* 1. Ἐμφαντικῶς δὲ ἐδήλωσε τὸ μίγιδος. *Schol.* Vide infrà ad *ver.* 372.

Ver. 299. Τὸν μὲν ἐγὼ βούλευσα.] Τὰ μὲν τοιαῦτα καὶ συνήθη κατὰ λόγον περαινόμενα, τῷ ἐφ' ἡμῖν ἀποδιδόασι· καὶ λίγει δήπου πολλάκις, "Αὐτὰρ ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμόν." *Plutarch. in Coriolano.* Ubi in transcursu notandum, quod jam legimus Τὸν μὲν ἐγὼ, legisse *Plutarchum* aut memoriter citâsse, Αὐτὰρ ἐγὼ &c.

Ver. 301. Οὐτάμεναι.] Vide ad *Il.* Φ, 68.

Ver. 305. ——λίθον ὄβριμον, ὃν προσέθηκεν.] Suprà *ver.* 240.

Ver. 311. Σὺν δ' ὅγε δ' αὖτε.] Ita Vulgati et hîc, et infrà *ver.* 344. ubi idem versus occurrit; atque ita in commentario citat *Eustathius*; "Evidenti," inquit *Barnesius*, "errore; cum τὸ Δὶ bis occurreret "frustrà." Ideoque ipse quidem edidit Σὺν δ' ὦδι γ' αὖτε. Sed nullis adductis codicibus, nullâ allatâ auctoritate. Propiùs

Δειπνήσας δ' ἄντρου ἐξήλασε πίονα μῆλα,
Ῥηϊδίως ἀφελὼν θυρεὸν μέγαν· αὐτὰρ ἔπειτα,
Ἄψ ἐπέθηκ', ὡς εἴτε φαρέτρῃ πῶμ' ἐπιθείη.
Πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα
Κύκλωψ· αὐτὰρ ἐγὼ λιπόμην κακὰ βυσσοδομεύων,
Εἴπως τισαίμην, δώῃ δέ μοι εὖχος Ἀθήνη.
Ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ,
Χλωρὸν, ἐλαΐνεον· τὸ μὲν ἔπαμεν, ὄφρα φορείη
Αὐανθέν· τὸ μὲν ἄμμες ἐΐσκομεν εἰσορόωντες,

Pransus autem, ex antro egit pinguia pecora,
Facilè amoto operculo ingenti: at deinde
Rursùs admovit, veluti si pharetrae operculum imponeret.
Multo autem strepitu ad montem agebat pinguia pecora
Cyclops: caeterùm ego relictus eram mala profundè-cogitans,
Si quo pacto ulciscerer, daretque mihi gloriam Pallas.
Hoc autem mihi in animo optimum videbatur consilium:
Cyclopis enim jacebat ingens clava ad stabulum,
Viridis, oleagina; hanc quidem exciderat, ut ferret
Arefactam; eam et nos *tantam*-imaginabamur inspicientes,

---

ad Vulgatam lectionem accedit quod habet Editio *Oxoniensis* hîc, itemque *Elzeviriana* infrà *ver.* 344. notante *Barnesio*; Σὺν δ' ἴομι αὖτε. Cæterùm MS. à *Tho. Bentleio* collatus legit cum vulgatis Σὺν δ' ἴομι δ' αὖτε.

Ibid. —— δώσειν.] *Al.* δόρπον. Ex *ver.* 291. suprà.

Ver. 312. Διαπήσας.] Vide suprà ad γ', 535.

Ver. 314. —— ὡς εἴτε φαρέτρῃ πῶμ' ἐπιθείη.] Καὶ ἴρα τὸ σύντομον τῆς παραβολῆς, καὶ τὸ ἐντεῦθεν παίριον. Οὐ γὰρ πρᾶγμα παρέβαλε πράγματι, τὴν φαρέτραν δηλαδὴ τῷ μιγάλῳ σπηλαίῳ· ἦν γὰρ ἂν ψυχρὸς ὁ λόγος διὰ τὸ ἐν σμικροστομίᾳ κακόζηλον· ἀλλ' ἐνέργειαν ἐντεῦθεν ἐπιζητῶ· τὸ βᾶρος δηλαδὴ τοῦ ἐπισωμασμοῦ τῆς φαρέτρας τῷ ἄκρῳ τοῦ σπηλαίου συγκλεισμῷ. Καὶ οὐκ ἦν εἰς πλέον διασπουδάσαι τὴν παραβολήν. *Eustath.* Vide suprà ad *ver.* 191.

Ver. 317. —— δοίη.] Apud *Eustathium* in commentario, δοίη.

Ver. 318 et 424. Ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.]

Hæc alternanti potior sententia visa est.
Æn. IV, 287.

Cæterùm (uti et notat *Barnesius*) mirè hîc et ineptè de rationibus, cur *Cyclopem* non interfecerit *Ulysses*, disserit *Spondanus*: " Tamne leviter, inquies, sex sociorum ex- " cidium ulciscitur? Immo, inquam —— " majus est damnum Cyclopi cæcitas, quàm " si vita illi fuisset adempta. Illo siquidem " pacto acerba illi vita est reddita, lucis as- " pectu privata; ita ut innumeras mortes " in unâ vitâ patiatur. Sanè hanc consilii " Ulyssei causam esse ausim contendere, " licèt ab ipso Poetâ non exprimatur." Et infrà in annotationibus ad *ver.* 523. " Nam " cur non potuerit Polyphemum Ulysses " interficere? Sanè perindè id facilè fuisse " existimo, atque oculum effodere." Mirè, inquam, cæcutisse videtur Vir eruditus. Apertissimè enim rationem hujus rei reddit Poeta suprà *ver.* 305. " Αὐτοῦ γάρ τι καὶ " ἔμμεν ἀκωλόμεθ', *&c.*" Καὶ ἦν μὲν ἰσχὺς ἐστιῶν [ἀπλῶν αὐτὸν] τοῦ ἐκτυφλῶσαι· ὅτι δὲ εὐκ ἦν ἁλῶναι ὅτι σωθῆναι, διὰ τὸν πωμάζοντα ἡλίσασαν λίθον τοῦ θυρεοῦ, δυσὶ ἔργοις γνῶναι σοφωτέρας φρονήσεις τῆς κατὰ τὴν τύφλωσιν, καὶ οὕτω περισωζῆναι. *Eustath.* ad *ver.* 290.

Ver. 319. Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον.]

Ἀκρέμων ἐλαίας ἐστὶν ἐν δόμοισι τὶς,
Ὃν φασγάνῳ τῷδ' ἐξαπυξώσας ἄκρον,
Εἰς ὥρᾳ καθήσω ——————.
Euripid. Cyclops, ver. 454.

Ver. 320. ——— τὸ μὲν ἔπαμεν.] Τὸ δὲ, ἔκταμεν, εἰ ἀκριβίσειεν, ἔκτεμεν, γράφουσι. Ἔχρην γὰρ, φασὶ, τὸν τηλικοῦτον Κύκλωπα, καὶ αὐτόκτιτον [αὐτόκτιτον] ἐκτάσαι τὸ ξύλον. *Eustath.* Quam lectionem et præfert Dna. *Dacier.*

Ὅσσον δ' ἰστὸν νηὸς ἐεικοσόροιο μελαίνης,
Φορτίδος, εὐρείης, ἥτ' ἐπιπρέᾳ μέγα λαῖτμα·
Τόσσον ἦεν μῆκος, τόσσον πάχος εἰσοράασθαι.
Τῷ μὲν ὅσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα παραστὰς,
Καὶ παρέθηχ' ἑτάροισιν, ἀποξῦναι δ' ἐπέλευσα.
Οἱ δ' ὁμαλὸν ποίησαν· ἐγὼ δ' ἐθόωσα παραστὰς
Ἄκρον, ἄφαρ δὲ λαβὼν ἐπυράκτεον ἐν πυρὶ κηλέῳ.
Καὶ τὸ μὲν εὖ κατέθηκα καταπρύψας ὑπὸ κόπρῳ,
Ἥ ῥα κατὰ σπείους πέχυτο μεγάλ' ἤλιθα πολλή.
Αὐτὰρ τοὺς ἄλλους κληρῳ πεπαλάχθαι ἄνωγον,
Ὅστις τολμήσειεν ἐμοὶ σὺν μοχλὸν ἀείρας,
Τρίψαι ἐν ὀφθαλμῷ, ὅτε τὸν γλυκὺς ὕπνος ἱκάνοι.
Οἱ δ' ἔλαχον, τοὺς ἄν κε καὶ ἤθελον αὐτὸς ἑλέσθαι,
Τέσσαρες, αὐτὰρ ἐγὼ πέμπτος μετὰ τοῖσιν ἐλέγμην.

Quantus utique malus navis viginti-remis-agitatae nigrae,
Onerariae, latae, quae scilicet trajicit ingens pelagus:
Tanta erat longitudo, tanta spissitudo, aspectu.
Ab-hâc quidem, quantum ulna *est*, ego abscidi astans,
Et apposui sociis, laevigareque jussi.
Hi verò laevem fecerunt; ego autem acui astans
Summum: statimque prehensam aduriebam in igne ardente.
Et hanc quidem benè deposui reconditam sub stercore,
Quod per speluncam fusum erat admodùm densè multum.
At caeteros sortè sortiri jussi,
Quinam auderet mecum vectem sublatum
Terere in oculo, quando eum dulcis somnus occuparet.
Hi autem sorte-electi-sunt, quos utique et voluissem ipse eligere,
Quatuor, ast ego quintus cum his delectus sum.

Ver. 322. Ὅσσον δ' ἰστὸν νηός.] Vide suprà ad *ver.* 191.

Ver. 325.—ὄργυιαν ἐγὼν ἀπέκοψα.] Ἐκτιταμένον τῶν χειρῶν τὸ διάστημα ὄργυια ἐστί. *Schol.*

Ver. 327. —— ἐγὼ δ' ἐθόωσα.] Ἕτερος τρόπος ἐστὶν, ἡ παλαιμένη Μιτάληψις, κατὰ συνωνυμίαν σημαίνουσα τραῦγμα διάφορον· — Συνωνυμεῖ τὸ θοὸν τῷ ὀξύ· ὀξὺ δὲ οὐ μόνον, τὸ κατὰ κέντρον ταχὺ ἐστὶν, ἀλλὰ καὶ τὸ κατὰ σχῆμα προηγούμενον εἰς λεπτότητα. Τοιοῦτόν ἐστι καὶ τό, "—— ἐγὼ δὲ θόωσα παραστάς." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7. Vide infrà ad ὁ, 298.

Ver. 329. —— ὑπὸ κόπρῳ] Nonnulli, notante *Eustathio*, hîc scribunt ὑπὸ κόπρου.

Ver. 331. Αὐτὰρ τοὺς ἄλλους κλήρῳ πεπαλάχθαι.] Τῶν γὰρ ἄλλων οὐκ ἐχρῆν ἐπιλαγὴν γενέσθαι ἄλλως ἢ διὰ τοῦ κληρώσασθαι, ἵνα μήτε οἱ λειφθέντες φονήσωσι, μήτε οἱ πρακρεθέντες μέμψωνται, ὡς ἐπιλεγέντες εἰς κίνδυνον. *Eustath.*

—— nos, magna precati
Numina, sortitique vices—*Æn.* III, 633.

Ibid. —— πεπαλάχθαι.] *Al.* πεπαλάσθαι.

Ver. 332. Ὅστις τολμήσειεν.]

Ἄγε, τίς τρῶτος; τίς δ' ἐπὶ τρώτῳ
Ταχεῖς, δαλοῦ κόπην ἐχμάσας,
Κύκλωπος ἴσω βλεφάρων ὤσας,
Λαμπρὰν ὄψιν διαπαύσει;
Euripid. Cyclops, ver. 481.

Ver. 333. Τρίψαι ἐν ὀφθαλμῷ.] Δοκεῖ δὲ ὁ ῥητὴς Κύκλωψ φύσει μὲν δύο ἔχειν ὀφθαλμοὺς, εἶγε καὶ ἐν ταῖς ἑξῆς ἱεῖ "Ὁμηρος βλέφαρα καὶ ὀφρύας εἶναι αὐτῷ· κατὰ δὲ τινὰ αἰτίαν εἶκὸς προαπολωλέναι αὐτῷ τὸν ἕτερον ὀφθαλμόν. Εἰ δὲ γε κυκλοτερὴς ὀφθαλμὸς εἶς, κατὰ τὸν Ἡσίοδον μῦθον, καὶ τῷ τοῦ Κύκλωπος στόματι ἐνέκειτο, οὐκ ἂν ἐσίγησε τὴν ἰδιότητα ὁ Ποιητής. *Eustath.* ad *ver.* 187. Quæ conjectura videtur singularis.

Ibid. —— ἐν ὀφθαλμῷ.] *Al.* ἐπ' ὀφθαλμῷ.

Ver. 334. —— τοὺς ἄν κε καὶ ἤθελον.] *Eustathius* in commentario citat, οὓς ἂν καὶ ἤθελον. Quæ fortè et verior lectio. Nam in Vulgatis alterum vocabulorum ἄν, κε, omninò supervacuum videtur.

Ver. 335. —— ἐλέγμην.] *Eustathius* citat ἐλίχθην.

Ἑσπέριος δ' ἦλθεν καλλίτριχα μῆλα νομεύων.
Αὐτίκα δ' εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα
Πάντα μάλ'· οὐδέ τι λεῖπε βαθείης ἔκτοθεν αὐλῆς,
Ἤ τι ὀϊσσάμενος, ἢ καὶ θεὸς ὥς ἐκέλευεν.
Αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας,
Ἑζόμενος δ' ἤμελγεν ὄϊς καὶ μηκάδας αἶγας.
Πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστῃ·
Αὐτὰρ ἐπειδὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
Σὺν δ' ὄγε δ' αὖτε δύω μάρψας ὑπλίσσατο δόρπον.
Καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων ἄγχι παραστάς,
Κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος οἴνοιο·
Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα·
Ὄφρ' εἰδῇς, οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκεύθει
Ἡμετέρη· σοὶ δ' αὖ λοιβὴν φέρον, εἴ μ' ἐλεήσας
Οἴκαδε πέμψειας· σὺ δὲ μαίνεαι οὐκ ἔτ' ἀνεκτῶς.
Σχέτλιε, πῶς κέν τίς σε καὶ ὕστερον ἄλλος ἵκοιτο

Vespertinus autem rediit pulchra-velleribus pecora pascens:
Continuò verò in latam speluncam egit pinguia pecora
Omnia prorsùs; neque ullum relinquebat altam extra chortem,
Sive quid suspicatus, sive etiam deus sic jusserit.
At deinde admovit operculum ingens altè sublatum,
Sedensque mulgebat oves et balantes capras,
Omnia ritè, et foetum submisit singulis:
Caeterùm postquam expedilsset obiens sua opera,
Simul utique ille rursùs duobus correptis apparavit coenam.
Et tum ego Cyclopem alloquebar propè astans,
Poculum in manibus tenens nigri vini:
" Cyclops, accipe, bibe vinum, postquam comedisti humanas carnes:
" Ut scias, qualem utique potum hunc navis reconditum habuerat
" Nostra; tibi autem porrò libamen ferebam, si-fortè me miseratus
" Domum mitteres: tu verò furis non ampliùs tolerabilitèr.
" Inique, quomodo quisquam ad te in-posterum alius accedat

Ver. 337. 341. Αὐτίκα δ' εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα — Ἑζόμενος δ' ἤμελγεν.]

——— cavo Polyphemus in antro
Lanigeras claudit pecudes, atque ubera pressat. *Æn.* III, 641.

Ver. 339. Ἤ τι ὀϊσσάμενος, ἢ καὶ θεὸς ὥς ἐκέλευεν.] *Plutarchus*, loco suprà ad *i*, 427. adducto, et hunc versum citat. Pro Ἤ τι autem legit ille Ἦτοι· et pro ἐκέλευεν, ἐκέλευσε.

Ver. 344. Σὺν δ' ὄγε δ' αὖτε.] Vide suprà ad *ver.* 311.

Ver. 345. 346. —— προσηύδων —— Κισσύβιον μετὰ χερσὶν ἔχων.]

——— ἐμολήσας σπέος
Μάρνως αὐτοῦ, τῷδε προσφέρω πιεῖν,
Λίγων τάδ' —— *Euripid. Cyclops, ver.* 410.

Ver. 346. Κισσύβιον μετὰ χερσὶν ἔχων.] Vide *Athenæum, lib.* XI. *cap.* 2. 7.

Ver. 347. Κύκλωψ, τῆ, πίε οἶνον.] [Ἰησοκλῆς] τίς δικαστήριον ἀχθεὶς, ἐτύστιτο τὰς ἐξ ἀνθρώπων πληγάς· ῥίμμενος δὲ τῷ αἵματι βάψας κοιλὴν τὴν χεῖρα προσαίνει τὸν δικαστὴν, ἅμα λέγων, " Κύκλωψ, τῆ, πῖ οἶνον, ἐπεὶ φάγες " ἀνδρόμεα κρέα." *Suidas, in voce* Ἰησοκλῆς.

Ibid. —— τῆ, πίε οἶνον.] Vide ad *Il.* ξ', 219. Καὶ ὅρα καὶ τὸν λόγον τοῦτον τῷ Ὀδυσσεῖ διπλολογίᾳ τι παραμύνον καὶ οἰκτῳ, ἅτι δὴ καὶ πολλαπλασιασμόν. *Eustath.*

Ibid. —— πίε οἶνον.] Apud *Suidam*, loco suprà citato, πῖ οἶνον. Vide infrà ad π', 143.

Ibid. κρέα.] Pronuntiabatur κρᾶ.

Ver. 348. Ὄφρ' εἰδῇς οἷόν τι πότον.]

Σκέψαι τόδ' οἷος Ἑλλὰς ἁμπέλων ἀπὸ
Θεῖον κομίζει πῶμα, Διονύσου γάνος.
Euripid. Cyclops, ver. 413.

Ἀνθρώπων πολέων; ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας.
Ὣς ἐφάμην· ὁ δ' ἕδεκτο καὶ ἔκπιεν· ἤσατο δ' αἰνῶς
Ἡδὺ ποτὸν πίνων· καί μ' ἤτεε δεύτερον αὖτις·
Δός μοι ἔτι πρόφρων, καί μοι τεὸν οὔνομα εἰπὲ 355
Αὐτίκα νῦν, ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίροις.
Καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα
Οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει·
Ἀλλὰ τόδ' ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.
Ὣς ἔφατ'· αὐτάρ οἱ αὖτις ἐγὼ πόρον αἴθοπα οἶνον. 360
Τρὶς μὲν ἔδωκα φέρων, τρὶς δ' ἔκπιεν ἀφραδίῃσιν.
Αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἦλυθεν οἶνος,
Καὶ τότε δή μιν ἔπεσσι προσηύδων μειλιχίοισι·
Κύκλωψ, εἰρωτᾷς μ' ὄνομα κλυτόν; αὐτὰρ ἐγώ τοι
Ἐξερέω· σὺ δέ μοι δὸς ξείνιον, ὥς περ ὑπέστης· 365
Οὖτις ἐμοι γ' ὄνομ' ἔστ'· Οὖτιν δέ με κικλήσκουσι

" Ex hominibus multis? quoniam non rectè fecisti."
Sic dicebam: is autem accepit et ebibit; delectatusque est vehementèr
Dulcem potum bibens; et à-me petebat secundò rursùs:
" Da mihi adhuc lubens, et mihi tuum nomen dic 355
" Statim nunc; ut tibi dem hospitale-munus, quo tu gaudeas.
" Etenim Cyclopibus fert alma terra
" Vinum ex-magnis-uvis, et ipsis Jovis imber dat-incrementum:
" Verùm hoc ambrosiae et nectaris est latex."
Sic dixit: at ei rursùs ego dedi generosum vinum: 360
Ter quidem praebui ferens, ter autem *is* ebibit stultitiâ.
Caeterùm postquam Cyclopi circa mentem venit vinum,
Tunc utique ipsum verbis alloquebar blandis:
" Cyclops, interrogas me nomen inclytum? at ego tibi
" Dicam; tu autem mihi da hospitale-munus, ut scilicet pollicitus es: 365
" Outis mihi nomen est: Outin verò me vocant

Ver. 353. —— ἔκπιεν.] Ita edidit *Barnesius* ex *Eustathio*, et ex ver. 361. infrà, ubi omnes ἔκπιεν habent. Rectè, ut opinor. Cumque *Barnesio* facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* hoc in loco, ἔπιεν.

Ver. 354. —— αὖτις.] *Al.* αὖθις.

Ver. 355. —— καί μοι τεὸν οὔνομα εἰπέ.]

Σὺ δ', ὦ ξέν, εἰπὲ τοὔνομ', ὅ, τί σε χρὴ καλεῖν.
Euripid. Cyclops, ver. 545.

Ver. 356. —— χαίροις.] *Al.* χαίρῃς.

Ver. 358. —— καί σφιν Διὸς ὄμβρος ἀέξει.] Vide suprà ad γ', 477 et 581.

Ver. 360. —— αὐτάρ οἱ αὖτις ἐγὼ πόρον.]

Ἠσθίετ' αὐτὸν ὡς ἐπῃσάμην ἐγὼ,
Ἄλλην ἴδοιμι πύλικα ——.
Euripid. Cyclops, ver. 419.

Ver. 361. —— τρὶς δ' ἔκπιεν ἀφραδίῃσιν.] Οὗτος [Ἀνάχαρσις] τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυς· τὸν πρῶτον, ἡδονῆς· τὸν δεύτερον, μέθης· τὸν τρίτον, ἀηδίας. *Diog. Laërt. lib.* I. in *Anacharside.*

Ver. 365.—ὥς περ ὑπέστης.] Suprà ver. 356.

Ver. 366. Οὖτις ἐμοι γ' ὄνομ' ἔστ'.] *Al.* ἐμοι γ' ὄνομα. Porrò hinc (notante *Duporto* in *Gnomologiâ*) apud *Theocritum*, in Poemate quod inscribitur Σύριγξ, *Penelope* appellatur " Οὐδενὶς ἰὠκάτιρα."

Ibid. — Οὖτιν δέ με κικλήσκουσι Μήτηρ, ἠδὲ πατήρ.] " Ulyssem se in suâ peregrinatione " Outin appellàsse, ex Homero demonstra- " tur; quærenti enim de ipsius nomine Po- " lyphemo respondet, Οὖτις ἐμοι γ' ὄνομ' ἐστ', " Οὖτιν δέ με κικλήσκουσι Μήτηρ ἠδὲ πατήρ, " ἠδ' ἄλλοι πάντες ἑταῖροι. In quo Giphà- " nius, aliique interpretes Auctoris judicio " egregiè falluntur, qui ita vertunt: *Nemo* " *mihi nomen est, Neminem enim vocant mater* " *atque pater atque omnes socii.* Si enim οὔτις

Μήτηρ, ἠδὲ πατὴρ, ἠδ' ἄλλοι πάντες ἑταῖροι.
Ὣς ἐφάμην· ὁ δέ μ' αὖτις ἀμείβετο νηλεὲϊ θυμῷ·
Οὖτιν ἐγὼ πύματον ἕδομαι μετὰ οἷς ἑτάροισι,
Τοὺς δ' ἄλλους πρόσθεν· τόδε τοι ξεινήϊον ἔσται.
Ἦ, καὶ ἀναπλιν θεὶς πέσεν ὕπτιος· αὐτὰρ ἔπειτα
Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα· καδδέ μιν ὕπνος
Ἥρει παυδαμάτωρ· φάρυγος δ' ἐξέσσυτο οἶνος,

" Mater atque pater, et omnes alii socii."
Sic dixi; ille verò mihi rursùs respondebat inclementi animo:
" Outin ego postremum edam post suos socios,
" Caeteros autem priùs; hoc tibi hospitale-munus erit.
Dixit, et recumbens cecidit supinus: at deinde
Jacebat inflexâ crassâ cervice; et illum somnus
Capiebat omnium-domitor; è gutture verò erumpebat vinum,

" reddi deberet *nemo*, Ulysses utique in accusativo οὔτινα, non οὔτιν dicere debuisset. " Et quamvis Giphanio favere videatur, " quod Polyphemus paulò pòst coram vicinis suis conqueritur; [infrà *ver.* 408.] " Ὦ φίλοι, οὔτις μέ κτείνει δόλῳ, οὐδὲ βίηφι· " quod ita interpretatur Giphanius; *Amici! nemo me interfecit dolo, neque viribus:* attamen utrobique et in voce οὔτις, et οὐδὲ, insignis iterùm error committitur. Non enim scribendum hîc οὐδὲ, *neque*, sed duabus vocibus separatim positis οὐ δὲ, *non verò*, ut sensus sit; *Outis me afflixit dolo, non verò viribus.* Quæ interpretatio cum reliquis quæ hæc circumstant omnium optimè convenire videtur; quoniam prorsùs nullam causam, quamobrem Polyphemus ita conqueritur, comminisci possumus, si à nemine neque dolo neque vi læsus fuerit." *Acta Eruditorum, Supplement. Tom.* VII. *Sect.* 1. Vide infrà ad *ver.* 408. Ἵνα μὴ ἐπιστήσας τυχὸν ὁ Πολύφημος τῷ παραλογισμῷ, γνῷ " οὖτις" τὸν σύνθετον ἐκ δύο λέξεων τοῦ " οὐ" καὶ τοῦ " τις," ὅπερ οὐ βούλεται Ὀδυσσεὺς, ἐπάγει αἰτιατικὴν ἐν ἀπλότητι, ἤγουν ἀσύνθετον, λέγων· " Οὖτιν δέ μι κικλήσκουσι, &c." ὡς ἀπὸ εὐθείας τῆς Οὖτις, Οὔτιδος, οὗ αἰτιατικὴ, τὸν Οὖτιν. *Eustath.* Cæterùm fuerunt qui Ulyssem non sibi hoc nomen finxisse existimârint: Ὅτι Ὀδυσσεὺς, διότι ὕστερα μεγάλα ἴσχυε, Οὖτις πρότερον ἐκαλεῖτο. *Ptolemæus Hephæstio, apud Acta Eruditor.* loco jam suprà citato. Sed hoc satis videtur inficetum; præcipuè quum ait Poeta, infrà *ver.* 413.

——— ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ,
Ὡς ὄνομ' ἐξαπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων.

Ver. 368.——αὖτις.] *Al.* αὐτίς.

Ver. 369. Οὖτιν ἐγὼ πύματον ἕδομαι μετὰ οἷς ἑτάροισι.]

Πάντων σ' ἑταίραν ὕστερον θοινάσομαι.
Euripid. Cyclops, ver 547.

Ver. 370.—τόδε τοι ξεινήϊον ἔσται.] Πρῶτός τι εὑρεκίναι δοκεῖ ["Ομηρος] φοῦσῆας χάριτας· ὅσπερ τὸ ἐπὶ τοῦ ἀχαριστοτάτου προσώπου, τὸ ἐπὶ τοῦ Κύκλωπος· τὸ οὖν, " Οὖτιν ἐγὼ πύματον " ἕδομαι," τοὺς δὲ λοιποὺς πρώτους, τὸ τοῦ Κύκλωπος ξένιον. Οὐ γὰρ οὕτως αὐτὸν ἐπιφητις δεινὸν ἐκ τῶν ἄλλων, ὅταν δὲ διακρῆ ἑταίρους, οὐδ' ἀπὸ τοῦ θυρεοῦ, ἢ ἐκ τοῦ ῥοπάλου, ὡς ἐκ τούτου τοῦ ἀστείσμοῦ. *Demetr. Phaler.* περὶ Ἑρμηνείας, § 130. Οὐ πάνυ μὲ ἡ τοῦ Κύκλωπος ἐκείνη εὐφράινει δωρεὰ, τὸ ὑπισχνεῖσθαι ὅτι πύματον ἐγὼ τὸν Οὖτιν κατέδομαι. *Lucian.* Κατάπλους, ἢ Τύραννος. Porrò hinc apud *Erasmum*, Proverbium, " *Cyclopis Donum.*"

Ver. 372. Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα.]

Cervicem inflexam posuit, jacuitque per antrum
Immensus, saniem eructans ac frusta cruento
Per somnum commixta mero———.
Æn. III, 631.

Quem locum *Macrobius* inter eos recenset, in quibus " *Virgilius Homerici carminis* " *majestatem non æquet.*" *Lib.* V. *cap.* 13. *Quinctilianus* verò magnam in hoc *Virgilii* loco *Emphasin* notat. " Idem [*Virgilius*] " Cyclopa cùm jacuisse dicit per antrum, " prodigiosum illud corpus spatio loci mensus est." *Lib.* VIII. *cap.* 3. Vide suprà ad *ver.* 298. Ἐν τι τῇ Θεογονίᾳ ἐπὶ τοῦ Κρόνου Ὀρφεὺς ποιήσας " Κεῖτ' ἀποδοχμώσας πα" χὺν αὐχένα, καδδὲ μιν ὕπνος Ἥρει πα" δαμάτωρ———·" ταῦτα δὲ Ὅμηρος ἐπὶ τοῦ Κύκλωπος μετέθηκεν. *Clemens Alexandrinus Strom.* VI.

Ibid.———ἀποδοχμώσας.] Πλαγιώσας· δεχμὲς γὰρ τὸ πλάγιον. *Schol.*

Ibid.——παχὺν αὐχένα.] *Macrobius, lib.* V. *cap.* 13. citat, πλατὺν αὐχένα.

Ver. 373.——φάρυγος δ' ἐξέσσυτο οἶνος, Ψωμοί τ' ἀνδρόμεοι.]

Ψωμοί τ' ἀνδρόμεοι· ὁ δ' ἐρεύγετο οἰνοβαρείων.
Καὶ τότ' ἐγὼ τον μοχλὸν ὑπὸ σποδοῦ ἤλασα πολλῆς,
Εἵως θερμαίνοιτο· ἔπεσσί τε πάντας ἑταίρους
Θάρσυνον, μήτις μοι ὑποδδείσας ἀναδύῃ.
Ἀλλ' ὅτε δὴ τάχ' ὁ μοχλὸς ἐλάϊνος ἐν πυρὶ μέλλεν
Ἀψασθαι, χλωρός περ ἐών, διεφαίνετο δ' αἰνῶς,
Καὶ τότ' ἐγὼν ἆσσον φέρον ἐκ πυρὸς, ἀμφὶ δ' ἑταῖροι
Ἵσταντ'· αὐτὰρ θάρσος ἐνέπνευσεν μέγα δαίμων.
Οἱ μὲν, μοχλὸν ἑλόντες ἐλάϊνον, ὀξὺν ἐπ' ἄκρῳ,
Ὀφθαλμῷ ἐνέρεισαν· ἐγὼ δ' ἐφύπερθεν ἀερθείς
Δίνεον· ὡς δ' ὅτε τις τρυπᾷ δόρυ νήϊον ἀνὴρ
Τρυπάνῳ, οἱ δέ τ' ἔνερθεν ὑποσσείουσιν ἱμάντι
Ἀψάμενοι ἑκάτερθε, τὸ δὲ τρέχει ἐμμενὲς αἰέν·
Ὡς τοῦ ἐν ὀφθαλμῷ πυριήκεα μοχλὸν ἑλόντες
Δινέομεν· τὸν δ' αἷμα περίῤῥεε θερμὸν ἐόντα.

Frustaque humanae carnis; ipse autem eructabat vino-gravatus.
Et tum ego vectem sub cinere demisi multo,
Donec calefieret; verbisque omnes socios
Confirmabam; nequis mihi subveritus deficeret.
Sed cùm jam vectis oleaginus in igne erat
Arsurus, viridis licèt-esset, candebatque vehementèr;
Tum verò ego propiùs afferebam ex igne, circùm autem socii
Stabant: caeterùm audaciam inspiravit ingentem deus.
Hi quidem vectem prehensum oleaginum, acutum in summo,
Oculo infixerunt; ego autem supernè arrectus
Versabam: ut verò cùm quis terebrat lignum navale vir
Terebrâ, alii autem infrà torquent loro
Apprehensam utrinque; illa autem circumvolvitur assiduè semper:
Sic ejus in oculo ignitum vectem prehensum
Versabamus; hunc autem sanguis circumfluebat calentem.

Τάχ' ἐξ ἀναιδοῦς φάρυγος ὠθήσῃ κρέα.
Euripid. Cyclops, ver. 588.

——ejectantemque cruentas
Ore dapes, et frusta mero glomerata vomentem.
Ovid. Metam. lib. XIV. *ver.* 211.

Ver. 375. —— μοχλὸν ὑπὸ σποδοῦ ἤλασα πολλῆς.]

Ἤδη δαλὸς ἠνθρακωμένος
Κρύπτεται ἐς σποδιάν.
Euripid. Cyclops, ver. 609.

Ver. 397. Ἄψασθαι.] *Al.* Ἀψισθαι.

Ver. 380. — ἀμφὶ δ' ἑταῖροι Ἵσταντ'.] Ὁ δὲ Ποιητὴς τὸν λογιώτατον Ὀδυσσέα συστηλόταττον παποίηκε. —— Τοιοῦτοι δὲ καὶ οἱ πολλοὶ τῶν ἰατρῶν· τὸ γὰρ ἰλυομένους καὶ περοσυδιζομένους ὑπὸ τοῦ Κύκλωπος, μὴ καταιτιᾶν τοῦ Ὀδυσσέως, μηδὲ δυῖζαι τὸ πεπυρακτωμένον ἐπίπαν καὶ παρεσκευασμένον ἔργανον ἐπὶ τὸν ὀφθαλμὸν, ἀλλ' ἄμους ἐσθίεσθαι μᾶλλον ἢ φρένας τὸ τῶν ἀτυφρόντων, ὑπερζολὴν ἐγκρατείας καὶ πίστεως οὐκ ἐπιλείποντος. *Plutarch.* περὶ Ἀδολεσχίας.

Ver. 384. Δίνεον· ὡς δ' ὅτε.] *Al.* Δίνεον, ὡς ὅτε.

Ibid. —— ὡς δ' ὅτε τις τρυπᾷ δόρυ νήϊον.]

Ναυσηγίαν δ' ὡς τί τὴς ἁρμόζων ἀνὴρ
Δικτλεῖ χαλκοῦ, τρύσανον παντηλατεῖ,
Οὕτω κυκλώσω δαλὸν ἐν φασφόρῳ
Κύκλωπος ὄψει, καὶ συναυκῶ κόρας.
Euripid. Cyclops, ver. 459.

Ver. 385. —— ὑποσσείουσιν.] *Al.* ὑποσείουσιν. Quod eodem modo pronuntiandum.

Ver. 387. —— ἐν ὀφθαλμῷ πυριήκεα μοχλὸν ἑλόντες Δινέομεν.]

——telo lumen terebramus acuto
Ingens, quod torvâ solum sub fronte latebat.
Æn. III, 635.

Ibid. —— πυριήκεα.] Ita ex *Eustathio* edidit *Barnesius*. *Vulgg.* πυρωτήν.

Ibid. —— ἑλόντες.] *Al.* ἔχοντες.

Πάντα δέ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας εὖσεν ἀϋτμὴ,
Γλήνης καιομένης· σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι.
Ὡς δ' ὅτ' ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν, ἠὲ σκέπαρνον,
Εἰν ὕδατι ψυχρῷ βάπτει μεγάλα ἰάχοντα,
Φαρμάσσων· (τὸ γὰρ αὖτε σιδήρου τε κράτος ἐστίν·)
Ὣς τοῦ σίζ' ὀφθαλμὸς ἐλαϊνέῳ περὶ μοχλῷ.
Σμερδαλέον δὲ μέγ' ὤμωξεν· περὶ δ' ἴαχε πέτρη.
Ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ'· αὐτὰρ ὁ μοχλὸν
Ἐξέρυσ' ὀφθαλμοῖο πεφυρμένον αἵματι πολλῷ.
Τὸν μὲν ἔπειτ' ἔρριψεν ἀπὸ ἕο χερσὶν ἀλύων.
Αὐτὰρ ὁ Κύκλωπας μεγάλ' ἤπυεν, οἵ ῥά μιν ἀμφὶς
Ὤκεον ἐν σπήεσσι δι' ἄκριας ἠνεμοέσσας·
Οἱ δὲ βοῆς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος·

Omnes verò ei palpebras circùm et supercilia cremavit vapor,
Pupillâ ardente: crepitabant autem ei igne radices.
Veluti autem cùm vir faber securim magnam, aut asciam,
In aquâ frigidâ mergit valdè stridentem,
Temperans, (hoc enim denique ferri et robur est;)
Sic ejus stridebat oculus oleaginum circa vectem.
Horrendùm autem valdè ejulavit; insonuit verò petra.
Nos autem perterriti diffugimus: at ille vectem
Extraxit oculo foedatum sanguine multo:
Illum quidem deinde abjecit à se manibus dolore-furens.
Caeterùm ipse Cyclopas magno-clamore vocabat, qui utique circa ipsum
Habitabant in speluncis per promontoria ventosa:
Illi autem clamorem audientes accurrebant aliundè alius:

Ver. 389. Πάντα δέ οἱ βλιφαρ', &c.]

Ἥεσσ' ἰσαίων βλίφαρα· φύσιαι δ' ὁμοῦ
Γλῆναι γίνιαι ἴσιγγον, οὐδ' ἀνίσαν
Φόνου μυδώσας σταγόνας· ἀλλ' ὁμοῦ μίλας
Ὀμῦρες καλάζης αἵματος ἰσίγγιτο.
Sophocl. Œdip. Tyrann. ver. 1265.

Ver. 390. —— πυρὶ ῥίζαι.] *Al.* περὶ ῥίζαι.
Ver. 392. —— βάπτει.] *Al.* βάπτῃ.
Ibid. —— μεγάλα ἰάχοντα.] Vide ad *Il.* Υ, 456. *Al.* μεγάλα ἠχοῦντα.
Ver. 393. —— σιδήρου τε] *Al.* σιδήρου γε.
Ver. 394. Ὣς τοῦ σίζ' ὀφθαλμός.] De vi vocis hujus, σίζει, ita *Quinctilianus*: "Minimè," inquit, "Nobis concessa est ὀνοματοποιΐα. Quis enim ferat, siquid simile "illis meritò laudatis, λίγξι βώς, et σίζει "ὀφθαλμός, fingere audeamus? *Lib.* I. *cap.* 5. sub fine. Vide ad *Il.* Υ, 455.
Ibid. —— ἐλαϊνέῳ περὶ μοχλῷ.] Τὸ δὲ, "περὶ μοχλῷ," (inquit *Eustathius*) ἀντίστασιν ἴσταται· ἀντὶ γὰρ τοῦ, διὰ μοχλοῦ, ἐρρίφη. Atqui oculum vecte transfixum aptiùs (ut opinor) depingit istud περί. Alioqui æquè facilè scribere potuisset *Homerus* ἐλαϊνέῳ διὰ μοχλῷ.

Ver. 395. Σμερδαλέον δὲ μέγ' ὤμωξεν· περὶ δ' ἴαχε πέτρη.]

Clamorem immensum tollit; quo pontus et omnes
Intremuere undæ, penitúsque exterrita tellus
Italiæ, curvisque immugit Ætna cavernis. *Æn.* III, 672.

Ver. 398 et 461. —— ἀπὸ ἕο.] Vide ad *Il.* ά, 51.
Ibid. — χερσὶν ἀλύων.] "*Media* τοῦ ἀλύω," inquit *Barnesius*, "aliàs brevis, nunc pro"ducitur, ad Monstri deplorabilem animi "defectum innuendum." Atqui nulla alia videtur esse hujus rei causa, quàm in vocibus σίω, ἰλίσω, &c. Vide ad *Il.* ν, 103. et ά, 24. Προσγεάφουσι δὲ τινὲς τῶν Παλαιῶν τὸ ἰῶτα ἐν τῇ ἀλύσω, καθὰ καὶ ἐν τῇ ἐσυσίω. *Eustath.*
Ver. 401. Οἱ δὲ βοῆς ἀΐοντες ἐφοίτων.]

At genus è sylvis Cyclopum et montibus altis
Excitum ruit ad portus ——————.
Æn. III, 675.

Ibid. —— ἀΐοντες.] Vide ad *Il.* ά, 252.

Ἰστάμενοι δ' εἴροντο περὶ σπέος, ὅττί ἑ κήδοι·
Τίπτε τόσον, Πολύφημ', ἀρημένος ὧδ' ἐβόησας,
Νύκτα δι' ἀμβροσίην, καὶ ἀΰπνους ἄμμε τίθησθα;
Ἦ μή τις σεῦ μῆλα βροτῶν ἀέκοντος ἐλαύνει;
Ἦ μή τίς σ' αὐτὸν κτείνῃ δόλῳ, ἠὲ βίηφι;
Τοὺς δ' αὖτ' ἐξ ἄντρου προσέφη κρατερὸς Πολύφημος·
Ὦ φίλοι, Οὖτίς με κτείνει δόλῳ, οὐδὲ βίηφιν.
Οἱ δ' ἀπαμειβόμενοι ἔπεα πτερόεντ' ἀγόρευον·
Εἰ μὲν δὴ μήτις σε βιάζεται, οἷον ἐόντα,
Νοῦσόν γ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλέασθαι·
Ἀλλὰ σύ γ' εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι.
Ὣς ἄρ' ἔφαν ἀπιόντες· ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ,

Consistentesque interrogabant circa speluncam, quidnam ipsum affligeret:
" Cur tantum, Polypheme, laesus sic clamâsti,
" Noctem per divinam, et insomnes nos facis?
" Num quis à te oves mortalium invito abigit?
" An *metuas* ne quis teipsum occidat dolo, aut vi?"
Hos autem rursùs ex antro allocutus est fortis Polyphemus:
" Amici, Outis me occidit dolo, neque viribus."
Illi verò respondentes verba alata dicebant:
" Siquidem reverà nemo tibi vim infert, solus cùm-sis,
" Morbum sanè nullo-modo licet Jovis magni effugere:
" Sed tu quidem supplica patri Neptuno regi."
Sic dixerunt abeuntes: meum autem risit charum cor,

Ver. 404. Νύκτα δι' ἀμβροσίην.] *Al.* Νύκτα δι' ἐρεμαίην.

Ibid. —— ἀΰπνους ἄμμε τίθησθα;] Τὸ δὲ, " ἀΰπνους ἄμμε τίθησθα," φασιῶς τὸ ἄμμε δυϊκὸν, ἀντὶ πολλοῦ πλήθους λαμβάνει, κατὰ διαφορίαν (fortè κατ' ἀδιαφορίαν) Ἰωνικήν. *Eustath.* Verùm, si ἄμμε hic *duale* sit; tum, " Elegantèr (uti notat *Barnesius*) hoc Poe-" ta facit, quòd *Duos* jam *Polyphemus* tur-" bet, nempè *seipsum* et *alios*." Sive, quo modo *Chorus* in *Tragicis* voce " ἐγὼ" utitur, eodem modo aiunt Cyclopes, ἀΰπνους ἄμμε τίθησθα, " *Te et* (me *sive*) nos *insomnes red-*" *didisti*." Sed vide ad *Il.* ά, 59. Cæterùm post hunc versum inserit *Barnesius* ex *Diogene Laërtio*, *Zeno*, *lib.* VII.

Τίς δέ σ' ἐτύφλωσεν καὶ ἀφείλετο λαμπάδος αὐγάς;

Verùm neque ullo modo hoc in loco cohæret versus iste; neque, an hinc à *Diogene* citatus fuerit, omninò constat.

Ver. 405. 406. Ἦ μή τις —— ἐλαύνει; Ἦ μή τίς σ' αὐτὸν κτείνῃ.] *Barnesius* ex Exemplaribus nonnullis edidit κτείνει, ut cum ἐλαύνει congruat; vertitque, " *Num quis*— " *abegit? Anne aliquis teipsum pessundat?*" Ego potiùs, siqui faverent Codices, legendum crediderim ἐλαύνῃ —— κτείνῃ. Ut sit sensus: " *Num* (metu exclamas,) *nequis* — " *abigat? An nequis teipsum trucidet, &c.?*"

Ver. 405. —— σεῦ μῆλα.] *Al.* σέο μῆλα.

Ver. 408. Ὦ φίλοι, Οὖτίς με κτείνει.]

Οὖτίς μ' ἀπώλεσεν ——.
Euripid. Cyclops, *ver.* 668.

Ibid. —— δόλῳ, οὐδὲ βίηφιν.] Ita Vulgati. Sunt qui legendum contendant δόλῳ, οὐ δὲ βίηφιν. Quod et rectius videtur. Οὖτίς με κτείνει δόλῳ οὐδὲ βίᾳ· τοιοῦτόν, ὁ Οὖτίς με κτείνει μετὰ δόλου· οὐ μὴν ἐν ἰσχύϊ. *Eustath.* Et paulò inferiùs; Δόλῳ οὐδὲ βίᾳ· τοιοῦτόν, δόλῳ μέντοι κτείνει με, καὶ οὐ βίᾳ· τῶν δὲ Κυκλώπων συγκειμένων νοημάτων, Οὖτίς με ἐν δόλῳ κτείνει, ἀλλ' οὐδὲ ἐν βίᾳ. Vide suprà ad *ver.* 366. *Al.* ἠδὲ βίηφι· et ἠὲ βίηφι.

Ver. 410. —— μήτις σε βιάζεται.] *Clemens Alexandrinus*, *Strom. lib.* V. citat οὔτις σε βιάζεται.

Ver. 411. Νοῦσόν γ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλέασθαι.] Apud *Clementem*, *ibid.* Νοῦσον δ' οὔπως. Porro similitèr *Sophocles*, notante *Duporto* in *Gnomologiâ* ad hunc locum:

Νόσους δ' ἀνάγκη τοὺς θεηλάτους φέρειν.

Ver. 413. —— ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ.] Vide infrà ad σ', 99.

Ὡς ὄνομ' ἐξαπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων.
Κύκλωψ δὲ στενάχων τε, καὶ ὠδίνων ὀδύνῃσι,
Χερσὶ ψηλαφόων, ἀπὸ μὲν λίθον εἵλε θυράων·
Αὐτὸς δ' εἰνὶ θύρῃσι καθέζετο, χεῖρε πετάσσας,
Εἴτινά που μετ' ὄεσσι λάβοι στείχοντα θύραζε·
Οὕτω γάρ πού μ' ἤλπετ' ἐνὶ φρεσὶ νήπιον εἶναι.
Αὐτὰρ ἐγὼ βούλευον, ὅπως ὄχ' ἄριστα γένοιτο,
Εἴτιν' ἑταίροισιν θανάτου λύσιν, ἠδ' ἐμοὶ αὐτῷ·
Εὑροίμην· πάντας δὲ δόλους καὶ μῆτιν ὕφαινον,
Ὡς τε περὶ ψυχῆς· μέγα γὰρ κακὸν ἐγγύθεν ἦεν.
Ἦδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
Ἄρσενες οἷες ἦσαν ἐϋτρεφέες, δασύμαλλοι,
Καλοί τε, μεγάλοι τε, ἰοδνεφὲς εἶρος ἔχοντες·
Τοὺς ἀπείων συνέεργον ἐϋστρεφέεσσι λύγοισι,

Quòd nomen decepisset meum, et consilium eximium.
Cyclops autem ingemiscensque, et cruciatus doloribus,
Manibus palpans, amovit quidem lapidem ab ostio;
Ipse verò in ostio sedebat, manibus extensis,
Siquem fortassis inter oves deprehenderet exeuntem foras;
Adeò enim videlicet me putabat in mente stultum esse.
Ast ego deliberabam, quid factu optimum esset.
Siquam sociis mortis liberationem, atque mihi ipsi
Invenirem: omnes verò dolos et consilium texebam,
Utpote de vitâ: ingens enim malum imminebat.
Hoc verò mihi in animo optimum videbatur consilium.
Mares oves erant benè-nutriti, densis-velleribus,
Pulchrique, magnique, violaceam lanam habentes:
Hos tacitè colligabam benè-tortis viminibus,

Ver. 414. —— *καὶ μῆτις ἀμύμων.*] Sunt qui Poetam hic ad vocem Οὖτις respicere existiment; quia scilicet *οὖτις* et *μῆτις* idem significent. Sed hoc, ut rectè notavit *Barnesius*, planè ineptum.

Ver. 415. Κύκλωψ δὲ στενάχων τε.] Οἱ χαριέστατοι ποιητῶν —— τὰ μὲν αὐτοί τι καταστενάζουσι ὀνόματα, συμπλέκοντες ἱστιηδίοις ἀλλήλοις τὰ γράμματα· καὶ τὰς συλλαβὰς δὲ οἵπερ, οἷς ἂν βούλωνται παραστῆναι πάθεσι, ποικίλως φιλοτιχοῦσιν· ὡς ποιεῖ πολλάκις Ὅμηρος· —— Ἐπὶ δὲ τοῦ τυφλουμένου Κύκλωπος, τί τι τῆς ἀλγηδόνος μίγισες, καὶ τὴν διὰ τῶν χειρῶν βραδεῖαν ἕρπουσαν τῆς τοῦ σπηλαίου θύρας [ἱμφαίνειν βουλόμενος·] "Κύκ-"λωψ δὲ στενάχων τε, καὶ ὠδίνων ὀδύνῃσι, "Χερσὶ ψηλαφόων." *Dionys. Halicarn. περὶ συνθέσεως*, § 15.

Ver. 421. —— *θανάτου λύσιν.*] Quoniam *λύω, λύσω*, syllabam *priorem* naturâ producant; ideò *Marcus Meibomius* hoc in loco, notante *Barnesio*, legendum contendit *θανάτου μόσιν*· aliosque omnes locos apud *Homerum*, ubi ἄλυτος, aut ἀλύτους occurrat, corruptos existimat. Sed longè errat vir eruditus. Quâ enim analogiâ ex *τίω, τίσω*, fit *τίσις, ἄτιτος*· ex *φθίνω, φθίσω, φθίσις, ἄφθιτος*· ex *κρίνω, κρίσις, ἄκριτος*· et ex *κλίνω, κλίσις, ἄκλιτος*· eadem ex *λύω, λύσω*, fit *λύσις, ἄλυτος*. Vide ad *Il.* ά, 514. et χ', 19. 20.

Ver. 422. 423. —— *πάντας δὲ δόλους καὶ μῆτιν ὕφαινον,* —— *μέγα γὰρ κακὸν ἐγγύθεν ἦεν.*] "Efficacior omni arte imminens ne-"cessitas; non usitata modò præsidia, sed "quædam etiam nova admovit." *Quint. Curt. lib.* IV. § 15.

Ver. 425. Ἄρσενες οἷες ἦσαν.] Vox *οἷες primam* fortassè eâdem ratione producit ac voces ἀθάνατος, Πριαμίδης, &c. Vide ad *Il.* ά, 398. *Barnesius* verò edidit *εἶες*. Cæterùm hinc fortè vox *Latina, oves*.

Ver. 427. —— *λύγοισι.*] Ἰμαντώδεσι φυτοῖς. *Schol.*

Τῆς ἐπὶ Κύκλωψ εὖδε, πέλωρ, ἀθεμίστια εἰδὼς,
Σύντρεις αἰνύμενος· ὁ μὲν ἐν μέσῳ ἄνδρα φέρεσκεν,
Τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην, σώοντες ἑταίρους.
Τρεῖς δὲ ἕκαστον φῶτ' ὄιες φέρον· αὐτὰρ ἔγωγε,
(Ἀρνειὸς γὰρ ἦν, μήλων ὄχ' ἄριστος ἁπάντων,)
Τοῦ κατὰ νῶτα λαβὼν, λασίην ὑπὸ γαστέρ' ἑλυσθεὶς
Κείμην· αὐτὰρ χερσὶν ἀώτου θεσπεσίοιο
Νωλεμέως στρεφθεὶς ἐχόμην τετληότι θυμῷ.
Ὣς τότε μὲν στενάχοντες ἐμείναμεν ἠῶ δῖαν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Καὶ τότ' ἔπειτα νομόνδ' ἐξέσσυτο ἄρσενα μῆλα·
Θήλειαι δ' ἐμέμηκον ἀνήμελκτοι περὶ σηκοὺς,
Οὔθατα γὰρ σφιν ἀγεῦντο· ἄναξ δ' ὀδύνῃσι πεπῆσι
Τειρόμενος, πάντων ὀΐων ἐπεμαίετο νῶτα
Ὀρθῶν ἑσταότων· τὸ δὲ νήπιος οὐκ ἐνόησεν,
Ὡς οἱ ὑπ' εἰροπόκων ὀΐων στέρνοισι δέδεντο.
Ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε,

In quibus Cyclops dormiebat, monstrum, nefaria doctus,
Tres-unà sumens: medius quidem virum ferebat,
Caeteri autem duo utrinque ibant, servantes socios.
Terni autem virum oves ferebant: caeterùm ego,
(Aries enim erat, pecudum longè optimus omnium,)
Hujus tergo arrepto, villosum sub ventrem volutus
Extendebar: at manibus lanae egregiae
Firmitèr implicitus haerebam constanti animo.
Sic tum quidem ingemiscentes expectavimus auroram divinam.
Quando autem manè-genita apparuit rosea-digitos Aurora,
Tum verò deinde ad pascua erumpebant mascula pecora;
Foeminae verò balabant immulctae per stabula,
Ubera enim gravabantur; dominus verò doloribus gravibus
Afflictus, omnium ovium palpabat terga
Rectè stantium: illud autem stultus non animadvertit,
Ut illi sub lanigerorum ovium pectoribus ligati essent.
Ultimus aries pecorum exibat foràs,

Ver. 428. Τῆς.] *Al.* Τοῖς.

Ver. 432. Ἀρνειὸς γὰρ ἦν.] Vide infrà ad κ', 190.

Ver. 433. Τοῦ κατὰ νῶτα λαβών.] "Alio "——modo sibi, alio sociis providet. Hos "sub ovibus recondit; se verò sub ariete, "qui totius gregis erat præstantissimus. A"deò ut majorem sui quàm sociorum cu"ram habuerit." *Spondan.* Mirè admodùm: Liquet enim *Ulyssem*, postquam sociorum unumquemque tribus simul constrictis maribus ovibus subligásset, se ipsum nequaquam isto modo ligare potuisse; ideoque arietis unius, cæteris majoris, quique ipsum solus ferre posset, ventri subvolutum velleri adhæsisse; undè etiam facilè delapsus cæteros expeditiùs solvere posset; infrà ver. 463.

Ver. 434. —— ἀώτου.] Τοῦ ἄνθους. Λέγει δὲ τοῦ ἰρείου. *Schol.* Vide suprà ad ά, 443.

Ver. 438. —— νομόνδ' ἐξέσσυτο —— μῆλα.] Editiones vulgatæ vertunt, "*ad pascua* "*exiit pecora.*" Sed malè: Nam vox ἐξέσσυτο significationem *activam* non habet. Vide *Iliad.* ή, 1. *Odyss.* ί, 373. μ', 366. Rectiùs *Barnesius*; "*ad pascua prorumpe*"*bant.*"

Ver. 444. Ὕστατος ἀρνειός.] "Legitur eti"am," inquit *Henricus Stephanus*, "Ὕστα"τος δ' ἀρνειὸς in nonnullis editionibus." Sed hoc, uti et ipse annotat, versum perimit.

Λαχμῷ στεινόμενος, καὶ ἐμοὶ πυκινὰ φρονέοντι.
Τὸν δ' ἐπιμασσάμενος προσέφη κρατερὸς Πολύφημος·
Κριὸ πέπον, τί μοι ὧδε διὰ σπέος ἔσσυο μήλων
Ὕστατος; οὔτι πάρος γε λελειμμένος ἔρχεαι οἰῶν,
Ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρεν' ἄνθεα ποίης,
Μακρὰ βιβάς· πρῶτος δὲ ῥοὰς ποταμῶν ἀφικάνεις·
Πρῶτος δὲ σταθμόνδε λιλαίεαι ἀπονέεσθαι
Ἑσπέριος· νῦν αὖτε πανύστατος· ἦ σύγ' ἄναπτος
Ὀφθαλμὸν ποθέεις; τὸν ἀνὴρ κακὸς ἐξαλάωσε,
Σὺν λυγροῖς ἑτάροισι, δαμασσάμενος φρένας οἴνῳ,
Οὖτις, ὃν οὔπω φημὶ πεφυγμένον εἶναι ὄλεθρον.
Εἰ δὴ ὁμοφρονέοις, ποτιφωνήεις τε γένοιο,
Εἰπεῖν, ὅππη κεῖνος ἐμὸν μένος ἠλασκάζει·
Τῷ κέ οἱ ἐγκέφαλός γε διὰ σπέος ἄλλυδις ἄλλη

Vellere gravatus, et me multa cogitante.
Hunc autem palpatum allocutus est fortis Polyphemus:
" Aries chare, quid mihi ita per speluncam exis pecudum
" Ultimus? neutiquam anteà scilicet relictus venire-soles ab ovibus,
" Sed multò primus pasceris teneros flores herbae,
" Magnis-passibus incedens; primusque ad fluenta fluviorum pervenis:
" Primus porrò in stabulum cupis redire
" Vespertinus; nunc contrà omnium-ultimus: num tu domini
" Oculum desideras? quem vir malus eruit,
" Cum perniciosis sociis, postquam domuisset mentem vino,
" Outis; quem nondum existimo elapsum esse mortem.
" Si jam idem-mecum-sentires, vocalisque fieres,
" Ut-diceres, ubinam ille meum robur evitet;
" Profectò ei cerebrum per speluncam huc et illuc

Ver. 445. Λαχμῷ.] *Al.* Λάχνῃ.

Ver. 446. ——ἐπιμασσάμενος.] Vide ad *Il.* ε', 564.

Ver. 447. Κριὲ πέπον.] " Polyphemum " Homerus cùm immanem ferumque finxisset, cum ariete etiam colloquentem facit, ejusque laudare fortunas, quòd, quæ vellet, ingredi posset; et, quæ vellet, attingere." *Cic. Tusc. Disput. lib.* V. *cap.* 39.

Ver. 453. 454. ——νὺ ἀνὴρ κακὸς ἐξαλάωσε, ——δαμασσάμενος φρένας οἴνῳ.)

Ὁ ξένος —————— μ' ἀπώλεσεν,
Ὁ μιαρός· ὃς μοι δοὺς τὸ σῶμα, κατέκαυσεν.
Euripid. Cyclops, ver. 672.

Ver. 455.—*Ὃν οὔπω φημὶ πεφυγμένον εἶναι.*]

Ἀλλ' οὔτι μὰ φύγοντι τὼ δ' ἔβαν σέ γε
Χαίροντες ——. *Euripid. ibid. ver.* 662.

Ibid. —— πεφυγμένον εἶναι ὄλεθρον.] Ἔστι σπουδαιολογία παροιμιώδης (inquit *Eustathius*) —— Ἔχειν γὰρ ἐοικὸς, πεφυγμένον εἶναι ὄλεθρον. Atqui eâdem Syntaxi alibi utitur Poeta:

Μοῖραν δ' οὔτινα φημὶ πεφυγμένον ἔμμεναι ἀνδρῶν. *Iliad.* ζ', 488.

Οὔ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἦμαρ γενέσθαι. χ', 219.

Cæterùm *Barnesius* hoc in loco edidit πεφευγμένον. Rationibus parùm idoneis. Vide ad *Il.* ζ', 488.

Ibid. ——εἶναι ὄλεθρον.] *Al.* ἦμαρ' ὄλεθρον.

Ver. 458. Τῷ κέ οἱ ἐγκέφαλός γε διὰ σπέος.)

—— O si quis referat mihi casus Ulysseu,
Aut aliquem è sociis, in quem mea saeviat ira,
Viscera cujus edam, cujus viventia dextrâ
Membra meâ laniem ——————;
Quàm nullum aut leve sit damnum mihi lucis ademtæ!
Ovid. Met. lib. XIV. *ver.* 192. 197.

Cæterùm *Eustathius* in commentario citat, Τῷ κέ οἱ ἐγκέφαλός γε κατὰ σπέος.

Θεινομένου ῥαίοιτο πρὸς οὖδεϊ· καδδὲ ἐμὸν κῆρ
Λωφήσειε πακῶν, τά μοι οὐτιδανὸς πόρεν Οὖτις.
Ὣς εἰπὼν, τὸν κριὸν ἀπὸ ἕο πέμπε θύραζε.
Ἐλθόντες δ' ἠϐαιὸν ἀπὸ σπείους τε, καὶ αὐλῆς,
Πρῶτος ὑπ' ἀρνειοῦ λυόμην, ὑπέλυσα δ' ἑταίρους.
Καρπαλίμως δὲ τὰ μῆλα ταναύποδα, πίονα δήμῳ,
Πολλὰ περιτροπέοντες ἐλαύνομεν, ὄφρ' ἐπὶ νῆα
Ἱκόμεθ'· ἀσπάσιοι δὲ φίλοις ἑτάροισι φάνημεν,
Οἳ φύγομεν θάνατον· τοὺς δὲ στενάχοντο γοῶντες.
Ἀλλ' ἐγὼ οὐκ εἴων, ἀνὰ δ' ὀφρύσι νεῦον ἑκάστῳ,
Κλαίειν· ἀλλ' ἐκέλευσα θοῶς καλλίτριχα μῆλα
Πόλλ' ἐν νηὶ βαλόντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ·
Οἱ δ' αἶψ' εἴσϐαινον, καὶ ἐπὶ κληῖσι κάθιζον·
Ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων κερτομίοισι·
Κύκλωψ, οὐκ ἄρ' ἔμελλες ἀνάλκιδος ἀνδρὸς ἑταίρους

" Eliso spargeretur ad solum; meum verò cor
" Quiesceret à malis, quae mihi nullius-pretii vir intulit Outis."
Sic locutus, arietem à se mittebat foràs.
Quum-venissemus autem paululùm à speluncâque et chorte,
Primus ab ariete me expedivi; solvi verò socios.
Celeritèr autem pecora longipeda, pinguia adipe,
Multa circumducentes abigebamus; donec ad navem
Pervenissemus; desiderati verò charis sociis apparuimus,
Qui effugimus mortem: caeteros autem lugebant flentes.
Sed ego non sinebam, superciliis autem innuebam unicuique,
Nè flerent; sed jussi celeritèr, pulchris-velleribus pecora
Multa in navem cùm-immisissent, navigare salsam aquam.
Illi verò statim conscendebant, et per transtra sedebant;
Ordineque sedentes canum mare verberabant remis.
Sed quando tantum aberam, quantum utique audiri-potest clamans,
Tum verò ego Cyclopem alloquebar convitiis:
" Cyclops, non ergò eras imbellis viri socios

Ver. 459. —— καδδὲ ἐμὸν κῆρ.] *Al.* καδδ' ἐμὸν ἦτορ.

Ver. 462. Ἐλθόντες δ' ἠϐαιὸν &c.] Ὅτι σελαικειδῶς τὸ, " Ἐλθόντες δ' ἠϐαιὸν ἀπὸ σπείους " τε καὶ αὐλῆς, Πρῶτος ὑπ' ἀρνειοῦ λυόμην." *Eustath.* De hujusmodi Syntaxi, vide infrà ad μ', 73. et ad *Il.* κ', 224.

Ver. 464. —— ταναύποδα.] Ita ex *Eustathio* et ex duobus Exemplaribus edidit *Barnesius.* Atque ita habet MS. à *Tho. Bentleio* collatus. *Vulgg.* ταναύποδα. Ταναύποδα δὲ λέγει, οὐ τὰ μακρόποδα μόνον, ἀλλὰ καὶ τὰ τιταμένως τοῖς ποσὶ βαδίζοντα· ταυτὸν δ' εἰπεῖν, μακρὰ βιϐάντα. *Eustath.*

Ver. 468. —— ἀνὰ δ' ὀφρύσι νεῦον ἑκάστῳ Κλαίειν.] *Al.* ἐν δ' ὀφρυσι νεῦον. Minùs rectè. Superciliorum enim nutu flere prohibebat *Ulysses:* Propriaque hæc vocis ἀνανεύω significatio:

Λαοῖσιν δ' ἀνένευεν ἀρήϊα δῖος Ἀχιλλεὺς,
Οὐδ' εἶα ἴμεναι. —— *Iliad.* χ', 205.

Ἀλλ' Ὀδυσεὺς ἀνένευε, καὶ ἴσχεεν ἱμείροντας. *Odyss.* φ', 129.

Ver. 475. —— ἀνάλκιδος ἀνδρὸς ἑταίρους.] Τὸ δὲ " ἀνάλκιδος ἀνδρὸς" πρὸς τὰ τοῦ Κύκλωπος ἀστεΐσηται, ὃς φθέγεται [suprà *ver.* 460.] οὐτιδανὸν ἔφη τὸν Ὀδυσέα. *Eustath.*

Ἐδμεναι ἐν σπῆϊ γλαφυρῷ κρατερῇφι βίηφι.
Καὶ λίην σέ γε μέλλε κιχήσεσθαι κακὰ ἔργα.
Σχέτλι· ἐπεὶ ξείνους οὐχ ἅζεο σῷ ἐνὶ οἴκῳ
Ἐσθέμεναι· τῷ σε Ζεὺς τίσατο καὶ θεοὶ ἄλλοι.
Ὣς ἐφάμην· ὁ δ' ἔπειτα χολώσατο κηρόθι μᾶλλον·
Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο·
Κὰδ δ' ἔβαλε προπάροιθε νεὼς κυανοπρῴροιο,
Τυτθὸν ἐδεύησεν δ' οἰήϊον ἄκρον ἱκέσθαι.
Ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης·
Τὴν δ' αἶψ' ἠπειρόνδε παλιῤῥόθιον φέρε κῦμα,
Πλημμυρὶς ἐκ πόντοιο, θέμωσε δὲ χέρσον ἱκέσθαι.

" Comesurus in speluncâ cavâ, forti vi.
" Et abundè te utique assecutura erant mala facta *tua*,
" Inique: quoniam hospites non verebaris tuâ in domo
" Comedere: ideò te Jupiter ultus-est et dii alii."
Sic dixi; ille autem deinde iratus-est ex-corde magìs:
Misit autem abruptum verticem montis magni;
Dejecitque ante navem nigram-proram-habentem;
Paululùm verò abfuit quin clavum extremum attingeret.
Inundavit autem mare decidente à petrâ:
Ipsam autem *(navim)* statim ad continentem refluus ferebat fluctus,
Inundatio ex mari, adegitque prope terram ut-veniret.

Ver. 481. Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος.] Φοβούμενος τοῦτο τὸ ἀδύνατον, προκατασκευάζει τοιοῦτον ἄνδρα τῷ λοιπῷ διηγήματι, ὡς μηδὲ τὸν περὶ τούτου λόγον ἄπιστον καταστῆναι λιχμῶντα. *Hermogenes de Inventione, lib.* IV. *cap.* 12. Vide suprà ad *ver.* 191.

Fert ingens toto connixus corpore saxum,
Haud partem exiguam montis. ——.
Æn. X, 127.

—— Vidi cum monte revulso
Immanem scopulum medias permisit in undas.
Ovid. Metam. lib. XIV. *ver.* 181.

Ibid. —— κορυφὴν ὄρεος μεγάλοιο.] Μεταφορὰ δὲ, ἥτις ἐστὶν ἀπὸ τοῦ κυρίως δηλουμένου πράγματος ἐφ' ἕτερον μετενηνεγμένη, μετὰ τῆς ἀμφοῖν ἀναλόγου ὁμοιότητος, καὶ πολλὴ ἐστὶ καὶ ποικίλη παρ' αὐτῷ· [Ὁμήρῳ] εἶον ἐστὶν, "Ἦκε μὲν ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο" —— ὃν γὰρ λόγον ἔχει κορυφὴ πρὸς ἄνδρωπον, τοῦτον καὶ ἡ ἀκρώρεια πρὸς τὸ ὄρος. — Ἀλλὰ τὸ χρήσασθαι τοῖς ὁμοίοις, ἀντὶ τῶν κυρίων, ὀνόμασιν, ἰδιδάσκαλον καὶ ἐναργέστατον ποιεῖ τὸν λόγον. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7. Ubi notandum pro Ἦκε δ' ἀποῤῥήξας, legisse hic *Dionysium*, Ἦκεν ἀποῤῥήξας.

Ver. 482. —— προπάροιθε.] *Barnesius* hoc in loco, μετέπειτε· infrà *ver.* 539. προπάροιθε legendum existimat. Sed vide infrà ad *ver.* 483.

Ver. 483. Τυτθὸν ἐδεύησεν δ' οἰήϊον ἄκρον ἱκέσθαι.] Ἐν μὲν τῇ πρώτῃ βολῇ οὐκ ἐνέκειτο ἐστὶ πῶς ὁ λίθος ὁ πεσὼν ἐμπροσθεν ἐνθα ὁ πλοῦς ἦν τῆς πρῴρας, καὶ κλύσας οὕτω τὴν θάλασσαν, ὀλίγου ἐδέησεν ἱκέσθαι εἰς ἄκρον οἰήϊον, ἤγουν πεῖσαι τοῦ σιαπίου τοῦ περὶ τὴν πρύμναν. Ἐν δὲ τῇ δευτέρᾳ βολῇ πάνυ καλῶς κεῖται· ὀπίσω γὰρ τισὼν ὁ λίθος βεβηχὼ ἐδέησεν ἱκέσθαι κατὰ τοῦ σκαλμοῦ. Διὸ ἐν μὲν τοῖς πρώτοις στίχοις, τὸ, "Τυτθὸν "ἐδεύησεν οἰήϊον ἄκρον ἱκέσθαι," ἀστεῖα ἔχει μετὰ εὐσιλεῦ· ὡς ἄριστον μὲν ὄντος ὄν, ἀπεῖπεν δὲ ὀφειλέμενον. *Eustath.* Porrò in uno MS. scriptum reperit *Tho. Bentleius*, Τυτθὸν, ἐδεύησεν δ', &c. Ac constructio quidem aptior esset, si istud Τυτθὸν ad præcedentia referretur: Alioqui enim vocula δὲ inusitatiùs videtur transposita.

Ibid. —— οἰήϊον.] Παιδάλιον, παρὰ τὸ σιαπίζειν, ὃ ἐστὶ καταδύνειν. *Schol.*

Ver. 484. —— κατιεχμένης ὑπὸ πέτρης.] Ἤγουν κατιλθούσης. Χρόνος γὰρ καὶ νῦν εἴληπται ἀντὶ χρόνου. Malè: Æquè enim facilè scribere potuisset *Homerus*, (si ita voluisset,) κατιλθούσης ὑπὸ πέτρης.

Ver. 486. —— θέμωσε δὲ χέρσον ἱκέσθαι.] Ἐγγίσαι ἐποίησε τῇ γῇ. *Schol.*

Αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν περιμήκεα κοντὸν
Ὦσα παρέξ· ἑτάροισι δ' ἐποτρύνας, ἐπέλευσα
Ἐμβαλέειν κώπῃς, ἵν' ὑπ' ἰκ κακότητα φύγοιμεν,
Κρατὶ κατανεύων· οἱ δὲ προπεσόντες ἔρεσσον.
Ἀλλ' ὅτε δὴ δὶς τόσσον ἄλα πρήσσοντες ἀπῆμεν,
Καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων· ἀμφὶ δ' ἑταῖροι
Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα;
Ὃς καὶ νῦν πόντονδε βαλὼν βέλος, ἤγαγε νῆα
Αὖτις ἐς ἤπειρον, καὶ δὴ φάμεν αὐτόθ' ὀλέσθαι.
Εἰ δὲ φθεγξαμένου τεῦ, ἢ αὐδήσαντος ἄκουσε,
Σύν κεν ἄραξ ἡμίων κεφαλὰς, καὶ νήϊα δοῦρα,
Μαρμάρῳ ὀκρυόεντι βαλών· τόσσον γὰρ ἵησιν.
Ὣς φάσαν· ἀλλ' οὐ πῖθον ἐμὸν μεγαλήτορα θυμὸν,
Ἀλλά μιν ἄψορρον προσέφην κεκοτηότι θυμῷ·
Κύκλωψ, αἴκεν τίς σε κατὰ θνητῶν ἀνθρώπων

At ego manibus sumpto praelongo conto
Detrusi à *littore*; sociosque hortatus, jussi
Incumbere remis, ut malum fugeremus,
Capite annuens: illi verò incumbentes remigabant.
Sed quando jam bis tantum mare sulcantes aberamus,
Tum verò ego Cyclopem alloquebar; circùm verò socii
Blandis verbis inhibebant aliundè alius:
" Imprudens, cur vis irritare ferum virum?
" Qui etiam nunc in pontum jacto telo deduxit navem
" Rursùs ad continentem, et sanè existimabamus illic nos perituros.
" Si verò vociferatum aliquem, aut locutum audiisset,
" Collisisset nostra capita, et navalia ligna.
" Saxo aspero conjecto; tantum enim jaculatur."
Sic dixerunt: sed non flectebant meum generosum animum,
Sed ipsum rursùs allocutus sum irato animo:
" Cyclops, si quis te inter mortales homines

Ver. 487. —— περιμήκεα κοντόν.] Ὅτι κοντὸν, ὅπλον οἷόν ναυτικόν ὁ Ποιητὴς, οὐ μὴν σκολιμικόν. *Eustath.*

Ver. 488. —— ἰκέλευσα Ἐμβαλέειν κώπῃς.]

—— κάρυξ δ' αὐτοῖς
Ἐμβαλεῖν κώπῃσι ——.
Pindar. Pythior. Ode IV. *ver.* 356.

Colligere arma jubet, validisque incumbere remis. *Æn.* V, 15.

Ver. 490. —— κατανεύων.] Quâ ratione hæc vox *secundam* producere possit, vide suprà ad *ver.* 242. et ad *Il.* ζ', 62. et π', 174. Alii verò, notante *Barnesio*, hîc legendum volunt κατανεύων, et κατὰ νεύων. " Quin et " κάτω νεύων (inquit *Barnesius*) legi potest." Sed hoc valdè esset invenustum.

Ver. 491. Ἀλλ' ὅτε δὴ δὶς τόσσον.] Πῶς οὖν ἀκούει ; προείρηκε γὰρ [*ver.* 473.] " Ἀλλ' ὅτε " τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας." Ἤτοι μιγαλόφωνος ὁ Ὀδυσσεὺς, ἢ δὶς ἐπὶ τὸ αὐτὸ μέρος ἀνέσχομεν πάλιν οὕτως γὰρ ἡ παῖς ἠνίχθη. *Schol.* Quæ posterior explicatio dirior videtur. Καὶ ἐστὶ νεῖν, ὅτι καὶ Ὀδυσσεὺς ἐνίστινι καὶ αὐτὸς τὴν φωνὴν. *Eustathius.*

Ver. 494. Σχέτλιε, τίπτ' ἐθέλεις.] Δημοσθένους δὲ λοιδορουμένου τὸν Ἀλέξανδρον ἦν προσάγουτα ταῖς Θήβαις, ἵφη [ὁ Φωκίων·] " Σχέτλε, " τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα." *Plutarch. in Phocione.*

Ver. 499. —— ἐκρυόεντι.] *Al.* ἐκρυόεντι.

Ver. 502. —— κατὰ θνητῶν.] *Barnesius* ex *Eustathio* edidit κατὰ θνητῶν.

Ὀφθαλμοῦ εἴρηται ἀειπελίην ὀλοωτὴν,
Φάσθαι, Ὀδυσσῆα πτολιπόρθιον ἐξαλαῶσαι,
Υἱὸν Λαέρτεω, Ἰθάκῃ ἐνὶ οἰκί' ἔχοντα.
Ὣς ἐφάμην· ὁ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ·
Ὦ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει.
Ἔσκε τις ἐνθάδε μάντις ἀνὴρ ἠΰς τε μέγας τε,
Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο,
Καὶ μαντευόμενος κατεγήρα Κυκλώπεσσιν·
Ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω,
Χειρῶν ἐξ Ὀδυσῆος ἀμαρτήσεσθαι ὀπωπῆς.
Ἀλλ' αἰεί τινα φῶτα μέγαν καὶ καλὸν ἐδέγμην
Ἐνθάδ' ἐλεύσεσθαι, μεγάλην ἐπιειμένον ἀλκήν·
Νῦν δέ μ', ἐὼν ὀλίγος τε, καὶ οὐτιδανὸς, καὶ ἄκικυς,

" De oculi interrogaverit foedâ caecitate,
" Dic, Ulyssem urbium-eversorem excaecâsse *te*,
" Filium Laërtis, in Ithacâ aedes habentem." 505
Sic dixi; ille autem mihi ejulans respondebat sermone:
" Papae! certè omninò jam me antiqua vaticinia attingunt.
" Erat quidam hîc vates vir bonusque, magnusque,
" Telemus Eurymides, qui vaticiniis excellebat,
" Et vaticinans consenescebat inter Cyclopas; 510
" Qui mihi dixit haec omnia perfectum-iri in posterum,
" Manibus ex Ulyssis privatum-iri visu.
" Sed semper aliquem virum ingentem et pulchrum expectabam
" Huc venturum esse, magno praeditum robore:
" Nunc autem me, parvusque cùm-esset, et nullius-pretii, et imbellis, 515

Ver. 504. Φάσθαι, Ὀδυσσῆα πτολιπόρθιον, &c.] Artificiosè hîc, ad Cyclopem magis exacerbandum, *nomen, parentes, patriamque* singulatim exponit. Ἡ γὰρ ἰεγὴ, τῶν καθ' ἕκαστον ἴσως ———. Διὸ ἰρέους πιστεύεται, ὁ Φάσθαι, Ὀδυσσῆα πτολιπόρθιον·" ὡς οὐ τιτιμωρημένος εἰ μὴ ἤθετο καὶ ὑφ' οὗ, καὶ ἀφ' ὅτου. *Aristot. Rhetoric. lib.* II. *cap.* 3.

Ibid. Φάσθαι.] Τὸ δὲ " φάσθαι" ——— ἀρίστως τοῖς πλείοσιν ἀπὸ τοῦ ἰφάμην μίσου ἀορίστου δυνίρου γίνεσθαι, διὸ καὶ παροξυτονεῖσθαι, ὡς φάσι βραχίος ὄντος τοῦ παρατιλεύτου καλὰ δῆλον καὶ ἐκ τοῦ ἴφατο. *Eustath.* Rectè. Vide ad *Il.* ξ', 471. *Al.* Φᾶσθαι.

Ibid. et *ver.* 530. ——— πτολιπόρθιον.] *Al.* πτολίπορθον notante *Barnesio.* Vide et suprà ad ά, 2.

Ver. 507. Ὦ πόπου, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει.]

Αἴ, αἴ· παλαιὸς χρησμὸς ἐκπεπράξεται.
Τυφλὸν γὰρ ὄψει ἐν σίδηρον ἐκχέαν μ' ἔφη
Τρίαις ἀφορμηθέντος ———.
Euripid. Cyclops, ver. 692.

Ver. 508. Ἔσκε τις ἐνθάδε.] Ἔνθα ἐστέον ὅτι τὸ " ἔσκε" δικοῦν κοινότερον ἀπὸ τοῦ ἔω, ἔσω, ἔσκω, γίνεσθαι, Ἡρακλείδης ἄλλως σημειοῦται. *Eustath.* Rectiùs, ut opinor, *Scholiastes* ad *Il.* β', 539. Τὰ γὰρ " ἔσκε," ἢ καὶ " ἔσκ," συλλαβαὶ, παρ' Ἰλιάδι, μόνοι ἐν τοῖς παρατατικοῖς τι καὶ ἀορίστοις ἐσυνέβησαν.

Ver. 509. Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο.]

Telemus Eurymides, quem nulla fefellerat ales,
Terribilem Polyphemon adit: Lumenque quod unum
Fronte geris mediâ rapiet tibi, dixit, Ulysses.
Ovid. Metam. lib. XIII. *ver.* 771.

Ibid. Τήλεμος Εὐρυμίδης.] *Scholiastes* ad *Theocrit. Idyll.* VI, 23. legit, Τήλεμος Εὐρύμαχος· notante *Barnesio.*

Ver. 515. —— ὀλίγος τε, καὶ οὐτιδανὸς, καὶ ἄκικυς.] Quanta sit vocalarum harum vis et ἰμφασις facilè sentiet quicunque eas vocabulis quibuscunque aliis idem significantibus mutaverit. Siquis nimirùm hoc in loco, ut rectè observavit *Aristoteles*, pro " ὀλίγος τε, " καὶ οὐτιδανὸς, καὶ ἄκικυς," μικρός τι καὶ ἀσ-

Ὀφθαλμοῦ ἀλάωσεν, ἐπεί μ' ἐδαμάσσατο οἴνῳ.
Ἀλλ' ἄγε δεῦρ' Ὀδυσεῦ, ἵνα τοι πὰρ ξείνια δείω,
Πομπήν τ' ὀτρύνω δόμεναι κλυτὸν Ἐννοσίγαιον·
Τοῦ γὰρ ἐγὼ πάϊς εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχεται εἶναι·
Αὐτὸς δ', αἴκ' ἐθέλῃσιν, ἰήσεται, οὐδέ τις ἄλλος,
Οὔτε θεῶν μακάρων, οὔτε θνητῶν ἀνθρώπων.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Αἴ γὰρ δὴ ψυχῆς τε καὶ αἰῶνός σε δυναίμην
Εὖνιν ποιήσας πέμψαι δόμον Ἄϊδος εἴσω·
Ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' Ἐνοσίχθων.
Ὣς ἐφάμην· ὁ δ' ἔπειτα Ποσειδάωνι ἄνακτι
Εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
Κλῦθι, Ποσείδαον, γαιήοχε, κυανοχαῖτα·
Εἰ ἐτεόν γε σὸς εἰμὶ, πατὴρ δ' ἐμὸς εὔχεαι εἶναι,

" Oculo privavit, postquam me domuisset vino.
" Sed age huc-veni, Ulysses, ut tibi hospitalia praebeam,
" Deductionemque horter ut-det inclytus Neptunus:
" Hujus enim ego filius sum, pater autem *is* meus gloriatur esse:
" Ipse autem, si voluerit, sanabit, neque quisquam alius,
" Neque deorum immortalium, neque mortalium hominum."
Sic dixit; at ego ipsum respondens alloquebar:
" Utinam enim jam animâ et vitâ te possem
" Privatum mittere domum Plutonis intra:
" Adeò haud oculum utique sanabit neque Neptunus."
Sic dixi: ille autem deinde Neptuno regi
Supplicabat, manus tendens ad coelum stellatum:
" Audi, Neptune, terram-continens, caerulee-crines:
" Si reverà tuus sum, patremque *te* meum profiteris esse,

ἄνακτος, καὶ ἀιδὴς, vel aliud quicquam istiusmodi substituerit; *τὸ ἀμείνονα ὅσον διαφέρει ἴσῃ τῶν ἴσων, δικαίως ἂν* ——— *τὸ μὲν φαίνεται καλὸν, τὸ δὲ ἰσότιμός. Poetic. cap.* 22. Malè igitur hic *Eustathius*; *Ὅτι τὸ ὀλίγος* (inquit) ——— *ἰσταῦθα ἀπὸ μεγέθους ληφθὲν, τὸν μικρὸν δηλοῖ.* ——— *Πάντως δὲ ταυτὸν, ὀλίγον ἰσότιμον, καὶ τυτθὸν, καὶ μικρόν. Καὶ δῆλον αὐτὸ καὶ ἐκ τοῦ Τυδέως, ὃς* ——— *μικρὸς ἦν δέμας.* ——— *Ἐοικὲ καὶ ἰσταῦθα φάναι, ὡς Ὀδυσσεὺς ὀλίγος μὲν ἦν τὸ μέγεθος, &c.* Nempè non advertisse videtur vir eruditus vocem *μικρὸς* "*parvus*," tantùm significare; at *ὀλίγος* non modò "*parvus*," sed et "*despicabilis, contemptui habendus.*" Rectè itaque dicitur, *Τυδεὺς τοι μικρὸς μὲν ἦν*, *Il. ι*, 801. non æquè rectè diceretur, *Τυδεὺς τοι ὀλίγος, &c.* Vide infrà ad *ω*, 259.

Ibid. ——— *ἄκοιτις*] *Al. ἀκοιτής.*

Ver. 516. ——— *ἀλάωσεν, ἐπεί μ' ἐδαμάσσατο.*] *Al. ἀλάωσας, ἐπεί μ' ἐδαμάσσας.*

Ver. 520. ——— *αἴκ' ἐθέλῃσιν, ἰήσεται.*] Quoniam vox *ἰήσεται* infrà *ver.* 525. *primum* producat, ideò *Barnesius* hoc in loco edidit, *αἴκ' ἐθέλῃσ' ἰήσεται.* Quocum facit et MS. à *Tho. Bentleio* collatus. Sed, ut opinor, nihil opus. Corripi enim potest istud *ι* propter sequentem vocalem. Vide ad *Il. ὁ*, 24.

Ver. 525. *Αἴ γὰρ δή.*] Refertur istud *γὰρ* non ad aliquid quod jam antè erat dictum, sed ad id quod elegantèr reticetur de Ulyssis erga Cyclopem odio implacabili. Vide ad *Il. ι*, 22.

Ver. 527. *Εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα.*]

——— duplices tendens ad sidera palmas.
Æn. I, 93.

Et duplices cum voce manus ad sidera tendit.
Æn. X. 667.

Ibid. ——— *οὐρανὸν ἀστερόεντα.*]

——— stellantis regia cœli.
Æn. VII, 210.

——— cœlum stellis fulgentibus aptum.
Æn. XI, 202.

Δὸς μὴ 'Οδυσσῆα πτολιπόρθιον οἶκαδ' ἱκέσθαι,
Υἱὸν Λαέρτεω, 'Ιθάκῃ ἐνὶ οἰκί' ἔχοντα.
'Αλλ' εἴ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν, καὶ ἱκέσθαι.
Οἶκον ἐϋκτίμενον, καὶ ἣν ἐς πατρίδα γαῖαν,
'Οψὲ κακῶς ἔλθοι, ὀλέσας ἀπὸ πάντας ἑταίρους,
Νηὸς ἐπ' ἀλλοτρίης, εὕροι δ' ἐν πήματα οἴκῳ.
"Ως ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Κυανοχαίτης.
Αὐτὰρ ὅγ' ἐξαῦτις πολὺ μείζονα λᾶαν ἀείρας,
Ἧκε δ' ἐπιδινήσας· ἐπέρεισε δὲ ἴν' ἀπέλεθρον.
Κὰδ δ' ἔβαλεν μετόπισθε νεὸς κυανοπρῴροιο,
Τυτθὸν ἐδεύησεν δ' οἰήϊον ἄκρον ἱκέσθαι.
'Εκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης·
Τὴν δὲ πρόσω φέρε κῦμα, θέμωσε δὲ χέρσον ἱκέσθαι.
'Αλλ' ὅτε δὴ τὴν νῆσον ἀφικόμεθ', ἔνθα περ ἄλλαι

" Da, ut nè Ulysses urbium-eversor in patriam veniat,
" Filius Laërtis, in Ithacâ domum habens.
" At si ei fatale est amicosque videre, et pervenire
" Domum ad benè-aedificatam, et suam in patriam terram;
" Serò malè veniat, amissis omnibus sociis,
" Nave in alienâ; inveniatque calamitates domi."
Sic dixit precans: eum autem audivit Neptunus.
Caeterùm ille rursùs multò majore lapide sublato,
Misit circum-rotatum, intendit autem vim immensam.
Dejecit verò post navem nigram-prorâ,
Paululùm abfuit autem, quin clavum extremum attingeret.
Inundavit verò mare decidente à petrâ:
Ipsam autem *(navem)* ulteriùs ferebat fluctus, adegitque prope terram ut-veniret.
Sed quando jam ad insulam pervenissemus, ubi scilicet caeterae

---

Ver. 530. —— 'Οδυσσῆα πτολιπόρθιον.] Τὸ δὲ "πτολιπόρθιον" —— ἀντὶ παρῳδίας. Τί γὰρ ἴδιον τὸν Κύκλωπα ἔκαινεν 'Οδυσείως εἰπών; "Ἴσως δὲ καὶ εἰρωνικῶς αὐτὸ εἶπεν ὁ Κύκλωψ. *Eustath.* Satis inficetè. Repetit enim solummodò hoc *Polyphemus* ex *Ulyssis* sermone suprà *ver.* 504.

Ver. 531. Τὸν Λαέρτεω.] Deest hic versus in MS. à *Tho. Bentleio* collato.

Ver. 532. 'Αλλ' εἴ οἱ μοῖρ' ἐστὶ, &c.]

—— Si tangere portus
Infandum caput, ac terris adnare necesse est,
Et sic fata Jovis poscunt; hic terminus hæret:
At bello audacis populi vexatus et armis,
Finibus extorris, complexu avulsus Iüli,
Auxilium imploret, videatque indigna suorum
Funera; nec, cùm se sub leges pacis iniquæ
Tradiderit, regno aut optatâ luce fruatur:
Sed cadat ante diem, mediâque inhumatus arenâ. *Æn.* IV, 612.

Quem locum *Macrobius* inter eos recenset, in quibus Poetarum "*par penè splendor amborum est.*" *Lib.* V. *cap.* 12.

Ver. 537. Αὐτὰρ ὅγ' ἐξαῦτις.

Vidi iterùm, veluti tormenti viribus acta,
Vasta giganteo jaculantem saxa lacerto.
Ovid. Metam. lib. XIV. *ver.* 183.

Ver. 538. —— ἐπέρεισε δὲ ἴν' ἀπέλεθρον.] Ἤγουν ἐπιστήριξε τῷ λίθῳ διὰ τῆς ἐπιδινήσεως δύναμιν πολυπλόκον. *Eustath.* in comment. ad *ver.* 486. suprà.

Ver. 539. —— μετόπισθε.] *Barnesius* hìc legendum censet κρουπέζιθε. Atque ita habet MS. à *Tho. Bentleio* collatus. Vide suprà ad *ver.* 482. 483.

Ver. 540. Τυτθὸν ἐδεύησεν δ' οἰήϊον ἄκρον ἱκέσθαι.] 'Εκ τοῦ πρωτίστου ἀδιεπίτατα· πῶς γὰρ ἂν ἔμπαλιν ἡ ναῦς ἀνίχθη; *Schol.* Vide suprà ad *ver.* 485.

Ver. 542. Τὴν δὲ πρόσω φέρε κῦμα, θέμωσε

Νῆες ἐϋσσελμοι μένον ἀθρόαι, ἀμφὶ δ' ἑταῖροι
Εἵατ' ὀδυρόμενοι, ἡμέας ποτιδέγμενοι αἰεί·
Νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
Ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Μῆλα δὲ Κύκλωπος γλαφυρῆς ἐκ νηὸς ἑλόντες,
Δασσάμεθ', ὡς μήτις μοι ἀτεμβόμενος πίοι ἴσης.
Ἀρνειὸν δ' ἐμοὶ οἴῳ ἐϋκνήμιδες ἑταῖροι,
Μήλων δαιομένων, δόσαν ἔξοχα· τὸν δ' ἐπὶ θοινὶ
Ζηνὶ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει,
Ῥέξας, μηρί' ἔκηεν· ὁ δ' οὐκ ἐμπάζετο ἱρῶν,
Ἀλλ' ἄρα μερμήριζεν, ὅπως ἀπολοίατο πᾶσαι
Νῆες ἐϋσσελμοι, καὶ ἐμοὶ ἑρίηρες ἑταῖροι.
Ὣς τότε μὲν πρόπαν ἦμαρ, ἐς ἠέλιον καταδύντα,
Ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Καὶ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Δὴ τότ' ἐγὼν ἑτάροισιν ἐποτρύνων ἐκέλευσα,

Naves bonis-transtris-instructae stabant confertae, circùm autem socii
Sedebant lugentes, nos expectantes semper;
Navem quidem, illuc ubi-venissemus, subduximus in arenis,
Ipsique porrò eximus in littus maris.
Pecudes autem Cyclopis cavâ ex navi sumptas,
Divisimus, ut nullus mihi privatus abiret aequali-portione.
Arietem autem mihi soli benè-ocreati socii,
Divisis ovibus, dederunt insuper: eum verò in littore
Jovi atrarum-nubium-coactori Saturnio, qui omnibus imperat,
Ubi-sacrificâssem, femora incendebam: ille verò non curabat sacra;
Sed sanè deliberabat, quo-pacto perderentur omnes
Naves bonis-transtris-instructae, et mihi dilecti socii.
Sic tunc quidem totâ die, ad solis occasum,
Sedebamus, epulantes carnesque immensas et vinum dulce.
Quando verò sol occiderat, et tenebrae supervenerant,
Tum sanè decubuimus in littore maris.
Quando autem manè-genita apparuit rosea-digitos Aurora,
Tum verò ego socios adhortans jussi,

δὶ χέρσον ἰσίσθαι.] Ἡ μὲν γὰρ πρώτη βολὴ, πρόσθεν τῆς νηὸς πεσοῦσα, ἐστιγμὴν ἐκείνην παλιμπλοῦν· ἡ δὲ δευτέρα, κατόπιν γινομένη, εἰς τὴν τοῦ πέρατι πεσοῦσαν χέρσον δίμωσιν ἰσίσθαι τὴν ναῦν. *Eustath.* ad *ver.* 486. suprà. Vide et suprà ad *ver.* 485.

Ver. 548. —— γλαφυρῆς ἐκ νηὸς ἑλόντες, Δασσάμεθ'.] Hinc portum petit, et socios partitur in omnes. *Æn.* I, 194.

Ver. 553. Ῥέξας.] Vide ad *Il. ά.* 444.

Ibid. —— ἔκηεν.] *Al.* ἵκανον, et ἵκηε.

Ver. 554. Ἀλλ' ἄρα μερμήριζεν.] *Eustathius* in commentario citat, Ἀλλ' ἴσχε μερμήριζεν. Atque ita in uno MS. reperit *Tho. Bentleius.* Quæ fortè et verior lectio. Vide suprà ad *β'.* 326.

Ibid. —— μερμήριζεν.] *Al.* μερμήριζεν. Minùs rectè.

Ver. 559. Καὶ τότ' ἐκοιμήθημεν.] *Al.* Δὴ τότε κοιμήθημεν.

Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι·
Οἱ δ' αἶψ' εἰσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον·
Ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἔνθεν δὲ προτέρω πλέομεν, ἀκαχήμενοι ἦτορ,
Ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.

Ipsosque conscendere et rudentes solvere:
Illi verò statim ingrediebantur, et per transtra sedebant;
Ordineque sedentes canum mare verberabant remis.
Hinc verò ulteriùs navigabamus, dolentes corde,
Lubentes ex morte, charis amissis sociis.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Κ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Κ'.

Τὰ περὶ τὸν Αἴολον ἀπαγγέλλει, τὸν τῶν ἀνέμων φύλακα, ὃς ἔδωκεν Ὀδυσσεῖ οὖριον Ζέφυρον, τοὺς ἄλλους ἀνέμους ἐγκαθείρξας ἐν ἀσκῷ· ὃν οἱ ἑταῖροι λύσαντες, κοιμωμένου Ὀδυσσέως, ἅτε ἐν αὐτῷ χρυσὸν εἶναι νομίζοντες, ὑπονοστοῦσι πρὸς Αἴολον· οὐ προσιεμένου δὲ τοῦ Αἰόλου τὸν Ὀδυσσέα, ἐκεῖθεν ἀποπλέουσιν, εἰς Λαιστρυγόνας ἀφικνεῖται· παρ' οἷς ἔνδεκα τῶν νεῶν ἀπολέσας, μίᾳ εἰς Αἰαίαν τὴν νῆσον παραγίνεται· καὶ σὺν Εὐρυλόχῳ τοὺς ἡμίσεας τῶν ἑταίρων κλήρῳ λαχόντας ἐκπέμπει πευσομένους, τίνες δὲ κατοικοῦντες· μεταμορφωθέντων δὲ ἐκείνων εἰς σύας ὑπὸ τῆς Κίρκης, πλὴν Εὐρυλόχου αὐτὸς ἐπὶ ζήτησιν ἐλθών, λαβὼν παρὰ τοῦ Ἑρμοῦ φάρμακον, τὸ Μῶλυ, οὐδὲν βλάπτεται· ἀλλὰ καὶ τῶν ἑταίρων τὴν ἀρχαίαν φύσιν λαβόντων, παραμείνας παρὰ τῇ Κίρκῃ, εἰς ᾅδου κατέρχεται.

Ἐπιγραφαί.

Τὰ περὶ Αἰόλου, καὶ Λαιστρυγόνων, καὶ Κίρκης.

Ἄλλως.

Τὰ τῆς Κίρκης νίπτρα· ἢ, Κίρκης νίπτρα.

Ἄλλως,

Κάππ' ἴχει Αἰόλου, Λαιστρυγόνος, ἔργα τε Κίρκης.

Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιεν
Αἴολος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσι,

In Aeoliam autem insulam pervenimus; ubi habitabat
Aeolus Hippotades, charus inmortalibus diis,

Ver. 1. Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ'.] Οὐ φασὶν Αἰόλου νήσους εἶν λιγομένας, ἀλλὰ τινὰ ἄλλην ἐκτετυπωμένην νῆσον λέγει. Οἱ δὲ λίγιστις περὶ Σικελίαν καὶ Ἰταλίαν πεπλανῆσθαι τὸν Ὀδυσσέα, Λωτοφάγους μὲν λέγουσι τοὺς νῦν Ἀπεραντίνους· οἱ δὲ τοὺς Καμπανοὺς· Κύκλωπας δὲ τοὺς Ἀετίνους· τὰ δὲ Αἰόλου νήσους, τήν τε κατὰ τὸν πορθμὸν Στρογγύλην, καὶ τὰς λοιπὰς ἑξ, Διδύμην, Ἱέραν, Ἰκισίαν, Λιπάραν, Ἐρικώδη, Φοινικώδη. — Τινὲς δὲ ταύτας τὰς νή-

Πλωτῇ ἐνὶ νήσῳ· πᾶσαν δέ τέ μιν πέρι τεῖχος
Χάλκεον, ἄῤῥηκτον· λισσὴ δ' ἀναδέδρομε πέτρη.
Τοῦ καὶ δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν·
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
Ἐνθ' ὅγε θυγατέρας πόρεν υἱάσιν εἶναι ἀκοίτας.
Οἱ δ' αἰεὶ παρὰ πατρὶ φίλῳ καὶ μητέρι πενδῇ
Δαίνυνται· παρὰ δέ σφιν ὀνείατα μυρία κεῖται.
Κνισσῆεν δέ τε δῶμα περιστεναχίζεται αὐλῇ
Ἤματα, νύκτας δ' αὖτε παρ' αἰδοίοις ἀλόχοισιν
Εὕδουσ', ἔν τε τάπησι καὶ ἐν τρητοῖς λεχέεσσι.
Καὶ μὲν τῶν ἱκόμεσθα πόλιν καὶ δώματα καλά.
Μῆνα δὲ πάντα φίλει με, καὶ ἐξερέεινεν ἕκαστα,
Ἴλιον, Ἀργείων τε νέας, καὶ νόστον Ἀχαιῶν·

Natatili in insulâ; totam verò ipsam circa murus *est*
Aereus, infrangibilis; laevisque sursùm-procurrit petra.
Hujus et duodecim liberi in aedibus nati sunt;
Sex quidem filiae, sex autem filii pubescentes.
Ibi ille filias dedit filiis ut-essent uxores.
Hi verò semper apud patrem charum et matrem venerandam
Convivantur; ipsisque cibaria varia apponuntur.
Odorata autem domus circùm-personat aulâ
Die; nocte verò rursùs apud pudicas uxores
Dormiunt, inque tapetibus et in tornatis lectis.
Et quidem ad horum pervenimus urbem et aedes pulchras.
Mensem verò totum amicè-excipiebat me, et exquirebat singula,
De Ilio, Argivorumque navibus, et reditu Achivorum:

σους ἐν τῷ Τυῤῥηνικῷ πελάγει κεῖσθαι λίγουσιν. *Schol.* Vide *Scholiasten ad Apollonii Argonautic. lib.* III, *ver.* 41.

Æoliam venit. Hîc vasto rex Æolus antro
Luctantes ventos, tempestatesque sonoras
Imperio premit, ac vinclis et carcere frænat. *Æn.* I, 52.

Ver. 2. Αἴολος Ἱππoτάδης.] Αἴολος δὲ δύο υἱοὺς μὲν Ἱππότου τοῦ Μιμαντος ἴσχει δ' Ἕλλην [fortè Ἕλληνας], ὃς ἦν Διὸς, οὗ καὶ Ἡσίοδος μέμνηται. *Schol.*

Ver. 3. Πλωτῇ ἐνὶ νήσῳ.] Ἔνιοι μὲν τὴν πλεομένην, οἷον τὴν ἐν πλεομένοις τόποις πεμένην νῆσον. Ὁ δὲ Ἀρίσταρχος, πλωτῇ, φησὶ, φερομένῃ, οἷον πεφυρμένῃ· ὥστε ποτὲ μὲν ἐν τοῖς ὑγροῖς μέρεσι, ποτὲ δὲ ἐν τοῖς ἀριστερεῖοις ἐρασθαι· οἷον δὲ τι καὶ περὶ τὴν Δῆλον ἱστορεῖ Πίνδαρος, λέγων οὕτως· "Ἦν γὰρ τὸ πάροιθε φορητὰ κυμάτεσσι Δῆλος πλαγκτοδαπῶν ἀνέμων ῥιπαῖς." *Schol.* Haud dissimiliter apud *Apollonium*;

Νήσου πλαγκτῆς ἐφὲν μυχόν. —— *Argonautic. lib.* III. *ver.* 43.

Ubi *Scholiastes*; Πλωτὴν ἢ αὐτὴν εἶναι, ἀκολουθήσας τοῖς περὶ Ἰσπαλίαν καὶ Σικελίαν μυθολογοῦσι τὴν Ὀδυσσέως πλάνην.

Ver. 4. —— λισσὴ δ' ἀναδέδρομε πέτρη.]

—— quamvis lapis omnia nudus
—— obducat —— *Virg. Ecl.* I, 47.

Ver. 5. Τοῦ καὶ δώδεκα παῖδες.] Τὸν μὲν γὰρ Αἴολον ἐξαίρετον ἴσχυε νομίζω τὸν Ἑνιαυτὸν εἶναι, τοὺς δωδεκαμήνους τοῦ χρόνου περιόδους ἐνδιδιμίσιν. —— Δώδεκα δ' αὖτοῦ παῖδες εἰσὶν οἱ μῆνες. *Heraclid. Pontic.*

Ver. 7. —— ἀκοίτας.] *Al.* ἀκοίτις. Quod erit contractum ex ἀκοίτιας, uti hîc notat *Barnesius.*

Ver. 10. —— δῶμα περιστεναχίζεται.] Ἀντὶ τοῦ περιηχεῖται· ὡς καὶ τοῦ τοιούτου δώματος ἠχήεντος ὄντος· ἢ ἀντὶ τοῦ, στεναχωρεῖ τοὺς δαινυμένους. *Eustath.* Priorem harum interpretationum solam affert *Scholiastes*: Quæ et potior. Vide infrà ad *ver.* 454. et ψ', 146.

Ver. 11. —— αἰδοίοις.] *Al.* αἰδοίης.

Ver. 12. —— ἐν τρητοῖς λιχίεσσι.] *Al.* ἐν τρητοῖσι λίχεσσι.

Ver. 13. —— δώματα καλά.] *Al.* τείχεα μακρά.

Αὐτὰρ ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα.
Ἀλλ' ὅτε δὴ καὶ ἐγὼν ὁδὸν ἤτεον, ἠδ' ἐπέλευον
Πεμπέμεν, οὐδέ τι κεῖνος ἀνήνατο, τεῦχε δὲ πομπήν·
Δῶκε δέ μοι δείρας ἀσκὸν βοὸς ἐννεώροιο·
Ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε πέλευθα.
Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλῃσι.

At ego ei omnia accuratè enarravi.
Sed quum jam et ego iter postulabam, atque hortabar
Dimittere, nihil quicquam ille abnuit, paravit autem deductionem:
Deditque mihi excoriatum utrem bovis novennis;
In eo verò procellosorum ventorum ligavit flatus.
Illum enim promum ventorum fecit Saturnius,
Et ut-compescat, et ut-cieat, quemcunque velit.

Ver. 16. Αὐτὰρ ἐγώ.] *Al.* Καὶ μὲν ἐγώ.
Ver. 18. —— οὐδέ τι.] *Al.* οὐδ' ἴτι.
Ver. 19. —— Δῶκε δέ μοι δείρας ἀσκὸν βοός.] Hinc *Ovidius;*

Excipit Hippotades, qui dat pro munere ventos.
Ex Ponto, lib. IV. *Epist.* x. *ver.* 15.

Porrò vituperat hîc *Homerum Longinus;* Τί γὰρ (inquit) ἂν ἄλλο φήσαιμεν ταῦτα, ἢ τῷ ὄντι τοῦ Διὸς ἰνύσσια; *De Sublimitate,* § 9. sub fine. Rectiùs autem, ut opinor, de hujusmodi fabulis *Strabo;* Ἅτε δὴ πρὸς τὸ παιδιωτικὸν ὕδους ἀναφέρων τοὺς μύθους ὁ Ποιητὴς, ἐφόρτισε πολὺ μέρος τ' ἀληθοῦς· ἐν δ' ἑτέροις καὶ ψεύδους· τὸ μὲν ἀποδιχόμενος, τῷ δὲ δημαγωγῶν καὶ στρατηγῶν τὰ πλήθη. "Ὡς δ' "ὅτι τις χρυσὸν πιεζιχίσεται ἀργύρῳ ἀνῆρ," [suprà ζ', 232.] οὕτως ἐκεῖνος ταῖς ἀληθέσι περιστάσεσι προσπεπλάσθαι μῦθον, ἡδύνων καὶ κοσμῶν τὴν φράσιν· πρὸς δὲ τὸ αὐτὸ τὸ σῖτος σοῦ ἑστορικοῦ, καὶ σοῦ τὰ ὄντα λίγοντος, βλάπτων. Οὕτω δὴ τὸν τε Ἰλιακὸν πόλεμον γεγονότα παραλαβὼν, ἐπέσημησε ταῖς μυθοποιίαις, καὶ τὴν Ὀδυσσείας πλάνην ὡσαύτως. *Geograph. lib.* I. *pag.* 37. *al.* 20. Et *Aristoteles* de ν', 119. infrà; Καὶ τὰ ἐν Ὀδυσσείᾳ ἄλογα —— ὡς οὐκ ἂν ἔν ἀνεπτά, δῆλον ἂν γένοιτο, εἰ αὐτὰ φαῦλος ποιητὴς ποιήσει. Νῦν δὲ τοῖς ἄλλοις ἀγαθοῖς ὁ Ποιητὴς ἐμφανίζει [*Al.* ἀφανίζει] ἡδύνων τὸ ἄτοπον. Τῇ δὲ λέξει δεῖ διατυποῦν ἐν τοῖς ἀργοῖς μέρεσι, καὶ μήτε ἠθικὰς μήτε διανοητικὰς· ἀκτερύκτει γὰρ πάλιν ἡ λέξις λαμπρὰ λέξις τὰ ἤθη, καὶ τὰς διανοίας. *Poetic. cap.* 24. ipso fine. Et paulò superiùs; Διὸ διδάσκει Ὅμηρος καὶ τοὺς ἄλλους ψευδῆ λέγειν ὡς δεῖ. Cæterùm de hoc *Homeri* loco *Heraclides Ponticus;* Οὐχὶ πρῶτος εὗδιον πλοῦν δι' ἱστιοπόμης ἀστρονόμων στιμμερίους, ἔδειξε ἀνέμους διδυμίνας. Vide et *Palæphatum* περὶ ἀπίστων ἱστοριῶν, *cap.* 18. item infrà ad *ver.* 21.

Ibid. Δῶκε δέ μοι δείρας.] MS. à *Tho. Bentleio* collatus, Δῶκέ μοι ἐκδείρας.

Ibid. —— βοὸς ἐννεώροιο.] Ἀμαλθείας δὲ μάλιστα [ὁ βοῦς] στιντιστὰς ὢν διὰ καὶ Ὅμηρον φασὶ στιπτικὰς εἶναι τὰς ἐρέας, ποιήσαντα, "Ἄρεϊ "να στιτατίσηρον" καὶ τὸ, "βοὸς ἐννεώροιο" δύνασθαι γὰρ ταῦτόν. *Arist. Histor. Animal. lib.* VI. *cap.* 21. Cæterùm pronuntiabatur ἐννώροιο.
Ver. 20. Ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε πέλευθα.] Hinc *Lycophron:*

Βύκτας δ' ἐν ἀσκῷ συγκατασπαλίσας βοὸς,
Παλιντροπώντους πνέμασιν ἀλώμενος ἕξ.
Cassandra, ver. 738.

Ver. 21. Κεῖνος γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων, Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν.]

——regemque dedit, qui fœdere certo
Et premere, et laxas sciret dare jussus habenas.
Æn. I, 62.

Æole, namque tibi Divûm pater atque hominum rex
Et mulcere dedit fluctus, et tollere vento.
Ibid. ver. 65.

Καὶ τὸ πλῆθος τῶν συγγραφίων τῶν ταῦτα τρυλλούντων, καὶ τὸ τῆς κατὰ τοὺς τόπους ἀκριβολογίας φήμης διδάσκειν δύνασθαι, διὸ ταῦτα [MS. notante *Casaubono*, habet ὅτι ταῦτα.] οὐ Ποιητῶν πλάσματα ἐστὶν, οὐδὲ συγγραφίων, ἀλλὰ γεγυμνασμένων ἴχνη καὶ προσώπων καὶ πραξίων. Καὶ Παλύβιος δ' ἐρῶς ὑποσοῖ τὰ περὶ τῆς [Ὀδυσσέως] πλάνης· τὸν γὰρ Αἴολον, τὸν προσημαίνοντα τοὺς ἴκπλους ἐν τοῖς κατὰ τὸν πορθμὸν τόποις ἀμφιδρόμοις οὖσι δυσέκπλοις διὰ τὰς πταλιρρόας, ταμίαν τε ἱερῆσθαι τῶν ἀνέμων καὶ βασιλέα νενομίσθαι φησί. —— Ταῦτα δὲ περοικονομησάμενος, οὐκ ἰᾷ τὸν Αἴολον ἐν μύθου σχήματι ἀπολύσθαι, οὐδ' ὅλην τὴν Ὀδυσσέως πλάνην· ἀλλὰ μικρὰ μὲν προσμυθεύσας, καθάπερ καὶ τῷ Ἰλιακῷ πολέμῳ· τὸ δ' ὅλον περὶ Σικελίαν καὶ τῇ Ποιητῇ πιστοῦσθαι, καὶ τοῖς ἄλλοις συγγραφεῦσιν, ὅσοι τὰ περὶ τὴν Ἰταλίαν καὶ Σικελίαν. *Strabo, Geograph. lib.* I. *pag.* 42. 43. *al.* 23. 24. Similem ferè hujus loci explicationem videas apud *Diodorum Siculum, lib.* V. Vide

Νηΐ δ' ἐνὶ γλαφυρῇ κατέδει μέρμιθι φαεινῇ
Ἀργυρέῃ, ἵνα μήτι παραπνεύσῃ ὀλίγον περ·
Αὐτὰρ ἐμοὶ πνοιὴν Ζεφύρου προέηκεν ἀῆναι,
Ὄφρα φέροι νῆάς τε καὶ αὐτούς· οὐδ' ἄρ' ἔμελλεν
Ἐκτελέειν· αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν.
Ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
Τῇ δεκάτῃ δ' ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα·
Καὶ δὴ πυρπολέοντας ἐλεύσσομεν, ἐγγὺς ἐόντας.
Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·
Αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων· οὐδέ τῳ ἄλλῳ
Δῶχ' ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν.
Οἱ δ' ἕταροι ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
Καί μ' ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι,
Δῶρα παρ' Αἰόλου μεγαλήτορος Ἱπποτάδαο.
Ὧδε δέ τις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
Ἀνθρώποις, ὅστεών τε πόλιν καὶ γαῖαν ἵκηται.

Nave verò in cavâ alligavit funiculo splendido
Argenteo, ut nequid praeter-flaret vel paululùm:
Caeterùm mihi flatum Zephyri immisit ad-flandum,
Ut ferret navesque et nos: neque sanè erat
Perfecturus: ipsorum enim periimus insipientiâ.
Per novem quidem dies continuò navigabamus noctesque et dies;
Decimâ verò jam apparebat patria terra:
Et jam ignem accendentes videbamus, propè existentes.
Ibi me quidem somnus occupavit defessum;
Semper enim pedem navis movebam; neque cuiquam alii
Dedi sociorum, ut citiùs perveniremus in patriam terram.
Socii autem verbis ad se invicem loquebantur,
Et me dixerunt aurumque et argentum domum reportare,
Dona ab Aeolo magnanimo Hippotadâ.
Sic autem aliquis dicebat intuitus in proximum alium:
" Papae! ut hic omnibus gratus et magni-pretii est
" Hominibus, quorumcunque in urbem et terram venerit.

---

etiam *Strabonem, lib.* I. *pag.* 46. *al.* 26. et suprà ad *ver.* 19.

Ver. 23. ——— *κατέδει μέρμιθι φαεινῇ* Ἀργυρέῃ.] Προφυλάττεται, ἵνα τῷ δεσμῷ ἀπαστράπτωσιν οἱ ἄνεμοι· καὶ γὰρ οὐδὲ ἐκ τῆς λευφόρους ἦν γνωρίσαι, περιδιδύσκει γάρ. *Schol.*

Ver. 25. ——— *προέηκεν.*] *Al.* προσέηκεν.

Ver. 27. Ἐκτελέειν.] *Al.* Ἐκτελέεσθαι.

Ver. 30. Καὶ δὴ πυρπολέοντας ἰλιύσσομεν.] Πυρπολεῖν δέ, ἢ τὸ πυρεύειν, ἢ ἐστὶ νυκτὸς σὺς καίειν διὰ τοὺς πλαγιάζοντας· ἢ καὶ τὸ μὴ ἁμίλλαν τιμωρεῖσθαι τόσον τῷ τοῦ πυρὸς σημείῳ κατηφ· ὃν ἀπολωλεκότα ἐκείθεν ἴδιόν ἐκπυθέσθαι παρὰ τούτων Ὀδυσσεύς. *Eustath.*

Ver. 31. ——— ἐπήλυθε.] *Al.* ἐπήλυθε. *Al.* ἐπίλλαβε.

Ver. 32. ——— *πόδα νηός.*] Τὸν μεταγωγὸν τοῦ πίρατος πάλον, ἢ τὸ πηδάλιον. *Schol.*

Ver. 36. ——— *παρ' Αἰόλου μεγαλήτορος.*] " *Media* τοῦ Αἰόλου," inquit *Barnesius*, " pro- " ducitur, ante *Liquidam*, vique *Toni*, quâ- " dam denique Metri necessitate." Notatu dignius quod ait *Athenæus*: Οἱ Ἀχαιοὶ [fortè Ἀρχαῖοι] τῷ " ο" ἀπιχεῶντο οὐ μόνον ἐφ' ἧς νῦν τάττεται δυνάμεως· ἀλλὰ καὶ ὅτε τὴν διφθόγγον διασημαίνει, διὰ τοῦ " ῳ" μόνου γεγράφοντο. *Lib.* XI. *cap.* 5. Ut adeò Αἰόλου hoc in loco pronuntietur Αἰόλλου. Vide et infrà ad σ', 387. Cæterùm nonnulli, notante *Barnesio*, hîc legunt Αἰόλλου.

Ver. 39. ——— *γαῖαν ἵκηται.*] *Al.* δόμον ἵκηται.

Πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ
Ληΐδος· ἡμεῖς δ' αὖτε ὁμὴν ὁδὸν ἐκτελέσαντες,
Οἴκαδε νισσόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες.
Καὶ νῦν οἱ τάγ' ἔδωκε χαριζόμενος φιλότητι
Αἴολος· ἀλλ' ἄγε δᾶσσον ἰδώμεθα, ὅττι τάδ' ἐστίν,
Ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν.
Ὣς ἔφασαν· βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων·
Ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν.
Τοὺς δ' αἶψ' ἁρπάξασα φέρεν πόντονδε θύελλα
Κλαίοντας, γαίης ἀπὸ πατρίδος· αὐτὰρ ἔγωγε
Ἐγρόμενος, κατὰ θυμὸν ἀμύμονα μερμήριζα,
Ἠὲ θεσῶν ἐκ νηὸς ἀποφθίμην ἐνὶ πόντῳ,
Ἦ ἀκέων τλαίην, καὶ ἔτι ζωοῖσι μετείην.
Ἀλλ' ἔτλην καὶ ἔμεινα· καλυψάμενος δ' ἐνὶ νηῒ
Κείμην· αἱ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
Αὖτις ἐπ' Αἰολίην νῆσον· στενάχοντο δ' ἑταῖροι.
Ἔνθα δ' ἐπ' ἠπείρου βῆμεν, καὶ ἀφυσσάμεθ' ὕδωρ·
Αἶψα δὲ δεῖπνον ἕλοντο θοῆς παρὰ νηυσὶν ἑταῖροι.
Αὐτὰρ ἐπεὶ σίτοιό τε πασσάμεθ' ἠδὲ ποτῆτος,

" Multas quidem ex Trojâ ducit res-pretiosas, pulchras,
" Ex praedâ: nos verò contrà, idem iter emensi,
" In patriam redimus vacuas manus habentes.
" Et nunc ei haec dedit gratificans prae amicitiâ
" Aeolus: sed agè ocyùs videamus, quidnam haec sint,
" Quantum quid aurique et argenti utri insit."
Sic dicebant; consiliumque malum vicit sociorum:
Utrem quidem solverunt, venti autem omnes eruperunt.
Illos verò statim abreptos ferebat in-pontum procella
Flentes, terrâ à patriâ; at ego
Experrectus, in animo eximio deliberavi,
Utrum delapsus ex navi perirem in ponto,
An tacitus sustinerem, et adhuc vivis interessem:
Sed sustinui et mansi; tectus autem in navi
Jacebam: illae verò ferebantur malo venti turbine
Rursùs ad Aeoliam insulam: gemebant autem socii.
Ibi verò littus conscendimus, et hausimus aquam:
Statim autem prandium ceperunt celeres apud naves socii.
At postquam cibumque gustaveramus atque potum,

Ver. 41. —— ἐκτελέσαντες.] *Al.* ἐκτελέοντες.
Ver. 42. —— νισσόμεθα κενεὰς.] *Al.* νισσόμεθα κενεὰς, et νισσόμεσθα κενάς.
Ver. 46. —— βουλὴ δὲ κακὴ νίκησεν.] Similiter apud *Livium*; " Caeterùm, ut ple-" rumque, fortuna et consilia mala vice-" runt." *Lib.* XXV. § 15.
Ver. 47. Ἀσκὸν μὲν λῦσαν, &c.]
Invidiâ socios praedaeque cupidine ductus,
Esso ratos aurum, demisisse ligamina ventis,
Cum quibus isse retrò, per quas modo venerat undas,
Æoliique ratem portus repetisse tyranni.
Ovid. Metam. lib. XIV. 229.
Ibid. — λῦσαν.] *Al.* λύσαν'. Minùs rectè.
Ver. 51. —— ἀποφθίμην.] *Al.* ἀποφθείμην.
Ver. 56. —— ἀφυσσάμεθ' ὕδωρ.] Vide suprà ad δ', 359.

Δὴ τότ' ἐγὼ κήρυκά τ' ὀπασσάμενος καὶ ἑταῖρον,
Βῆν εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ' ἐκίχανον
Δαινύμενον, παρὰ ἦ τ' ἀλόχῳ καὶ οἶσι τέκεσσιν.
Ἐλθόντες δ' ἐς δῶμα, παρὰ σταθμοῖσιν ἐπ' οὐδοῦ
Ἑζόμεθ'· οἱ δ' ἀνὰ θυμὸν ἰθάμβεον, ἔκ τ' ἐρέοντο·
Πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔχρασε δαίμων;
Ἦ μέν σ' ἐνδυκέως ἀπεπέμπομεν, ὄφρ' ἀφίκοιο
Πατρίδα σὴν, καὶ δῶμα, καὶ εἴπου τοι φίλον ἐστίν.
Ὣς φάσαν· αὐτὰρ ἐγὼ μετεφώνεον, ἀχνύμενος κῆρ·
Ἄασάν μ' ἕταροί τε κακοὶ, πρὸς τοῖσί τε ὕπνος
Σχέτλιος· ἀλλ' ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὑμῖν.
Ὣς ἐφάμην, μαλακοῖσι καθαπτόμενος ἐπέεσσιν·
Οἱ δ' ἄνεῳ ἐγένοντο· πατὴρ δ' ἠμείβετο μύθῳ·
Ἔρρ' ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζωόντων.
Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ' ἀποπέμπειν.
Ἄνδρα τὸν, ὅς κε θεοῖσιν ἀπεχθηται μακάρεσσιν.
Ἔρρ', ἐπεὶ ῥα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις.

Tum sanè ego, praeconem mihi ubi-asciveram et socium,
Ivi ad Aeoli inclytas aedes: eum autem inveniebam
Convivantem apud suam uxorem et suos liberos.
Ingressi autem domum, ad fores in limine
Sedebamus: illi verò in animo obstupescebant, interrogabantque:
" Quomodo venisti, Ulysses? quis tibi malus ingruit deus?
" Certè quidem te accuratè dimittebamus, ut pervenires
" In patriam tuam, et domum, et sicubi tibi gratum sit."
Sic dixerunt; at ego alloquebar, moerens corde:
" Laeserunt me sociique mali, insuperque somnus
" Infaustus: sed medemini, amici; potestas enim penes vos."
Sic dixi, blandis demulcens verbis:
Illi verò muti facti-sunt; pater autem respondebat sermone:
" Abi ex insulâ ocyùs, pessime vivientium:
" Non enim mihi fas est excipere neque dimittere
" Virum illum, qui diis invisus sit beatis.
" Abi; quoniam sanè diis invisus huc venis."

Ver. 60. — Αἰόλου.] Vide suprà ad *ver.* 36.

Ver. 64. —— ἴχρασ.] Ὁ ἐστὶν ἐπεδέησεν. *Eustath.*

Ver. 65. —— ἀφίκοιο.] *Al.* ἀφίκοιτο.

Ver. 66. —— εἴπου τοι φίλον ἐστίν.] Ita *Barnesius*, *Vulgg.* εἴπου τι φίλον ἐστιν. Vide suprà ad ϕ, 320.

Ver. 68. Ἄασάν μ' ἕταροι.] De voce Ἄασεν, vide ad *Il.* ι, 116.

Ver. 72. Ἔρρ' ἐκ νήσου θᾶσσον.] Ita apud *Aristophanem*:

Ἔρρ' ἐκ κέρματος θᾶσσον ἀφ' ἡμῶν.
Plutus, *Act.* II. *Scen.* v. *ver.* 118.

Porrò *Cloatius Verus* apud *Gellium*, *lib.* XVI. *cap.* 12. verbum Latinum *erro* à Graeco ἔρρω deductum censet; versumque hunc *Homeri* adducit.

Ver. 73. 74. Οὐ γάρ μοι θέμις ἐστὶ &c.] *Julianus*, *Epist.* 49. versus hosce duos citat hoc modo;

Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν, ἢ ἐλεαίρειν
Ἄνδρας, οἳ καὶ θεοῖσιν ἀπέχθηνται ἀθανάτοισι.

Ver. 75. Ἔρρ', ἐπεὶ ῥα θεοῖσιν.] Ita edidit *Barnesius* ex *Odyss.* σ', 556. *Al.* Ἔρρ', ἐπεὶ ἄρα θεοῖσιν. Quod vix ferri potest. *Al.* Ἔρρι, ἐπεὶ ἄρα θεοῖσιν. Quod pronuntiabatur, (uti notat *Barnesius*,) ἐπεὶ ἄρα θεοῖσιν· vel, ἐπεὶ ἔρα θεοῖσιν.

Ὡς εἰπὼν, ἀπέπεμπε δόμων βαρέα στενάχοντα.
Ἔνθεν δὲ προτέρω πλέομεν, ἀκαχήμενοι ἦτορ.
Τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς,
Ἡμετέρῃ ματίῃ· ἐπεὶ οὐκέτι φαίνετο πομπή.
Ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
Ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμου αἰπὺ πτολίεθρον,
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν
Ἠπύει εἰσελάων, ὅδε τ' ἐξελάων ὑπακούει.
Ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθοὺς,
Τὸν μὲν, βουκολέων, τὸν δ', ἄργυφα μῆλα νομεύων·
Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.

Sic locutus, dimittebat ex-aedibus gravitèr gementem.
Hinc verò ulteriùs navigabamus, dolentes corde.
Fatigabatur autem virorum animus à remigatione molestâ,
Nostrâ stultitiâ; quoniam non ampliùs apparebat reductio.
Per-sex-dies quidem continuò navigabamus noctesque et dies;
Septimâ verò venimus Lami ad excelsam urbem,
Telepylum Laestrygoniam, ubi pastorem pastor
Inclamat intrò-agens, alter verò exigens audit.
Ibi insomnis vir duplicem caperet mercedem,
Unam quidem pascendis-bobus, alteram verò, pascendis candidis pecudibus:
Propè enim noctisque et diei sunt viae.

Ver. 81. Ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμου.] Inde Lami veterem Læstrygonis (inquit) in urbem
Venimus ———.
Ovid. Met. lib. XIV. *ver.* 233.

Ibid. —— Λάμου αἰπὺ πτολίεθρον.] Ἰστέον καὶ ὅτι Λάμος, ἡ Λαιστρυγόνος ἐπιφανοῦς ὄνομα, ἢ βασιλίδων τῶν ἐκεῖ, υἱοῦ Ποσειδῶνος. *Eustath.*

Ver. 82. Τηλέπυλον Λαιστρυγονίην.] "Oppidum Formiæ, Hormiæ dictum, ut existimavere, antiqua Læstrygonum sedes." *Plin. Nat. Hist. lib.* III. *cap.* 5. "Si verò in hanc τηλέπυλον veneris Λαιστρυγονίην (Formias dico), &c." *Cic. ad Atticum, lib.* II. *Epist.* 13. Λαιστρυγόνες, οἱ νῦν Λεοντῖνοι· εἰσὶ δὲ ἐν Σικελίᾳ, ὡς ληξοῦσιν, ὑπάρχοντες ἀνθρωποφάγοι, διὰ τὸ ἀπλήτων τοὺς Ὀδυσσέως ἑταίρους· οὐ γὰρ ἦσαν ἰδιωμένοι ξένους ὑποδέχεσθαι. *Schol. ad Lycophr. Cassandr. ver.* 956.

Ibid. Τηλέπυλον.] Μεγάλην· τῶν γὰρ τοιούτων πολὺ διεστῶσιν αἱ πύλαι· φησὶ δὲ τὸ κύριον Τηλέπυλον ἰξειλίξαντο. *Schol.* Priorem interpretationem sequuntur Editiones vulgatæ. *Barnesius* autem posteriori modo accipit. Quod et eò verisimilius, quia Epitheton τηλέπυλος nulli alii urbi apud Poetam tribuitur.

Ibid. —— ὅθι ποιμένα ποιμὴν Ἠπύει.] Ὅταν οἱ νομεῖς ἀλλήλους προσφθέγγονται διὰ τὸ σύντροφους εἶναι καὶ τοὺς νομάς· ἢ μᾶλλον τοῦ διαστήματος τὸ ἀπαντικρὺ τῶν πυλῶν μέτρον ἀπίχειν, καὶ οὕτω τὴν φωνὴν ἐξακούεσθαι τοῦ τε εἰσελαύνοντος καὶ τοῦ ἐξελαύνοντος. *Schol. Barnesius* Poetam hic nihil aliud quàm Urbem totam rei *Pastoritiæ* deditam depingere voluisse existimat. Vide infrà ad *ver.* 86.

Ver. 86. Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.] Αἱ νυκτερειναὶ καὶ ἡμερειναὶ νόμαι ἐγγύς εἰσι τῆς πόλεως. Φασὶ δὲ τοὺς Λαιστρυγόνας κατοικηκέναι τὴν τῶν Λεοντίνων περὶ Σικελίαν χώραν, ἐν ᾗ γινέσθαι πολλὴν μύωπα, καὶ τὸ εἶστρον· ὥστε τὰ μὲν λάσια τῇ ἡμέρᾳ νέμεσθαι, τὰ δὲ ψιλὰ τῇ νυκτί· καὶ οὕτως τὸν δυνάμενον ἀγρυπνεῖν δύο μισθοὺς ἀποφέρεσθαι. Κράτης δὲ φησὶ κατὰ τὴν τοῦ δράκοντος αὐτοὺς κατηστερίσθαι περιφολήν· περὶ ἧς Ἄρατος λέγει, [Φαινομ. *ver.* 61.] "Κίνη σὺν περιφολὴ τῇ "νέεται, ᾗχί περ ἄκραι Μέσγονται δύσιές τε "καὶ ἀντολαὶ ἀλλήλῃσιν." ὥστε πλείω μὲν εἶναι τὴν ἡμέραν, ὀλίγην δὲ τὴν νύκτα, ὡς ἀνάπαλιν παρὰ τοῖς Κιμμερίοις. Εἴτις οὖν δύναται διαγρυπνεῖν, διττοὺς καμίζεται μισθούς. *Schol.* Easdemque interpretationes hic affert *Eustathius.*

Ortus ubi atque Obitus parte admiscentur in unâ. *Cicero, de Naturâ Deorum, lib.* II. § 42. *ex loco Arati jam suprà à Scholiaste citato.*

—— Νύξ τε καὶ Ἡμέρα ἄσσον ἰοῦσαι.
Hesiod. Theogon. ver. 748.

Alias hujus loci explicationes videas apud *Histoire de l' Academie Royale des Inscriptions, et des Belles Lettres, Tome* I. *pag.* 161.

Ἔνθ' ἐπεὶ ἐς λιμένα κλυτὸν ἤλθομεν, ὃν πέρι πέτρη
Ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν·
Ἀκταὶ δὲ προβλῆτες ἐναντίαι ἀλλήλῃσιν
Ἐν στόματι προὔχουσιν· ἀραιὴ δ' εἴσοδός ἐστιν.
Ἔνθ' οἵγ' εἴσω πάντες ἔχον νέας ἀμφιελίσσας.
Αἱ μὲν ἄρ' ἔντοσθεν λιμένος ποίλοιο δέδεντο
Πλησίαι· οὐ μὲν γάρ ποτ' ἀέξετο κῦμά γ' ἐν αὐτῷ,
Οὔτε μέγ', οὔτ' ὀλίγον· λευκὴ δ' ἦν ἀμφὶ γαλήνη.
Αὐτὰρ ἐγὼν οἶος σχέθον ἔξω νῆα μέλαιναν,
Αὐτοῦ ἐπ' ἐσχατιῇ, πέτρης ἐπὶ πείσματα δήσας.
Ἔστην δὲ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών·
Ἔνθα μὲν οὔτε βοῶν, οὔτ' ἀνδρῶν φαίνετο ἔργα,
Καπνὸν δ' οἷον ὁρῶμεν ἀπὸ χθονὸς ἀΐσσοντα.
Δὴ τότ' ἐγὼν ἑτάρους προΐην πεύθεσθαι ἰόντας,
Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες·
Ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.
Οἱ δ' ἴσαν ἐκβάντες λείην ὁδόν, ἦπερ ἄμαξαι
Ἄστυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.

Ibi postquam ad portum inclytum venissemus, quem circum petra
Excelsa est continentèr utrinque;
Littoraque prominentia è-regione sibi-invicem
In ostio procurrunt; angustus autem introitus est:
Ibi illi intùs omnes tenebant naves remis-utrinque-agitatas.
Atque hae quidem intra portum concavum ligatae-erant
Propinquae; nunquam enim attollebatur fluctus in ipso,
Neque magnus, neque parvus; candida autem erat circùm tranquillitas.
At ego solus tenui extrà navem nigram,
Illic in extremâ-parte, è petrâ funibus ligatis.
Constiti verò, speculâ praeruptâ conscensâ:
Ibi quidem neque boum neque virorum apparebant opera,
Fumum autem solum videbamus à terrâ exurgentem.
Tum verò ego socios praemisi sciscitatum profectos,
Quinam viri essent supra terram pane vescentes;
Viris duobus electis, tertio praecone unà comite-addito.
Hi verò iverunt egressi *per* planam viam, quà utique plaustra
Ad-urbem ab excelsis montibus devehebant lignum.

Ver. 89. Ἀκταὶ δὲ προβλῆτες.] ——— projectaque saxa Pachyni. *Æn.* III, 699.

Ver. 90. —— προὔχουσιν.] *Al.* προὔχουσαι.

Ibid. —— ἀραιὴ δ' εἴσοδός ἐστιν.] Τὸ δὲ στενὸν τῆς κατὰ τὸν λιμένα εἰσόδου τὸν πολὺν ὄλεθρον τῶν περὶ Ὀδυσσέως νεῶν παλαιολογεῖ· οὐκ εἶχον γὰρ δηλῶσαι τῆς στενότητος. *Eustath.*

Ver. 93. —— κῦμά γ'.] *Al.* κύματ'.

Ver. 97 et 148. —— σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών.

Æneas scopulum intereà conscendit, et omnem
Prospectum latè pelago petit—. *Æn.* I, 180.

Ver. 99. Καπνὸν δ' οἷον ὁρῶμεν.]

Et jam summa procul villarum culmina fumant. *Ecl.* I, 82.

Ver. 100. —— πρεῖνον.] Ita ex *I*, 88. et ex *Eustathio* edidit *Barnesius*. *Al.* πρεῖτον.

Ver. 102. — κήρυχ' ἅμ' ὀπάσσας.] Ἵνα δηλωθῇ μὴ ὥσπερ ἰδιωτεύοντες διὰ τὸν κήρυκα. *Eustath.* Vide suprà ad *I*, 89.

Ver. 103. —— ἄμαξαι.] Vide ad *Il.* ω, 711. 782.

Ver. 104. —— καταγίνεον.] Vide ad *Il* σ', 493.

Κούρη δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσῃ, 105
Θυγατρὶ ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο.
Ἡ μὲν ἄρ' ἐς κρήνην κατεβήσετο καλλιρέεθρον
Ἀρτακίην, ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκον·
Οἱ δὲ παριστάμενοι προσεφώνεον, ἔκ τ' ἐρέοντο,
Ὅστις τῶν εἴη βασιλεὺς, καὶ οἵσιν ἀνάσσοι. 110
Ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπίφραδεν ὑψορεφὲς δῶ.
Οἱ δ' ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, τὴν δὲ γυναῖκα
Εὗρον, ὅσην τ' ὄρεος κορυφὴν, κατὰ δ' ἔστυγον αὐτήν.
Ἡ δ' αἶψ' ἐξ ἀγορῆς ἐκάλει κλυτὸν Ἀντιφατῆα,
Ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον· 115
Αὐτίχ' ἕνα μάρψας ἑτάρων, ἁπάλισσατο δόρπον·
Τὼ δὲ δύ' ἀΐξαντε φυγῇ ἐπὶ νῆας ἱκέσθην.
Αὐτὰρ ὁ τεύχε βοὴν διὰ ἄστεος· οἱ δ' ἀΐοντες

Puellae verò obvii-facti-sunt ante urbem aquanti, 105
Filiae eximiae Laestrygonis Antiphatae.
Haec quidem ad fontem descendebat pulchrè-fluentem
Artaciam; hinc enim aquam ad urbem ferebant:
Illi verò astantes alloquebantur, interrogabantque,
Quisnam illorum esset rex, et quibus imperaret. 110
Illa verò valdè citò patris ostendit excelsam domum.
Hi autem postquam ingressi sunt inclytam domum, mulierem utique
Invenerunt, velut montis verticem; horrueruntque illam.
Illa autem continuò è foro vocabat inclytum Antiphatem,
Suum maritum, qui sanè illis molitus est saevam mortem: 115
Statim uno correpto sociorum, apparavit-sibi coenam:
Alteri verò duo conciti fugâ ad naves pervenerunt.
Caeterùm ille clamorem excitabat per urbem; audientes verò

Ver. 105. —— πρὸ ἄστεος.] Apud *Eustathium*, πρὸς ἄστεος.

Ver. 106. Θυγατρὶ ἰφθίμῃ.] *Al.* Θυγατὶ ἰφθίμῃ.

Ver. 107. —— κατεβήσετο.] *Al.* κατεβήσατο. Vide ad *Il.* β', 35. et ί, 109.

Ver. 108. Ἀρτακίην, ἔνθεν γὰρ ὕδωρ.] Hinc *Tibullus*:

Incultos adiit Læstrygonas, Antiphatenque,
Mobilis Artacie gelidos quos irrigat undâ.
Lib. IV. *Eleg.* i. *ver.* 59.

Ver. 110. —— καὶ οἵσιν ἀνάσσοι.] *Eustathius* in commentario citat, καὶ τοῖσιν ἀνάσσοι. Et, ἐκ παραλλήλου, inquit, κατὰ μίαν ἔνωσιν κεῖται. Quod admodùm est invenustum.

Ver. 111. —— ἐπίφραδεν.] Vide ad *Il.* ξ', 500.

Ver. 113. —— ἶσην τ' ὄρεος κορυφήν.] Vide ad ί, 191.

Ver. 114. —— κλυτὸν Ἀντιφατῆα.] Hinc *Ovidius*;

Quis non Antiphaten Læstrygona devovet?—
Ex Ponto, lib. II. *Epist.* ix. 41.

Ver. 116. Αὐτίχ' ἕνα μάρψας ἑτάρων —— Τὼ δὲ δύ' ἀΐξαντε φυγῇ.]

Vixque fugâ quæsita salus comitique mihique:
Tertius è nobis Læstrygonis impia tinxit
Ora cruore suo ——.
Ovid. Metam. lib. XIV. *ver.* 236.

Vide et suprà ad ί, 289.

Ibid. —— ἕνα μάρψας.] *Al.* ἓν' ἁμάρψας.
Ibid. —— δόρπον.] *Al.* δεῖπνον.
Ver. 118. Αὐτὰρ ὁ τεύχε βοήν.]

—— Fugientibus instat, et agmen
Concitat Antiphates. Coëunt, et saxa trabesque
Continuant: merguntque viros merguntque carinas. [Ulyssen,
Una tamen, quæ nos ipsumque vehebat
Effugit ——.
Ovid. Metam. lib. XIV. *ver* 238.

Φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλος,
Μυρίοι, οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασιν.
Οἵ ῥ' ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισι
Βάλλον· ἄφαρ δὲ κακὸς κόναβος κατὰ νῆας ὀρώρει,
Ἀνδρῶν ὀλλυμένων, νηῶν θ' ἅμα ἀγνυμενάων.
Ἰχθῦς δ' ὡς, πείροντες, ἀτερπέα δαῖτα φέροντο.
Ὄφρ' οἱ τοὺς ὄλεκον λιμένος πολυβενθέος ἐντὸς,
Τόφρα δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Τῷ ἀπὸ πείσματ' ἔκοψα νεὼς κυανοπρῴροιο.
Αἶψα δ' ἑμοῖς ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
Ἐμβαλέειν κώπῃσ', ἵν' ὑπ' ἐκ κακότητα φύγοιμεν.
Οἱ δ' ἅμα πάντες ἀνέρριψαν, δείσαντες ὄλεθρον.
Ἀσπασίως δ' ἐς πόντον ἐπηρεφέας φύγε πέτρας
Νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ' ὄλοντο.
Ἔνθεν δὲ προτέρω πλέομεν, ἀπαχήμενοι ἦτορ,

Ibant fortes Laestrygones aliundè alius,
Innumeri, non hominibus similes, sed gigantibus.
Qui à petris viro-gravibus saxis
Jaciebant; statim autem malus strepitus per naves excitatus est,
Virorum pereuntium, naviumque simul fractarum.
Pisces verò tanquam, transfigentes, tristes epulas ferebant.
Dum illi hos perdebant profundum portum intra,
Intereà utique ego, gladio acuto extracto à femore,
Eo funes abscidi navis prorâ-caeruleae.
Statim autem meos socios adhortatus jussi
Incumbere remis, ut calamitatem subterfugeremus.
Hi verò simul omnes remigabant, veriti mortem.
Libentèr autem in pontum imminentes effugit petras
Navis mea; at reliquae unà-omnes illic perierunt.
Hinc autem ulteriùs navigabamus dolentes corde,

Ver. 121. Οἵ ῥ' ἀπό.] Apud *Eustathium*, Οἱ δ' ἀπό.

Ibid. —— ἀνδραχθέσι χερμαδίοισι.] Τοῖς δυναμένοις ἄνδρα καταζεύξαι ἢ μίγα βάρος παρέχουσι τοῖς βαστάζουσι. *Schol.*

Ver. 123. Ἀνδρῶν.] *Al.* Ἀνδρῶν σ'.

Ver. 124. Ἰχθῦς δ' ὡς, πείροντες.] *Al.* Ἰχθῦς δ' ὡς σκαίροντας· notante *Scholiaste.*

Ibid. —— φέροντο.] Apud *Eustathium*, φέρον το.

Ver. 126. Τόφρα δ' ἐγὼ ξίφος ὀξὺ, &c.]

—— Dixit; vaginâque eripit ensem
Fulmineum, strictoque ferit retinacula ferro. *Æn.* IV, 579.

Ibid. —— ἐγὼ ξίφος.] *Al.* ἐγὼν ἄορ.

Ver. 127. —— ἔκοψα.] Vide ad *Il.* Σ', 87.

Ver. 129. —— φύγοιμεν.] *Al.* φύγωμεν.

Ver. 130. Οἱ δ' ἅμα πάντες.]

Certatim socii feriunt mare, et æquora verrunt. *Æn.* III, 290. V, 778.

Idem omnes simul ardor habet; rapiuntque, ruuntque;
Littora deseruere: latet sub classibus æquor.
Adnixi torquent spumas, et cærula verrunt. *Æn.* IV, 581.

Ver. 131. —— ἐπηρεφέας φύγε πέτρας.] Ἤτοι ἀνωθεν ἐπηρτισμένας, ἢ ἐπικαλυπτούσας πέτρας. *Schol.* Νῦν δὲ ἐστὶν εἰπεῖν καὶ ὅτι ἐπηρεφεῖς πέτρας νοητέον ἃς καὶ αἱ παρὰ τῶν Λαιστρυγόνων ἀφίενται χερμάδες, οὕτω συχναὶ οὖσαι ὡς καὶ οἷον ἐρείφειν τοὺς βαλλομένους. *Eustath.* Verior *Scholiastis* interpretatio, ut liquet ex *Iliad.* μ', 54. *Odyss.* μ', 59. ubi eadem vox occurrit.

Ver. 133. Ἔνθεν δὲ προτέρω πλέομεν, ἀπαχήμενοι.]

—— Amissâ sociorum parte, dolentes,
Multaque conquesti, terris allabimur —. *Ovid. Metam. lib.* XIV. *ver.* 242.

Ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιε
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα,
Αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο·
Ἄμφω δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο,
Μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
Ἔνθα δ' ἐπ' ἀκτῆς νηῒ κατηγαγόμεσθα σιωπῇ
Ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
Ἔνθα τότ' ἐκβάντες, δύο τ' ἤματα καὶ δύο νύκτας
Κείμεθ', ὁμοῦ καμάτῳ τε, καὶ ἄλγεσι θυμὸν ἔδοντες.
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
Καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ,

Lubentes ex morte, charis amissis sociis.
Aeaeam verò ad insulam pervenimus: ibi autem habitabat
Circe comas-pulchra, veneranda dea, vocalis,
Germana-soror prudentis Acetae:
Ambo enim nati sunt ex hominibus-lucem-praebente Sole,
Et matre ex Perse, quam Oceanus genuit filiam.
Hìc verò ad littus nave appulimus tacitè
Navium-capacem in portum, et deus aliquis dux erat.
Ibi tum egressi, duosque dies et duas noctes
Jacebamus, paritèr et labore, et doloribus animum rodentes.
Sed quando jam tertiam diem comas-pulchra complevisset aurora,
Tum verò ego meâ hasta sumptâ et gladio acuto,

Ver. 135. Αἰαίην δ' ἐς νῆσον.] Αἰσὴν [*Barnesius* ex *Aloysii* MS. edidit Ταύτην] ἴσως φασὶ τὸ νῦν Κίρκαιον πρὸς τῇ Ἰταλίᾳ. *Schol.* Ὅτι κἀνταῦθα τὴν νῆσον τῆς Κίρκης Αἰαίην παλαιῖ παρὰ τὴν Αἶαν, πόλιν ἐς περιγεάφη Κολχικήν. *Eustath.* Vide *Theophrast. Hist. Plant. lib.* V. *cap.* 9. item suprà ad *ί*, 32.

Ver. 136. —— αὐδήεσσα.] Ἡ περιδόητος, ἢ διαλέκτῳ ἀνθρωπίνῃ χεομένη. *Eustath.* Similitèr ferè interpretatur *Scholiastes.* Fortassè per αὐδήεσσα hic intelligendum est, *Cantu excellens:* Quo sensu usurpatur hæc vox apud *Hesiodum*, notante *Barnesio* ad *ί*, 334. suprà;

Μουσάων, αἵ τ' ἄνδρα τελεφραδέοντα τέθηπεν
Θέσπιν, αὐδήεντα ——.

Atque huic interpretationi nonnihil favet quod occurrit infrà *ver.* 221.

Κίρκης δ' ἴδον ἄφαντον ἀϊδρύσης ἐπὶ καλῇ.

Et *ver.* 227.

Καλὸν ἀοιδιάει, δάπιδον δ' ἅπαν ἀμφιμέμυκεν.

Similitèr et apud *Virgilium*, de eâdem *Circe:*

—— ubi Solis filia lucos
Assiduo resonat cantu ——. *Æn.* VII, 11.

Quin et voces αἰδὴ; αὐδάω, alibi *cantus, cano,* significant:

—— Θεοῖς ἰκελίγκιος αὐδήν.
Odyss. ά, 371. *ί*, 4.

Μηδ' Ὀλυμπίας ἀγῶνα
Φέριστον αὐδάσομεν.
Pindar. Olymp. Ode I. *ver.* 11.

Porrò legitur hìc et αὐδήσασα, notante *Eustathio:* Quam lectionem et præferre videtur *Barnesius.* Vide suprà ad *ί*, 334.

Ver. 137. —— ὀλοόφρονος.] Τοῦ συντετὰ καὶ ὀλόμλεκα φρονοῦντος. *Schol.* Vide suprà ad *ά*, 52.

Ibid. —— Αἰήταο.] Κόλχων βασιλέος, πατρὸς Μηδείας, Κίρκης ἀδελφοῦ. *Schol.* Vide *Strabonem, Geograph. lib.* I. *pag.* 79. 80. *al.* 46.

Ver. 139. —— Πέρσης.] Πέρσην Ὠκεανοῦ μὲν ἴσως θυγάτης, Ἡλίου δὲ γυνή. *Schol.*

Ver. 140. —— νηΐ.] *Al.* νῆα.

Ibid. —— κατηγαγόμεσθα σιωπῇ.] Οἱ τοῦ Ὀδυσσέως δὲ φίλοι νῦν σιωπῇ κατάγονται, οἷα ἤδη πιφοβημένοι διὰ τὸ τῶν Κυκλώπων καὶ τὸ τῶν Λαιστρυγόνων παράξενον· οὓς ἀτενίζοντες, ὑποστυίουσι καὶ τὴν τῆς Κίρκης νῆσον ὡς ἀνθρωπολέφρον. *Eustath.*

Ver. 144. Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ.]

Ut primum lux alma data est, exire; locosque
Explorare novos, quas vento accesserit oras. *Æn.* I, 306.

Καρπαλίμως παρὰ νηὸς ἀνήϊον ἐς περιωπὴν,
Εἴπως ἔργα ἴδοιμι βροτῶν, ἠνοπήν τε πυθοίμην.
Ἔστην δὲ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
Καί μοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης,
Κίρκης ἐν μεγάροισι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
Μερμήριξα δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
Ἐλθεῖν, ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
Ὧδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης,
Δεῖπνον ἑταίροισιν δόμεναι, προέμεν τε πυθέσθαι.
Ἀλλ' ὅτε δὴ σχεδὸν ἦα νεὸς ἀμφιελίσσης.
Καὶ τότε τίς με θεῶν ὀλοφύρατο μοῦνον ἐόντα,
Ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
Ἧκεν· ὁ μὲν ποταμόνδε κατήϊεν ἐκ νομοῦ ὕλης,
Πιόμενος, (δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο·)
Τὸν δ' ἐγὼ ἐκβαίνοντα κατ' ἄπνηστιν μέσα νῶτα
Πλῆξα· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε·
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός·
Τῷ δ' ἐγὼ ἰμβαίνων, δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἰρυσάμην· τὸ μὲν αὖθι καταπλίνας ἐπὶ γαίῃ

Celeritèr à nave ascendi in speculam,
Sicubi opera viderem mortalium, vocemque audirem.
Steti autem, speculam in praeruptam ubi-conscendissem,
Et mihi visus est fumus à terrâ latâ,
Circes in aedibus, per querceta densa et sylvam.
Cogitavi autem deinde in mente et in animo
Ire, atque sciscitari; postquam vidi atrum fumum.
Sic verò mihi cogitanti visum est satius esse,
Primùm profectum ad navem celerem et littus maris,
Prandium sociis dare, praemittereque sciscitatum.
Sed quando jam prope eram profectus navem remis-utrinque-agitatam,
Tum verò aliquis me deorum misertus est solum existentem,
Qui utique mihi excelsis-cornibus cervum magnum in viam ipsam
Misit: is quidem ad flumen descendebat ex pascuis sylvae
Potaturus, (dudùm enim ipsum urgebat vis Solis:)
Illum verò ego egredientem per spinam medio tergo
Percussi, penitùs autem hastile aereum transiit:
Decidit verò *is* in pulveribus vociferatus, avolavitque anima:
Illi verò ego irruens, hastam aeream ex vulnere
Extraxi, quam quidem illic reclinatam in terrâ

Ver. 146. —— παρὰ νηός.] *Al.* ἀπὸ νηός.
Ver. 149. Καί μοι εἰσατο καπνός.]
—— aperire procul montes, ac volvere fumum. *Æn.* III, 206.
Ver. 158. —— ὑψικερων.] *Al.* ὑψικερων.
Ver. 159. νομοῦ.] Vide ad *Il.* υ, 249.
Ver. 160. Πιόμενος.] *Al.* Πινόμενος. Vide infrà ad π', 143.

Εἴασ'· αὐτὰρ ἐγὼ σπασάμην ῥῶπάς τε λύγους τε·
Πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐϋστρεφὲς ἀμφοτέρωθεν
Πλεξάμενος, συνέδησα πόδας δεινοῖο πελώρου.
Βῆν δὲ καταλοφάδια φέρων ἐπὶ νῆα μέλαιναν,
Ἔγχει ἐρειδόμενος, ἐπεὶ οὔπως ἦεν ἐπ' ὤμου
Χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν.
Κὰδ δ' ἔβαλον προπάροιθε νεώς· ἀνέγειρα δ' ἑταίρους
Μειλιχίοις ἐπέεσσι, παρασταδὸν ἄνδρα ἕκαστον·
Ὦ φίλοι, οὐ γάρ πως καταδυσόμεθ', ἀχνύμενοί περ,
Εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ.
Ἀλλ' ἄγετ', ὄφρ' ἐν νηὶ θοῇ βρῶσίς τε πόσις τε,
Μνησόμεθα βρώμης, μηδὲ τρυχώμεθα λιμῷ.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
Ἐκ δὲ καλυψάμενοι παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο
Θηήσαντ' ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν.
Αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,

Reliqui; at ego avulsi virgultaque viminaque;
Funeque ad ulnae-longitudinem benè-torto undique
Complicato, colligavi pedes ingentis monstri.
Ibam autem cervice ferens ad navem nigram,
Hastâ fultus, quoniam nequaquam erat in humero
Manu ferre alterâ; valdè enim magna bellua erat.
Dejeci autem ante navem; excitavique socios
Blandis verbis, astans, viros singulos:
" O amici, nequaquam enim descendemus, afflicti licèt,
" In Plutonis aedes, antequam fatalis dies advenerit.
" Sed agite, quamdiù est in navi celeri cibusque potusque,
" Recordemur escae; neque vexemur fame."
Sic dixi; illi verò ocyùs meis verbis paruerunt:
Egressi autem è latebris, ad littus maris infructuosi
Admirabantur cervum; valdè enim magna bellua erat.
Caeterùm postquam oblectati essent spectantes oculis,

Ver. 166. Εἴασ'· αὐτὰρ ἐγώ.] Vulgati habent Εἴασα· αὐτὰρ ἐγώ. *Henricus Stephanus* autem in annotationibus; " Legitur," inquit, " et εἶασ', cum quâ lectione stare potest versus, quum hoc *a* producatur et alibi." Immò verò alioqui stare non potest. Nam Εἴασα *mediam* necessario producit. Vide ad *Il.* κ', 299. Et MS. à *Tho. Bentleio* collatus habet Εἴασ'· αὐτάρ.

Ver. 167. —— ἄργυιαν.] Τὴν τῶν χειρῶν ἔκτασιν. *Schol.*

Ver. 169. —— καταλοφάδια φέρων.] Κατὰ λόφους καὶ αἰχίνες, κατὰ τραχήλους. *Schol.* et *Eustath.* Cæterùm *secundam* producit hæc vox eâdem ratione ac καταιτίων suprà *i*, 490. Vide ad *Il.* ζ', 62. et π'. 174. *Al.* καταλοφάδια.

Ver. 170. —— οὔπως ἦεν ἐπ' ὤμου.] *Al.* οὔπως ἦν ἐπὶ ὤμου. *Scholiastes* videtur legisse, οὔπως εἶχεν ἐπ' ὤμου.

Ver. 174. Ὦ φίλοι, οὐ γάρ πως καταδυσόμεθ'.] Ὁ Ποσειδὼν ἀρχόμενος ἀπὸ τοῦ, γάρ, ἵνα ἐπάγῃ τὸν, ἀλλὰ, σύνδεσμον, συντάσσεσθαι οὐ τῷ, δέ. *Eustath.* *Barnesius* legendum conjicit οὐκ ἄρ πως. " Nihil enim," inquit, " τὸ " γάρ videtur huc pertinere." Minùs rectè uterque: Refertur enim, ut opinor, vocula, γάρ, ad id quod elegantèr reticetur: " *Ne* " *animum penitùs abjiciatis; nequaquam* ENIM, *&c.*" Vide ad *Il.* i, 22. item infrà ad *ver.* 190.

Ibid. —— οὐ γάρ πως.] *Al.* οὐ γάρ πω, et οὐ γάρ που.

Ver. 175. —— πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ.]

Stat sua cuique dies ——.
Æn. X, 467.

Ibid. —— ἐπέλθῃ.] *Eustathius* videtur legisse ἐπιλέῃ.

Χεῖρας νιψάμενοι τεύχωντ' ἐρικυδέα δαῖτα.
Ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἥμεθα δαινύμενοι πρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότ' ἐκοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον·
Κέκλυτέ μευ μύθων, καμάτῳ περ πάσχοντες, ἑταῖροι·
Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν, ὅπη ζόφος, οὐδ' ὅπη ἠώς,
Οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
Οὐδ' ὅπη ἀνείσαι· ἀλλὰ φραζώμεθα θᾶσσον,
Εἴτις ἔτ' ἔσται μῆτις, ἐγὼ δ' οὐκ οἴομαι εἶναι.
Εἶδον γὰρ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,

Manibus lotis apparabant eximium convivium.
Sic tum quidem totum diem ad solis occasum
Sedebamus, epulantes carnes copiosas et vinum dulce:
Quando autem sol occidit, et tenebræ advenerunt,
Utique tunc decubuimus in littore maris.
Quando autem manè-genita apparuit rosea-dīgitos Aurora,
Tum verò ego concione factâ inter omnes locutus sum:
" Audite meos sermones, mala licèt patientes, socii:
" O amici, neque enim scimus, ubi Occasus, neque ubi Aurora,
" Neque ubi sol hominibus-lucem-praebens vadit sub terram,
" Neque ubi resurgit: sed consultemus ocyùs,
" Si quod ampliùs sit consilium; ego autem non existimo esse.
" Vidi enim, speculam in praeruptam ubi ascendissem,

Ver. 188. ——μετὰ πᾶσιν ἔειπον.] *Al.* μετὰ μῦθον ἔειπον.

Ver. 190. Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν.] Οἱ τῶν οἴονται τὸ ὑπερξανὸν πλοκὴν εἶναι ἡμητίας. —— οὐκ ἴσασι δὲ τί ἐστὶν ὑπερξανόν. Τὸ γὰρ ὑπερξανὸν ἐστὶν οὐ μόνον καλὸν σχῆμα, ἀλλὰ καὶ ἀναγκαῖον. Γίνεται δὲ, ὅταν τὴν αἰτίαν τοῦ λυγρομένου, ἢν μέλλει τοῦτο ὁ ἀκροατὴς, μέσον ὁ λέγων τάξῃ· καὶ οὕτως γίνεται σαφηνείας ἕνεκεν τὸ ὑπερξανόν. Οἷον, " Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν, —— φραζώμεθα θᾶσσον." Εἰ γὰρ εἶπε, " Ὦ φίλοι, φραζώμεθα θᾶσσον," ἁπλῶς εἶπε· νῦν δὲ, καὶ ἐποίησε τὸ γίγνεσθαι ἐρωτῆσαι. Διὰ τοῦτο διὰ μέσου, τὰς αἰτίας τοῦ, φράζεσθαι θᾶσσον, ἔταξε. *Hermogenes, περὶ μεθόδου δεινότητος, cap.* 14. Rectiùs autem fortassè referri intelligetur istud γάρ ad id quod elegantèr reticetur: " *Nescio quid nobis faciendum* " *sit; neque* ENIM, *&c.*" Vide suprà ad *ver.* 174. *Barnesius* legendum conjicit, οὐκ ἄρ τ' ἴδμεν.

Ibid. —— οὐ γάρ τ' ἴδμεν, ὅπη ζόφος, οὐδ' ὅπη ἠώς, Οὐδ' ὅπη ἠέλιος, *&c.*] Οὐ γὰρ ἴδμεν, ὅπου δύσις, ἢ ὅπου ἀνατολή· ταῦτα δὲ λέγει οὐκ ἀτοπῶν, ἀλλὰ δεινοτάτων τοῖς παροῦσιν. *Schol.* Λέγει μὴ εἰδέναι ὅπῃ κοσμικοῦ κλίματος εἰσὶν· οὐ γὰρ ἔχομεν, φησὶ, συγκρῖναι εἴπερ ἀνατολικὰ πρὸς ἑτέραν χώραν ἐσμὲν, ἢ δυτικά. *Eustath.* Alii quatuor mundi plagas hic designari existimant. " Non duas duntaxat mundi " plagas his verbis indicari; sed quot omninò sunt, 4 scilicet comprehendere Poetam voluisse multò probabilius judica-" bam." *Meric. Casaubon. de rupertâ Homeri edit. Dissertat.* I. Et *Scholiastes* ad *Odyss.* β', 1. citato hoc loco; Νῦν γάρ (inquit,) καθὰ φησὶν ὁ Κράτης, τῶν τεσσάρων τοῦ κόσμου μέρων. Ἄρκτου, Μεσημβρίας, Ἀνατολῆς, Δύσεως. Vide et *Strabonem, Geographa lib.* I. *pag.* 59. *al.* 34. *et lib.* X. *pag.* 697. *al.* 455.

Ver. 191. —— εἶσ' ὑπὸ γαῖαν.] Apud *Eustathium* in commentario, εἶσιν ὑπὸ γῆν.

Ver. 192. —— ἀνείσαι.] Ἀντὶ τοῦ, ἀναστείχει, ἀνείται, ἀνίσχεται, ἀνατέλλει. *Eustath. Al.* ἀνῆται. Malè.

Ver. 193. —— ἴσασι.] *Al.* ἴστε.

Νῆσον, τὴν περὶ πόντος ἀπείριτος ἐστεφάνωται·
Αὐτὴ δὲ χθαμαλὴ κεῖται· παπὸν δ' ἐνὶ μέσση
Ἔδρακον ὀφθαλμοῖσι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
Ὡς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ,
Μνησαμένοις ἔργων Λαιστρυγόνος Ἀντιφάταο,
Κύκλωπός τε βίης μεγαλήτορος ἀνδροφάγοιο
Κλαῖον δὲ λιγέως, θαλερὸν κατὰ δάκρυ χέοντες.
Ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν.
Αὐτὰρ ἐγὼ δίχα πάντας ἐϋκνήμιδας ἑταίρους
Ἠρίθμεον· ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασσα·
Τῶν μὲν ἐγὼν ἦρχον, τῶν δ' Εὐρύλοχος θεοειδής.
Κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλομεν ὦκα·
Ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.
Βῆ δ' ἰέναι, ἅμα τῷ γε δύω καὶ εἴκοσ' ἑταῖροι
Κλαίοντες· κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπισθεν.

" Insulam, quam pontus infinitus circumdat;
" Ipsa verò humilis jacet: fumum autem in medio
" Conspicatus sum oculis, per querceta densa et sylvam."
Sic dixi: illis verò confractum est charum cor,
Recordatis facinorum Laestrygonis Antiphatae,
Cyclopisque violentiae magnanimi, viros-devorantis.
Flebant autem stridulè, uberes lachrymas profundentes.
Sed nullus profectus fiebat lugentibus.
At ego bipartitò omnes benè-ocreatos socios
Numerabam; ducemque utrisque praebui:
Alterorum quidem ego dux-eram, alterorum verò Eurylochus deo-similis.
Sortes autem in galeâ aereâ concutiebamus celeritèr;
Exiliit verò sors magnanimi Eurylochi.
Perrexit autem *is* ire; unáque cum eo duo et viginti socii
Flentes; nos verò reliquerunt lugentes ponè.

Ver. 195. —— τὴν περὶ πόντος ἀπείριτος ἐστεφάνωται.] Μεταφορικῶς λέγει, ἤγουν ἐστὶν ἀπὸ τοῦ κυρίως δηλουμένου πράγματος ἐφ' ἕτερον μετενηγμένη μετὰ τῆς ἀμφοῖν ἀναλόγου ὁμοιότητος, καὶ πολλὴ ἐστὶ καὶ ποικίλη παρ' αὐτῷ· [Ὁμήρῳ·] οἷον ἐστὶν, —— " Νῆσος, τὴν περὶ πόντος ἀπείρι-" τος ἐστεφάνωται." Ὃν γὰρ λόγον ἔχει —— στέφανος πρὸς τοῦτον, ὃν περίκειται, τὸν αὐτὸν θάλασσα πρὸς νῆσον. Ἀλλὰ τὸ χρήσασθαι τοῖς ὁμοίοις, ἀντὶ τῶν κυρίων, ὀνόμασιν, ἰδιώτευον καὶ ὑπαγγέλλειν ποιεῖ τὸν λόγον. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7.

Ver. 199. Μνησαμένοις ἔργων Λαιστρυγόνος.]

Nos quoque Circæo religatâ in littore pinu,
Antiphatæ memores, immansuetique Cyclopis,
Ire negabamus; te tecta ignota subire.
Ovid. Metam. lib. XIV. *ver.* 248.

Ver. 200. —— ἀνδροφάγοιο.] *Al.* ἀνδρεβίαιο, et ἀνδροφόνοιο.

Ver. 201. —— κατὰ δάκρυ χέοντες.] *Al.* καταδακρυχέοντες.

Ver. 202. Ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν.]

Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
Iliad. ω, 524.

—— miseros non levat dolor.
Seneca, Hippolyt. ver. 402.

Cæterùm, " et hîc," inquit *Barnesius*, " vi-" detur legendum, Ἀλλ' οὐκ ἄρ τις." Vide autem suprà ad *ver.* 174 et 190.

Ver. 204. Ἠρίθμεον.] Enuntiabatur ac si scriptum fuisset Ἠρίθμουν, vel Ἠρίθμειν. Ut rectè notavit *Barnesius*.

Ver. 209. —— κατὰ δ' ἄμμε λίπον.] Si ἄμμε hic *duale* sit, intelligendum erit, *Ulyssem*, et *sociorum partem*, cui ducem se ipse

Εὗρον δ' ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης
Ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
Ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι, ἠδὲ λέοντες,
Τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ' ἔδωκεν.
Οὐδ' οἵ γ' ὡρμήθησαν ἐπ' ἀνδράσιν, ἀλλ' ἄρα τοίγε
Οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσταν.
Ὡς δ' ὅταν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
Σαίνωσ', (αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ·)
Ὣς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες, ἠδὲ λέοντες,
Σαῖνον· τοὶ δ' ἔδδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.
Ἔσταν δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
Κίρκης δ' ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ,

Invenerunt autem in convalle aedificatas aedes Circes
Politis lapidibus, conspicuo in loco.
Circa verò ipsam lupi erant montani atque leones,
Quos ipsa cicuraverat, postquam mala medicamina dedisset.
Neque illi sanè irruerunt in viros, sed utique ipsi
Caudis longis adulantes assurrexerunt.
Ut verò cùm circa dominum canes à convivio profectum
Adulantur, (semper enim fert delinimenta animi;)
Sic circa hos lupi fortibus-unguibus atque leones
Adulabantur: illi verò timuerunt, ut viderunt gravia monstra.
Steterunt autem in vestibulo deae comas-pulchrae:
Circen autem intùs audiebant cantantem voce pulchrâ,

---

praebuerat, *ver.* 204. 205. Vide autem suprà ad *ι*, 404. et ad *Il. α*, 59.

Ver. 211. 215. Ξεστοῖσιν ——— Οὐρῇσιν.] Ita edidit *Barnesius* ex *ver.* 253. infrà; ubi in vulgatis editum est Ξεστοῖσιν. *Vulgg.* hic Ξεστοῖσι —— Οὐρῇσι. Quæ et ferri possent. Vide ad *Il. α*, 51.

Ibid. et *ver.* 253. —— περισκέπτῳ ἐνὶ χώρῳ.] Ὁ ταυτὸν ἐστὶ τῷ ἐν σκοπιᾷ καὶ περιωπῇ. *Eustath.* Dna. *Dacier* verò interpretatur, "*Dans un lieu couvert.*"

Ver. 212. Ἀμφὶ δέ μιν λύκοι.]

Hinc exaudiri gemitus, iraque leonum
Vincula recusantum, et serâ sub nocte rudentum:
Setigerique sues, atque in præsepibus ursi
Sævire, ac formæ magnorum ululare luporum:
Quos hominum ex facie Dea sæva potentibus herbis
Induerat Circe in vultus ac terga ferarum. *Æn.* VII, 15.

Quæ simul attigimus, stetimusque in limine tecti;
Mille lupi, mistæque lupis ursæque leæque
Occursu fecere metum; sed nulla timenda,
Nullaque erat nostro factura in corpore vulnus.
Quinetiam blandas movere per aëra caudas
Nostraque adulantes comitant vestigia ——. *Ovid. Metam. lib.* XIV. *ver.* 254.

Porrò *Scaliger Virgilium*, loco jam suprà citato, *Homero* superiorem contendit. "Omitto (inquit) circumscriptiones, quibus "nihil accommodatius ad Heroïcam ma"jestatem; ut, *iræ leonum*; et naturam, "*vincla recusantum.* At versus illi duo di"vini ultimi. Homines enim adhuc erant, "facie tantùm mutatâ. Idcircò non *lupos*, "sed *formas*, hoc est, figuras luporum dixit "vir incomparabilis." *Poetic. lib.* V. *cap.* 3. Notandum tamen, (quod non observavit vir eruditus,) rem non unam eandemque hic describere utrumque Poetam. *Homerus* enim feras agrestes medicaminibus cicuratas, *Virgilius* homines in ferarum speciem conversos depingit.

Ver. 215. —— περισσαίνοντες.] *Al.* περιφαίνοντες.

Ver. 220. —— εἰνὶ θύρῃσι.] *Al.* ἐν προθύροισι.

Ver. 221. Κίρκης δ' ἔνδον ἄκουον ἀειδούσης.] Vide suprà ad *ver.* 136.

Ἰστὸν ἐποιχομένης μέγαν, ἄμβροτον· οἷα θεάων
Λεπτά τε, καὶ χαρίεντα, καὶ ἀγλαὰ ἔργα πέλονται.
Τοῖσι δὲ μύθων ἦρχε Πολίτης, ὄρχαμος ἀνδρῶν,
Ὅς μοι κήδιστος ἑταίρων ἦν, κεδνότατός τε·
Ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν,
Καλὸν ἀοιδιάει, (δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν,)
Ἢ θεὸς, ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.
Ὡς ἄρ' ἐφώνησεν· τοὶ δ' ἐφθέγγοντο καλεῦντες·
Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,
Καὶ κάλει· οἱ δ' ἅμα πάντες ἀϊδρείησιν ἕποντο·
Εὐρύλοχος δ' ὑπέμεινεν, ὀϊσσάμενος δόλον εἶναι.
Εἶσεν δ' εἰσαγαγοῦσα κατὰ κλισμούς τε, θρόνους τε.
Ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν
Οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δὲ σίτῳ
Φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
Ῥάβδῳ πεπληγυῖα, κατὰ συφεοῖσιν ἐέργνυ.

Telam percurrentem ingentem, divinam; qualia dearum
Subtiliaque, et venusta, et splendida opera sunt.
His verò sermonem exordiebatur Polites, princeps virorum,
Qui mihi charissimus sociorum erat, maximéque venerandus:
" O amici, intùs enim aliqua percurrens ingentem telam
" Pulchrè canit, (pavimentum autem totum resonat,)
" Aut dea, aut foemina; sed compellemus ocyùs."
Sic utique dixit: illi verò compellabant vocantes:
Ea autem continuò egressa fores aperuit splendidas,
Et invitabat; illi verò unà omnes imprudentiâ sequebantur:
Eurylochus autem remanebat, suspicatus dolum esse.
Collocavit verò *ea* introductos per sediliaque, thronosque,
Ipsisque caseumque et farinam et mel recens,
Vino Pramnio immiscebat; commiscebatque pani
Medicamina perniciosa, ut penitùs oblivisceretur patriae terrae.
Caeterùm postquam praebuisset*que* et *ii* ebibissent, statim deinde
Virgâ percussos intra haras concludebat.

Ver. 225. Ὅς μοι κήδιστος ἑταίρων ἦν.] *Al.* Ὅς μοι ἑταίρων ἦν κήδιστος.

Ver. 226. Ὦ φίλοι, ἔνδον γάρ τις.] Vide suprà ad *ver.* 174. 190. et ad *Il. ι*, 201.

Ver. 232. —— ὀϊσσάμενος δόλον εἶναι.] Ἀπὸ τοῦ, μόνην οὖσαν φιλοφρόνως αὐτοὺς καλεῖν, καὶ ἀπὸ τῆς ἡμιρόστητος τῶν θηρίων. *Schol. Al.* ὀϊσσατο γὰρ δόλον εἶναι.

Ver. 233. Εἶσεν δ'.] Post hunc versum sequitur in MS. à *Tho. Bentleio* collato:

Τεῦχεν δὲ κυκεῶ χρυσείῃ δίσκαι ἔχρα πίειν.

Ut infrà *ver.* 316.

Ver. 234. Ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι.]

Ἐν τῷ γά σφι κύκησι γυνὴ τέκυῖα θεῖεν
Οἴνῳ Πραμνείῳ ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
Κνήστι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε. *Iliad. λ'*, 637.

——misceri tosti jubet hordea grani
Mellaque, vimque meri cum lacte coăgula passo;
Quique sub hâc lateant furtim dulcedine succos
Adjicit ——.
Ovid. Metam. lib. XIV. *ver.* 273.

Ver. 235. Οἴνῳ Πραμνείῳ.] Ἔνιοι —— τῷ ἐκ Πραμνίας ἀμπέλου γινομένῳ οἴνῳ· λέγεται δὲ καὶ Πραμνὶς ἄμπελος ἡ καὶ Θασία. *Schol.*

Ver. 237. —— αὐτίκ' ἔπειτα Ῥάβδῳ πεπληγυῖα.]

Et tetigit summos virgâ Dea dira capillos.
Ovid. Metam. lib. XIV. *ver.* 278

Οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, δέρμας τε,
Καὶ τρίχας· αὐτὰρ νοῦς ἦν ἔμπεδος, ὡς τὸ πάρος περ.
Ὣς οἱ μὲν κλαίοντες ἐίσχανον· τοῖσι δὲ Κίρκη
Πάρ ῥ' ἄκυλον, βάλανόν τ' ἔβαλεν, καρπόν τε κραπείης,
Ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν.
Εὐρύλοχος δ' αἶψ' ἦλθε δόμὴν ἐπὶ νῆα μέλαιναν,
Ἀγγελίην ἑτάρων ἠρίων καὶ ἀθεμίστου πότμοιο.
Οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος, ἱέμενός περ,
Κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ οἱ ὄσσε
Δακρυόφιν πίμπλαντο, γόου δ' ὠΐετο θυμός.
Ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθ' ἐξερέοντες,
Καὶ τότε τῶν ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον·
Ἤομεν, ὡς ἐπέλευες, ἀνὰ δρυμὰ, φαίδιμ' Ὀδυσσεῦ·

Illi verò suum quidem habebant capita, vocemque, corpusque,
Et setas; at mens erat integra, ut antea scilicet.
Sic hi quidem flentes conclusi sunt: eis autem Circe
Glandem-ilignam, quernamque projecit, fructumque corni,
Ad-edendum, qualia sues humi-cubantes semper edunt.
Eurylochus autem continuò venit celerem ad navem nigram,
Nuncium de sociis relaturus, et amarum fatum.
Neque ullum proloqui poterat verbum, cupiens licèt,
Cor dolore ingenti perculsus: ei autem oculi
Lachrymis implebantur; luctumque imaginabatur animus.
Sed postquam eum omnes admirati sumus interrogantes,
Tum verò caeterorum sociorum narravit exitium:
" Ivimus, ut jubebas, per quercèta, inclyte Ulysses;

Ver. 242.——ἄκυλον, βάλανόν τ'.] "Ἀκυλον, τὸν τῆς πρίνου καρπόν. Βάλανον, δημὸς καρπός. *Schol.*

Ibid.——καρπόν τε κραπίης.] Ὁ τῆς κραπίας καρπὸς πίνακι λίγνται. *Schol.*

Ver. 244. Εὐρύλοχος δ' αἶψ' ἦλθε.] *Barnesius* de suo edidit ἐψ ἦλθ. Rationibus, ut opinor, haud satis idoneis.

Ver. 246. Οὐδέ τι ἐκφάσθαι δύνατο.] Sic *Iliad.* ζ', 695.

Δὴν δέ μιν ἄμφασίη ἐσέλε· τὸ δέ οἱ ἐπὶ θυμὸν ὄρωρε
Δακρυόφι πλῆσθαι, δολερὴ δέ οἱ ἴσχετο φωνή.

Et apud *Apollonium*;

Δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ἐίσαντο,
Ἄτῃ ἀμηχανίῃ τε κατηφέες. ——
Argonautic. III, 503.

——— Obmutuit illa dolore;
Et pariter vocem, lachrymasque introrsus obortas
Deserat ipse dolor.———
Ovid. Metam. lib. XIII. *ver.* 538.

Hæserunt lachrymæ: non vox, non spiritus oris
Redditur.———
Claudian. de Rapt. Proserp. III, 151.

Cursè leves loquuntur, ingentes stupent.
Senèca, Hippolyt. ver. 604.

Ibid. Οὐδέ τι.] *Al.* Οὐδ' ἔτι.

Ibid.——ἐκφάσθαι.] *Al.* ἐκφάσθαι. Minùs rectè. Vide suprà ad β', 183.

Ibid.——δύνατο ἔπος.] Vide ad *Il.* ε', 35. et ώ, 285. *Barnesius* hoc in loco consultò à Poetâ factum arbitratur, ad *Eurylochi* horrorem exprimendum. Vide ad *Il.* λ', 36. et μ', 208.

Ver. 247.——βεβολημένος.] Vide ad *Il.* ν', 212.

Ver. 249.—ἀγασσάμεθ'.] *Al.* ἀγαζόμεθ'.

Ver. 251. "Ἤομεν, ὡς ἐπέλευες.] "Οτι ἴσασι νῆσαι τῆς εὐρυθμίας τὰ δύο ἴσα τιθέντα· "Ἠομεν " μὲν ὡς ἐπέλευες ἤς." Καλὸν δ' ἐν τούτοις καὶ ἡ ἀσύνδετος διάλυσις. *Eustath.* Τοιοῦτον ἴσως καὶ τὸ 'Ασύνδετον, ὑπόταν ἐξαίφνης οἱ σύνδεσμοι οἱ συνδέοντες τὴν φράσιν ὄπισθεν οὐ μόνον τάχους, ἀλλὰ καὶ ἐμφάσεως ἀκολουθίας χάριν γίνωνται· οἷον ἴσως καὶ ἐνταῦθα "Ἠομεν ὡς ἐπέλευες·—— Εὔρυμεν " ἐν βάθεσι ὕλης ἐκ." Ἐν γὰρ τούτοις ἡ Καὶ σύνδεσμος ἐξήρτηται, τὸν τάχιστον φράσιν τῆς ἀπαγγελίας ζητοῦντος τοῦ λέγοντος. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ἀκριβείας, § 8. Vide et *Longinum de Sublimitate*, ¶ 19. Ipsò finitò,

Εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλὰ
Ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
Ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ' ἄειδεν,
Ἢ θεὸς, ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.
Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,
Καὶ κάλει· οἱ δ' ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
Αὐτὰρ ἐγὼν ὑπέμεινα, ὀϊσσάμενος δόλον εἶναι.
Οἱ δ' ἅμ' ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
Ἐξεφάνη· δηρὸν δὲ καθήμενος ἐσκοπίαζον.
Ὡς ἔφατ'· αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον
Ὤμοιϊν βαλόμην, μέγα, χάλκεον· ἀμφὶ δὲ τόξα.
Τὸν δ' αἶψ' ἡνώγεα αὐτὴν ὁδὸν ἡγήσασθαι.
Αὐτὰρ ὅγ' ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων,
Καί μ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Μή μ' ἄγε πεῖσ' ἀέκοντα, διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ·
Οἶδα γὰρ, ὡς οὔτ' αὐτὸς ἐλεύσεαι, οὔτε τιν' ἄλλον
Ἄξεις σῶν ἑτάρων· ἀλλὰ ξὺν τοίσδεσι θᾶσσον

" Invenimus in convalle aedificatas aedes pulchras
" Politis lapidibus, conspicuo in loco.
" Illic autem quaedam magnam telam percurrens argutè canebat,
" Aut dea, aut mulier: hi verò compellabant vocantes. 255
" Illa autem continuò egressa fores aperuit splendidas,
" Et invitabat; hi verò simul omnes imprudentiâ sequebantur:
" At ego substiti, suspicatus dolum esse.
" Illi verò simul evanuerunt universi, neque quisquam eorum
" Apparuit: diù autem desidens speculabar." 260
Sic dixit: at ego gladium quidem argenteis-clavis-distinctum
Humeris circumjeci ingentem, aereum; circúmque arcum.
Illum verò continuò jussi eandem viam praeire.
At ille utrâque-*manu* prehensis precabatur genubus,
Et me lugens verbis alatis allocutus est: 265
" Ne me duc illuc invitum, Jovis-alumne, sed relinque hìc:
" Novi enim, quòd neque ipse redibis, neque quenquam aliorum
" Reduces tuorum sociorum; sed cum hisce ocyùs

Ibid. "Ἡμειν.] Apud *Dionysium Halicarn.* loco jam citato, "Ιομεν.

Ibid. —— ικίλιεσε.] *Al.* ικίλιεσας.

Ver. 252. —— δώματα καλά.] Apud *Dionysium* et *Longinum*, locis suprà citatis, δώματα κίρκης. Malè: " Quippe" (ut rectè ad *Longini* locum annotat *Faber*) " in il- " lâ narratione Eurylochus testatur igno- " râsse se primùm, cujusnam ædes illæ " essent; "Ενθα δέ τις μέγαν ἱστὸν ἐποιχομένην " λίγ' ἄειδεν, "Η θεὸς, ἠὲ γυνή· &c. (*ver.* 254.)

Ver. 253. Ξεστοῖσιν λάεσσι.] Deest hic versus in MS. à *Tho. Bentleio* collato.

Ver. 261. —— περὶ μὲν ξίφος ἀργυρόηλον "Ωμοιϊν βαλόμην.] Tum lateri atque humeris Tegeæum subligat ensem. *Æn.* VIII, 459.

Ver. 263. Τὸν δ' αἶψ' ἡνώγεα.] *Barnesius* legendum conjicit, Τὸν δ' ἄψ ἠνώγεα.

Ibid. —— ἡνώγεα.] *Al.* ἠνώγειν et ἠνώγειν.

Ver. 264. —— ἀμφοτέρῃσι λαβών.] *Al.* ἀμφοτέρῃσιν ἰλών.

Ibid. —— ἐλλίσσετο.] Ita *Barnesius. Vulgg.* ἐλίσσετο. Quod et ferri posset, eodem modo ac ἐλάσιμα, *Iliad. ά.* 4.' notante *Henrico Stephano* ad hunc locum. " Sed intereà ta- " men," inquit vir idem eruditus, " tutius " esse puto ἐλλίσσετο ut ἐλλισάμην scribere." Vide et infrà ad *ver.* 481.

Ver. 265. Καί μ' ὀλοφυρόμενος.] Deest hic versus in MS. à *Tho. Bentleio* collato.

Φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Εὐρύλοχ', ἦτοι μὲν σὺ μένε αὐτοῦ τῷδ' ἐνὶ χώρῳ,
Ἔσθων καὶ πίνων, κοίλῃ παρὰ νηῒ μελαίνῃ·
Αὐτὰρ ἐγὼν εἶμι· κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη.
Ὣς εἰπὼν, παρὰ νηὸς ἀνήϊον, ἠδὲ θαλάσσης.
Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλον, ἰὼν ἱερὰς ἀνὰ βήσσας,
Κίρκης ἴξεσθαι πολυφαρμάκου ἐς μέγα δῶμα,
Ἔνθα μοι Ἑρμείας χρυσόῤῥαπις ἀντεβόλησεν
Ἐρχομένῳ πρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικὼς,
Πρῶτον ὑπηνήτῃ· τοῦπερ χαριεστάτη ἥβη·
Ἕν τ' ἄρα μοι φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Πῇ δ' αὖτως, δύστηνε, δι' ἄπριας ἔρχεαι οἶος,
Χώρου ἄϊδρις ἐών; ἕταροι δέ τοι οἵδ' ἐνὶ Κίρκης
Ἔρχαται, ὥστε σύες πυκινοὺς εὐθμῶνας ἔχοντες.
Ἦ τοὺς λυσόμενος δεῦρ' ἔρχεαι; οὐδέ σε φημὶ

" Fugiamus: adhuc enim effugere-poterimus malum diem."
Sic dixit: at ego ipsum respondens allocutus sum:
" Eurylochе, sanè tu quidem mane ibidem hoc in loco,
" Edens et bibens, cavam apud navem nigram:
" At ego ibo; dura enim mihi adest necessitas."
Sic fatus, à nave ascendebam, atque mari.
Sed cùm jam eram, profectus sacras per valles,
Circes accessurus veneficae ad magnam domum,
Ibi mihi Mercurius aureo-caduceo obviam-venit
Proficiscenti ad domum, adolescenti viro similis,
Primùm pubescenti; cujus scilicet gratiosissima pubertas:
Inhaesitque mihi manui, verbumque dixit, et compellavit:
" Quorsùm verò temerè, infelix, per juga vadis solus,
" Locorum ignarus cùm-sis? socii autem tibi illi in Circes *aedibus*
" Conclusi sunt, ut sues densa latibula habitantes.
" An eos liberaturus huc venis? neque te puto

Ver. 275. —— ἀνὰ βήσσας.] *All.* διὰ βήσσας.

Ver. 279. Πρῶτον ὑπηνήτῃ· τοῦπερ χαριεστάτη ἥβη.]

"Αρτι γενειάσιν περὶ τὸ στόμα τὰς πρωτάφους τι. *Theocr. Idyll.* XI. *ver.* 9.

Ora puer primâ signans intonsa juventâ. *Æn.* IX, 181.

Quem locum *Macrobius* inter eos recensens in quibus *Virgilius Homerici carminis majestatem non æquet:* " Prætermissâ gratiâ" (inquit) " incipientis pubertatis, τοῦ πιρ χα- " ριεστάτη ἥβη, minùs gratam fecit Latinam " descriptionem." *Saturnal. lib.* V. *cap.* 13. Οὐ τὸν μέντοι Ὁμήρου ἰσταιένης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου; *Plato in Protagorâ*, sub initio.

Ibid. Πρῶτον ὑπηνήτῃ·] "Αρτι γενιώντι. Τάπην δὲ ἐστὶ τὸ ἱστανο χεῖλος, ἀφ' οὗ πρῶτον γενιᾶται χνοῦς. *Schol.*

Ver. 281. Πῇ δ' αὖτως, δύστηνε.] Nonnulli, notante *Scholiaste*, legunt Πῇ δ' αὖτ', ὦ δύστηνε. Atque ita habet MS. à *Tho. Bentleio* collatus. Vide infrà λ', 92.

Ver. 284. 286. —— λυσόμενος —— ἰαλύεσθαι.] "Ωσπιρ δὶ λιχῶς λίγεται, ὡς διδήλωται, τὸ νήχειν καὶ τὸ νήχεσθαι, καὶ τὸ ἐκίφασιν καὶ ἐκιφάσανιο αὖτου καὶ τὸ λύειν ἐντεῦθι καὶ λύεσθαι. Οἷον, " λῦσον, ἵνα ἀφλαλμῶσιν ἴδω ἑταίρους." [infrà *ver.* 387.] καὶ, " ἄφρα λύσῃ ἑτάρους." [*ver.* 298.] καὶ " ἄγι δὴ καπὸν ἰαλύσεμαι·" καὶ, " λυσόμενος διῦφ' ἵκεαι." *Eustath.* Minùs rectè. Videtur enim non advertisse vir eruditus, voces λύειν, λύεσθαι, sensu diverso apud Poetam usurpari. Nempe istud λυσόμενος de Ulysse dicitur, qui socios è Circes manibus redempturus erat: similiterque istud

Αὐτὸν νοστήσειν, μενέεις δὲ σὺ, ἔνθα περ ἄλλοι.
Ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι, ἠδὲ σαώσω
Τῇ τόδε φάρμακον ἐσθλὸν, ἔχων δ' ἐς δώματα Κίρκης
Ἔρχευ, ὅ κέν τοι κρατὸς ἀλαλκήσει κακὸν ἦμαρ.
Πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης·
Τεύξει τοι κυκεῶ, βαλέει δ' ἐνὶ φάρμακα σίτῳ·
Ἀλλ' οὐδ' ὣς θέλξαι σε δυνήσεται· οὐ γὰρ ἐάσει
Φάρμακον ἐσθλὸν, ὅ τοι δώσω· ἐρέω δὲ ἕκαστα·
Ὁππότε κεν Κίρκη σ' ἐλάσῃ περιμήκεϊ ῥάβδῳ,
Δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Κίρκῃ ἐπαΐξαι, ὥστε κτάμεναι μενεαίνων.
Ἡ δέ σ' ὑποδδείσασα κελήσεται εὐνηθῆναι·
Ἔνθα σὺ μηκέτ' ἔπειτ' ἀπανήνασθαι θεοῦ εὐνὴν,
Ὄφρα κέ τοι λύσῃ θ' ἑτάρους, αὐτόν τε κομίσσῃ·

" Ipsum rediturum esse: manebis verò tu, ubi utique alii.
" Sed age jam te ex malis expediam, atque servabo:
" Accipe hoc medicamen bonum, habensque ad aedes Circes
" Vade, quod tibi à capite avertat malum diem.
" Omnia autem tibi dicam perniciosa consilia Circes:
" Apparabit tibi potionem-miscellaneam, injiciet verò medicamina in escam:
" Sed neque sic incantare te poterit: non enim sinet
" Medicamen eximium, quod tibi dabo; dicam verò singula:
" Quando Circe te percutiat praelongâ virgâ,
" Tum sanè tu, gladio acuto stricto à femore,
" In Circen irrue, quasi interficere cupiens.
" Illa verò te subverita invitabit ad-concubitum:
" Ibi tu nequaquam deinde recusa deae cubile,
" Ut tibi solvatque socios, teque ipsum benignè-excipiat:

ἐκλύσομαι de Mercurio dicitur, qui Ulyssem, quâ ratione se ipse ac socios servet, docet: atqui λῦσαι, λύση de Circe, quæ Ulyssi socios liberos reddat. Vide ad *Il.* ά, 20.

Ver. 285. —— σύ.] *Al.* σύ γ'.

Ver. 287. Τῇ τόδε φάρμακον ἐσθλὸν, ἔχων δ' ἐς.] *Eustathius* in commentario citat, Τῇ, τόδε φάρμακον ἐσθλὸν ἔχων ἐς. Atque ita habet et MS. à *Tho. Bentleio* collatus. Quæ fortè et verior lectio. Vide ad *Il.* ξ, 219.

Ver. 288. —— ἀλαλκήσει.] *Al.* ἀλαλκήσῃ.

Ver. 290. —— κυκεῶ.] Κυκεῶνα κατὰ ἀντωνομ. Κυκεῶν δὲ λίγνται τὸ ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ ὕδατος καὶ τυροῦ ἀναμιγμένον πόμα. *Schol.* Τὸ δὲ κυκεῶ ἀσυνίζητα ἀμοίως τῷ ἰδρῶτα, ἰδρῶ, καὶ τοῖς τοιούτοις. *Eustath.* Vide *Turnebi Adversaria Miscellanea, lib.* XII. *cap.* 8. et suprà ad *ver.* 234.

Ver. 291. —— οὐδ' ὣς θέλξαι σε δυνήσεται.] Φαρμάκων τι τῶν παρὰ Κίρκης γίγνοντων, ὑπὸ πολλῆς σοφίας σεμνύνεται ἱστορούντων παλαιῶν οὐχ ἁπλῶς. *Heraclid. Pontic.* Porrò hinc *Ovidius:*

Quid tibi profuerunt, Circe, Perseïdes herbæ,
Cùm sua Ulixeas abstulit aura rates?
Remed. Amor. ver. 263.

Et *Tibullus:*

Solum nec doctæ verterunt pocula Circes,
Quamvis illa foret Solis genus:——
Lib. IV. *Eleg.* i. *ver.* 61.

Vide infrà ad *ver.* 302.

Ibid. —— ἐάσει.] *Barnesius* edidit ἐάσει, " *ob Metrum*" scilicet. Sed minùs rectè. Vide ad *Il.* γ, 42.

Ver. 296. —— κελήσεται.] Alii, notante *Barnesio*, legunt κελήσεται, et καλήσεται vel καλέσεται. Et MS. à *Tho. Bentleio* collatus habet κελήσεται. Firmatur autem vulgata lectio ex *ver.* 337. infra:

Ὦ Κίρκη, πῶς γάρ με κέλῃ σοι ἕπεσθαι ἴσως.

Ver. 298. —— λύσῃ.] Vide suprà ad *ver.* 284.

Ibid. —— κομίσσῃ.] Ita rectè edidit *Barnesius.* *Vulgg.* κομίσῃ. Quod *mediam* corripit. Vide ad *Il.* ά, 140.

Ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι,
Μήτι τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο·
Μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θείη.
Ὣς ἄρα φωνήσας πόρε φάρμακον Ἀργειφόντης,
Ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτοῦ ἔδειξεν.
Ῥίζῃ μὲν μέλαν ἧσπε, γάλακτι δὲ εἴκελον ἄνθος·
Μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
Ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
Νῆσον ἀν' ὑλήεσσαν· ἐγὼ δ' ἐς δώματα Κίρκης

" Sed jube ipsam beatorum magnum juramentum jurare,
" Nullum tibi ipsi damnum malum machinaturam *se* aliud;
" Nè te nudatum vilem et enervem reddat."
Sic utique locutus praebuit medicamen Mercurius,
Ex terrâ evulsum, et mihi naturam ejus ostendit.
Radice quidem nigrum erat, lacti autem similis florem:
Moly autem ipsum vocant dii; difficile verò effossu
Viris utique mortalibus; dii autem omnia possunt.
Mercurius quidem deinde discessit ad magnum Olympum.
Insulam per sylvosam; ego autem ad domum Circes

Ver. 301. —— κακὸν καὶ ἀνήνορα θείη.]

—— Circes pocula nâsi;
Quæ si cum sociis stultus cupidusque bibisset, [excors;
Sub dominâ meretrice fuisset turpis et
Vixisset canis immundus, vel amica luto sus. *Horat. Epist. lib.* I. ii. 23.

Ver. 302. —— πόρε φάρμακον Ἀργειφόντης.]
Ἡ δὲ ἀλληγορία ἐν τούτοις. Ἑρμῆν μὲν οἶδε συνιέναι τὸν λόγον· Μῶλυ δὲ τὴν παιδείαν. —— Λαβὼν δὲ αὐτὸ ἐξ Ἑρμοῦ ὁ λόγιος Ὀδυσσεὺς, συγγένεται τῇ ἡδονῇ, ταχὺ σπεῦσαι αὐτὸν ἐλεύσεσθαι, κατὰ τὸ ἰαυτῆς ἦθος, διὰ τὸ τῆς κακίας ἰῶλπωτον. *Eustath.* Similitèr apud *Anthologiam*:

Ἔμφρων δ' ἂν Ὀδυσσεὺς, τὴν πίστιν φυγὼν,
Οὐκ Ἑρμεῖ, φόβους δ' ἴδιας δόρημα λογισμὸς
Εἶχε, γοητείας φάρμακον ἀντίπαλον.
Epigram. lib. I. ¶ lxxii. *ver.* 8.

Vide et *Themist. Orat.* XXVII.

Ver. 304. —— γάλακτι δὲ εἴκελον ἄνθος.]
Πολλῶν χ' ἁπάντων λευκῶν ὄντων, τὸ καὶ γλαυκότητος ἐμφασιν παρεύμενον ἐπιλέλοιπε. *Aristides Quinctilianus, de Musicâ, lib.* II. *pag.* 83.

Ver. 306. Μῶλυ δέ μιν καλέουσι θεοί.]
Pacifer huic dederat florem Cyllenius album;
Moly vocant superi: nigrâ radice tenetur.
Ovid. Metam. lib. XIV. *ver.* 291.

Et hinc *Lycophron*:

—— ἀλλὰ νιν βλάβης
Μῶλυ σαώσει ῥίζα ——. *Cassand. ver.* 678.

Μῶλυ, βοτάνης εἶδος, παρὰ τὸ μωλύειν, ὅ ἐστὶν ἀφαιρεῖσθαι τὰ φάρμακα· φασὶ δὲ τὸ [*Barnesius* edidit τοῦτο] ἰλλόμενον τῇ ῥίζῃ, τῷ γάλακτι θέλγειν ἀσφαλῶς τῷ ἀναιρεῖσθαι. *Schol.* " Laudatissima herbarum est Homero quam " vocari à Diis putat Moly, et inventionem ejus Mercurio assignat, contraque " summa veneficia demonstrat. Nasci eam " hodie circa Pheneum, et in Cyllene Ar- " cadiæ tradunt, specie illâ Homericâ, ra- " dice rotundâ nigràque, magnitudine ce- " pæ, folio scyllæ, effodi autem difficultèr." *Plin. Nat. Hist. lib.* XXV. *cap.* 4. Vide *Theophrast. Hist. Plant. lib.* IX. *cap.* 15. et suprà ad *ver.* 302.

Ibid. —— καλέουσι θεοί.] Οὐ λίγοι δὲ ὁ Ποιητὴς καὶ τῶν οἱ ἄθροπται καλοῦσι τὸ Μῶλυ, ἰσχυρὸν ἄγνωστον ἰσχὺν αὐτοῖς· διὸ καὶ ἄπλητον καὶ οὐ διώνυμον. *Eustath.* Vide ad *Il. ά*, 403. et ξ', 291.

Ver. 306. —— θεοὶ δέ τε πάντα δύνανται.]
Πάντα δ' ὑπάντη θεοῖς.
Euripid. Phœniss. ver. 696.

—— μόνοι δὲ θεοὶ βία πάντα δύνανται.
Dionys. Περιήγησις, ver. 1162.

Ῥᾴδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτα οὐδέν.
Linus apud Stobæum, Florileg. 111.

—— facile est omnia posse Deo.
Ovid. Art. Amator. I, 562.

Ibid. — πάντα δύνανται.] *Al.* πάντα ἴσασιν.
Ver. 308. —— ἰὼν δ' ἐς δώματα Κίρκης.]
Tutus eo, monitisque simul cœlestibus, intrat
Ille domum Circes —.
Ovid. Metam. lib. XIV. *ver.* 293.

Ἤϊα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
Ἔστην δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
Ἔνθα στὰς ἐβόησα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.
Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς,
Καὶ κάλεσ' αὐτὰρ ἐγὼν ἑπόμην, ἀκαχήμενος ἦτορ.
Εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
Τεῦξε δέ μοι κυκεῶ χρυσείῳ δέπα', ὄφρα πίοιμι·
Ἐν δέ τε φάρμακον ἧκε, κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ' ἔθελξεν,
Ῥάβδῳ πεπληγυῖα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἔρχεο νῦν συφεόνδε, μετ' ἄλλων λέξο ἑταίρων.
Ὣς φάτ'· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Κίρκη ἐπήϊξα, ὥστε κτάμεναι μενεαίνων.
Ἡ δέ μέγα ἰάχουσα ὑπέδραμε, καὶ λάβε γούνων,
Καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·

Ivi; multùm verò mihi cor aestuabat profecto.
Steti autem in vestibulo deae comas-pulchrae:
Ibi stans clamavi; dea autem meam audivit vocem.
Illa verò statim egressa fores aperuit splendidas,
Et invitabat: at ego sequebar, dolens corde.
Collocavit autem me introductum in throno argenteis-clavis-distincto,
Pulchro, fabrefacto; scabellum verò sub pedibus erat:
Apparavit autem mihi potionem-miscellaneam aureo poculo, ut biberem:
Immisitque medicamen, mala meditans in animo.
At postquam dederatque et ebiberam, neque me incantavit,
Virgulâ ubi-percussisset, verbumque fecit, dixitque:
"Abi nunc in haram, cum caeteris cuba soçiis."
Sic dixit: ego verò, gladio acuto stricto à femore,
In Circen irrui, quasi interficere cupiens:
Illa verò vehementèr exclamans subtercurrit et prehendit genua,
Et me lugens verbis alatis allocuta est:

Ver. 309. —— πολλὰ δέ μοι κραδίη πόρφυρε.] Sic apud *Virgilium*:

At pius Æneas per noctem plurima volvens.

Ibid. —— πόρφυρε.] Vide ad *Il. ά*, 309. 338 et 482.

Ver. 316. Τεῦξε.] *Al.* Τεῦχε.

Ibid. —— κυκεῶ.] Vide suprà ad *ver.* 290.

Ibid. —— δέπα', ὄφρα.] Ita *Barnesius*. *Al.* δέπαϊ, δέπαι et δέπᾳ.

Ver. 317. Ἐν δέ τε φάρμακον ἧκε.] Vide suprà ad *ver.* 234.

Ver. 318. Αὐτὰρ ἐπεὶ δῶκέν.]

—— ad insidiosa vocatus
Pocula, conantem virgâ mulcere capillos
Reppulit, et stricto pavidam deterruit ense.
Ovid. Metam. lib. XIV. *ver.* 294.

Ver. 319. —— πεπληγυῖα.] Vide ad *Il.* β', 314. et γ', 31

Ver. 320. —— λέξο.] Ita MS. à *Tho. Bentleio* collatus. Rectè, ut opinor: Ita enim ipse Poeta. *Iliad. ώ*, 650.

Ἔξω μὲν δὴ λέξο, γύρου ——.

Vulgati malè hîc legunt λέξευ· quæ vox non "*Cuba*," sed, "*Cubare fac*," significat; (Vide ad *Il. ώ*. 635.) Id quod huic loco minimè congruit. Cæterùm *Eustathius* et in contextu et in commentario legit λέξαι quo modo et in Editione *Florentinâ* scriptum testatur *Barnesius*; itaque omninò legendum ipse contendit: sed nullâ allatâ ratione. Neque usquam alibi apud *Homerum* occurrit ista vox. Porrò in Scholiis *Barnesius* λέξο edidit. Vide et ad *Il.* β', 515.

Τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Θαῦμά μ' ἔχει, ὡς οὔτι πιὼν τάδε φάρμακ' ἐθέλχθης.
Οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,
Ὅς κε πίῃ, καὶ κρῶτον ἀμείψεται ἕρκος ὀδόντων·
Σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
Ἦ σύ γ' Ὀδυσσεὺς ἐσσὶ πολύτροπος, ὅν τέ μοι αἰεὶ
Φάσκεν ἐλεύσεσθαι χρυσόῤῥαπις Ἀργειφόντης,
Ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηῒ μελαίνῃ.
Ἀλλ' ἄγε δὴ κολεῷ μὲν ἄορ θέο, νῶϊ δ' ἔπειτα
Εὐνῆς ἡμετέρης ἐπιβήσομεν, ὄφρα μιγέντε
Εὐνῇ καὶ φιλότητι, πεποίθομεν ἀλλήλοισιν.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ὦ Κίρκη, πῶς γάρ με κέλῃ σοι ἤπιον εἶναι;
Ἦ μοι σῦς μὲν ἔθηπας ἐνὶ μεγάροισιν ἑταίρους·
Αὐτὸν δ' ἐνθάδ' ἔχουσα, δολοφρονέουσα κελεύεις
Ἐς θάλαμόν τ' ἰέναι, καὶ σῆς ἐπιβήμεναι εὐνῆς,
Ὄφρα με γυμνωθέντα, κακὸν καὶ ἀνήνορα θείης;
Οὐδ' ἂν ἔγωγ' ἐθέλοιμι τεῆς ἐπιβήμεναι εὐνῆς,
Εἰ μή μοι τλαίης γε, θεὰ, μέγαν ὅρκον ὀμόσσαι,
Μήτι μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀπώμνυεν, ὡς ἐπέλευον.

" Quis? undè es hominum? ubi tibi urbs atque parentes?
" Stupor me tenet, quòd cùm-biberis haec medicamina non incantatus sis.
" Minimè enim quisquam alius vir haec medicamina sustinuit,
" Quicunque hauserit, et primùm transmiserit septum dentium:
" Tibi verò quaedam in pectoribus indomabilis mens est.
" Profectò tu Ulysses es versutus, quem etiam mihi semper
" Praedicabat venturum aureo-caduceo Mercurius,
" E Trojâ reversum celeri cum nave nigrâ.
" Sed age nunc in vaginam gladium pone: nos verò deinde
" Lectum nostrum conscendamus, ut commixti
" Cubili et amore, confidamus nobis-invicem,"
Sic dixit: at ego ipsam respondens allocutus sum:
" O Circe, quo autem pacto me jubes tibi mitem esse?
" Quae mihi sues quidem fecisti in aedibus socios;
" Ipsum verò hìc detinens dolos-meditans jubes
" In thalamumque ire, et tuum conscendere lectum,
" Ut me nudatum, vilem et enervem reddas?
" Non ego voluerim tuum conscendere lectum,
" Nisi mihi sustinueris, dea, magnum juramentum jurare,
" Nullum mihi damnum malum machinaturam-*te* aliud."
Sic dixi: illa verò continuò abjurabat, ut jubebam.

Ver. 337. —— *τῶν γάρ με κέλῃ.*] "Ὅρα δὲ ὡς καὶ ἐναῦθα καινότερον ἀπὸ τοῦ, γὰρ, συνδέσμου ἤρξατο οὗ μετὰ τέσσαρας στίχους ἡ ἀπόδοσις, ἐν τῷ "οὐδ' ἂν ἔγωγε θέλοιμι." [*ver.* 342.] *Eustath. Barnesius* legendum conjicit, *πῶς κ' ἔῃ μι.* Vide suprà ad *ver.* 174 et 190.

Ibid. —— *κέλῃ σοι.*] Apud *Eustathium* in commentario, *κέλῃσί σοι.*

Ver. 341. —— *κακὸν καὶ ἀνήνορα.*] Vide suprà ad *ver.* 301.

Ver. 345. —— *ἀπώμνυεν.*] Vide suprà ad *ver.* 377.

Αὐτὰρ ἐπεί ῥ' ὅμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
Καὶ τότ' ἐγὼ Κίρκης ἐπέβην περικαλλέος εὐνῆς.
Ἀμφίπολοι δ' ἄρα κεδναὶ ἐνὶ μεγάροισι πένοντο
Τέσσαρες, αἵ οἱ δῶμα κατὰ δρήστειραι ἔασι.
Γίνονται δ' ἄρα ταί γ' ἔκ τε κρηνέων, ἀπό τ' ἀλσέων,
Ἔκ θ' ἱερῶν ποταμῶν, οἵτ' εἰς ἅλαδε προρέουσι.
Τάων ἡ μὲν ἔβαλλε θρόνοις ἐνὶ ῥήγεα καλά,
Πορφύρεα παθύτερθ', ὑπένερθε δὲ λῖν' ὑπέβαλλεν·
Ἡ δ' ἑτέρη προκάροιθε θρόνων ἐπίταινε τραπέζας
Ἀργυρέας, ἐπὶ δέ σφι τίθει χρύσεια κάνεια·
Ἡ δὲ τρίτη κρητῆρι μελίφρονα οἶνον ἐκέρα
Ἡδὺν ἐν ἀργυρέῳ, νέμε δὲ χρύσεια πύκελλα.
Ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει, καὶ πῦρ ἀνέκαιε
Πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
Αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
Ἔς ῥ' ἀσάμινθον ἔσασα, λό' ἐκ τρίποδος μεγάλοιο,
Θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων,

At postquam jurâsset perfecissetque jusjurandum,
Tum verò ego Circes conscendi perpulchrum lectum.
Ancillae autem honestae in aedibus ministrabant
Quatuor, quae ei domi famulae sunt.
Natae verò hae utique sunt ex fontibus et à sylvis,
Et ex sacris fluminibus, quae in mare profluunt.
Manum una quidem injiciebat thronis stragula pulchra,
Purpurea supernè, infernè autem lintea subjiciebat:
Altera verò ante thronos extendebat mensas
Argenteas, eisque imponebat aurea canistra:
Tertia autem cratere suave vinum miscebat
Dulce in argenteo, distribuebatque aurea pocula:
Quarta verò aquam ferebat, et succendebat ignem
Multum sub tripode magno; calefiebat autem aqua.
Caeterùm postquam calefacta esset aqua in splendido aheno
In balneum me inductum lavabat ex tripode magno,
Fusivitèr fusâ *aquâ* per caputque et humeros,

Ver. 346.——β'.] *Ut jam dictum est.*——
Ver. 348.——κεδναὶ ἐνὶ μεγάροισι.] MS. à *Tho. Bentleio* collatus habet τίσις μὲν ἐν μεγάροισι. Uti legisse videtur et *Eustathius.*
Ver. 350. Γίνονται.] *Al.* Γείνονται, οὐ Γίγνονται.
Ver. 352.——ῥήγεα.] Τὰ δὲ ῥήγεα στελλιδίσκια ἢ τὰ λίκα. Ταῦτα μὲν γὰρ ὑποζίζληται, ἵνα ὑπίστρωται· τὰ δὲ ῥήγεα——ἐφέλληται. *Eustath.* Vide ad *Il. ω*, 644.
Ver. 355.——κάνεια.] *Al.* πύκελλα. Ex versu, ut videtur, 357.
Ver. 360.——ἐνὶ ἤνοπι χαλκῷ.] Διαυγεῖ, ἐν ᾧ ἐστὶν ἰδεῖν αὐτόν. *Schol.* Ἐπίθετον χαλκοῦ ἰφθαλοσίχνιον, τὸ "πάμφωτα χαλκὸν," καὶ "ἤνοπι χαλκῷ." ἐπαινέσας τὸν μὴ ἐῶντα τοὺς δούλους ἰσχνὸν, διὰ τὸν πρεπώδη στιλβόμενον. *Porphyr. Quaest. Homerico.* 9.
Ver. 362.——κατὰ κρατός τε καὶ ὤμων.] Vide ad *Il. δ*, 67.
Ibid.——κατὰ κρατός τε καὶ ὤμων.] Καὶ γὰρ εἶναι ὑφίλαιμον ἴσχυ τὸ λουτρὸν, διὰ τούτων μάλιστα δηλοῖ· "Θυμῆρες περάσασα κατὰ κρατὸς καὶ ὤμων." Φασὶ γὰρ οὕτω ἔνιοι ἰσχνῶσθαι τὸν ἰσχνὸν τὰ κῶλα, ἐπίονας ἐσ' αὐτῶν καὶ τὸν ἶσον τοῦ πόνου λαμβάνειν· αὕτη δὲ ἐστὶν ἡ διὰ τοῦ διεμενήναι καὶ ὑγιαίνειν· ξηραίνουσι γὰρ οἱ πόνοι. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 23.

Ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυῖα.
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ μοι χλαῖναν καλὴν βάλεν, ἠδὲ χιτῶνα·
Εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πολλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Ἐσθίμεναι δ' ἐκέλευεν· ἐμῷ δ' οὐχ ἥδετο θυμῷ
Ἀλλ' ἦμην ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός.
Κίρκη δ' ὡς ἐνόησεν ἔμ' ἥμενον, οὐδ' ἐπὶ εἶτα
Χεῖρας ἰάλλοντα, στυγερὸν δέ με πένθος ἔχοντα,
Ἄγχι παρισταμένη ἔπεα πτερόεντα προσηύδα·
Τίφθ' οὕτως, Ὀδυσεῦ, πεπνυμένε, ἧστο ἔπειτα
Θυμὸν ἔδων; βρώμης δ' οὐχ ἅπτεαι, οὐδὲ ποτῆτος;

Donec mihi defatigationem animum-rodentem exemisset membris.
At postquam lavâsset et unxisset pingui oleo,
Laenamque mihi pulchram induisset, atque tunicam;
Collocavit me deinde introductum in throna argenteis-clavis-distincto,
Pulchro, fabrefacto; scabellum verò sub pedibus erat.
Aquam autem ancilla gutturnio infundebat ferens,
Pulchro, aureo, super argenteo labetc.
Ad-lavandum; juxta verò polltam extendit mensam.
Victum autem venerandâ proma apposuit ferens,
Ferculis multis appositis, largiens de praesentibus.
Edere verò jubebat: meo autem non placebat animo;
Sed sedebam alia-cogitans, mala autem imaginabatur animus.
Circa verò ut animadvertit me sedentem, neque ad cibum
Manus porrigentem, gravem autem me dolorem habentem,
Propè astans verba alata dixit:
"Quid sic, Ulysses, sedes similis muto,
"Animum rodens? cibum autem non attingis, neque potum?

Ver. 368. Πέμπτα δ' ἀμφίπολος.] Vide suprà ad Υ, 52. Cæterùm cùm Poeta cibi appositionem antea [*ver.* 332. &c.] descripserit, versum hunc et quatuor sequentes delendos existimat Dna. *Dacier*, utpote hoc in loco importunos; eosdemque in consentario omittit *Eustathius*. Quinimò verisimile est eos ex *Odyss.* ά, 172. huc irrepsisse.

Ver. 370. Νίψασθαι.] Deest hic versus in MS. à *Tho. Bentleio* collato.

Ver. 373. —— ἐμῷ δ' οὐχ ἥδετο θυμῷ.] Vide ad *Il.* ά, 24.

Ver. 374. —— ἀλλοφρονέων.] *Al.* ἄλλα φρονέων· notante *Eustathio*.

Ver. 376. —— στυγερόν.] *Al.* πεύκεον.

Ver. 378. Τίφθ' οὕτως, — Ἴσος ἀναύδῳ, Θυμὸν ἔδων;] Ὡς τί δὴ τοῦτ' ἀκτενίζεις ἀνιᾷ, καὶ οὐ τὰ εἰς βρῶσιν πεμπόμενα; *Eustath.*

—— τὸν μὲν χέρες ἔδρεπον καὶ ἀχεύων
Δὴν ἔσαν κραδίην, μεμνημένος οἷδά τι οἶκον,
ϕε. *Iliad.* ώ, 128.

Ὃν θυμὸν κατέδων ——. ζ, 202.

Nec te tantus edat tacitam dolor ——.
Æn. XII, 801.

Ἦ τινά που δόλον ἄλλον ὀΐεαι, οὐδ' ἔτι σε χρὴ
Δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ὦ Κίρκη, τίς γάρ κεν ἀνὴρ, ὅς ἐναίσιμος εἴη,
Πρὶν τλαίη πάσσασθαι ἐδητύος, ἠδὲ ποτῆτος,
Πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;
Ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν, φαγέμεν τε κελεύεις,
Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω ἐρίηρας ἑταίρους.
Ὣς ἐφάμην· Κίρκη δὲ δι' ἐκ μεγάροιο βεβήκει,
Ῥάβδον ἔχουσ' ἐν χειρὶ, θύρας δ' ἀνέωγε συφειοῦ,
Ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
Οἱ μὲν ἔπειτ' ἔστησαν ἐναντίοι· ἡ δὲ δι' αὐτῶν
Ἐρχομένη προσάλειφεν ἑκάστῳ φάρμακον ἄλλο.
Τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσσε
Φάρμακον οὐλόμενον, τό σφιν πόρε πότνια Κίρκη·

" Certè aliquem dolum alium suspicaris: neque te oportet
" Timere; jam enim tibi è-contrà juravi firmum juramentum."
Sic dixit: at ego ipsam respondens allocutus sum:
" O Circe, quis enim vir, qui aequus fuerit,
" Priùs sustinuerit gustare cibum atque potum,
" Quàm redemerit socios et oculis viderit?
" Sed si reverà ex animo bibere, edereque jubes,
" Libera; ut oculis videam dilectos socios."
Sic dixi: Circe autem ex aedibus ivit,
Virgam tenens in manu; foresque aperuit harae,
Exegitque porcis similes novennibus.
Illi quidem deinde stabant ex-adverso: illa verò per eos
Obiens adungebat unicuique medicamen aliud.
Eorum autem è membris quidem pili defluebant, quos antè produxerat
Medicamen perniciosum, quod ipsis dederat veneranda Circe:

Ver. 380. —— *οὐδ' ἔτι.*] Apud *Eustathium* *οὐδέ τι.*

Ver. 383. Ὦ Κίρκη, τίς γὰρ, &c.] Περιεζεύων [ὁ Πτολεμαίτης] περὶ Ἀντίπατρον περὶ αἰχμαλώτων Ἀθηναίων κατὰ τὸν Λαμιακὸν πόλεμον, καὶ πληθὶς ἐπὶ δεῖπνον, πρὸς αὐτὸν προσπεπίγματο ταυτί·

" Ὦ Κίρκη, τίς γάρ κεν ἀνὴρ, ὃς ἐναίσιμος
" εἴη,
" Πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
" Πρὶν λύσασθ' ἑτάρους, καὶ ἐν ὀφθαλμοῖσιν
" ἰδέσθαι;"

Καὶ τὸν, ἀποδιξάμενον τὴν εὐσυνοχίαν, εὐθὺς ἀπῆναι. *Diog. Laërt. lib.* IV. *in Xenocrate.*

Ibid. —— *τίς γάρ κεν ἀνὴρ.*] " Nè me do-
" lore affectum esse, neque comedere posse, mi-
" reris; Quis ENIM, &c." Vide et suprà ad *ver.* 190.

Ver. 384. —— *πάσασθαι.*] Apud *Diogenem Laërtium*, loco suprà citato, *πάσασθαι.* Minùs rectè: Primam enim corripit. Vide suprà ad *γ'*, 9. et *ί*, 93. item ad *ί*, 491. et *ί*, 296.

Ver. 385. 387. —— *λήσασθ'* —— *Λῦσον.*] Vide suprà ad *ver.* 284. Minùs rectè *Eustathius*; Τὸ δὲ Λῦσον, περισπῶς παθητικῶς περιγράφη ἐν τῷ " Πρὶν λύσασθ' ἑτάρους."

Ver. 388. Ὣς ἐφάμην.] *Al.* Ὣς ἄρ' ἔφην.

Ver. 390. —— *σιάλοισιν ἰοικότας ἐννεώροισιν.*] Pronuntiabatur *ἐνεώροισιν.*

Ver. 392. —— *προσάλειφεν ἑκάστῳ φάρμακον ἄλλο.*]

Spargimur innocuæ succis melioribus herbæ.

Ovid. Metam. lib. XIV. *ver.* 299.

Ver. 393. Τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον.]

Erigimur; setæque cadunt, bifidosque relinquit
Rima pedes. Redeunt humeri; subjecta lacertis

Ἄνδρες δ' αἶψ' ἐγένοντο νεώτεροι, ἢ πάρος ἦσαν,
Καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.
Ἔγνωσαν δέ με κεῖνοι, ἔφυν τ' ἐν χερσὶν ἕκαστος
Πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
Σμερδαλέον κονάβιζε· θεὰ δ' ἐλέαιρε καὶ αὐτή·
Ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ δῖνα θαλάσσης·
Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἠπειρόνδε,
Κτήματα δ' ἐν σπήεσσι πελάσσατε, ὅπλα τε πάντα·
Αὐτὸς δ' αἶψ' ἴέναι, καὶ ἄγειν ἑτάρους ἐπὶ νῆα.
Ὣς ἔφατ'· αὐτὰρ ἐμοιγ' ἐπεπείθετο θυμὸς ἀγήνωρ·
Βῆν δ' ἴέναι ἐπὶ νῆα θοὴν καὶ δῖνα θαλάσσης.
Εὗρον ἔπειτ' ἐπὶ νηῒ θοῇ ἑτάρους ἐπὶ νῆα
Οἰκτρῶ ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.
Ὡς δ' ὅταν ἄγραυλοι πόρτιες περὶ βοῦς ἀγελαίας

Viri autem statim facti-sunt juniores, quàm antea fuerant,
Et multò pulchriores et majores aspectu.
Agnoverunt verò me illi, hæseruntque in manibus unusquisque.
Omnibus autem dulcis subortus est luctus; circúmque domus
Horrendùm resonabat; dea verò miserabatur et ipsa:
Prope autem me stans allocuta est nobilissima dearum:
" Generose Laërtiade, solers Ulysses,
" Vade nunc ad navem celerem et littus maris:
" Navem quidem omnium-primùm subducite ad littus;
" Possessiones verò in speluncis deponite, armaque omnia;
" Ipse autem statim revertere, et adduc dilectos socios."
Sic dixit: at mihi persuasus est animus generosus:
Perrexi autem ire ad navem celerem et littus maris.
Inveni deinde apud navem celerem dilectos socios,
Miserabilitèr lugentes, uberes lachrymas profundentes.
Ut verò cùm villaticae vitulae circum vaccas armentales

Brachia sunt. Flentem flentes amplectimur illum
Hæremusque ducis colo ——————.
Ovid. Metam. lib. XIV. *ver.* 303.

Setosa duris exuere pellibus
Laboriosi remiges Ulixei
Volente Circe membra: tunc mens, et sonus
Relatus, atque notus in vultus honor.
Horat. Epod. XVII, 15.

Ibid. ——ἴφυσεν.] *Al.* ἴφυσι. Quæ fortè et verior lectio. Nam *Φύσι*, primam producit, *Il. ά*, 235. " *Φύσι*, ἰσιδὴ περ—" σα —." Nisi ibi legendum sit, " *Φύσει*, " ἰσιδὴ, *&c.*"

Ver. 395. —— αἶψ' ἰγίνοντα.] *Barnesius* legendum conjicit ἄψ ἰγίνοντο. Sed, ut opinor, minùs rectè.

Ver. 399. Σμερδαλίον κονάβιζε.] Vide ad *Il. β'*, 455. *Al.* Σμερδαλίον κανάχιζε.

Ver. 405. —— αἶψ' ἴέναι.] *Barnesius* edidit ἄψ ἴέναι. Nec malè, hoc quidem in loco, si in ullo Codice ita scriptum reperisset.

Ver. 408. —— ἐπὶ νηῒ] *Al.* ἐν νηῒ.

Ver. 409. —— κατὰ δάκρυ χέοντας.] *Al.* κατὰδακρυχέοντας.

Ver. 410. Ὡς δ' ὅταν ἄγραυλοι πόρτιες.] Ita Vulgati. *Barnesius* autem ex Exemplaribus nonnullis edidit πόρις. Quæ vox (uti ipse annotat) occurrit apud *Euripidem*, *Bacchæ*, *ver.* 736.

Καὶ τὴν μὲν ἂν πρεσβεῖδες εὔθηλον πόριν.

Cæterùm *Henricus Stephanus* πόριες hîc legit; et in annotationibus, " Fortassè," inquit, " ita excusari potest πόρτιες, ut Αἰγυπτίη, " secundâ brevi." Sed hoc, ut opinor, fieri

Ἐλθούσας ἐς κόπρον, ἐπὴν βοτάνης πορίσωνται,
Πᾶσαι ἅμα σκαίρουσιν ἐναντίαι· οὐδ' ἔτι σηκοὶ
Ἴσχουσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφιθέουσι
Μητέρας· ὣς ἐμὲ κεῖνοι, ἐπεὶ ἴδον ὀφθαλμοῖσι,
Δακρυόεντες ἔχυντο· δόκησε δ' ἄρα σφίσι θυμὸς
Ὡς ἔμεν, ὡς εἰ πατρίδ' ἱκοίατο καὶ πόλιν αὐτῶν
Τρηχείης Ἰθάκης, ἵνα τ' ἐτράφεν, ἠδ' ἐγένοντο·
Καί μ' ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων·
Σοὶ μὲν κοστήσαντι, διοτρεφὲς, ὥς ἐχάρημεν,
Ὡς εἴτ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
Ἀλλ' ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.
Ὣς ἔφαν· αὐτὰρ ἐγὼ προσέφην μαλακοῖς ἐπέεσσιν·
Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσομεν ἠπειρόνδε,
Κτήματά τ' ἐν σπέεσσι πελάσσομεν, ὅπλα τε πάντα·
Αὐτοὶ δ' ὀτρύνεσθε ἑμοὶ ἅμα πάντες ἕπεσθαι,
Ὄφρα ἴδηθ' ἑτάρους ἱεροῖς ἐν δώμασι Κίρκης,
Πίνοντας καὶ ἔδοντας· ἀπειρεσίην γὰρ ἔχουσιν.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
Εὐρύλοχος δέ μοι οἶος ἐρύκανε πάντας ἑταίρους,

Profectas ad mandram, postquam herbâ se-satiaverint,
Omnes simul vitulantur adversae; neque amplius stabula,
Detinent, sed crebrò mugientes circum-currunt
Matres: sic *circum* me illi, postquam viderunt oculis,
Lachrymabundi fusi sunt; visusque est etiam ipsorum animus
Ita esse, ac si in patriam venissent et urbem suam
Asperae Ithacae, ubi et nutriti, atque nati sunt:
Et me lugentes verbis alatis allocuti sunt:
" Tibi quidem reverso, Jovis-alumne, sic gratulamur,
" Ac si in Ithacam venissemus patriam terram:
" Sed age, caeterorum sociorum narra interitum."
Sic dixerunt; ast ego allocutus sum blandis verbis:
" Navem quidem omnium-primùm subducamus in littus,
" Possessionesque in speluncis deponamus, armaque omnia:
" Vos autem properate me una omnes sequi:
" Ut videatis socios sacris in aedibus Circes,
" Bibentes et comedentes: affatim enim habent."
Sic dixi: illi autem celeritèr meis verbis paruerunt:
Eurylochus verò solus mihi detinebat omnes socios,

---

vix potest, nisi sequentibus duobus consonantibus à quibus syllaba incheari possit. Vide ad *Il. β'*, 537. Verisimillimus videtur, si σίφνις vera sit lectio, pronuntiatum fuisse σίφνις, vel σίφτις.

Ver. 412. ——σκαίρουσιν ἐναντίαι.]

—— pinguesque in gramine læto
Inter se adversis luctantur cornibus hœdi.
Virg. Georg. II, 525.

Ibid. σκαίρουσιν.] *Al.* σκαίρουσιν.

Ver. 413. —— ἀμφιθέουσι.] *Barnesius* edidit ἀμφὶ θέουσιν.

Ver. 416. —— αὐτῶν.] *Barnesius* edidit αὐτῆς.

Ver. 417 et 463. Τρηχείης Ἰθάκης.] Vide supra ad *i*, 27. item ad *Il. β'*, 638.

Ibid. —— ἐτράφεν.] Ita *Barnesius*. *Al.* ἐτράφην, et τέτραφεν.

Ver. 429. —— ἐρύκανε.] *Barnesius* legendum conjicit ἐρύκακε. Quæ vox Homero usitatior.

Καί σφεας φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
Ἆ δειλοὶ, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τούτων,
Κίρκης ἐς μέγαρον καταβήμεναι; ἦ κεν ἅπαντας
Ἢ σῦς, ἠὲ λύκους ποιήσεται, ἠὲ λέοντας·
Οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκη.
Ὣσπερ Κύκλωψ ἔρξε, ὅτε οἱ μέσσαυλον ἵκοντο
Ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
Τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίῃσιν ὄλοντο.
Ὡς ἔφατ'· αὐτὰρ ἐγὼ μετὰ φρεσὶ μερμήριξα,
Σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
Τῷ οἱ ἀποτμήξας κεφαλὴν οὐδάσδε πελάσσαι.
Καὶ πῃῶ περ ἐόντι μάλα σχεδόν· ἀλλά μ' ἑταῖροι
Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
Διογενὲς, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
Αὐτοῦ πὰρ νηΐ τε μένειν, καὶ νῆα ἐρύσθαι·
Ἡμῖν δ' ἡγεμόνευ' ἱερὰ πρὸς δώματα Κίρκης.
Ὡς φάμενοι, παρὰ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης.
Οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νηῒ λέλειπτο,
Ἀλλ' ἕπετ· ἔδδεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν.

Et ipsos allocutus verba alata dixit:
" Ah miseri, quò imus? quid mala appetitis ista,
" Circes ad aedes ut descendatis? quae omnes
" Aut sues, aut lupos reddat, aut leones;
" Qui ei magnam domum custodiamus etiam necessitate.
" Sicut Cyclops fecit, quando ei ad cavilam venerunt
" Nostri socii, unáque hic audax comitatus est Ulysses:
" Hujus enim etiam illi vecordiâ perierunt."
Sic dixit: at ego in mente cogitavi,
Stricto gladio longo, crasso à femore,
Illo ei abscissum caput ad solum dejicere,
Etiamsi consanguinitate *mihi* proximo; sed me socii
Mollibus verbis retinebant aliundè alius:
" Jovis-alumne, hunc quidem sinemus, si tu jubes,
" Hic apud navem manere, et navem custodire:
" Nobis autem dux-*tu*-esto sacram ad domum Circes."
Sic locuti, à nave ascendebant atque mari.
Neque quidem Eurylochus cavam apud navem relictus est,
Sed sequebatur; veritus-est enim meas atroces minas.

Ver. 433. —— ἠὲ λύκους.] *Eustathius* in commentario citat, ἢ ἰλάφους.

Ver. 435. Ὣσπερ Κύκλωψ ἔρξε.] Τὸ δὲ, ὡς Κύκλωψ ἐποίησεν, ἀδιανόητον ἐστὶν. Οὐ γὰρ δὴ πού καὶ ὁ Κύκλωψ μετέβαλε τοὺς περὶ τὸν Ὀδυσσέα ἐπὶ φυλακῇ τοῦ κατ' αὐτὸν σπηλαίου, ἀλλ' ἀποθανόντας καὶ ἀπολέσας, κατὰ τὸ " τούτου ἀτασθαλίῃσι ἄλοντο." [*ver.* 437.] Μίμησις δὲ πάσων ἦθος συναγομένων, τὸ ἀδιανόητος πλάσαι λαλοῦντα τὸν Εὐρύλοχον. *Eustath.* Verùm eò (ut opinor) hic præcipuè respicit *Eurylochus*, quòd Ulyssis consiliis obsecuti mala apud Cyclopem passi sint. " Τούτου γὰρ καὶ κεῖνοι " ἀτασθαλίῃσιν ὄλοντο." *ver.* 437. Vide suprà ad *i*, 228.

Ver. 439. Σπασσάμενος.] *Al.* Σπασάμενος. Quod primam corripit.

Ver. 440. ἀποτμήξας.] *Al.* ἀποτλάξας.

Ver. 447. —— λίλαιονται.] Si λίλαιονται dixisset, jam non constitisset Temporum ratio. Vide ad *Il. ά*, 37. et δ', 492.

Τόφρα δὲ τοὺς ἄλλους ἑτάρους ἐν δώμασι Κίρκη
Ἐνδυκέως λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ·
Ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλεν, ἠδὲ χιτῶνας·
Δαινυμένους δ' ἄρα πάντας ἐφεύρομεν ἐν μεγάροισιν.
Οἱ δ' ἐπεὶ ἀλλήλους ἐσίδον, φράσσαντό τε πάντα,
Κλαῖον ὀδυρόμενοι, περὶ δὲ στοναχίζετο δῶμα.
Ἡ δέ μεν ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
Ἡμὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντι,
Ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου.
Ἀλλ' ἄγετ', ἐσθίετε βρώμην, καὶ πίνετε οἶνον,
Εἰσόκεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
Οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
Τρηχείης Ἰθάκης· νῦν δ' ἀσπελέες καὶ ἄθυμοι,
Αἰὲν ἄλης χαλεπῆς μεμνημένοι· οὐδέ ποθ' ὑμῖν
Θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ μάλα πολλὰ πέποσθε.

Interea verò caeteros socios in aedibus Circe
Studiosè lavitque, et unxit pingui oleo;
Circumque deinde laenas pulchras induit atque tunicas:
Epulantes autem omnes invenimus in aedibus.
Hi verò postquam invicem conspexerunt, reputâruntque omnia,
Flebant lugentes; circùm autem gemiscebat domus.
At prope me stans allocuta est nobilissima dearum:
" Generose Laërtiade, solers Ulysses,
" Nè ampliùs nunc uberem luctum excitetis: novi etiam ipsa
" Et quot in ponto passi-estis dolores piscoso,
" Et quot hostiles viri damna-intulerunt in terrâ.
" Sed agite, comedite cibum, et bibite vinum,
" Donec rursùs animum intra praecordia receperitis;
" Qualem *habuistis*, quando primùm relinquebatis patriam terram
" Asperae Ithacae: nunc verò imbecilles et abjecti *estis*,
" Semper erroris duri recordati; neque unquam vobis
" Animus in laetitiâ *est*, quippè valdè multa passi-estis."

Ver. 449. Τόφρα δέ.] *Al.* Τοφράδι.

Ver. 450. ——— ἔχρισεν λίπ' ἐλαίῳ.] Ita *Barnesius*. *Al.* ἔχρισε λίπ' ἐλαίῳ. Quod et ferri posset. Vide ad *Il.* ά, 51.

Ibid. —— λίπ' ἐλαίῳ.]

——— pinguis olivi. *Virg. Ecl.* V, 68.

Ver. 451. —— ἄρα.] *Deincops* ———.

Ibid. —— οὖλας.] *Al.* καλάς.

Ver. 452. ——— ἄρα.] *Al.* ἰδ.

Ibid. —— πάντας.] *Al.* τοὺδε, et τούσγε.

Ver. 454. —— στοναχίζετο.] MS. à *Tho. Bentleio* collatus, στοναχίζετο. Vide suprà ad *ver.* 10.

Ver. 456. Διογενές.] Deest hic versus in MS. à *Tho. Bentleio* collato.

Ver. 457. Θαλερόν.] *Al.* στυγερόν.

Ver. 459. ἐπὶ χέρσου.] *Al.* ἐπὶ χέρσῳ.

Ver. 460. —— πίνετε.] Apud *Eustathium* in commentario πίνετε. Vide infrà ad π', 143.

Ver. 464. Αἴν.] *Al.* Αἰεί.

Ver. 465. —— πέποσθε.] *Scholiastes* exponit πέπαυσθε. *Aristarchus* autem, notante *Eustathio*, scribit πέπασθε· ὅτις ἐστὶ πέπαυσθε. Atqui alibi apud *Homerum* occurrit vox πέποσθε· vox πέπασθε nusquam. Vide *Iliad.* γ', 99. *Odyss.* ψ', 53.

Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
Μηνῶν φθινόντων, περὶ δ' ἤματα μακρὰ τελέσθη,
Καὶ τότε μ' ἐκκαλέσαντες ἔφαν ἑρίηρες ἑταῖροι·
Δαιμόνι', ἤδη νῦν μιμνήσκειο πατρίδος αἴης,
Εἴ τοι δέσφατόν ἐστι σαωθῆναι, καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον, καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς ἔφαν· αὐτὰρ ἔμοιγ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
Οἱ μὲν κοιμήσαντο κατὰ μέγαρα σκιόεντα.
Αὐτὰρ ἐγὼ Κίρκης ἐπιβὰς περικαλλέος εὐνῆς,
Γούνων ἐλλιτάνευσα· θεὰ δέ μευ ἔκλυεν αὐδῆς·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·

Sic dixit: nobis autem continuò persuasus est animus generosus.
Illic quidem diebus omnibus integrum in annum
Sedebamus, epulantes carnes copiosas, et vinum dulce:
Sed quando jam annus erat, et circumverterant horae,
Mensibus exeuntibus, diesque longi circumacti sunt;
Utique tunc me evocato dixerunt dilecti socii:
" Infelix, jam nunc memor-esto patriae terrae,
" Si tibi fatale est servari, et pervenire
" Domum in excelsam, et tuam in patriam terram."
Sic dixerunt: at mihi persuasus est animus generosus.
Sic tum quidem toto die ad solis occasum
Sedebamus, epulantes carnes copiosas, et vinum dulce:
Quando verò sol occidit, et tenebrae supervenerunt,
Illi quidem decubuerunt per aedes obscuras.
At ego Circes conscenso perpulchro lecto,
Ad-genua supplex-rogavi; dea verò meam audivit vocem;
Et ipsam compellans verba alata dixi:

Ver. 466. Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο.] Sic ait; et cuncti dictis paremus ovantes. *Æn.* III, 189.

Ver. 467. Ἔνθα μὲν.] *Al.* Ἔνθα καί. *Ibid.* —— τελεσφόρον εἰς ἐνιαυτὸν Ἥμεθα.] Annua nos illic tenuit mora ——. *Ovid. Metam. lib.* XIV. *ver.* 308.

Ver. 469. —— περὶ δ' ἔτραπον ὧραι.] Περιῆλθον δὲ πάλιν αἱ καιρικὰ ἐπὶ τὴν ὥραν. *Schol. Al.* καὶ ἐπήλυθον ὧραι.

Ver. 470. Μηνῶν φθινόντων.] " Hic versus" (inquit *Henricus Stephanus*) " in nonnullis " editionibus non habetur; et, sicut alii- " quot anteà notati, hic quoque ex alio " quopiam hujus poetæ loco (scimus enim " sæpè ab eo repeti) irrepsisse videri potest." Deest hic versus etiam in MS. à *Tho. Bentleio* collato.

Ibid. —— ἤματα μακρά.] —— sæpè ego *longos* Cantando puerum memini me condere *Soles.* *Virg. Ecl.* IX, 51.

Ver. 474. Οἶκον ἐς ὑψόροφον.] *Al.* Οἶκον ἐϋκτίμενον.

Ver. 481. Γούνων ἐλλιτάνευσα.] Τῶν γονάτων ἀψάμενος παρεκάλεσα. *Schol.*

Ibid. —— ἐλλιτάνευσα.] *Al.* ἐλιτάνευσα. Vide suprà ad *ver.* 264.

Ὦ Κίρκη, τέλεσόν μοι ὑπόσχεσιν, ἣν περ ὑπέστης,
Οἴκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἤδη ὄρωρεν
Ἠδ' ἄλλων ἑτάρων, οἵ μευ φθινύθουσι φίλον κῆρ,
Ἀμφ' ἐμὲ ὀδυρόμενοι, ὅτε που σύγε νόσφι γένηαι.
Ὡς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν ἀέκοντες ἐμῷ ἐνὶ μίμνετε οἴκῳ·
Ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι, καὶ ἐπέσθαι
Εἰς Ἀΐδαο δόμους καὶ ἀκαμάτης Περσεφονείης,
Ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο,
Μάντιος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι·
Τῷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια,

" O Circe, perfice mihi promissum, quod scilicet pollicita es,
" Domum *te me* missuram; animus nempè mihi impellitur jam,
" Et caeterorum sociorum, qui mihi macerant charum cor,
" Circa me lugentes; quandocunque tu seorsùm absis."
Sic dixi: continuò verò respondebat nobilissima dearum:
" Generose Laërtiade, solers Ulysses,
" Nè ampliùs nunc inviti meâ manete in domo:
" Sed aliam oportet primùm viam perficere, et pervenire
" In Plutonis domos, et formidabilis Proserpinae,
" Animam consulturos Thebani Tiresiae,
" Vatis caeci, cujus utique mens integra est;
" Cui etiam mortuo mentem praebuit Proserpina,

Ver. 484. —— Θυμὸς δέ μοι ἔσσυται ἤδη, Ἠδ' ἄλλων ἑτάρων.] Τὸ δὲ, Θυμός μοι ἀδ' ἄλλων ἑτάρων, κακῶς μὲν συντίθασιν· διαστίλλουσι δὲ ὡς ἀντίστασιν· οἷον, Θυμὸς ἐμοῦ καὶ τῶν ἄλλων ἑτάρων, ἐμοὶ καὶ τοῖς ἄλλοις. *Eustath.* Atqui æquè facilè scribere potuisset *Homerus* " Θυ-" μὸς δ' ἐμοῦ ἔσσυται," vel etiam " Ἠδ' ἄλ-" λοις ἑτάροις," si ita dictum oportuisset.

Ver. 490. Ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι]

Antè et Trinacriâ lentandus remus in undâ, [quor,
Et salis Ausonii lustrandum navibus æ-
Infernique lacus ——. *Æn.* III, 384.

Ver. 492. —— χρησομένους.] Vide suprà ad Σ', 79. 81.

Ibid. —— Θηβαίου Τειρεσίαο.] Αὖθη δὲ (Τειρεσίου θυγατὴς) τὴν μαντικὴν τοῦ πατρὸς οὐδὲν ἧττον εἰδυῖα, πολὺ μᾶλλον, ἢ τοῖς Δελφοῖς διατείψασα, τὴν τέχνην ἐπαύξησε. Φύσει δὲ θαυμαστῇ κεχορηγημένη, χρησμοὺς ἔγραψε πανταδαποὺς, διαφόρους ταῖς πανσκευαῖς. Παῤ ἧς φασὶ καὶ τὸν ποιητὴν Ὅμηρον πολλὰ τῶν ἐπῶν ἐφιστορήσαντα, κοσμῆσαι τὴν ἰδίαν ποίησιν. *Diodor. Sicul. Hist. lib.* IV.

Ver. 493. Μάντιος ἀλαοῦ.] Διότι ἱδρύσατο δύο δρέπανα ἐν τῷ Κιθαιρῶνι, μιγνυμένους, καὶ παρατηρήσας τὸν δράκοντα ἀνὰ μέσον, καὶ οὕτως ἐγένετο γυνὴ· καὶ πάλιν τὸν ἄρσενα, καὶ ἀπέλαβε τὴν ἰδίαν φύσιν. Ζεὺς δὲ καὶ Ἥρα, ἐπὶ ἱκανὸν μετέσχον, κρῖναι αὐτὸν εἵλοντο, τίς μᾶλλον ἡδέται ἐν συνουσίᾳ, ὁ ἀνὴρ, ἢ ἡ γυνή· ὁ δὲ εἶπεν, " Οἶνον μὲν μοῖραν δέκα μοιρῶν τίθη-" σιν ἀνὴρ· Τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τίθε-" σουσα νόημα." Διὸ ἡ μὲν Ἥρα ἐργισθεῖσα ἐπήρωσεν αὐτόν· ὁ δὲ Ζεὺς τὴν μαντικὴν ἔδωκεν. *Schol.* Vide et *Schol.* ad *Lycophron. Cassandr. ver.* 683.

Ibid. —— ἀλαοῦ.] " Vox ἀλαὸς," inquit *Barnesius*, " hoc in loco *Duas* Priores ha-" bet *longas*; Primam ob λ *ectaticum*, Se-" cundam ob *Hiatum* per quem τιχνικῶς στί-" χεις τις innuitur; aliàs utrasque breves." Atqui *Primam* fortassè producit hæc vox eâdem ratione ac ἰλάρια, *Iliad.* δ, 4. *Secundam* autem naturâ, ut opinor, longam habet, etsi nonnunquam (ut suprà Σ', 195.) propter sequentem vocalem corripiat. Vide ad *Il.* ὁ, 24.

Ver. 494. Τῷ καὶ τεθνειῶτι νόον.] Καὶ οἶ γε ἀρχαῖα τὰ παρὰ Θεῶν ἐφιλεῖτο, μᾶλλον καὶ ἰσίμυνον καὶ διὰ τοῦτο καὶ ὁ χρησπολιαζόμενος ἦν οὗτος πολὺς — Καὶ διὰ τοῦτο καὶ οἱ μάντεις ἐτιμῶντο ὅσον καὶ βασιλέως ἀξιοῦσθαι, ὃς τὰ παρὰ τῶν Θεῶν ἡμῖν ἐκφέροντας παραγγέλματα

Οἶῳ πεπνύσθαι· τοὶ δὲ, σκιαὶ ἀΐσσουσιν. 495
Ὣς ἔφατ'· αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ·
Κλαῖον δ' ἐν λεχέεσσι καθήμενος, οὐδέ τι θυμὸς
Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην,
Καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον· 500
Ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει;
Εἰς Ἄϊδος δ' οὔπω τις ἀφίκετο νηὶ μελαίνῃ.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μή τί τοι ἡγεμόνος γε ποθὴ παρὰ νηὶ μελέσθω· 505
Ἱστὸν δὲ στήσας, ἀνὰ δ' ἱστία λευκὰ πετάσσας,
Ἧσθαι· τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρῃσιν.
Ἀλλ' ὁπότ' ἂν δὴ νηὶ δι' ὠκεανοῖο περήσῃς,

" Solus ut-sapiat; reliqui verò, umbræ circumvolitant." 495
Sic dixit: at mihi confractum est charum cor:
Flebam autem in lecto desidens, neque omninò animus
Volebat ampliùs vivere, et videre lumen solis.
Cæterùm postquam flendoque volutandoque satiatus-fueram,
Tum verò deinceps ipsam verbis respondens allocutus sum: 500
" O Circe, quisnam enim hujus itineris dux-erit?
" Ad Orcum autem nondum quisquam pervenit nave nigrâ."
Sic dixi: continuò verò respondebat nobilissima dearum:
" Generose Laërtiade, solers Ulysses,
" Minimè tibi ducis desiderium apud navem curæ-sit: 505
" Malo autem erecto, velisque albis expansis,
" Sede; illam verò tibi flatus Boreæ ferat.
" Sed cùm jam nave per Oceanum trajeceris,

καὶ ἰκανοὺς ὁρῶντα καὶ ζόντες καὶ ἀποθανόντες· καθάπερ καὶ ὁ Τειρεσίας· " Τῷ καὶ τεθνηότι νόον " πάσι Περσεφόνεια, Οἷῳ πεπνύσθαι· τοὶ δὲ, σκιαὶ " ἀΐσσουσι." *Strabo, Geograph. lib.* XVI. *pag.* 1105. *al.* 762. Vide et *Lucian. de Astrologiâ*, haud longè à fine.

Ver. 495. *Οἷῳ πεπνύσθαι· τοὶ δέ.*] Similitèr *Callimachus*, de eodem *Tiresiâ*:

Καὶ μόνος, οὕνεκα Ζῆνα, πεπνυμένος ἐν πεπύκεσσι,
Φωτάσιν, μεγάλῳ ῥίμφει Ἀγησίλᾳ.
Hymn. in Lavacr. Pallad. ver. 129.

" Amphiaraus et Tiresias — clari et præ-" stantes viri, qui avibus et signis admoniti " futura dicebant. Quorum de altero etiam " apud inferos Homerus ait, *solum sapere*, " *cæteros umbrarum vagari modo.*" *Cic. de Divinat. lib.* I. § 40. Ἔστι δὲ νίος ὢν [ὁ Σκαμάνδριος], τοσαύτην ἴσχει δόξαν ἀνδρείας καὶ σοφίας, ὥστε Κάτωπα μὲν τὸν περιβόητον μάντιν ἰχνευτῆσαι φησὶ τῶν ἐν Καρχηδόνι στρατευομένων, ἐν οἷς καὶ Σκιπίων ἦν, " Ο. τέτνυται, τοὶ " δὲ σκιαὶ ἀΐσσουσιν." *Plutarch. Apophthegm.*

De *Chrysippo* etiam versum hunc usitatum refert *Diogenes Laërtius, lib.* VII. in *Chrysippo*. Cæterùm vituperat hunc *Homeri* locum *Plato, de Republ. lib.* III. sub initio.

Ver. 501. Ὦ Κίρκη, τίς γάρ.] Σημείωσαι δὲ ὅτι ἐν τῷ, " Ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν " ἡγεμονεύσει;" δεκτὸν πάντη καὶ ἐν στερεοῦ πίστει ὁ αἰτιολογικὸς σύνδεσμος. *Eustath.* Minùs rectè. Refertur enim istud γὰρ ad id quod elegantèr reticetur: *Nequaquàm* " *eò ire possum: Quis ENIM, &c.*" Quo modo et ipse posteà explicat *Eustathius*: Θεραπευθεὶς δ' ἂν λέγῳ ἐλλείψεως· ἵνα λέγῃ ὅτι " Ὦ Κίρκη, ἀδύνατα φῂς· τίς γὰρ εἰς ἅϊδου " ἡγεμονεύσει." Καὶ ἔχει πολὺ τὸ σεμνὸν ἡ τοιαύτη ἔλλειψις. Vide suprà ad *ver.* 174. 190.

Ibid. —— ταύτην ὁδὸν ἡγεμονεύσει.] Τὸ δὲ, ταύτην ὁδὸν, ἔλλειψιν ἔχει καὶ τῶν προθέσεων· ἵνα ᾖ, εἰς ταύτην ὁδὸν ἡγεμονεύσει. *Eustath.* Atquè eâdem phrasi alibi utitur Poeta:

Τὸν δ' αἶψ' ἀνάγετε αὐτὰν ἐδὸν ἡγήσασθαι.
Suprà, *ver.* 263.

Ver. 506. — ἀνὰ δ' ἱστία.] *Al.* ἀνὰ δ' ἱστία.

Ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης,
Μακραί τ' αἴγειροι, καὶ ἰτέαι ὠλεσίκαρποι·
Νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' ὠκεανῷ βαθυδίνῃ,
Αὐτὸς δ' εἰς Ἀΐδεω ἰέναι δόμον εὐρώεντα.
Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι,
Κώκυτός θ', ὅς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ·
Πέτρη τε, ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων.
Ἔνθα δ' ἔπειθ', ἥρως, χρειμφθεὶς πέλας, ὥς σε κελεύω,
Βόθρον ὀρύξαι ὅσον τε πυγούσιον, ἔνθα καὶ ἔνθα·
Ἀμφ' αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσι,
Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδεῖ οἴνῳ,

" Ubi littusque humile et luci Proserpinae,
" Excelsaeque populi, et salices fructum-perdentes:
" Navem quidem illuc appelle in Oceano profundo-vorticibus,
" Ipse autem in Plutonis eas domum squalidam.
" Ibi quidem in Acherontem Pyriplegethonque fluunt.
" Cocytusque, qui scilicet Stygis aquae est rivus:
" Rupesque est, et concursus duorum fluminum sonororum.
" Illic autem deinde, heros, admotus propè, ut te jubeo,
" Fossam fode magnitudine cubitalem quaquaversùm:
" Circa illam autem libamen funde omnibus mortuis,
" Primùm mulso, deinde verò dulci vino,

Ver. 509. Ἔνθ' ἀκτή τε λάχεια.] Ἐμύθευον δ' οἱ περὶ ἡμῶν ἐν τῷ Λόγῳ τὰ περὶ τὴν νεκυίαν τὴν Ὁμηρικήν· καὶ δὴ καὶ νεκυομαντεῖον ἱστορεῦσιν ἐνταῦθα γενέσθαι, καὶ Ὀδυσσέα εἰς τοῦτο ἀφικέσθαι. *Strabo, Geograph. lib.* V. *pag.* 374. *al.* 244. Cæterùm *Barnesius* hìc legendum vult, ἀκτή τ' ἰλάχεια. Quo modo legisse videtur *Scholiastes*. Vide suprà ad ί, 116. Codices à *Tho. Bentleio* collati et hìc legunt λάχεια.

Ver. 510. Μακραί τ' αἴγειροι.] Vide suprà ad ί, 238. *Al.* Κλῆθραί τ' αἴγειροί τε.

Ibid. —— καὶ ἰτέαι ὠλεσίκαρποι.] Ἐστιδὴ τὸ ἄνθος ἀπεβάλλουσι· ἢ ἐπεὶ οἱ πίνοντες ἄνθος ἰτέας ἄγονοι διαμένουσι. *Schol.* Ἀλλὰ τὴν ἰτέαν ταχὺ προκαταβάλλειν, πρὶ σὺ τελείως ἀδρῦναι καὶ πῆξαι, τὸν καρπόν. Διὸ καὶ τὸν Ποιητὴν οὐ πάνυ προσαγορεύειν αὐτὴν ὠλεσίκαρπον. *Theophrast. Hist. Plant. lib.* III. *cap.* 2. ipso initio. *Ælianus* autem, de *Animal. lib.* IV. *cap.* 23. secundùm posteriorem *Scholiastis* interpretationem exponit; malè. Vide et *Plin. Nat. Hist. lib.* XVI. *cap.* 26.

Ver. 512. —— δόμον εὐρώεντα.] Vide ad *Il.* ύ, 65.

Ver. 513. Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι, Κώκυτός θ'.] Τοῦτο τὸ σχῆμα παλαίεται προδιεξευγμένον, καὶ καθ' ὑπερβατόν· ὅτ' ἰόντων δὲ Ἀλμανικόν. *Schol.* Similiter *Iliad.* ί, 774.

Ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.

Et *Iliad.* ύ, 136. in nonnullis Editt.

Εἰ δέ κ' Ἄρης ἔρχοιτο μάχης ἐπὶ Φοίβος Ἀπόλλων.

Ἐν τούτοις ἐν μέσῳ κεῖται ὁ ἸΔιὸς ἱπάγισθαι. *Porphyr. Quæst. Homeric.* 7. sub fine.

Ibid. — Ἀχέροντα — Κώκυτός θ'.] Πρὸς δὲ τῇ Κιχύρῳ λίμνη τι ἐστὶν Ἀχερουσία παλουμένη, καὶ ποταμὸς Ἀχέρων ῥεῖ δὲ καὶ Κώκυτος ὕδωρ ἀτερπέστατον. Ὅμηρός τέ μοι δοκεῖ ταῦτα ἐκπεπλακὼς, ἐς τε τὴν ἄλλην πύησιν ἀποτολμῆσαι τῶν ἐν ᾅδου, καὶ δὴ καὶ τὰ ὀνόματα τοῖς ποταμοῖς ἀπὸ τῶν ἐν Θεσπρωτίδι Σίσθαι. *Pausan. lib.* I. *cap.* 17.

Ibid. —— Πυριφλεγέθων τε.] Ποταμὸς ἐν ᾅδου. *Schol.*

Quæ rapidus flammis ambit torrentibus amnis,
Tartareus Phlegethon —. *Æn.* VI, 550.

Ver. 514. —— Στυγὸς ὕδατος.] Vide suprà ad ί, 185.

Ver. 517. Βόθρον ὀρύξαι ὅσον τε.] *Al.* Βόθρον ὀρύξον ὅσον τε. *Al.* Βόθρον ὀρυξ' ὅσσον τε. Vide autem infrà ad λ', 25.

Ibid. —— πυγούσιον.] Ὁ πηχυαῖος· μάλιστα δὲ, κατὰ τοὺς Παλαιούς, ὁ πυγοναῖος. — Ἐστὶ δὲ πυγὼν τὸ ἀπὸ ἀγκώνος μέχρι δακτύλων κεκαμμένων, ὅ ἐστι συνεστραμμένων, διάστημα. *Eustath.*

Ver. 518. —— χοήν.] Τὴν τοῖς νεκροῖς ἐπιχεομένην χύσιν. *Schol.*

Ibid. —— πᾶσιν νεκύεσσι.] Ita *Barnesius*. *Al.* πᾶσι νεκύεσσι. Quod pronuntiatu idem. Vide ad *Il.* ά, 51.

Ver. 519. —— μελικρήτῳ.] Τῷ μετὰ γάλακτος μίλτι. *Schol.*

Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν.
Πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα,
Ἐλθὼν εἰς Ἰθάκην, στεῖραν βοῦν, ἥτις ἀρίστη,
Ῥέξειν ἐν μεγάροισι, πυρήν τ' ἐμπλησέμεν ἐσθλῶν.
Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ,
Παμμέλαιναν, ἣ μήλοισι μεταπρέπει ὑμετέροισιν.
Αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν,
Ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν, Θῆλύν τε μέλαιναν,
Εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι,
Ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
Ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνειώτων.
Δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
Μῆλα, τὰ δὴ κατέκειτ' ἐσφαγμένα νηλεῖ χαλκῷ,
Δείραντας κατακῆαι· ἐπεύξασθαι δὲ θεοῖσιν,
Ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ.
Αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Ἧσθαι, μηδὲ ἐᾷν νεκύων ἀμενηνὰ κάρηνα

" Tertiùm itidem aquâ; furinamque albam insperge.
" Valdè verò precare manium inania capita, *vocens*.
" Ubi-veneris in Ithacam, sterilem vaccam, quaecunque optima,
" Sacrificaturum *te* in aedibus, pyramque impleturum rebus bonis.
" Tiresiae verò separatim arietem sacrificaturum soli,
" Prorsùs-nigrum, qui inter oves excellat vestras.
" Caeterùm postquam precibus oraveris inclytas gentes mortuorum,
" Ibi ovem marem sacrifica, foeminamque nigram,
" Ad Erebum versos; ipse verò seorsùm aversus-sis,
" Contendens ad fluvii fluenta: ibi verò multae
" Animae accedent mortuorum defunctorum.
" Tum verò deinde socios hortare et jube
" Pecudes, quae jam jaceant mactatae saevo ferro,
" Excoriatas comburere, votaque facere diis,
" Praepotentique Plutoni, et formidabili Proserpinae.
" Ipse autem gladio acuto stricto à femore
" Sede, neque sine manium inania capita

Ver. 520. —— *ὕδατι· ἐπί.*] Vide ad *Il. σ'.* 35. et *ά*, 285. item infrà ad *ά*, 493.

Ver. 523. 'Ρέξειν *ἐν μεγάροισι.*] *Al.* 'Ρέξειν *σ' ἐν μεγάροισι.*

Ver. 525. —— *ὑμετέροισιν.*] " Mallem," inquit *Barnesius*, " legere *ἡμετέροισι*" Sed minùs rectè; ut liquet ex *λ'*, 33. infrà.

Ver. 527. *Ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν.*]

—— Mactare repostis
Mox umbris (inquit) consueta piacula, nigras
Sub lucem pecudes, reclusaeque abdere terrae
Manantem jugulis spirantum caede cruorem.

Tunc populos tibi regna suos pallentia mittent.
Silius Italicus, lib. XIII. *ver.* 404.

Ver. 528. —— *στρέψας.*] *Al. τρέψας.*

Ver. 530. —— *νεκύων κατατεθνειώτων.* Vide ad *Il. π'*, 526.

Ver. 535. *Δείραντας.*] MS. à *Tho. Rentleio* collatus, et hìc et infrà *λ'*, 46. ubi idem versus occurrit, legit *Διέραντες*.

Ver. 535. *Αὐτὸς δὲ ξίφος ὀξύ.*]

Eductumque tene vaginâ interritus ensem.
Quaecunque antè animae tendunt potare cruorem,
Disjice; dum castae procedat imago Sibyllae. *Silius Ital. lib.* XIII. *v.* 442.

Αἵματος ἆσσον ἵμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
Ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
Ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου,
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἦλυθεν ἠώς.
Ἀμφὶ δέ με χλαῖνάν τε, χιτῶνά τε, εἵματα ἕσσεν·
Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἔννυτο Νύμφη
Λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ,
Καλὴν, χρυσείην· κεφαλῇ δ' ἐπέθηκε καλύπτρην.
Αὐτὰρ ἐγὼ διὰ δῶμαθ' ἰὼν ὤτρυνον ἑταίρους,
Μειλιχίοις ἐπέεσσι παραστὰς ἄνδρα ἕκαστον·
Μηκέτι νῦν εὕδοντες ἀωτεῖτε γλυκὺν ὕπνον,
Ἀλλ' ἴομεν· δὴ γάρ μοι ἐπέφραδε πότνια Κίρκη.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Οὐδὲ μὲν οὐδ' ἔνθεν περ ἀπήμονας ἦγον ἑταίρους·
Ἐλπήνωρ δέ τις ἦεν νεώτατος, οὐδέ τι λίην
Ἀλκιμος ἐν πολέμῳ, οὔτε φρεσὶν ἦσιν ἀρηρώς,
Ὅς μοι ἄνευθ' ἑτάρων, ἱεροῖς ἐν δώμασι Κίρκης,
Ψύχεος ἱμείρων κατελέξατο οἰνοβαρείων·
Κινυμένων δ' ἑτάρων ὅμαδον καὶ δοῦπον ἀκούσας,

" Ad sanguinem propè accedere, antequam Tiresiam sciscitatus-fueris.
" Ibi tibi statim vates adveniet, dux populorum,
" Qui tibi dicat iter et mensuras viae,
" Reditumque, ut per pontum proficiscaris piscosum."
Sic dixit: statim autem aureo-solio venit aurora.
Mihi verò laenamque, tunicamque, vestimenta induit:
Ipsa autem candidam togam ingentem induit Nympha
Tenuem et venustam, zonamque circumposuit lumbis,
Pulchram, auream; capitique imposuit calyptram.
At ego per domum profectus hortabar socios,
Mollibus verbis astans virum unumquemque:
" Nè ampliùs nunc dormientes carpite dulcem somnum;
" Sed eamus: jam enim me monuit veneranda Circe."
Sic dixi: illis verò persuasus est animus generosus.
Neque quidem vel illinc incolumes abduxi socios:
Elpenor nempè quidam erat minimus-natu, neque valdè
Fortis in bello, neque mente suâ aptus,
Qui mihi seorsùm à sociis, sacris in aedibus Circes,
Refrigerii cupiens decubuit vino gravatus:
Moventium autem se sociorum tumultu et strepitu audito,

Ver. 541. — ἦλυθεν.] Ex Aoristo ἦλυθον, non ex Perfecto ἦλυθα. Vide ad *Il.* ά, 37.

Ver. 544. ——— ἰξυῖ.] Pronuntiabatur ἰξῷ, vel ἰξυῖ.

Ver. 548. —— ἀωτεῖτε.] Vide suprà ad ά, 443.

Ver. 549. —— ἐπέφραδε.] Vide ad *Il.* β', 314. et ξ'. 500.

Ver. 555. Ψύχεος ἱμείρων.] Ἀναψῦξαι διὰ τὸ συνέχεσθαι καὶ τὰν μέθην ὑπνώσεως τῆς αὔρας. *Schol.*

Ver. 556. —— ὅμαδον καὶ δοῦπον.] Vide ad *Il.* δ', 455.

Ἐξαπίνης ἀνόρουσε, καὶ ἐπλάθετο φρεσὶν ἦσιν
Ἄψορρον καταβῆναι, ἰὼν ἐς κλίμακα μακρήν·
Ἀλλὰ καταντικρὺ τίγεος πέσεν· ἐκ δέ οἱ αὐχὴν
Ἀστραγάλων ἐάγη, ψυχὴ δ' ἄϊδόσδε κατῆλθεν.
Ἐρχομένοισι δὲ τοῖσιν ἐγὼ μετὰ μῦθον ἔειπον·
Φάσθε νύ που οἴκόνδε φίλην ἐς πατρίδα γαῖαν
Ἔρχεσθ'· ἄλλην δ' ἡμιν ὁδὸν τετμήξατο Κίρκη
Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
Ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο.
Ὣς ἐφάμην· τοῖσιν δὲ κατεπλάσθη φίλον ἦτορ·
Ἑζόμενοι δὲ καταῦθι γόων, τίλλοντό τε χαίτας.
Ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν.
Ἀλλ' ὅτε δή ῥ' ἐπὶ νῆα θοὴν καὶ ἐπὶ θῖνα θαλάσσης
Ἤομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες,
Τόφρα δ' ἄρ' οἰχομένη Κίρκη παρὰ νηῒ μελαίνῃ
Ἀρνειὸν κατέδησεν ὄϊν, θῆλύν τε μέλαιναν,

Repentè experrexit, et oblitus-est mente suâ
Retrorsùm descendere, profectus ad scalam longam;
Sed rectà de tecto decidit: ei autem cervix
Ex articulis fracta est: anima verò ad orcum descendit.
Venientibus autem illis ego sermonem dixi:
" Existimatis jam fortassis domum, charam ad patriam terram
" Profecturos: aliud verò nobis iter designavit Circe
" Ad Plutonis domum, et formidabilis Proserpinae,
" Animam consulturos Thebani Tiresiae."
Sic dixi: illis verò confractum est charum cor.
Desidentes autem illic flebant, vellebantque capillos:
Sed neque ullus profectus fiebat lugentibus.
At quando jam ad navem celerem et littus maris
Ibamus tristes, uberes lachrymas profundentes;
Interea utique vadens Circe ad navem nigram
Masculam alligavit ovem, foeminamque nigram,

Ver. 559. ——— καταντικρύ.] *Al.* κατ' ἀντικρύ.

Ver. 562. Φάσθε.] *Al.* Φᾶσθε. Minùs rectè. Vide ad *Il.* ξ', 471.

Ver. 563. ——— ἄλλην δ' ἡμιν ὁδὸν τετμήξατο Κίρκη.]

——— resides et desuetudine tardi
Rursus inire fretum, rursus dare vela jubemur.
Ancipitesque vias, et iter Titania vastum
Dixerat, et sævi restare pericula ponti.
Ovid. Metam. lib. XIV. *ver.* 436.

Ver. 565. ——— χρησομένους.] *Al.* χρησομένους.

Ver. 567. ——— καταῦθι.] *Al.* κατ' αὖθι.

Ver. 568. Ἀλλ' οὐ γάρ τις πρῆξις.] Vide suprà ad *ver.* 202. *Barnesius* legendum conjicit, Ἀλλ' οὐκ ἦε τις.

Ver. 572. Ἀρνειὸν κατέδησεν ὄϊν, θῆλύν τε.] Quibus videlicet sacra faceret *Ulysses*, uti ipsa ei præceperat suprà *ver.* 527. Vide et infrà ad λ', 35. 45. Cæterùm *Meric. Casaubonus, de nuperâ Homeri Editione, Dissertat.* I. hìc legi vult, Ἀρνειὸν κατέδησεν, ὄϊν θῆλύν τε· ut vox ὄϊν non ad Ἀρνειὸν, sed ad θῆλυν solummodò referatur. Sed minùs rectè: Ut liquet ex *ver.* 527. suprà:

Ἔνθ' ὄϊν ἀρνειὸν μέλαιναν, θῆλύν τε μέλαιναν.

Ῥεῖα παρεξελθοῦσα· τίς ἂν θεὸν οὐκ ἐθέλοντα
Ὀφθαλμοῖσιν ἴδοιτ', ἠ ἔνθ', ἠ ἔνθα ἰόντα;

Facilè clàm-praetergressa: quis deum nolentem
Oculis viderit, aut huc, aut illuc profectum?

Ver. 573. —— παρεξελθοῦσα.] Λάθρα παρελθοῦσα. *Schol.*

Ibid. —— τίς ἂν θεὸν οὐκ ἐθέλοντα Ὀφθαλμοῖσιν ἴδοιτ'.]

Τὸν πάντ' ἐρῶντά, τ' αὐτὸν οὐχ ἑκόμενον.
Eurip. ap. Clem. Alexand. Admonit. ad Gentes.

—— εἰδέ τις αὐτὸν
Εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ἐρᾶται.
Orpheus apud Eundem, Strom. lib. V.

Tenuis enim natura Deûm, longéque remota
Sensibus à nostris ——.
Lucret. lib. V. *ver.* 149.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Λ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Λ'.

ΑΠΑΓΓΕΛΛΕΙ, πῶς κατὰ Κίρκης ἐντολὰς εἰς ᾅδου κατῆλθε· καὶ ὡς ἤκουσε Τειρεσίου, τοῦ μάντεως, περὶ τῆς ἰαυτοῦ καὶ τῶν ἄλλων σωτηρίας· καὶ ὡς τοὺς ἥρωας κα' τὰς ἡρωΐδας εἶδεν ἐν ᾅδου, καὶ τὴν μητέρα, καὶ ἐς Ἴλιον συστρατευσάντων ἐνίους, καὶ τῶν ἐν ᾅδου κολαζομένων τινάς.

Ἐπιγραφαί.

Νεκυομαντεία, ἢ, Νεκυία.

Ἄλλως.

Λάμβδα δ' ἐν Ἀΐδαο ψυχαῖς ἐπιτύγχαν' Ὀδυσσεύς.

Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν, ἠδὲ θάλασσαν,
Νῆα μὲν ἅρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν·
Ἐν δ' ἱστὸν τιθέμεσθα καὶ ἱστία νηῒ μελαίνῃ·
Ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν, ἐν δὲ καὶ αὐτοὶ
Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. 5

CAETERUM postquam ad navem venissemus et mare,
Navem quidem omnium-primùm deduximus in mare vastum:
Malumque imposuimus et vela navi nigrae:
Pecudes autem sumptas induximus; ipsique deinde
Ingrediebamur dolentes, uberes lachrymas profundentes. 5

Ver. 2. —— Ἐρύσσαμεν εἰς ἅλα δῖαν.] Sic suprà ϑ', 577.

Ver. 235. —— Σαλμωνῆος ἀμύμονος.] Περὶ δὲ Σαλμωνέως φασὶν οἱ παλαιοὶ ὡς ἄρα ὁ ἀνὴρ ἀσεβὴς ἦν, ἀντίζηλον τοῦ Διὸς ἑαυτὸν ἀναστεράπτων τῷ Διΐ, διὸ καὶ ἐκπεσεῖν· Ὅμηρος μέντοι οὐκ οἶδε τοιοῦτόν τι, ἀλλὰ ἀμύμονα τὸν Σαλμωνέα φησίν. *Eustath.* Similitèr et *Dacier*. Atqui nihil impedit vox ἀμύμονος quominùs homo pravis moribus fuerit *Salmoneus*. Vide suprà ad α', 29. et ad *Il.* β', 673.

Ver. 237. —— Ἐνιπῆος θείοιο.] Ἐνιπεὺς Ἡλίδος ποταμός, καὶ Θετταλίας. *Schol.* Vide et *Strabonem*, *Geograph. lib.* VIII. *pag.* 546. *al.* 356.

Ver. 238. Ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησι.] Similitèr de Fluvio *Axio* Poeta, *Iliad.* φ', 158.

Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν.

Ibid. —— ἵησι.] *Al.* ἵησι.

Ver. 239. —— πωλέσκετο.] *Versari* solebat. Vide ad *Il.* α', 37. et β', 221.

Ver. 240. Τῷ δ' ἄρα εἰσάμενος.] Vide ad *Il.* ν', 45. *Al.* Τῷ δ' ἄρ' εἰσάμενος.

Πορφύρεον δ' ἄρα κῦμα περιστάθη, οὔρεϊ ἶσον,
Κυρτωθέν· κρύψεν τε θεὸν, θνητήν τε γυναῖκα·
Λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευεν.
Αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
Ἕν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Χαῖρε, γύναι, φιλότητι· περιπλομένου δ' ἐνιαυτοῦ,
Τέξεις ἀγλαὰ τέκνα· ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
Ἀθανάτων· σὺ δὲ τοὺς κομέειν, ἀτιταλλέμεναί τε.
Νῦν δ' ἔρχευ πρὸς δῶμα, καὶ ἴσχεο, μηδ' ὀνομήνῃς·
Αὐτὰρ ἐγώ τοι εἰμὶ Ποσειδάων ἐνοσίχθων.
Ὣς εἰπὼν, ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα.
Ἡ δ' ὑποκυσσαμένη, Πελίην τέκε καὶ Νηλῆα·
Τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοιο γενέσθην
Ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαολκῷ

Purpureus autem fluctus circumstitit, monti aequalis,
Curvatus; absconditque deum, mortalemque foeminam:
Solvit autem virgineam zonam, somnumque offudit.
Caeterùm postquam perfeciset deus amatoria opera,
Inhaesit sanè ei manui, verbumque dixit, et compellavit:
" Gaude, mulier, amore *hoc*: circumvoluto autem anno,
" Paries pulchros liberos; quoniam haud inanes concubitus
" Immortalium: tu verò eos cura enutrique.
" Nunc autem i ad domum, et contine-te, neque mentionem-feceris;
" At ego tibi sum Neptunus terrae-quassator."
Sic locutus, pontum subiit fluctuantem.
Illa autem gravida-facta, Peliam peperit et Neleum;
Qui fortes ministri Jovis magni fuerunt
Ambo: Pelias quidem in spatiosâ Iäolco

Ver. 242. Πορφύρεον δ' ἄρα κῦμα περιστάθη.] ——— At illum
Curvata in montis faciem circumstetit unda,
Accepitque sinu vasto. ———
Virg. Georg. IV. 360.

Ver. 243. —— κρύψεν τε.] *Al.* κρύψεν δέ.

Ver. 244. Λῦσε δὲ παρθενίην ζώνην.] Similitèr *Catullus*:

——— solvit zonam diù ligatam.
Carm. II. *ver.* 13.

Ver. 247. —— περιπλομένου δ' ἐνιαυτοῦ, Τέξεις.] " Quòd si ita, neque ultra decimum
" mensem fœtura mulierum protolli potest;
" quæri oportet, cur Homerus scripserit
" Neptunum dixisse puellæ à se recens com-
" pressæ; Χαῖρε νῦν φιλότητι· περιπλομένου δ'
" ἐνιαυτοῦ, Τέξεις ἀγλαὰ τέκνα· &c. —— Sed
" Favorinus mihi ait περιπλομένου ἐνιαυτοῦ
" non confecto esse anno, sed affecto. In
" quâ re usus est verbo non vulgaris signi-
" ficationis. *Affecta* enim, sicuti M. Cicero
" et veterum elegantissimi locuti sunt, ea
" propriè dicebantur, quæ non ad finem
" ipsum, sed proximè finem progressa de-
" ductave erant." *Gellius, lib.* III. *cap.* 16.
Ubi notandum, pro Χαῖρε γύναι, legisse *Gellium*, Χαῖρε νῦν.

Ver. 248. —— τέκνα· ἐπεὶ οὐκ.] *Barnesius* edidit, τέκνα· ἐπεὶ οὐκ. Quo modo et apud *Gellium* legitur, loco jam citato. Sed et ferri potest vulgata lectio; pronuntiando scilicet ἐπ' οὐκ, vel ἐπεὶ οὐκ duabus syllabis. Sic *Iliad.* ν', 777.

Μίλλω, ἐπεὶ οὐδ' ἐμὶ πάμπαν ———.

Vide et ad *Il.* ί, 349. et ί, 533.

Ver. 252. Ὣς εἰπὼν, ὑπὸ πόντον ἐδύσατο.] Hæc Proteus; et se jactu dedit æquor in altum: *Virg. Georg.* IV, 528.

Tantum effata, ———
——— se fluvio Dea condidit alto.
Æn. XII, 885.

Ver. 254. ——— Διὸς.] Βασιλῆς καὶ γὰς οἱ πολεμικοὶ, Διόθεντες Ἄρεος. *Schol.*

Ver. 255. ——— Ἰαολκῷ.] Ἰωλκὸς, πόλις Θετταλίας. *Schol.*

Ναῖε πολύῤῥηνος· ὁ δ' ἄῤ' ἐν Πύλῳ ἠμαθόεντι.
Τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν,
Αἴσονά τ', ἠδὲ Φέρητ', Ἀμυθάονά θ' ἱπποχάρμην.
Τὴν δὲ μετ', Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα,
Ἣ δὴ καὶ Διὸς εὔχετ' ἐν ἀγκοίνῃσιν ἰαῦσαι·
Καί ῥ' ἔτεκεν δύο παῖδ', Ἀμφίονά τε, Ζήθόν τε,
Οἵ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο,
Πύργωσάν τ'· ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ' ἐδύναντο
Ναιέμεν εὐρύχορον Θήβην, κρατερῷ περ ἐόντε.
Τὴν δὲ μετ', Ἀλκμήνην ἴδον, Ἀμφιτρύωνος ἄκοιτιν,
Ἣ ῥ' Ἡρακλῆα θρασυμέμνονα, θυμολέοντα,
Γείνατ', ἐν ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα·
Καὶ Μεγάρην, Κρείοντος ὑπερθύμοιο θύγατρα,
Τὴν ἔχεν Ἀμφιτρύωνος υἱὸς, μένος αἰὲν ἀτειρής.
Μητέρα τ' Οἰδιπόδαο ἴδον, καλὴν Ἐπικάστην,
Ἣ μέγα ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο,
Γημαμένη ᾧ υἱεῖ· ὁ δ' ὃν πατέρ' ἐξενaρίξας

Habitabat abundans-pecore; hic verò in Pylo arenosâ.
Alios verò Cretheo peperit regina mulierum,
Aesonemque, atque Pheretem, Amythaonemque gaudentem-equis.
Post hanc verò, Antiopen vidi, Asopi filiam;
Quae utique et Jovis gloriabatur in ulnis se-dormiisse;
Et peperit duos filios, Amphionemque Zethumque,
Qui primi Thebarum sedem condiderunt septem-portas-habentium,
Turribusque munierunt; quoniam non absque-turribus poterant
Habitare spatiosas Thebas, fortes licèt essent
Post hanc autem, Alcmenam vidi, Amphitryonis uxorem,
Quae scilicet Herculem audacem, animum-leonis-habentem,
Peperit, in ulnis Jovis magnanimi commista:
Et Megaram, Creontis magnanimi filiam;
Quam habuit Amphitryonis filius, robore semper indomitus.
Matrem quoque Oedipodis vidi, pulchram Epicasten,
Quae ingens facinus commisit insipientiâ mentis,
Nupta suo filio; ille verò suum patrem ubi-interfecisset,

Ver. 256. —— *ὁ δ' ἄῤ' ἐν Πύλῳ.*] Ὁ Νηλεὺς δηλαδή. *Eustath.*

Ver. 259. —— *Ἀσωποῖο θύγατρα.*] Vide *Pausan. lib.* II. *cap.* 6.

Ver. 261. —— *ἴσχειν.*] *Al. ἴσχεν.*

Ver. 262. *Οἵ πρῶτοι Θήβης ἕδος ἔκτισαν.*] Οἱ τῆς Ἀντιόπης παῖδες —— τὴν πόλιν τὴν κάτω περιφήκισαν τῇ Καδμείᾳ, καὶ Θήβας ὄνομα ἔθεντο κατὰ συγγένειαν τῆς Θήβης. Μαρτυρεῖ δέ μοι τῷ λόγῳ καὶ Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ " Οἵ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο " Πύργωσάν τ'· ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ' ἐδύναντο." Ὅτι δὲ Ἀμφίων ᾔδει, καὶ τεῖχος ἐξεργαζόμενος πρὸς τὴν λύραν, οὐδένα ἔτι ἠσκήσατο λόγον ἐν τοῖς ἔπεσι. *Pausan. lib.* IX. *cap.* 14.

Ver. 265. —— *ἔτι οὐ μὲν ἀκύργωτον.*] *Pausanias*, loco jam citato, legit, *ἔτι οὔ μιν ἀκύργωτον.*

Ver. 269. —— *μένος αἰὲν ἀτειρής.*] *Scholiastes* explicat, Ὀργῆς ἀφορήτου μεστός. Minùs rectè.

Ver. 270. —— *Ἐπικάστην.*] Παρὰ τοῖς Τραγικοῖς, Ἰοκάστην. *Schol.*

Ver. 272. *Γημαμένη ᾧ υἱεῖ· ὁ δ' ὃν πατέρ' ἐξενaρίξας Γῆμεν.*] Τὸ δὲ " γημαμένη" καὶ τὸ " ἔγημε" φασιρὰν διαφορὰν δηλοῖ τοῦ Γῆμαι καὶ τοῦ Γήμασθαι. *Eustath.* Nempè Γῆμαι, propriè est, *Uxorem ducere*; Γήμασθαι, *Uxorem se alicui dare.* Vide suprà ad *ver.* 179. item ad *i*, 491. et *i*, 296.

Γῆμεν· ἄφαρ δ' ἀνάπυστα Θεοὶ Θέσαν ἀνθρώποισιν.
Ἀλλ' ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων,
Καδμείων ἤνασσε, θεῶν ὀλοὰς διὰ βουλάς·
Ἡ δ' ἔβη εἰς Ἀΐδαο πυλάρταο κρατεροῖο,
Ἀψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου,
Ὧ ἄχεϊ σχομένη· τῷ δ' ἄλγεα κάλλιπ' ὀπίσω
Πολλὰ μάλ', ὅσσα τε μητρὸς Ἐριννύες ἐκτελέουσι.
Καὶ Χλῶριν εἶδον περικαλλέα· τὴν ποτε Νηλεὺς
Γῆμεν, ἐὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα,
Ὁπλοτάτην κούρην Ἀμφίονος Ἰασίδαο·

Eam uxorem-duxit: statim verò *haec* vulgata dii fecerunt hominibus.
Sed ille quidem in Thebe amabili dolores patiens,
Cadmëis imperabat, deorum dira per consilia:
Illa autem abiit in orcum validas-portas-habentem, firmum,
Deligato laqueo sublimè ab altâ trabe,
Suo dolore correpta; illi verò dolores reliquit ponè
Valdè multos, quotquot scilicet matris Furiae efficiunt.
Et Chlorin vidi perpulchram; quam olim Neleus
Uxorem-duxit, suam ob pulchritudinem, postquam dedisset innumera sponsalia,
Minimam-natu filiam Amphionis Jasidae:

Ver. 273. —— ἄφαρ δ' ἀνάπυστα Θεοὶ Θέσαν.] Ἀνὰ στόμα πᾶσι λίγειν καὶ συνθάπτεσθαι ἢ φανερά. *Schol.* Alitèr *Pausanias*: Ὁ δὲ [Οἰδίπους] καὶ τὸν πατέρα ἀποκτιννῦν ἥμελλεν, ὡς νυξὶν ἐν καὶ τὴν μητέρα ἴγνημι. Παῖδας δ' ἐξ αὐτῆς οὐ δοκῶ οἱ γενέσθαι. μάρτυρες Ὁμήρου χρῶμενοι, ὃς ἱστόησεν ἐν Ὀδυσσείᾳ· "— ἄφαρ δ' "ἀνάπυστα Θεοὶ Θέσαν ἀνθρώποισι." Πῶς οὖν ἱστόησαν ἀνάπυστα ἄφαρ, εἰ δὴ τέσσαρες ἐξ Ἰοκάστης ἐγένοντο παῖδες τῷ Οἰδιπόδει *lib.* IX. *cap.* 5.

Ver. 274. —— Θήβῃ πολυηράτῳ.] Πολλὰς ἀρὰς καὶ βλασφημίας Θεῶν ὑπομενοῦσαν. [Ita *Barnesius* pro vulgato ὑπομείνας ἤ.] οὐ γὰρ ἐρασμίην ὅπως ἂν ᾖ τῷ ὑποκειμένῳ ἀπόλουθον. *Schol.* Atqui vox πολυήρατος semper alibi apud Poetam *amabilem* significat:

— πολυηράτου εἰς γάμου ὥρην. *Odyss.* ὁ, 126.

Αὐτὰρ ἐπεί ῥ' ἵκετο πολυήρατον εἰς ὁμιλον ἄμφω. *Ibid.* 365.

Νῦν δ' ἐπεὶ ἀμφοτέρῳ πολυήρατον εἰς ὁμιλον ἰὼν ἥ. ψ', 354.

Vide et ad *Il.* σ', 512.

Ver. 275. ἤνασσε.] Vide ad *Il.* π', 172.

Ver. 277. Ἀψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου.]

Et nodum informis lethi trabe nectit ab altâ. *Æn.* XII, 603.

——— κἀμπάσσει στίγη,
Οἳ δὴ περιμαστὴν τὴν γυναῖκ' ἐστείδομεν,
Πλεκταῖς ἱμάσιν ἐμπαλιγκλωμένην. ———
Sophocl. Œdip. Tyran. ver. 1271.

Euripides hujus mortem alitèr refert:

Μήτηρ δ' ὅπως εἰσείδε τήνδε συμφορᾶν,
Τετραπλῆ ἐσπάσατ' ἦρσε· δι' εἰκρεοῦ ξίφος,
Κἄπραξε δεινὰ· διὰ μέσου γὰρ αὐχένος
Ἔβει σίδηρον. —— *Phœniss. ver.* 1464.

Ver. 278. —— ἄχεϊ σχομένη.] *Al.* ἄχεϊ ἰσχομένη.

Ver. 279. —— ἐκτελέουσι.] *Al.* ἐκτελέουσι.

Ver. 280. Καὶ Χλῶριν εἶδον περικαλλέα.] Ὁ δὲ πολυφωνότατος ἁπάντων τῶν ποιητῶν Ὅμηρος, ὅταν μὲν ὥραν ὄψιος ὑμόρφου καὶ πάλλος ἡδονῆς ἐπαγωγὸν ἐπιδιήσασθαι βούληται, τῶν τε φωνήντων τοῖς κρατίστοις χρῆσται καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις, καὶ οὐ κατασυκνώσει τοῖς ἀφώνοις τὰς συλλαβάς, οὐδὲ συγκόψει τοὺς ἤχους παρατιθεὶς ἀλλήλοις τὰ δυσίφορα, περιΐσχει δὲ τινὰ πρὸς ἡσυχίαν τῶν ἀρμονίων τῶν γραμμάτων, καὶ ῥέουσαν ἀλύτως διὰ τῆς ἀκοῆς, ὡς ἔχει ταυτί. —— " Καὶ Χλῶριν εἶδον περικαλλέα, " τὴν ποτε Νηλεὺς Γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ " πόρε μυρία ἕδνα." *Dionys. Halicarn.* περὶ συνθέσεως, § 16.

Ver. 281. Γῆμεν.] Vide suprà ad *ver.* 272.

Ibid. ——— ἑὸν διὰ κάλλος.] Ita ex *Scholiis Aldinis* et ex *Dionysio* loco jam citato, edidit *Barnesius*: Quocum facit et MS. à *Tho. Bentleio* collatus. Sic *Iliad.* ά, 72. Ἦν διὰ μαντοσύνην. *Vulgg.* hoc in loco, ἑὸν μετὰ κάλλος. Cæterùm nonnulli, notante *Barnesio*, post vocem Γῆμεν distinguunt, leguntque; ἑὸν μετὰ κάλλος ἐπεὶ πόρε μυρία ἕδνα. Satis inficetè.

Ibid. ——— ἕδνα.] Ἐνθα φανερῶς, ὡς καὶ ἐν ἄλλοις, ἕδνα Ὅμηρος λέγει τὰ τοῦ νυμφίου πρὸς τὴν νύμφην. *Eustath.*

Ὅς ποτ' ἐν Ὀρχομενῷ Μινυηΐῳ ἶφι ἄνασσεν,
Ἠδὲ Πύλου βασίλευε· τέκεν δέ οἱ ἀγλαὰ τέκνα,
Νέστορά τε, Χρομίον τε, Περικλύμενόν τ' ἀγέρωχον.
Τοῖσι δ' ἐπ' ἰφθίμην Πηρὼ τέκε, θαῦμα βροτοῖσι,
Τὴν πάντες μνώοντο περικτίται· οὐδέ τι Νηλεὺς
Τῷ ἐδίδου, ὃς μὴ ἕλικας βόας εὐρυμετώπους
Ἐκ Φυλάκης ἐλάσειε βίης Ἰφικληείης
Ἀργαλέας· τὰς δ' οἷος ὑπέσχετο μάντις ἀμύμων
Ἐξελάαν· χαλεπὴ δὲ θεοῦ κατὰ μοῖρα πέδησε,
Δεσμοί τ' ἀργαλέοι, καὶ βουκόλοι ἀγροιῶται.
Ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο,
Ἀψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
Καὶ τότε δή μιν ἔλυσε βίη Ἰφικληείη,
Θέσφατα πάντ' εἰπόντα· Διὸς δ' ἐτελείετο βουλή.

Qui quondam in Orchomeno Minyëo fortitèr imperabat,
Atque in Pylo regnabat: peperit autem *ea* illi insignes liberos,
Nestoremque, Chromiumque, Periclymenumque magnanimum.
Post hos autem eximiam Pero peperit, miraculum hominibus;
Quam omnes ambiebant vicini; neque omninò Neleus
Illi dabat, qui non camuras boves latis-frontibus
Ex Phylace abegisset roboris Iphiclei
Difficiles-*abactu*: has verò solus pollicitus est vates eximius
Abacturum *se*: grave autem dei fatum impedivit,
Vinculaque saeva, et bubulci agrestes.
Sed cùm jam mensesque et dies exacti-essent,
Rursùs circumvoluto anno, et advenissent horae;
Tum verò demùm ipsum solvit vis Iphiclea,
Vaticinia omnia locutum: Jovis autem perficiebatur consilium.

Ver. 283. Ὅς ποτ' ἐν Ὀρχομενῷ.] Τὸ δή, "ὃς ποτ' ἐν Ὀρχομενῷ ἄνασσεν, ἠδὲ Πύλου "βασίλευεν," οὐ πάνυ ἶσχυε σαφῶς, εἴτε περὶ Ἀμφίονος, εἴτε περὶ Νηλέως λέγεται. *Eustath.* *Scholiastes* de *Neleo* interpretatur, quem et *Pylo* et *Orchomeno* imperâsse refert. Quin et istud Ἠδὲ Πύλου βασίλευεν de *Neleo* intelligendum liquet ex *ver.* 256. suprà. Porrò dubitat *Eustathius* annon hìc legendum sit, Ἦ δὲ Πύλου βασίλευεν· ut sit sententia; ὁ μὲν πάντῃ Ἀμφίων ἐν Ὀρχομενῷ ἄνασσεν, ἡ δὲ θυγάτηρ Χλῶρις Πύλου ἐβασίλευε διὰ τὸν ἄνδρα Νηλέα.

Ibid. —— Ὀρχομενῷ Μινυηΐῳ.] Ὀρχομενὸς, πόλις Βοιωτίας. *Schol.* Δύο γὰρ Ὀρχομενοί, ὁ μὲν τῆς Ἀρκαδίας, ὃν Ὅμηρος καλεῖ πολύμηλον, [*Iliad.* β', 605.] ὁ δὲ τῆς Βοιωτίας, ὃν Ὅμηρος καλεῖ Μινύειον. *Schol. ad Thucydid. lib.* III. § 112.

Ver. 285. —— Περικλύμενόν τ' ἀγέρωχον.] Vide *Scholiasten* ad *Apollonii Argonautic. lib.* I. *ver.* 156. item *Ovidium Metamorph. lib.* XII. *ver.* 556.

Ver. 287. —— οὐδέ τι.] *Al.* οὐδ' ἔτι.

Ver. 289. —— Φυλάκης.] Πύλαις Θετταλίας. *Schol.*

Ver. 290. Ἀργαλέας.] Χαλεπὰς, δυσπόλους· ἀπὸ τοῦ περιέχοντος δὲ καὶ ἕξωθεν σφάγματος αὐτὸ τὸ περιεχόμενον ἰσχνόμασιν. Ἀργαλέαι γὰρ οὐκ αὐταὶ αἱ βόες, ἀλλ' αἱ περὶ αὐτὰς σφαγματίαι καὶ σπυθαί. *Schol.*

Ibid. — τὰς δ' οἷος ὑπέσχετο μάντις ἀμύμων Ἐξελάαν.] Μελάμπους ὁ Ἀμυθάονος. *Schol.*

Turpia perpessus vates est vincla Melampus,
Cognitus Iphicli subripuisse boves;
Quem non lucra, magis Pero formosa coëgit
Mox Amythaoniâ nupta futura domo.
Propert. lib. II. *Carm.* iii. *ver.* 15.

Vide infrà ad ι, 225.

Καὶ Λήδην εἶδον, τὴν Τυνδαρέου παράκοιτιν,
Ἣ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρον' ἐγείνατο παῖδε,
Κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα·
Τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα·
Οἳ καὶ νέρθεν γῆς τιμὴν πρὸς Ζηνὸς ἔχοντες,
Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν· τιμὴν δὲ λελόγχασ' ἶσα θεοῖσι.
Τὴν δὲ μετ', Ἰφιμέδειαν, Ἀλωῆος παράκοιτιν,
Εἶσιδον, ἣ δὴ φάσκε Ποσειδάωνι μιγῆναι·
Καί ῥ' ἔτεκεν δύο παῖδε, (μινυνθαδίω δὲ γενέσθην,)
Ὦτόν τ' ἀντίθεον, τηλεκλειτόν τ' Ἐφιάλτην·

Et Ledam vidi, Tyndari uxorem,
Quae ex Tyndaro magnanimos peperit filios,
Castoremque equorum-domitorem, et pugilatu strenuum Pollucem;
Quos ambos vivos detinet alma terra;
Qui etiam infra terram, honorem à Jove habentes,
Interdum quidem vivunt alternis-diebus, interdum autem rursùs
Mortui sunt: honorem verò sortiti sunt aequalitèr diis.
Post hanc autem, Iphimediam, Aloëi uxorem,
Aspexi, quae sanè dicebat Neptuno se commixtam fuisse:
Et peperit utique duos filios, (brevis autem vitae fuerunt,)
Otumque deo-parem, inclytumque Ephialtem;

Ver. 297. —— Τυνδαρέου.] Ita Vulgati et hic et infrà ω, 198. ubi iterùm occurrit haec vox. Similiterque τ', 518. υ, 66. Παυδαρέου. *Barnesius* autem legendum contendit Τυνδάρεω, Παυδάρεω.

Ver. 299. —— Πολυδεύκεα.] Pronuntiabatur Πολυδεύκη.

Ver. 300. Τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα.] Sic *Il.* γ', 243.

—— τοὺς δ' ἤδη κατέχει φυσίζοος αἶα.

Et *Odyss.* λ', 548.

Τώην γὰρ κἠφαλὸν ἶπα· αὐτῶν γαῖα κατέσχεν.

Ibid. —— κατέχει.] *Al.* κατέχειν.

Ver. 301. —— πρὸς Ζηνός.] *Al.* παρὰ Ζηνός.

Ver. 302. Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε Τεθνᾶσιν.]

Si fratrem Pollux alternâ morte redemit,
Itque reditque viam toties. —
Æn. VI, 121.

Ἀναμφίνοος Κάστορος ὑπὸ Μιλιάγρου, ἢ Πολυνείκους, Πολυδεύκης ἄφθαρτος ὤν, διὰ τὸ ἐκ Διὸς γεγονέναι, παρεκάλεσε τὸν πατέρα, ὅπως ἐστερέψη αὐτῷ νέμεσθαι πρὸς τὸν ἀδελφὸν τὴν ἀφθαρσίαν, ὥστε παρ' ἡμέραν ἀμφοτέρους, ὅτι μὲν ἐν Ὀλύμπῳ διατρίβειν, ὅτε δὲ ἐν Ἀΐδαο. *Schol. ad ver.* 300. Αἰνίττεται δέ, φασίν, ὁ μῦθος ταῦτα τῇ τοὺς ἐν οὐρανῷ διδύμους, οἷς εἰ αἰνοῦ λέγονται εἶναι οἱ διόσκουροι· οἳ γινόμενοι μὲν κατὰ γῆς, δοκοῦσι οἷον τεθνάναι· ἀναπάλλοντες δὲ, ζῆν λέγονται. *Eustath.* Mirè autem *Macrobius*; "Gemini autem, (inquit,) qui alternis mortibus vivere creduntur, quid aliud "nisi Solem unum eundemque significant, "modò descendentem in ima mundi, modò mundi in summam altitudinem resurgentem?" *Saturnal. lib.* I. *cap.* 21.

Ver. 303. —— τιμὴν δὲ λελόγχασ' ἶσα θεοῖσι.] Ita optimè restituit *Barnesius*. *Vulgg.* λελόγχασιν. Quod nullo modo ferri potest. Penultima enim necessariò producitur. Vide et ad *Il.* ά, 37.

Ver. 304. ——Ἰφιμέδειαν.] *Al.* Ἀμφιμέδειαν.

Ver. 307. Ὦτόν τ' ἀντίθεον, τηλεκλειτόν τ' Ἐφιάλτην· Οὓς δὴ μηκίστους &c.]

Hîc et Aloïdas geminos, immania vidi
Corpora; qui manibus magnum rescindere cœlum
Aggressi, superisque Jovem detrudere regnis.
Æn. VI, 582.

Terra feros partus immania monstra Gigantum
Edidit, arsuros in Jovis ire domum.—
Exstruere hi montes ad sidera summa parabant,
Et magnum bello sollicitare Jovem.
Ovid. Fast. lib. V. *ver.* 35. 39.

Porrò *Virgilii* locum inter eos recenset *Macrobius*, in quibus *Virgilius Homerici carminis majestatem non æquet*. "Homerus magnitudinem corporum alto latoque dimensus "est, et verborum ambitu membra de-

Οὓς δὴ μηκίστους θρέψε ζείδωρος Ἄρουρα,
Καὶ πολὺ καλλίστους, μετά γε κλυτὸν Ὠρίωνα·
Ἐννέωροι γὰρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν
Εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννέοργυιοι.
Οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην, ἐν Ὀλύμπῳ
Φυλόπιδα στήσειν πολυάϊκος πολέμοιο·
Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

Quos scilicet procerissimos enutrivit alma Terra,
Et longè pulcherrimos, post inclytum Orionem:
Novennes etenim hi etiam novem-cubitorum erant
Latitudine; at longitudine erant novem-ulnarum.
Qui etiam immortalibus minabantur, in Olympo
Certamen moturos-*se* tumultuosi belli:
Ossam Olympo conati sunt imponere, at Ossae
Pelium nemorosum; ut coelum scansile esset.

" pinxit. Vester ait, *immania corpora*, ni-
" hilque ulterius adjecit, mensurarum no-
" mina non ausus attingere. Ille de con-
" struendis montibus conatum insanæ mo-
" litionis expressit: hic *aggressos rescindere*
" *cœlum* dixisse contentus est." *Saturnal. lib.* V. *cap.* 13. *Scaliger* autem *Virgilium* hoc in loco superiorem contendit. " Quod
" ad montium congestionem attinet, nemo
" Græcorum ad illorum numerorum artem
" accessit; —— et plus dixit quàm Home-
" rus. Ille enim ἀπειλήτην: nos autem,
" —— *manibus magnum rescindere cœlum*
" *Aggressi* &c." *Poetic. lib.* V. *cap.* 3. Atqui non advertit vir eruditus quanto adhuc majorem habeat vim apud *Homerum* istud " Καί νύ κεν ἐξεπίλησσαν &c." *ver.* 316. Vide ad *ver.* 316.

Ver. 308. Οὓς δὴ μηκίστους.] Τί οὖν ὁ Τιτυὸς [infrà *ver.* 576.] ἐπ' ἐνιὰ κεῖτο πλέθρα; γηγενὴς ἐκεῖνος· τούτους δὲ ἀντιξιάζει ἀνέρωτους. *Schol.*

Ver. 309. Καὶ πολὺ καλλίστους, μετά γε κλυτὸν Ὠρίωνα.] Notandum hic *Amplificationis* genus, de quo *Quinctilianus*: " Fit et alitèr
" supra summum adjectio; ut apud Vir-
" gilium de Lauso; (*Æn.* VII, 649.) —
" *Quo pulchrior alter Non fuit, excepto Lau-*
" *rentis corpore Turni.* Summum est enim,
" quo pulchrior alter non fuit; huic dein-
" dè aliquid suprà positum est." *Lib.* VIII. *cap.* 4. Ὅρα δὲ καὶ ὅτι —— οὐδ' ἁπλῶς καλοὺς καὶ κάλλιστους [οἱ Ἀλωεῖδαι] ἀλλὰ πολὺ καλλίστους. Εἰ δὲ αὐτοὶ μετὰ τὸν Ὠρίωνα εἰσὶ τοιοῦτοι, συλλογιστέον τὴν τοῦ κάλλους ὑπεροχὴν τῷ Ὠρίωνι. *Eustath.*

Ibid. —— μετά γε κλυτόν.] *Al.* μετ' ἀγακλυτόν.

Ver. 310. —— ἐννεαπήχεες ἦσαν Εὖρος, ἀτὰρ μῆκος —— ἐννεόργυιοι.] Ἑκάστης ὀργυίας ἀνὰ τριῶν πηχέων οὔσης, τὸ ἐννεάπηχυ εὖρος τρίτον ἐστὶ τοῦ ἐννεοργύιου μήκους. *Eustath.*

Ver. 311. —— μῆκός γε.] *Al.* μῆκός τε.

Ibid. —— ἐννέοργυιοι.] Pronuntiabatur ἐννύοργυιοι. Ὀργυιὰ δὲ ἐστὶν ἡ τῶν χειρῶν ἔκτασις. *Schol.*

Ver. 312. Οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην.]

Et conjuratos cœlum rescindere fratres.
Virg. Georg. I, 280.

——et magnis subjectum molibus urget
Ætheream ausum sperare Typhoëa sedes.
Ovid. Metam. lib. V. *ver.* 346.

Ita ferè apud *Hirtium*: " Decem habere
" legiones populum Romanum, quæ ——
" etiam cœlum diruere possent." *De bello Hispanico*, § *ult.*

Ibid. —— ἀπειλήτην.] Apud *Eustathium*, ἀπειλείτην.

Ver. 314. Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ Πήλιον εἰνοσίφυλλον.] Ὄσσα. ὄρος Θετταλίας. Οὐλυμπες, ὄρες Μακεδονίας. — Πήλιον, ὄρος Θετταλίας. *Schol.*

Ter sunt conati imponere Pelio Ossam
Scilicet, atque Ossæ frondosum involvere
Olympum. *Virg. Georg.* I, 281.

Ubi ingentem nisum et molimen quàm pulchrè depingat et quasi ob oculos ponat vocalis longæ non elisæ hiatus, vide infrà ad *ver.* 595. et ad *Il.* γ′. 363. et ϱ′, 264. Porrò de hoc *Homeri* loco *Strabo*: " Ὅπου ——
" χρεία τάξεως, ὧν μέμνηται τόπων, φυλάττει
" τὴν τάξιν ὁμοίως μὲν τῶν Ἑλληνικῶν, ὁμοίως
" δὲ τῶν ἀπωθέν. " Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμα-
" σαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ Πήλιον εἰνοσί-
" φυλλον." *Geograph. lib.* I. *pag.* 47. *al.* 27.

Ver. 315. —— ἀμβατός.] Vide ad *Il.* ζ′, 434.

Καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο·
Ἀλλ' ὄλεσεν Διὸς υἱός, ὃν ἠΰκομος τέκε Λητὼ,
Ἀμφοτέρω· πρὶν σφῶϊν ὑπὸ κροτάφοισιν ἰούλους
Ἀνθῆσαι, πυκάσαι τε γένυν εὐανθεϊ λάχνῃ.
Φαίδρην τε, Πρόκριν τε ἴδον, καλήν τ' Ἀριάδνην, 320
Κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς,
Ἐκ Κρήτης ἐς γουνὸν Ἀθηνάων ἱεράων,
Ἦγε μὲν, οὐδ' ἀπόνητο· πάρος δέ μιν Ἄρτεμις ἔσχε
Δίῃ ἐν ἀμφιρύτῃ, Διονύσου μαρτυρίῃσι.
Μαῖράν τε, Κλυμένην τε ἴδον, στυγερήν τ' Ἐριφύλην, 325

Et sanè perfecissent, si ad pubertatis mensuram pervenissent:
Sed perdidit eos Jovis filius, quem comas pulchra peperit Latona,
Ambos: antequam ipsis sub temporibus pili
Florerent, tegerentque mentum florenti lanugine.
Phaedramque, Procrinque vidi, pulchramque Ariadnam, 320
Filiam Minöis prudentis, quam olim Theseus,
Ex Cretâ in foecundum-solum Athenarum sacrarum,
Duxit quidem, sed non potitus est: anteà nempè ipsam Diana detinuit
Diâ in circumfluâ, Bacchi testimonio.
Maeramque, Clymenamque vidi, odiosamque Eriphylen, 325

Ver. 316. Καί νύ κεν ἐξετέλεσσαν] Καὶ ἴμπαλιν πολλὰ ὕψη (ὑφίστασθαι) δίχα πάθους, ὡς πρὸς μυρίοις ἄλλοις, καὶ τὰ περὶ τοὺς Ἀλωάδας τῇ Ποιητῇ παρατετολμημένα, "Ὅσσαν "ἐπ' Οὐλύμπῳ μίμασαν θέμεν, &c." Καὶ τὸ τούτοις ἴσον τὸ ἐπιφερόμενον, "Καί νύ κεν "ἐξετέλεσσαν." *Longin. de Sublimitate*, § 8. *Quinctilianus* hanc *Ampificandi* speciem *Incrementum* appellat. Quod (inquit) "est "potissimum, cùm magna videntur etiam "quæ inferiora sunt. Id aut uno gradu "fit, aut pluribus. Per id venitur non "modò ad summum, sed interim quo- "dammodo supra summum." *Lib.* VIII. *cap.* 4.

Ver. 317. Ἀλλ' ὄλεσεν Διὸς υἱός.] Οἱ νεώτεροι φασὶν τὴν Ἄρτεμιν ἅλαφον ἰᾶσαι δι' αὐτῶν τοὺς δὶ τὴν ἅλαφον ἀφίντας, ἀλλήλους διαχρήσασθαι. *Schol.*

Ver. 318. —— ὑπὸ κροτάφοισιν ἰούλους Ἀνθῆσαι.]

Tum mihi prima genas vestibat flore juventa. *Æn.* VI, 100.

Ver. 319. —— γένυν.] *Al.* γένυς. Quod est contractum ex γένυας.

Ver. 320. Φαίδρην τε, Πρόκριν τε ἴδον.] Φαίδρα, Μίνωος θυγατὴρ, γυνὴ Θησέως. —— Πρόκρις, Ἐρεχθέως θυγατὴρ *Schol.*

His Phædram Procrinque locis. —— *Æn.* VI, 445.

Ver. 321. —— Μίνωος ὀλοόφρονος.] Vide suprà ad ά, 52.

Ver. 323. —— πάρος δέ μιν.] *Al.* πάρος γε μίν.

Ibid. —— ἔσχε.] Νῦν ἀντὶ τοῦ ἀπέλυσεν. Γράφεται καὶ ἶπτα. *Schol.* Et MS. à *Tho. Bentleio* collatus habet ἶπτα.

Ver. 324. Δίῃ ἐν ἀμφιρύτῃ.] Δίᾳ, νῆσος πρὸς τῇ Κρήτῃ, ἥτις Νάξος καλεῖται· ἱερὰ δὲ αὐτῇ τοῦ Διονύσου. *Schol.*

Ibid. —— Διονύσου μαρτυρίῃσι] Ἐπεὶ κατεμαρτύρησεν αὐτῆς ἀσέβειαν, μιγεῖσα ἐν τῷ πεδίῳ αὐτοῦ τῷ Θησεῖ· οἱ δὲ νεώτεροι φασὶ καταλιφθεῖσαν αὐτὴν ὑπὸ Θησέως, ἀρπαγῆναι ὑπὸ τοῦ Διονύσου. *Schol.* Cæterùm quâ ratione ex μαρτύρομαι, fit μαρτύρῃ, vide ad *Il.* ά, 338. et ν. 304.

Ver. 325. Μαῖράν τε.] Μαῖραι, Προίτου καὶ Ἀντείας θυγατρὸς· ἐπιλεύσησι δὲ σαρδίνοι. *Schol.*

Ibid. —— Κλυμένην τε ἴδον.] Κλυμένου Μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης τῆς Τανίζαντος, γαμηθεῖσα Φυλάκῳ. *Schol. Al.* Κλυ- ενην τ' ἴδον.

Ibid. —— στυγερήν τ' Ἐριφύλην.] Ἴφιος θυγατέρα· μισηθὴν δὲ διὰ τὸ λαβεῖν παρὰ Πολυνείκους ἢ Ἀδράστου χρυσοῦν ὅρμον, καὶ πρεσβεύσαντας Ἀμφιάραον τὸν ἄνδρα αὐτῆς μὴ βουλόμενον στρατεύεσθαι ἐπὶ Θήβας, εἰδότα ὡς μάντις τὸ ἀποβησόμενον. *Schol.* Porrò *Scholia* ad *ver.* 326. *Eriphylen Talai* filiam memorant. Hinc apud *Virgilium*:

——mœstamque Eriphylen. *Æn.* VI, 445.

Et apud *Ovidium*:

E quibus exierat, trajecit viscera ferro
Filius; et pœnæ causa monile fuit.
Amor. lib. I. x. 52.

Ἦ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα.
Πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
Ὅσσας ἡρώων ἀλόχους ἴδον, ἠδὲ θυγατρας·
Πρὶν γάρ κεν καὶ νὺξ φθεῖτ' ἄμβροτος· ἀλλὰ καὶ ὥρη
Εὕδειν, ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ' ἐς ἑταίρους,
Ἦ αὐτοῦ· πομπὴ δὲ θεοῖς, ὑμῖν τε μελήσει.
Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
Κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα·
Τοῖσιν δ' Ἀρήτη λευκώλενος ἦρχετο μύθων·
Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅγε φαίνεται εἶναι,
Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας;
Ξεῖνος δ' αὖτ' ἐμός ἐστιν· ἕκαστος δ' ὔμμορε τιμῆς·
Τῷ μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
Οὕτω χρηΐζοντι κολούετε· πολλὰ γὰρ ὔμμιν
Κτήματ' ἐνὶ μεγάροισι, θεῶν ἰότητι, κέονται.

Quae aurum pro dilecto marito accepit pretiosum.
Omnes verò non ego dixero, neque nominavero,
Quotquot Heroüm uxores vidi, et filias;
Priùs enim etiam nox periret divina: sed et hora
Dormiendi *mihi*, sive ad navem celerem digresso ad socios,
Sive hic: deductio autem diis, vobisque curae-erit.
Sic dixit: illi verò omnes muti facti-sunt silentio;
Voluptateque tenebantur per domum obscuram.
His verò Arete candida-ulnis exordiebatur sermonem:
" Phaeaces, quomodo vobis vir hîc videtur esse,
" Formâque, magnitudineque, atque mente intùs aequâ?
" Hospes verò itidem meus est; unusquisque autem particeps-est honoris:
" Ideò nè festinantes dimittite, neque dona
" Sic egenti inhibete: multa enim vobis
" Bona in aedibus, deorum benignitate, jacent."

Ver. 329. —— Πρὶν γάρ κεν καὶ νὺξ φθεῖτ' ἄμβροτος.]

Antè diem clauso componet vesper Olympo. *Æn.* I, 374.

Ibid. —— φθεῖτ'.] Nonnulli, notante *Barnesio*, hîc legunt φθίτ'. Quod, uti ipse rectè observat, primam corripit. Vide infrà ad ο, 357. et υ, 340. item ad *Il.* σ', 100.

Ibid —— ἀλλὰ καὶ ὥρη Εὕδειν.]

—— et jam nox humida cœlo
Præcipitat, suadentque cadentia sidera somnos. *Æn.* II, 8.

Ver. 330. —— ἢ ἐπὶ νῆα θοήν.] Vide suprà ad 9', 51.

Ver. 332. —— οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο.]

Conticuere omnes, intentique ora tenebant. *Æn.* II, 1.

Dixerat Æneas; olli obstupuere silentes,
Conversique oculos inter se atque ora tenebant. *Æn.* XI, 120.

Ver. 333. Κηληθμῷ.] Τῇ μετὰ ἡδονῆς καὶ τέρψεως ἡσυχία. *Schol.* Ἡδονῆς δὲ τὸ μὲν δι' ὤτων ὄνημα, κήλησις ἐστί· τὸ δὲ δι' ὀμμάτων, γοητεία. *Plutarch. de Solertiâ Animalium.* " Delectatio, voluptas suavitate auditûs a-" nimum deleniens." *Cicero, Tusc. Quæst. lib.* IV. § 9. Vide *Menagii* Annotationes ad *Laërtium, lib.* VII. *pag.* 191.

Ibid. —— ἔσχοντο.] *Al.* ἔσχοντο.

Ver. 336. —— ἴδωμαι.] Τὰς ἀναλογούσας τῷ σώματι, καὶ ὀρθὰς καὶ δικαίας. *Schol.*

Ver. 337. Ξεῖνος δ' αὖτ' ἐμός ἐστιν.] Διὰ δύο φησὶν ἡ Ἀρήτη ἄξιον εἶναι μὴ μικρολογεῖσθαι, ὅτι δι καὶ αὐτῆς ἐστι ξένος, αὐτῇ γὰρ πρώτῃ προσῆλθε· καὶ ὅτι ἕκαστος εὐσεβεῖ. *Schol.*

Ver. 340. —— θεῶν ἰότητι, κέονται.]

Ζεὺς δ' αὐτὸς νίμει ἄλδεσι Ὀλύμπιος ἀνθρώποισιν. Suprà, ζ', 188.

Τοῖσι δὲ καὶ μετέειπε γέρων, ἥρως Ἐχένηος,
Ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν·
Ὦ φίλοι, οὐ μὰν ὔμμιν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης
Μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε·
Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε, ἔπος τε.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
Τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴκεν ἔγωγε
Ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω.
Ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων,
Ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰσόκε πᾶσαν
Δωτίνην τελέσω· πομπὴ δ' ἄνδρεσσι μελήσει
Πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμῳ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Εἴ με καὶ εἰς ἐνιαυτὸν ἀνώγοιτ' αὐτόθι μίμνειν,
Πομπήν τ' ὀτρύνοιτε, καὶ ἀγλαὰ δῶρα διδοῖτε,
Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη,
Πλειοτέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ' ἱκέσθαι·

Inter hos autem et locutus est senex heros Echenëus,
Qui sanè Phaeacum virorum maximus-natu erat:
" O amici, non utique vobis à scopo neque praeter decorum
" Loquitur regina prudens; sed obedite;
" Alcinoo autem ex ipso pendet opusque, dictumque."
Huic autem rursùs Alcinous respondit, dixitque:
" Hoc quidem ita demùm peractum erit verbum, si ego
" Vivus Phaeacibus navigandi-studiosis imperem.
" Hospes autem sustineat, valdè licèt reditum desiderans,
" Omninò igitur expectare in crastinum, donec totum
" Munus perficiam: deductio autem viris curae-erit
" Omnibus, potissimùm autem mihi; hujus enim imperium est in populo."
Huic autem respondens allocutus est prudens Ulysses:
" Alcinöe rex, omnium clarissime populorum,
" Si me etiam in annum jusseritis hic manere,
" Deductionemque apparaveritis, et splendida dona dederitis,
" Etiam hoc mallem, et multò utilius esset,
" Pleniori cum manu charam in patriam pervenire;

Ver. 342. Ὃς δὴ Φαιήκων.] Deest hic versus in MS. à *Tho. Bentleio* collato.

Ver. 343. —— ὔμμιν.] Apud *Eustathium*, ἡμῖν.

Ibid. —— ἀπὸ δόξης.] Ἀπόδειν δὲ ἔχομεν περὶ τοὺς ξένους διαίτημα. *Schol.*

Ver. 345. —— ἐκ τοῦδ' ἔχεται ἔργον τε, ἔπος τε.] Οὕτω ἐν Ἀλκινόῳ ἐστὶ τὸ τελεῖσθαι διαλλαχθῆναι. *Schol.* Sic *Iliad.* ί, 102.

—— εἰὸ δ' ἴξεται, ὅ, τί κεν ἔπειτα.

Ver. 347. —— ἦπος.] *Al.* γέρων.

Ver. 350. —— ἐς αὔριον.] *Al.* ἐναύριον.

Ver. 351. —— πομπὴ δ' ἄνδρεσσι μελήσει.] Sic suprà ά, 358.

—— μῦθος δ' ἄνδρεσσι μελήσει.

Item *Iliad.* ζ, 492.

—— πόλεμος δ' ἄνδρεσσι μελήσει.

Ver. 356. Πομπήν τ' ὀτρύνοιτε.] *Al.* Πομπὴ δ' ὀτρύνοιτο.

Καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴην
Πᾶσιν, ὅσοι μ' Ἰθάκηνδε ἰδοίατο νοστήσαντα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
Ὦ Ὀδυσεῦ, τὸ μὲν οὔτι σ' ἐΐσκομεν εἰσορόωντες,
Ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
Βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους,
Ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
Σοὶ δ' ἔνι μὲν μορφὴ ἐπίων, ἔνι δὲ φρένες ἐσθλαί·
Μῦθον δ', ὡς ὅ, τ' ἀοιδὸς ἐπισταμένως κατέλεξας
Πάντων τ' Ἀργείων, σέο τ' αὐτοῦ, κήδεα λυγρά.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ' αὐτῷ
Ἴλιον εἰς ἅμ' ἕποντο, καὶ αὐτοῦ πότμον ἐπέσπον.
Νὺξ δ' ἤδε μάλα μακρὴ, ἀθέσφατος· οὐδέ πω ὥρη
Εὕδειν ἐν μεγάρῳ· σὺ δέ μοι λέγε θέσκελα ἔργα.
Καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ

" Et magis honorabilis et charior viris essem
" Omnibus, quotquot me in Ithacam viderent reversum." 360
Huic autem rursùs Alcinous respondit, dixitque:
" O Ulysses, hoc quidem neutiquam te suspicamur aspicientes,
" Impostoremque esse et fallacem, perindè ut multos
" Pascit terra nigra latè-dispersos homines,
" Mendaciaque concinnantes; undè quis neque suspicaretur: 365
" Tibi verò inest quidem elegantia verborum, inest et mens bona;
" Historiam verò, ut et cantor, scitè recensuisti
" Omniumque Argivorum, tuique ipsius dolores tristes.
" Sed age mihi hoc dic, et accuratè narra;
" Si quos eximiorum sociorum videris, qui teipsum 370
" Ad Ilium unà comitati sunt, et illic fatum obierunt.
" Nox autem haec valdè longa, immensa; neque adhuc tempus
" Dormiendi in aedibus: tu autem mihi dic mira opera.
" Etiam in auroram divinam sustinerem, quando mihi tu

Ver. 359. Καί κ' αἰδοιότερος.] Ἐντεῦθεν Ἡσίοδος, ["Εργ. I, 311.] " πλούτῳ δ' ἀρετὴ καὶ " κῦδος ὀπηδεῖ." *Schol.*

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίη δὲ πένιχρόν. *Theogn. Gnom. ver.* 621.

——————plurimus auro
Venit honos.——————
Ovid. Art. Amator. II, 277.

Ver. 365. ——ἀρτύνοντας.] Vide suprà ad Ξ, 771.

Ver. 366. Σοὶ δ' ἔνι μὲν μορφὴ ἐπίων, ἔνι δὲ φρένες ἐσθλαί.] Dua. *Dacier*, istud μορφὴ ἐπίων malam in partem accipit; ac si dixisset *Alcinous*, *Ulyssem* in hàc narratione speciem quidem mendacis impostorisque præ se ferre; reverà autem animo probo ingenioque optimo præditum esse. Similiterque ferè *Eustathius*: Τὸ δὲ " μορφὴ ἐπίων" καὶ " φρένες ἐσθλαὶ," δηλοῖ δύνασθαι μὲν τὸν Ὀδυσσέα μορφάζειν τὰ ψευδῆ καὶ οὕτως εἰπονίζειν ἀληθῶν, μὴ ἂν δὲ ἦθος τοῦτο εἰπεῖν καὶ ἁπλῶς διὰ τὰς ἐσθλὰς φρένας. Rectiùs verò (ut opinor) et simpliciùs *Scholiastes*, qui istud μορφὴ exponit ὑπερέτικον.

Ibid. ——Ἔνι μὲν.] *Al.* Ἐστι μὲν.

Ver. 369 et 456. Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον.]

——mihique hæc edissere vera roganti.
Æn. II, 149.

Ver. 372. Νὺξ δ' ἤδε μάλα μακρή.] Ὅτι ἐθέλων ὁ Ποιητὴς δηλῶσαι τὴν ἄραν ὅτι τὰ νῦν συμβαίνοντα γίνεται, καὶ ὅτι φθινόπωρον ἦν, ἢ καὶ στερεώτερόν τινα ἄρας, φησὶ " Νὺξ ἤδε μάλα μακρὴ, ἀθέσφατος." *Eustath.*

Τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσασθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου·
Εἰ δ' ἔτ' ἀκουέμεναί γε λιλαίεαι, οὐκ ἂν ἔγωγε
Τούτων σοι φθονέοιμι καὶ οἰκτρότερ' ἀλλ' ἀγορεῦσαι
Κήδε' ἐμῶν ἑτάρων, οἳ δὴ μετόπισθεν ὄλοντο·
Οἳ Τρώων μὲν ὑπεξέφυγον στονόεσσαν ἀϋτήν,
Ἐν νόστῳ δ' ἀπόλοντο, κακῆς ἰότητι γυναικός.
Αὐτὰρ ἐπεὶ ψυχὰς μὲν ἀπεσκέδασ' ἄλλυδις ἄλλη
Ἀγνὴ Περσεφόνεια γυναικῶν θηλυτεράων,
Ἦλθε δ' ἐπὶ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
Ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσαι ἅμ' αὐτῷ
Οἶκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
Ἔγνω δ' αἶψ' ἐμὲ κεῖνος, ἐπεὶ πίεν αἷμα κελαινόν·
Κλαῖε δ' ὄγε λιγέως, θαλερὸν κατὰ δάκρυον εἰβών,
Πτῆνάς εἰς ἐμὲ χεῖρας, ὀρέξασθαι μενεαίνων·
Ἀλλ' οὐ γάρ οἱ ἔτ' ἦν ἰς ἔμπεδος, οὐδέ τι κῖκυς,
Οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι.
Τὸν μὲν ἐγὼ δάκρυσά τ' ἰδών, ἐλέησά τε θυμῷ,

" Sustineres in aedibus tuos dolores narrare." 375
Hunc autem respondens allocutus est prudens Ulysses:
" Alcinöe rex, omnium clarissime populorum,
" Tempus quidem multi sermonis, tempus verò et somni:
" Sin adhuc audire utique cupis, haud ego
" His tibi recusavero et miserabiliores alios narrare 380
" Dolores meorum sociorum, qui scilicet posteà perierunt;
" Qui Trojanorum quidem effugerunt luctuosum bellum,
" In reditu verò perierunt, malae consilio foeminae.
" Caeterùm postquam animas quidem dispersisset huc atque illuc
" Casta Proserpina mulierum foeminarum, 385
" Supervenit deinde anima Agamemnonis Atridae
" Dolens; circúmque aliae congregatae erant, quaecunque simul cum eo
" Domo in Aegisthi perierunt et fatum obierunt.
" Agnovit verò statim me ille, postquàm bibisset sanguinem nigrum;
" Flebat autem is vehementèr, uberes lachrymas stillans, 390
" Extendens ad me manus, attingere cupiens:
" Sed non ampliùs ei aderat vis firma, neque omninò potentia,
" Qualis scilicet anteà erat in flexilibus membris.
" Illum quidem ego et flevi conspicatus, misertusque sum in animo,

Ver. 379. —— οὐκ ἂν ἔγωγε.] Apud *Eustathium*, οὐκ ἂν ἔτι τα.
Ver. 380. —— ἀγορεῦσαι.] *Al.* ἀγορεύειν. Atque ita legitur apud *Eustathium*.
Ver. 383. —— κακῆς ἰότητι γυναικός.] Ἐλένης, ἢ Κλυταιμνήστρας, ἢ κακοηθείας Καταλόγας, ἣν διαφθείρας ὁ Λυγρὸς Αἴας ἐν τῷ τιμίνι φῆς Ἀθηνᾶς, διαρμῶν κακίστους σοῖς Ἕλλησι τὴν Ἀθηνᾶν. *Schol.* Sic infrà *ver.* 436.
—— γυναικείας διὰ βουλάς.
Ver. 385. Ἀγνὴ Περσεφόνεια.] Sic apud *Virgilium*:
Casta —— Lucina. ——
Ecl. IV, 10.
Casta —— Proserpina. ——
Æn. VI, 402.
Al. Αἰνὴ Περσεφόνεια.

Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
'Ατρείδη κύδιστε, ἄναξ ἀνδρῶν, 'Αγάμεμνον,
Τίς νύ σε κὴρ ἐδάμασσε ταναηλεγέος θανάτοιο;
'Ηέ σέ γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
Ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν;
'Ηέ σ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
Βοῦς περιταμνόμενον, ἠδ' οἰῶν πώεα καλὰ,
'Ηὲ περὶ πτόλιος μαχεούμενον, ἠὲ γυναικῶν;
"Ως ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπε·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Οὔτ' ἐμέ γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
Ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμὴν
Οὔτε μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου·
'Αλλά μοι Αἴγισθος τεύξας θάνατόν τε, μόρον τε,
"Εκτα, σὺν οὐλομένῃ ἀλόχῳ, οἰκόνδε καλέσσας,

" Et ipsum compellans verbis alatis allocutus sum: 395
" Atride gloriosissime, rex virorum, Agamemnon,
" Quodnam te fatum domuit longum-somnum-adferentis mortis?
" An te scilicet in navibus Neptunus domuit,
" Excitato saevorum ventorum immenso flatu?
" An te hostiles viri laeserunt in terrâ 400
" Boves praedantem, atque ovium greges pulchros?
" An pro urbe pugnantem, sive foeminis?
" Sic dixi: ille autem me statim respondens allocutus est:
" Inclyte Laërtiade, solers Ulysses,
" Neque me sanè in navibus Neptunus domuit, 405
" Excitato saevorum ventorum immenso flatu:
" Neque me hostiles viri laeserunt in terrâ:
" Sed mihi Aegisthus structâ morteque fatoque,
" Occidit, cùm perniciosâ uxore, ad domum ubi vocâsset,

Ver. 400 et 407. —— ἐπὶ χέρσου.] *Al.* ἐπὶ χέρσῳ.

Ver. 401. Βοῦς περιταμνόμενον.] Ἐπειδὴ αὐτὸς ἑλλὴν εἰς Κίκονας, [suprà *i*, 45.] καὶ ἀφειμαγῆς ἐπὶ ἐπιχειρήσας, οὐκ ἂν ἀπήλλαξεν, εἰκότως τὰ ἄμεινα ὑποστὰς πεισθῆναι τὸν Ἀγαμέμνονα. *Schol.* Cæterùm *Barnesius* hoc in loco nullâ auctoritate de *suo* edidit Βοῦς περιμαιμάμενον· itáque legendum fidenter pronuntiat. Attamen firmatur vulgata lectio tum ex ω, 112. infrà, ubi idem versus occurrit, et in omnibus scriptum est περιταμνομένους· tum ex *Iliad.* σ', 528. ubi eâdem phrasi utitur Poeta:

Τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλά.

Porrò vocem περιταμνόμενον hîc exponit *Scholiastes*, περιπλεύσαντα· *Eustathius* autem περιῖξ τῆς ἀλλοτρίας γῆς τέμνοντα.

Ver. 402. —— ἠὲ γυναικῶν.] *Al.* ἠδὲ γυναικῶν: ut infrà ά, 113.

Ver. 407. 408. Οὔτε μ' ἀνάρσιοι ἄνδρες —— 'Αλλά μοι Αἴγισθος.] Similiter *Electra* apud *Sophoclem*:

Πανίᾳ', ὃν πατὰ μὲν βάξιμον αἶαν
Φάσεις "Αρεως οὐκ ἐξίσιον·
Μήτηρ δ' ἡ 'μὴ, χ' ᾗ κοινολιχὴς
Αἴγισθος, ὅπως δρῶν ὑλοτόμοι,
Σχίζουσι πάρα φηγὸν στιλίτευ.
Sophocl. Electr. ver. 94.

Vide ad *ver.* 410.

Ver. 408. 409. 'Αλλά μοι Αἴγισθος —— σὺν οὐλομένῃ ἀλόχῳ.]

Ipse Mycenæus magnorum ductor Achivûm [dextrâ
Conjugis infandæ prima intra limina
Oppetiit. ——

Æn. XI, 266.

Δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ. 410
Ὣς θάνον οἰκτίστῳ θανάτῳ· περὶ δ' ἄλλοι ἑταῖροι
Νωλεμέως κτείνοντο, σύες ὥς ἀργιόδοντες,
Οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
Ἢ γάμῳ, ἢ ἐράνῳ, ἢ εἰλαπίνῃ τεθαλυίῃ.
Ἤδη μὲν πολέων ἀνδρῶν φόνῳ ἀντιβόλησας 415
Μουνὰξ κτεινομένων, καὶ ἐνὶ κρατερῇ ὑσμίνῃ·
Ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῷ,
Ὡς ἀμφὶ κρητῆρα, τραπέζας τε πληθούσας,
Κείμεθ' ἐνὶ μεγάρῳ· δάπεδον δ' ἅπαν αἵματι θῦεν.
Οἰκτροτάτην δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς, 420
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμνήστρη δολόμητις
Ἀμφ' ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων,
Βάλλον ἀποθνήσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις

" Convivio-exceptum, quemadmodum quis occidit bovem ad praesepe. 410
" Sic perii miserabilissimâ morte; circùm autem alii socii
" Continuò occidebantur, ut sues albi-dentibus,
" Qui scilicet *mactantur* in locupletis viri praepotentis
" Aut nuptiis, aut convivio-collatitio, aut epulis lautis.
" Jamjam tu quidem multorum virorum caedi interfuisti, 415
" Separatim interfectorum, et in asperâ pugnâ;
" Sed illa potissimùm *conspicatus misertus esses animo*,
" Ut circa craterem, mensasque plenas,
" Jacebamus in domo; pavimentum autem totum sanguine fluebat.
" Miserabilissimam autem audivi vocem Priami filiae, 420
" Cassandrae, quam occidebat Clytaemnestra dolosa
" Juxta me: at ego ad terram manus elevans
" Jaciebam moriens, ad gladium *captandum*; illa autem impudens

---

Ver. 410. Δειπνίσσας ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.] Vide suprà ad δ', 535.

Ver. 412. — ἀργιόδοντες.] *Al.* ἀργειόδοντες.

Ver. 413. —— δυναμένοιο.] Vide ad *Il.* δ, 398.

Ver. 414. Ἢ γάμῳ, ἢ ἐράνῳ.] Vide suprà ad δ, 226. Ἔρανος λέγεται τὸ ἐκ συμβολῆς γινόμενον δεῖπνον. *Schol.*

Ver. 418. —— τραπέζας τε πληθούσας.]

—— dapes, et plenæ pocula mensæ.
Æn. XI, 738.

Ver. 419. Κείμεθ' ἐνὶ μεγάρῳ.] *Al.* Κείμεθα ἐν μεγάρῳ.

Ibid. ——δάπεδον δ' ἅπαν αἵματι θῦεν.]

——atro tepefacta cruore
Terra torique madent.— *Æn.* IX, 333.

Ver. 423. —— ἡ δὲ κυνῶπις Νοσφίσατ'.] Minùs rectè hìc *Eustathius*; Καὶ τὰ ἑφεξῆς, ἤγουν τὸ, " αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων, βάλλον ἀποθνήσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις νοσφίσατο," [ἀμφιβόλως ἔχουσι]. Ἢ γὰρ λέγει ὅτι ἐγὼ μὲν περὶ τῇ γῇ θνήσκων, ἐσφαλλόμην χεῖρας αἴρων πρὸς τὸ φασγάνῳ, ὡς ἐπὶ ἀμύνῃ· ἡ δὲ Κλυταίμνηστρα φλάσασα ἐστί ἐμοί με τοῦ ἀμυντηρίου, νόσφι ἐμοῦ ποιησαμένου αὐτὸ ἢ ὅτι ἐγὼ μὲν πρὸς τῇ γῇ τὰς χεῖρας αἴρων ἐσφαλλόμην σφαδασμοῖς προσαμύνων ἐν τῷ θνήσκειν περὶ φασγάνῳ· ἡ δὲ γυνὴ ἐχωρίσθη μου νόσφι γενομένη. Et *Barnesius*: " Νοσφίσατο potest quidem ad Gladium referri, " quem subduxerat cadenti egregia uxor." Nempè non adverterunt viri eruditi, primarium hunc et maximè proprium esse vocis *mediæ* usum; Νόσφισεν, *aliud*; Νοσφίσατο, *se ipsa, amovit*. Vide suprà ad ί, 491. et ί, 296. Réctéque proindè exponit *Scholiastes*, Ἐχωρίσθη. Quin et eam veram esse hujus vocis significationem liquet ex sequentibus, " οὐδέ μοι ἔτλη ἕς-

Νοσφίσατ', οὐδέ μοι ἔτλη, ἰόντι περ εἰς Ἀΐδαο,
Χερσὶ κατ' ὀφθαλμοὺς ἐλέειν, σύν τε στόρε' ἐρεῖσαι.
Ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς,
Ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
Οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικὲς,
Κουριδίῳ τεύξασα πόσει φόνον· ἦτοι ἔφην γε
Ἀσπάσιος παίδεσσιν, ἰδὲ δμώεσσιν ἐμοῖσιν,
Οἴκαδ' ἐλεύσεσθαι· ἡ δ' ἔξοχα λύγρ' εἰδυῖα,
Ἧτε κατ' αἶσχος ἔχευε, καὶ ἐσσομένῃσιν ὀπίσσω
Θηλυτέρῃσι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.
Ὡς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ὤ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς
Ἐκπάγλως ἤχθηρε, γυναικείας διὰ βουλὰς,
Ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ' εἵνεκα πολλοί·

" Secessit; neque mihi sustinuit, eunti licèt ad Orcum,
" Manibus oculos comprimere, atque os constringere.
" Adeò non gravius et improbius aliud muliere,
" Quaecunque scilicet talia in mentem facinora induxerit;
" Quale utique et illa patravit facinus indignum,
" Cui-virgo-nupserat structâ marito caede: sanè putabam quidem
" Gratum *me* liberis, atque famulis meis,
" Domum venturum: illa verò apprimè exitialia callens,
" Sibique infamiam offudit, et futuris in posterum
" Foemineis mulieribus; etiam *ei* quae proba fuerit.
" Sic dixit: at ego ipsum respondens allocutus sum:
" Papae! certè valdè utique genus Atrei altitonans Jupiter
" Vehementèr odit, foeminea propter consilia,
" Ab initio: Helenae quidem causâ perimus multi;

Ver. 424. 425. —— οὐδέ μοι ἔτλη, —— Χερσὶ κατ' ὀφθαλμοὺς ἐλέειν.]

—— nec te tua funera mater
Produxi, pressive oculos. — *Æn.* IX, 486.

Ver. 426. Ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός.] *Clemens Alexandrinus Homerum* hunc versum ex *Orpheo* desumpsisse ait. Ὀρφέως τοίνυν ποιήσαντος, "Ὡς οὐ κύντερον ἦν καὶ "ῥίγιον ἄλλο γυναικός." Ὅμηρος ἀνεικέως λέγει, "Ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός." *Strom. lib.* VI. Similitèr portò *Hesiodus*:

—— τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο.
Ἔργ. καὶ Ἡμιερ. II, 321.

Et *Menander*, apud *Stobæum*:

—— ῥίγιστον ἐστὶ θηρίων γυνή.
Florileg. § 73.

Et *Carcinus Tragicus*, apud *Athenæum*:

Ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξιστῶν κακόν,
Ἀρκοῦν ἂν εἴη πᾶν γυναῖ' ἕνεκα μόνον.
Lib. XIII. *cap.* 1.

Ver. 429. Κουριδίῳ τεύξασα πόσει φόνον.] Κουριδίου δὲ πόσιν τὸν Ἀγαμέμνονα τῇ Κλυταιμνήστρᾳ εἶναι, συνίσησιν ἐξ ἴσης κόσης αὐτῆς, Ὁμήρῳ μὲν ἀρίστης Εὐρυδίκης δὲ ἄλλως οὔσης, ὡς προγαμηθέσης αὐτὴν τῷ Ταντάλῳ γνωρίζει ἡ ὁς αὐτὴν ἱεράσῃ λέγουσα, [*Iphig. in Aul. ver.* 1149.] "Ἔγημας ἄκουσά με καὶ λεχὼς "βίᾳ, Τὸν πρόσθεν ἄνδρα Τάνταλον καταπτα- "νόν." *Eustath.*

Ver. 432. —— κατ' αἶσχος ἔχευε, καὶ ἐσομένῃσιν ὀπίσσω.]

Πάσαις γυναιξὶν ἀξίαν συνοικίαν ἔφυ
Ἡ Τυνδαρὶς κόρη, ἡ κατήσχυνεν γένος.
Euripid. Orest. ver. 1153.

Similitèr apud *Senecam*:

Medea reddit feminas dirum genus.
Hippolyt. ver. 582.

Ver. 436. —— γυναικείας διὰ βουλάς.] Ἔνθα συνίησιν καὶ τὴν τοῦ Ἀτρέως γυναῖκα Αἰρόπην, δι' ἣν καὶ αὐτὸν φοιχευθέντα ὑπὸ Θυέστου πολλὰ ἐγένετο δεινά. *Eustath.*

Σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε τηλόθ' ἐόντι.
Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
Τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι,
Μηδ' οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ' εὖ εἰδῇς,
Ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
Ἀλλ' οὔ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ τε γυναικός·
Λίην γὰρ πινυτή τε, καὶ εὖ φρεσὶ μήδεα οἶδε,
Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
Ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς,
Ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἦν ἐπὶ μαζῷ,
Νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῷ,
Ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
Καὶ κεῖνος πατέρα προσπτύξεται, ἦ θέμις ἐστίν·
Ἡ δ' ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
Ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·

" Tibi verò Clytaemnestra dolum struxit procul absenti.
" Sic dixi: ille autem me protinùs respondens allocutus est:
" Ideò jam nunquam etiam tu vel uxori mansuetus sis,
" Neque ei sermonem omnem revela, quem benè noveris;
" Sed aliud quidem dic, aliud verò et celatum sit.
" Sed haud tibi, Ulysses, exitium erit utique ex uxore;
" Valdè enim sapiensque est, et benè in mente consilia novit,
" Filia Icarii, prudens Penelope.
" Profectò quidem ipsam nuptam novam relinquebamus nos,
" Abeuntes ad-bellum; filius autem ei erat ad mamillam,
" Infans, qui alicubi nunc sanè in virorum sedet numero,
" Felix: certè enim eum pater charus videbit, ubi-venerit,
" Et ille patrem amplectetur; ut fas est.
" Mea autem nè quidem filii *me* saturari uxor
" Oculis permisit; priùs nempè me occidit et ipsum.
" Aliud verò tibi dicam, tu autem in mente reconde tuâ;

Ver. 438. —— ἤρτυε.] Vide suprà ad δ', 771.

Ibid. —— τηλόθ' ἐόντι.] Post hunc versum tres sequentes ex *Scholiaste* in *Euripidis Orestem*, *ver.* 249. inserit *Barnesius*:

Ὡς δὲ Κλυταιμνήστρη, λείπουσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο, καὶ εἵλετο χείρονα πόσιν·
Ὣς Ἑλένη ἠσχυνε λέχος ξανθοῦ Μενελάου.

Quos, in Annotationibus ad locum *Euripidis*, Homero dignos arbitratur. Mihi (præterquàm quòd hoc in loco supervacanei et importuni sint) fictitii videntur, et recentiorem ætatem sapere.

Ver. 440. Τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι.] Κάτω περιτυχὼν [ὁ Ἀγαμέμνων] τῇ Ὀδυσσεῖ —— παραπειθόντων μηδίποτε πιστεύειν γυναικὶ, μηδὲ εἰ ἐκφάσθαι συμπέσοι ἔσεσθαι. Καί του ἡ Κλυταίμνηστρα, οὐχ ὅτι γυνὴ ὢν, τοῦτο διέθρηνεν αὐτὸν, ἀλλ' ὅτι πονηρά· καὶ οὐδὲν μᾶλλον οὐ χρὴ γυναικὶ ἤπιον εἶναι, ἢ ἀνδρί. Ἀλλ' εἶμαι τῶν περιττεύοντων ἴχνεσιν, ὑφ' οὗ πίστωθι πολλῶν, ἐκεῖνο μάλιστα ὑφεῶσθαι, καὶ φρουρίαν φυλάττεσθαι τοῖς ἄλλοις. *Dio, Orat.* 74.

Ver. 442. — φάσθαι.] *Barnesius* edidit φᾶσθαι. Sed minùs rectè. Vide ad *Il.* ξ', 471.

Ibid. —— τὸ δὲ καί] *Al.* τὸ δὲ τοι.

Ver. 443. —— ἴκε τε γυναικός.] Apud *Eustathium*, ἴκε γε γυναικός. Atque ita habet MS. à *Tho. Bentleio* collatus.

Ver. 446. —— γε νέην.] *Al.* γυνῆ.

Ver. 448. —— μετ' ἀνδρῶν ἵζει ἀριθμῷ.] Τουτέστι, συντάσσεται τοῖς ἀνδράσι, ἢ ἐν ἀνδρὸς τελείου τάττεται αὐξηθείς. *Eustath.*

Ver. 453. Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.]

Semelnus hanc inis, res non est parva, repones. *Virg. Ecl.* III, 54.

Κρύβδην, μηδ' ἀναφανδὰ, φίλην ἐς πατρίδα γαῖαν
Νῆα κατισχέμεναι· ἐπεὶ οὐκ ἔτι πιστὰ γυναιξίν.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Εἴπου ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
Ἦ που ἐν Ὀρχομενῷ, ἢ ἐν Πύλῳ ἠμαθόεντι,
Ἦ που παρὰ Μενελάῳ, ἐνὶ Σπάρτῃ εὐρείῃ·
Οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ἀτρεΐδη, τί μὲ ταῦτα διείρεαι; οὐδέ τι οἶδα,
Ζώει ὅγ', ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.
Νῶϊ μὲν ὣς ἑστήσσομεν ἀμειβομένω στυγεροῖσιν
Ἑσταμεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
Ἦλθε δ' ἐπὶ ψυχὴ Πηληϊάδεω Ἀχιλῆος,
Καὶ Πατροκλῆος, καὶ ἀμύμονος Ἀντιλόχοιο,
Αἴαντός θ', ὃς ἄριστος ἦην εἶδός τε, δέμας τε,
Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα.
Ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο,
Καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;

" Clàm, neque palàm, charam in patriam terram
" Navem appelle; quoniam non ampliùs fidendum est foeminis.
" Sed age mihi hoc dic, et verè narra,
" Sicubi adhuc viventem audiatis filium meum,
" Sive alicubi in Orchòmeno, sive in Pylo arenosâ,
" Sive alicubi apud Menelaum, in Spartâ latâ:
" Nondum enim mortuus est in terrâ nobilis Orestes.
" Sic dixit: at ego ipsum respondens allocutus sum:
" Atride, quid me haec interrogas? neque *enim* quicquam scio,
" Vivatne ille, an mortuus sit: malum autem vana loqui."
" Nos quidem sic verbis alternantes tristibus
" Stabamus dolentes, uberes lachrymas profundentes.
" Supervenit autem anima Pelidae Achillis,
" Et Patrocli, et eximii Antilochi,
" Ajacisque, qui praestantissimus erat formâque corporeque
" Caeterorum Danaorum, post eximium Pelidem.
" Agnovit autem me anima pedibus-velocis Aeacidae,
" Et lamentans verba alata dixit:
" Generose Laërtiade, solers Ulysses,
" Infelix, quodnam adhuc majus in mente moliêris facinus.

Ver. 455. —— *οὐκ ἔτι πιστὰ γυναιξίν.*]

—— *ἄπιστον ὰν γυναικῶν γένος.*
Euripid. Iphig. in Taur. 1298.

Ὡς ἴσον ἄπιστον ἡ γυναικεία φύσις.
Menand. ex incertis Comœd. Frag. 121.

Μισῶ πιστὰ φέροντα γυναῖκ' ὀλοφρονέουσαν.
Macedonius apud Antholog. Epigr. I, 19.

Vide et suprà ad *ver.* 426.

Ver. 460. —— *πω.*] Apud *Eustathium*, *που.*

Ver. 466. *Ἦλθε δ' ἐπὶ ψυχὴ Πηληϊάδεω Ἀχιλῆος.*] Καὶ περὶ μὲν Ἀχιλλέως, ὃν Ὅμηρος φιλεῖ ἐπὶ μάλιστα, ὡς ἡ Ἰλιὰς ἰδίλωσι, δηγοῦνται πλείονα. *Eustath.*

Πῶς ἔτλης ἀϊδόσδε κατελθέμεν, ἔνθα τε νεκροὶ
Ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων; 475
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ὦ Ἀχιλεῦ, Πηλέος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν,
Ἦλθον Τειρεσίαο κατὰ χρέος, εἴ τινα βουλὴν
Εἴποι, ὅπως Ἰθάκην ἐς παιπαλόεσσαν ἱκοίμην·
Οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἁμῆς 480
Γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχω κακά· σεῖο δ', Ἀχιλλεῦ,
Οὔτις ἀνὴρ προπάροιθε μακάρτατος, οὔτ' ἄρ' ὀπίσσω·
Πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν, ἶσα θεοῖσιν,
Ἀργεῖοι, νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν,
Ἐνθάδ' ἐὼν· τῷ μήτι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ. 485
Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
Μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ·
Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ

" Quo-pacto ausus-es ad inferos descendere, ubi scilicet mortui
" Sensuum-expertes habitant, hominum simulachra defunctorum? 475
" Sic dixit: at ego ipsum respondens allocutus sum:
" Achilles, Pelei fili, longè praestantissime Achivorum,
" Veni Tiresiae propter vaticinium; si quod consilium
" Diceret, quo-pacto Ithacam ad asperam pervenirem:
" Necdum enim prope veni Achaïam, necdum nostram 480
" Terram conscendi; sed semper habeo mala: te verò, Achilles,
" Nullus vir majorum beatior, neque sanè posterorum:
" Anteà etenim te vivum honorabamus aequè ac deos,
" Argivi; nunc rursùs latè imperas mortuis,
" Hìc existens; ideò neutiquam mortuus tristêris, Achilles. 485
" Sic dixi: ille autem me protinùs respondens allocutus est:
" Nè jam mihi mortem consolare, inclyte Ulysses:
" Mallem rusticus existens mercede-servire alii

Ver. 475. —— εἴδωλα καμόντων.]

—— simulacraque luce carentium.
Virg. Georg. IV, 472. *Lucret. lib.* II, 39.

Ver. 477. Ὦ Ἀχιλεῦ, Πηλέος υἱέ.] Pronuntiabatur Πηλέως, vel Πηλεῦς. Cæterùm *Barnesius* edidit Πηλῆος υἱέ. Nec malè; cùm et υἱὸς priorem aliàs corripiat, et Πηλῆος præsertim sit dictio Ionica. Vide ad *Il.* σ', 216.

Ver. 478. —— κατὰ χρέος.] Ὅτι χρέος οὐ μόνον ἐπὶ ὀφειλῆς, — ἀλλὰ καὶ τὸ χρειώδες πρᾶγμα, καὶ αὐτὴ ἡ χρεία. Οἷον, "Ἦλθον Τειρεσίαο κατὰ χρέος." Τινὲς δὲ τὸ "Τειρεσίαο κατὰ χρέος," ἀντὶ τοῦ χρησμῷδημα φασιν. *Eustath.* Quarum postrema potior interpretatio.

Ὄφρα κε τερπόμενος ὅπ' ἀκούῃς Σειρήνοιϊν.
Αἱ δέ κε λίσσηαι ἑτάροις, λῦσαί τε κελεύῃς,
Οἱ δέ σ' ἐνὶ πλεόνεσσι τάτ' ἐν δεσμοῖσι δέηται.
Αὐτὰρ ἐπειδὴ τάγε παρῆξ ἑλάσωσιν ἑταῖροι,
Ἔνθα τοι οὐκ ἔτ' ἔπειτα διηνεκέως ἀγορεύσω,
Ὁπποτέρη δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
Θυμῷ βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
Ἔνθεν μὲν γὰρ πέτραι ἠπειρῶες, προτὶ δ' αὐτὰς
Κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
Πλαγκτὰς δή τοι τάγε θεοὶ μάκαρες καλέουσι.

" Ut cum-voluptate vocem audias Sirenum.
" Quòd si rogaveris socios, solvereque jubeas,
" Illi dein te in pluribus tum vinculis illigent.
" Caeterùm postquam has praeternavigârint socii,
" Tum tibi non ampliùs deinceps continuò dicam,
" Utra demùm tibi via fuerit; sed et ipse
" Animo considera: dicam autem tibi utrinque.
" Hinc etenim petrae imminentes; ad eas autem
" Fluctus ingens resonat caerulei maris:
" Erraticas profectò eas dii beati vocant.

Ver. 52. —— ὅπ' ἀκούῃς Σειρήνοιϊν.] Δύο δὲ αὐτὰς ἐμφαίνει ὁ Ποιητὴς ἐν αἷς λέγει, "ὅπα "ἀκούσῃς Σειρήνοιϊν," καὶ, "τῶν Σειρήνοιϊν," (*ver.* 167.) διὰ τὸ γὰρ τὸ "Σειρήνοιϊν," ὡς τὸ "φαῶν" καὶ "ἄμμιν." Καὶ συνέβραμον τινὲς τῷ Ὁμήρῳ, οἱ καὶ ὀνόματα φασὶν εἶναι αὐταῖς Ἀγλαοφάμην καὶ Θελξιόπειαν· οἱ δὲ πάντες, ἐν οἷς καὶ Ἀνακέφορον, τρεῖς αὐτὰς ἀριθμοῦσι, Παρθενόπην, Λίγειαν, καὶ Λευκωσίαν. *Eustath.* Vide suprà ad *ver.* 39.

Ibid. et *ver.* 55. —— ἀκούῃς —— πελεύῃς.] *Al.* ἀκούσῃς —— πελεύσῃς.

Ver. 53. Αἱ δέ.] *Al.* Εἰ δέ.

Ver. 54. Οἱ δέ σ' ἐνὶ πλείοσσι τάτ' ἐν δεσμοῖσι δέηται.] Quum in hoc versu alterutra ex voculis, ἐνὶ, ἐν, supervacanea videatur; *Barnesius* plures emendandi rationes affert; quarum una, nempè ut legatur, Οἱ δέ σ' ἐνὶ πλείοσσι τότε δεσμοῖσι δέηται, ferri quidem posset. At longè potior lectio, quam in Codicis *Hervagiani* Margine reperit idem *Barnesius*, Οἱ δέ σ' ἔνι πλείοσσι τότ' ἐν δεσμοῖσι δέηται. Sententiæ nimirùm aptissimè hîc congruit vocula ἔνι· verisimiliusque videtur ex *ver.* 164. 196. infrà, posteriorem voculam "ἐν" non immutandam.

Ver. 55. —— ἐπειδή.] *Al.* ἐπὴν δή.

Ver. 59. Ἔνθεν μὲν γὰρ πέτραι ἠπειρῶες.]

Συνδρόμων πιτνάσσει ἁρμαλιάτων
Ἐκφυγεῖν πετρᾶν. Δίδυμοι γὰρ ἦσαν
Ζαπλοῦς, κυλινδόμενόν τι κραιπνότερον
Ἢ βαρυγδούπων ἀνέμων σοίχις ——.
Pindar. Pythior. Od. IV. *ver.* 369.

Quem ad locum *Benedictus*: " Cyaneas (in-" quit) petras intelligit quas et Συμπληγάδας vocantur, à *συμπλήσσειν*, *collidere*. " Nam concurrere inter se fabulosè tradebantur, quum parvo discretæ intervallo, " ex adverso intrantibus geminæ cernebantur; paulúmque deflexâ acie, coëuntium " speciem præbebant. —— Πλαγκτὰς vocantur ab Homero, qui eas in Siculo mari collocat, cùm sint in Euxino. Undè *Odyss.* μ'. Ἔνθεν μὲν γὰρ πέτραι ἠπειρῶες &c." Vide ad *ver.* 61.

Ibid. —— ἠπειρῶες.] Πυκναὶ, ἢ ἠπειρεμάμεναι, ὑψηλαὶ καὶ ἠέτεργαι. *Schol.* Cæterùm *Barnesius* legendum censet ἠμφιφῶες, vel ἠμφίεσσες.

Ver. 60. Κῦμα μέγα ῥοχθεῖ.] Vide ad *Æn.* β', 210. et ε', 264.

Tum rauca assiduo longè sale saxa sonabant. *Æn.* V, 866.

Ver. 61. Πλαγκτὰς δή τοι τάγε.] Ὁ μὲν Κράτης, ὅτι σιλάζεται περὶ αὐτὰς τὸ κῦμα· οἱ δὲ, ὡς τὴν Δῆλον, κινεῖσθαι καὶ φέρεσθαι. *Schol.* Ἀναλλαγεῖς δὲ τῶν Ἀργοναυτῶν Φινεύς, ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις· καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ Θάλασσαν· ἦσαν δὲ ὑπερμεγέθεις αὗται· συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας, τὸν διὰ Θαλάσσης πόρον ἀπέκλιον· ἐφέροντο δὲ πολλὰ μὲν ὑπ' αὐτῶν ἁμίλλη, πολλὰ δὲ πάταγος· ὃν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἱπτᾶσθαι. *Apollodor. Bibliothec. lib.* I. De iisdem scopulis *Apollonius*:

Πίσεος μὲν πάμπρωτον ἀφερμηθέντες ἰμαὶ
Κυανέης ὄψεσθε δύω ἀλὸς ἐν ξυνοχῇσι·
Τάων οὔ τινά φημι διαμπερὲς ἐξαλέασθαι·
Οὐ γάρ τι βίζηται ἐφέμπεται ἠάτησιν,

Τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ πέλειαι
Τρήρωνες, ταί τ' ἀμβροσίην Διΐ πατρὶ φέρουσιν,
Ἀλλά τε καὶ τῶν αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
Ἀλλ' ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι. 65
Τῇ δ' οὔπω τις νῆυς φύγεν ἀνδρῶν, ἥτις ἵκηται,
Ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
Κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.
Οἵη δὴ κείνη γε παρέπλω ποντοπόρος νῆυς,

" Hâc quidem neque volucres praetervolant, neque columbae
" Timidae, quae ambrosiam Jovi patri ferunt;
" Sed etiam ex iis *aliquam* semper adimit laevis petra;
" Sed aliam summittit pater, ut-in-numero sit. 65
" Hâc verò nondum ulla navis effugit virorum, quaecunque accesserit,
" Sed paritèr tabulataque navium, et corpora virorum,
" Fluctus maris auferunt ignisque perniciosi procellae.
" Sola sanè illa praeternavigavit mare-sulcans navis,

Ἀλλὰ θαμὰ ξυνίασιν ἰναντίαι ἀλλήλῃσιν
Εἰς ἕν, ὕστιρὸι δὶ πολλὸν ἀλὸς κορθύιται ὕδωρ
Βραισόμινον· στιγνὶς δὶ πιρὶ στυφιλὴ βρίμι ἀκτή.

Argonautic. lib. II. *ver.* 317.

Vide *Strabonem, Geograph. lib.* III. *pag.* 222. *al.* 149. item suprà ad *ver.* 59.

Ibid. —— Θιοὶ μάκαρις καλίουσι.] Ἀνθρωποι δὶ οὐδὶν· καὶ τοῦτον δηλοῦσι πίπλασται. *Schol.*

Ver. 62. Τῇ μὶν τ' οὐδὶ ποτητὰ παρίρχιται.]

Quam super haud ullae poterant impunè volantes
Tendere iter pennis. —— *Æn.* VI, 239.

Ibid. —— οὐδὶ πίλιαι Τρήρωνις, ταί τ' ἀμβροσίην Διΐ πατρὶ φίρουσιν.]

Ζιὺς δ' ἄρ' ἰνὶ Κρήτῃ τρίφιτο μίγας· οὐδ' ἄρα τίς νιν
Ἠιδιι μακάρων· ὁ δ' ἀίξιτο πᾶσι μίλισσι.
Τὸν μὶν ἄρα τρήρωνις ὑπὸ ζαθίῳ τρίφον ἄντρῳ,
Ἀμβροσίην φορίουσαι ἀπ' Ὠκιανοῖο ῥοάων·
Νίκταρ δ' ἰκ πίτρης μίγας αἰτὸς αἶν ἀφύσσων
Γαμφηλῇ φορίισκι, ποτὸν Διΐ μητιόιντι·
Τὸν καὶ νικήσας πατίρα Κρόνον ἰυρύοπα Ζιὺς
Ἀθάνατον ποίησι, καὶ ὐραν῀ ἰγκατίνασσιν·
Ὡς δ' αὖτων τρήρωσι πιλίμασιν ὧπασι τιμὴν,
Αἵ δή τοι Σίριος καὶ χίματος ἄγγιλοι ἰσίν.

Byzant. Mœro, citatus à *Barnesio* ex *Athenæo, lib.* XI. *cap.* 12. Cæterùm reprehendit hunc *Homeri* locum *Longinus*: Εἰς λῆρον ἰνίοτι μᾶσσον κατὰ τὴν ἁναλυμὶν τὰ μιγαλοφυῆ παρατριτιται. Οἷα τὰ πιρὶ —— τὸν ὑπὸ τῶν Πλιιάδων ὡς νιοσσὸν παρατριφόμινον Δία ——. Τί γὰρ ἂν ἄλλο φήσαιμιν ταῦτα, ἢ τῷ ὄντι τοῦ Διὸς ἰνύπνια; *De Sublimitate*, § 9. Vide autem suprà ad *i*, 19. *Athenæus* per πίλιαι hîc Constellationem septem *Pleiadum* denotari vult; quarum una semper auferri ideò dicatur, quòd sex solæ sub visu cadant: *lib.* XI. *cap.* 12. Eandemque interpretationem affert et *Scholiastes*. Sed hoc, ut opinor, omninò fundamento caret.

Ver. 63 —— ταί τ' ἀμβροσίην.] Apud *Athenæum, lib.* XI. *cap.* 12. αἵ τ' ἀμβροσίην.

Ver. 64. Ἀλλά τι καὶ τῶν αἰεί.] *Barnesius* hic legi posse conjicit, Ἀλλά τι καὶ τῶν αἰεί. Minùs rectè.

Ver. 65. —— ἰνίησι.] *Athenæus* citat, ἀνίησι.

Ver. 66. Τῇ δ'.] *Al.* Τὴν δ'.

Ibid. —— ὅτις ἵκηται.] *Al.* ὅστις ἵκηται, et εἴτις ἵκηται.

Ver. 67. Ἀλλά θ' ὁμοῦ πίνακάς τι νιῶν.] Φαιιρώτατα σημιῖα λίγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων ἰγίνιτο ἴκπλους αὐτοῖς [Ἀργοναύταις], τῷ Ποιητῇ οἱ ἐν ἰκιίνοις τοῖς τόποις μάρτυρι χρώμινοι. Τὴν γὰρ δυσχίριιαν τοῦ κινδύνου ἰμφανίζοντα, λίγιιν ὅτι οὐκ ἰστὶ παραπλεῦσαι τὸν τόπον· " Ἀλλά θ' ὁμοῦ πίνακάς τε " νεῶν καὶ σώματα φωτῶν Κύμαθ' ἁλὸς φορέουσι " πυρός τ' ὀλοοῖο θύελλαι." Περὶ μὶν οὖν τὰς Κυανίας οὐ λίγιται πῦρ ἀναπίμπιιν, περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικιλίαν ἐφ' ἑκάτιρα κιιμίνων τῶν τοῦ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τι νήσου συνιχῶς καιομίνης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥίμματος σελλάπις τὴν χόραν ἰκιδιδραμηκότος. *Aristot.* περὶ Θαυμασίων ἀκουσμάτων.

Ver. 68. Κύμαθ' ἁλός.] *Barnesius* ex conjecturâ edidit Κῦμα θ' ἁλός· itáque omninò legendum contendit, propter sequentem βάλιν, *ver.* 71. Sed quidni vox βάλιν ad κύμαθ', æquè ac ad νῆμα, referri possit?

Ἀργὼ πασιμέλουσα, παρ' Αἰήταο πλέουσα·
Καί νύ κε τὴν ἔνθ' ὧκα βάλεν μεγάλας ποτὶ πέτρας,
Ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
Οἱ δὲ δύω σκόπελοι· ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
Ὀξείῃ κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκε
Κυανέη· τὸ μὲν οὔποτ' ἐρωεῖ, οὐδέποτ' αἴθρη
Κείνου ἔχει κορυφὴν, οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ·
Οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ, οὐ καταβαίη,
Οὐδ' εἰ οἱ χεῖρές γε ἐείκοσι καὶ πόδες εἶεν·

" Argo omnibus-curae-habita, ab Aeetâ navigans:
" Et sanè illam ibi celeritèr *fluctus* conjecissent magnas ad petras:
" Sed Juno praeterire-fecit, quoniam charus erat Jason.
" Duo verò scopuli; hic quidem latum coelum attingit
" Acuto vertice, nubes autem ipsum circumdat
" Obscura: quod quidem nunquam cessat, neque unquam serenitas
" Illius occupat verticem, neque in aestate, neque in autumno:
" Neque ascendere-posset mortalis vir, neque descendere,
" Neque si illi manus utique viginti et pedes essent:

Ver. 70. —— *πασιμέλουσα.*] Ἐπίθετον τῆς Ἀργοῦς, ἀπὸ τοῦ πᾶσιν ἐν ἐπιμελείᾳ εἶναι διὰ τὸ πλέος· ἢ πᾶσι μέλλουσα [μέλουσα] Θεοῖς. *Schol.* Εὖ λέγεται, "Ἀργὼ πᾶσι μελοῦσα," ὡς ἐν γνωρίμοις τόποις καὶ εὐανδρούσῃ τῆς ναυστολίας γενομένης. *Strabo, Geograph. lib.* I. *pag.* 80. *al.* 46.

Ver. 72. Ἀλλ' Ἥρη παρέπεμψεν.] Ἥρη δὲ παρεπέμψατο λέγεται τὴν Ἀργὼ, ἐπεὶ ὡς εἰκὸς εὐπλοίᾳ πολλῇ κατὰ τὸν πλοῦν ἐχρήσατο. *Eustath.*

Ver. 73. Οἱ δὲ δύω σκόπελοι· ὁ μὲν οὐρανόν.]

Hinc atque hinc vastæ rupes, geminique minantur
In cœlum scopuli. —— *Æn.* I, 162.

Cæterùm de hujusmodi Syntaxi ἀνακολούθῳ, *Demetrius Phalereus:* Τῷ μεγαλοσχεπεῖ μὲν [χαρακτῆρι διαφανεῖ] —— τὴν ἀνέυταλλαγην, ὡς "Ὁμηρος· "Οἱ δὲ δύω σκόπελοι, ὁ μὲν "οὐρανὸν ——." Πολὺ γὰρ οὕτω μεγαλοπρεπέστερον, ἐναλλαγείσης πτώσεως, ἢ εἰπερ οὕτως ἔφη, "Τῶν δὲ δύω σκοπέλων, ὁ μὲν οὐρανὸν ——." Περὶ Ἑρμηνείας, § 60. Rectiùs (ut opinor) *Dionysius Halicarnassensis:* Καὶ παῦσα δὲ ἐξήνεγκε κατὰ τινὰ ἀρχαϊκὴν συνήθειαν καὶ οὐδὲ παῦσα ἀλέγως· —— οὐκ ἄλογον γὰρ τὸν μέλλοντα περὶ δυοῖν τινων λέγειν, πρωτάξαι τὴν εὐθεῖαν πτῶσιν, καὶ τὸ κοινὸν αὐτῶν ἑκατέρῳ φυλάξαντα, ἀπιργάζεσθαι κοινὸν τοῦ λόγου. Ὅτι δὲ τὸ κοινὸν τοῦ λόγου χάριν πολλὴν ἐπιφαίνει, πρόδηλον. Περὶ τῆς Ὁμήρου ποιήσεως, § 8. Occurrit porrò similis constructio infrà σ', 94.

Δὴ τότ' ἀναχομένῳ, ὁ μὲν ἤλασε, &c.

Et apud *Virgilium:*

Protinùs Orsilochum et Buten, duo maxima Teucrûm
Corpora; sed Buten, &c. — *Æn.* XI, 690.

Intereà reges; ingenti mole Latinus
Quadrijugo vehitur curru. ——

Æn. XII, 161.

Vide ad *Il.* β', 353. ζ', 510. et κ', 224.

Ibid. —— οὐρανὸν εὐρὺν ἱκάνει.] *Scholiastes* ad *Thucydidem, lib.* III. sub initio, citat οὐρανὸν ἀμφὶς ἱκάνει.

Ver. 75. —— τὸ μὲν οὔποτ' ἐρωεῖ.] Σημείωσαι δὲ καὶ ὅτι εὐθὺς καὶ ἕτερον ἐτοιμάσαντες σχῆμα καινὸν, τὸ, "νιφόλη δέ μιν ἀμφιβέβηκε, τὸ μὲν "οὔποτ' ἐρωεῖ·" ἐχρῆν μὲν γὰρ εἰπεῖν, ἡ μὲν "οὔποτ' ἐρωεῖ·" —— ὁ δὲ ἕλλας ἔφη, τὸ "μὲν οὔποτ' ἐρωεῖ·" τουτέστι τὸ νίφος, ὃ ταυτὸν τῇ νιφόλῃ κατὰ πολυωνυμίαν. *Eustath.* Ἐπεὶ γὰρ συνωνύμως λέγεται νιφόλη, καὶ νίφος, πρωτικὸν τὴν νιφόλην, ἐπήνεγκε τὸ ἐυδέτερον, νίφος. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 8. Eodem modo interpretantur *Scholiastes*, et *Porphyrius, Quæst. Homeric.* 7. Porrò simili ferè constructione utitur *Thucydides, lib.* II. notante *Barnesio:* Ἡ νόσος τοῦτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις. Ubi *Scholiastes:* Θηλυπρεπῶς ἡ νόσος· τὸ δὲ, "λεγόμενον," ὡς πρὸς τὸ νόσημα ὑπήντησεν. Ὅμηρος, "νιφόλη δέ μιν ἀμφιβέβηκε Κυανέη· τὸ μὲν "οὔποτ'" ὡς πρὸς τὸ νίφος ὑπήντησεν. Verisimilius tamen videtur, neque *Thucydidem* per istud "λεγόμενον," τὸ νόσημα· neque *Homerum* per voculam, "τὸ," τὸ νίφος· sed utrumque rem in universum designare voluisse.

Ver. 77. —— οὐ καταβαίη.] *Al.* οὐδ' ἀποβαίη.

Ver. 78. —— χεῖρές γε.] Apud *Eustathium.* χεῖρές τε.

Ibid. —— εἶεν.] Ita ex *Eustathio* edidit *Barnesius. Vulgg.* ἦεν.

Πέτρη γὰρ λίς ἐστι, περιξεστῇ εἰκυῖα.
Μέσσῳ δ' ἐν σκοπέλῳ ἐστὶ σπέος ἠεροειδὲς
Πρὸς ζόφον, εἰς Ἔρεβος τετραμμένον· ἦπερ ἂν ὑμεῖς
Νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ' Ὀδυσσεῦ.
Οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς ταΐζήϊος ἀνὴρ
Τόξῳ ὀϊστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
Ἔνθα δ' ἐνὶ Σκύλλη ναίει, δεινὸν λελακυῖα·
Τῆς ἦτοι φωνὴ μὲν, ὅση σκύλακος νεογιλῆς,
Γίνεται, αὐτὴ δ' αὖτε πέλωρ κακός· οὔ νύ κέ τίς μιν
Γηθήσειεν ἰδὼν, οὐδ' εἰ θεὸς ἀντιάσειεν.
Τῆς ἦτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι·
Ἐξ δέ τέ οἱ δειραὶ περιμήκεες· ἐν δὲ ἑκάστῃ
Σμερδαλέη κεφαλὴ, ἐν δὲ τρίστοιχοι ὀδόντες,
Πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
Μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν·

" Petra enim laevis est, circùm-politae similis.
" Medio autem in scopulo est spelunca obscura,
" Versus occasum, ad Erebum conversa; quà vos
" Navem cavam praeteragatis, eximie Ulysses.
" Neque ex navi cavâ juvenis vir
" Arcu jaculatus, ad cavam speluncam perveniret.
" Hic autem Scylla inhabitat, gravitèr voceferatis:
" Ejus profectò vox quidem, quanta catuli recens-nati,
" Fit; ipsa verò monstrum malum: neque quisquam ipsam
" Laetaretur conspicatus, neque si deus obviam-veniret.
" Hujus sanè pedes sunt duodecim omnes anteriores:
" Sex autem ei colla praelonga; in unoquoque verò
" Horrendum caput, insunt autem triplici ordine dentes,
" Densi et frequentes, pleni atrae mortis.
" Media quidem per speluncam cavam immergitur:

Ver. 80. *Μέσσῳ δ' ἐν σκοπέλῳ ἐστὶ σπέος.*] Fronte sub adversâ scopulis pendentibus antrum. *Æn.* I, 166.

Ver. 82. —— *θέσπι, φαίδιμ' Ὀδυσσεῦ.*] Sic apud *Virgilium*:

Vos, ô Calliope, precòr, aspirate canenti. *Æn.* IX, 525.

Ver. 84. —— *εἰσαφίκοιτο.*] *Al. εἰσαφίκηται.*

Ver. 86. *Ἔνθα δ' ἐνὶ Σκύλλη.*] *Σκύλλα, Φόρκυνος θυγάτηρ καὶ Ἑκάτης, ἔχουσα πρὸς ταῖς πλευραῖς σκύλακας, κατέχουσα δὲ τὸν πρὸ Σικελίας πορθμόν. Schol.* Vide infrà ad *ver.* 93. 95 et 235.

Ver. 86. —— *ὄσσα.*] *Al. ὅσον.*

Ibid. —— *νεογιλῆς.*] *Νεογνῆς, φάλαινα πρόφρυμνος. Schol.*

Ver. 87. —— *κακὸν.*] *Al. κακόν.*

Ibid. —— *οὐδέ νύ κέ τίς μιν γηθήσειεν ἰδών.*] Vide infrà ad ψ', 266.

Ver. 88. —— *ἀντιάσειεν.*] *Al. ἀντίος ἔλθοι, seu ἀντίον ἔλθοι.*

Ver. 89. —— *πάντες ἄωροι.*] *Ἔνιοι —— ἀώρους [ἀτίθεσαν] τοὺς ἰμαχροσθίους· ὡς καὶ παρὰ τῷ Κωμικῷ· "Οὐ τοὺς ἀώρους ἵππα σε, μαστε- "γία, Πόδας καμίζειν; σὺ δὲ φίρεις ὀπισθίους. Schol.* à *Barnesio* ex MSto emendata. *Al. ἄμωροι.*

Ver. 91. *Σμερδαλέη κεφαλή.*] *Κατὰ μὲν τοὺς σκύλακας, κυνὸς σιλανώτερον δὲ, δρακόντων· καὶ γὰρ μόνος δράκων τρεῖς στοίχους ἔχει ὀδόντων. Schol.*

Ver. 93. *Μέσση μὲν τε κατὰ σπείους.*]

At Scyllam caecis cohibet spelunca latebris,
Ora exertantem, et naves in saxa trahentem ——,
Scyllam, et caeruleis canibus resonantia saxa. *Æn.* III, 424. 432.

Scylla feris trunco quod latrat ab inguine monstris.
Ovid. Pont. lib. IV. *Epist.* x. 25.

Ibid. —— *σπείους.*] *Al. σπείλους.*

Ἔξω δ' ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου·
Αὐτοῦ δ' ἰχθυάᾳ σκόπελον περιμαιμώωσα
Δελφινάς τε, κύνας τε, καὶ εἴποθι μείζονα ἕλῃσι
Κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.
Τῇ δ' οὔπω ποτε ναῦται ἀκήριοι εὐχετόωνται
Παρφυγέειν σὺν νηΐ· φέρει δέ τε κρατὶ ἑκάστῳ
Φῶτ' ἐξαρπάξασα νεὼς πυανοπρῴροιο.
Τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ,
Πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
Τῷ δ' ἐν ἐρινεός ἐστι μέγας, φύλλοισι τεθηλώς·
Τῷ δ' ὑπὸ δῖα Χάρυβδις ἀναῤῥοιβδεῖ μέλαν ὕδωρ·
Τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναρροιβδεῖ

" Extrà verò exerit capita ex horrendo barathro:
" Illic autem piscatur scopulum circumlustrans
" Delphinasque, canesque, et sicubi majorem capere possit
" Cetum, quae innumera alit sonora Amphitrite.
" Hàc verò nondum unquam nautae illaesi gloriantur
" Praeternavigâsse cum nave; aufert etenim capite unoquoque
" Virum abreptum ex nave coeruleâ-proram.
" Alterum verò scopulum humiliorem videbis, Ulysses,
" Propè invicem; et jaculo-attingeres.
" In hoc autem caprificus est ingens, follis florens:
" Sub hoc verò gravis Charybdis absorbet nigram aquam:
" Ter etenim eructat quotidiè, ter verò resorbet

Ver. 94. —— ἐξίσχει κεφαλάς.] *Al.* ἔξ ἴσχει κεφαλάς.

Ibid. —— βερέθρου.] *Al.* βαράθρου.

Ver. 96. Αὐτοῦ δ' ἰχθυάᾳ σκόπελον περιμαιμώωσα.] Τυῤῥηνίων νῆσοι ἦσαν, αἳ ἰλαῖζοντο τὰ στείχοντα τὴν Σικελίας καὶ τὸν Ἰόνιον κόλπον. Ἦν δὲ ταῦς τριήρης ταχεῖα, τό τι ὄνομα Σκύλλα. Αὕτη ἡ τριήρης τὰ λοιπὰ τῶν πλοίων συλλαμβάνουσα, σολλάκις ἐργάζεται βρῶμα, καὶ λόγος ἦν περὶ αὐτῆς σκολύς. Ταύτην τὴν ναῦν Ὀδυσσεὺς, σφοδρῷ καὶ λάζυρῳ πνεύματι χρεσάμενος, διέφυγε. *Palaephatus, περὶ ἀπίστων, cap.* 21. Vide et *Strabonem, Geograph. lib.* I.

Ibid. —— περιμαιμώωσα.] *Al.* περὶ μαιμώωσα.

Ver. 97. —— ἀγάστονος Ἀμφιτρίτη.] Μεγάλους ψόφους ἀποτελοῦσα· ἢ μεγάλους στεναγμοὺς ἰσφέρουσα, διὰ τοὺς ἐν τοῖς κανάγγαις ἁσαλλωμένους. *Schol.*

Ver. 98. —— οὔπω ποτε.] *Al.* οὐ πώποτε.

Ibid. —— ἀκήριοι.] Νῦν, ἄνευ κηδῶν καὶ θανάτου· ἀζήμιοι. *Schol.*

Ver. 103. Τῷ δ' ἐν ἐρινεός ἐστι.] Περιφυόμενον, ἵνα ὁ Ὀδυσσεὺς σχῇ ἐκπεφευγὼς τὸν κίνδυνον. *Schol.* Vide infrà ad *ver.* 432.

Ibid. —— ἐρινεός.] Vide ad *Il.* ζ', 433.

Ver. 104. Τῷ δ' ὑπὸ δῖα Χάρυβδις.] Χάρυβδις, θαλάσσης βάθος ἀπροσίτιον· ἐστὶ δὲ μεταξὺ τοῦ Ἀδρίου καὶ τοῦ Τυῤῥηνικοῦ πελάγους. *Schol.* Καὶ δῖαν αὐτὴν Χάρυβδιν ὁ Ποιητὴς λέγει, ὡς καὶ δῖαν θάλασσαν. *Eustath.* Quicquid nimirùm φαύλοις de causâ *etymum* est, δῖα appellatur. Quod autem explicat *Scholiastes*, Φυσικὸν, παρὰ τὸ δίειν, planè ineptum.

Ver. 105. Τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναρροιβδεῖ.]

Dextrum Scylla latus, lævum implacata Charybdis
Obsidet; atque imo barathri ter gurgite vastos
Sorbet in abruptum fluctus, rursusque sub auras
Erigit alternos, et sidera verberat undâ.
Æn. III, 420.

Ter scopuli clamorem inter cava saxa dedêre;
Ter spumeus elisam, et torantia vidimus astra. *Ibid.* 566.

Atque hinc *Ovidius:*

Nec potes infestis conferre Charybdin Achæis,
Ter licèt epotum ter vomat illa fretum.
Ex Ponto, lib. IV. *Epist.* x. 72.

Et *Heroid. Epist.* XII. *ver.* 126. de eâdem *Charybdi:*

Quæque vomit fluctus totidem, totidemque resorbet.

Δεινόν· μὴ σύ γε κεῖθι τύχοις, ὅτε ῥοιζδήσειεν·
Οὐ γάρ κεν ῥύσαιτό σ' ὑπ' ἐκ κακοῦ οὐδ' Ἐνοσίχθων.
Ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος, ὦκα
Νῆα παρὲξ ἐλάαν· ἐπειὴ πολὺ φέρτερόν ἐστιν,
Ἕξ ἑτάρους ἐν νηῒ ποθήμεναι, ἢ ἅμα πάντας.
Ὣς ἔφατ'· αὐτὰρ ἐγὼ μιν ἀμειβόμενος προσέειπον·
Εἰ δ' ἄγε δή μοι τοῦτο, θεὰ, νημερτὲς ἐνίσπε,
Εἴπως τὴν ὀλοὴν μὲν ὑπεκπροφύγοιμι Χάρυβδιν,
Τὴν δέ κ' ἀμυναίμην, ὅτε μοι σίνοιτό γ' ἑταίρους;
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
Σχέτλιε, καὶ δ' αὖ τοι πολεμήια ἔργα μέμηλε
Καὶ πόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;
Ἡ δέ τοι οὐ θνητὴ, ἀλλ' ἀθάνατον κακόν ἐστι,
Δεινόν τ', ἀργαλέον τε, καὶ ἄγριον, οὐδὲ μαχητόν·

" Horrendùm; nè tu utique ibi incideris, quando absorbet;
" Non enim liberàrit te ex malo neque Neptunus.
" Sed valdè Scyllae scopulo propè-admotus, celeritèr
" Navem praeterage: quoniam longè satius est,
" Sex socios in navi desiderare, quàm simul omnes."
Sic dixit: at ego ipsam respondens allocutus sum:
" Age verò jam mihi hoc, dea, verè dic,
" Si-quo-pacto perniciosam quidem effugiam Charybdin,
" Illam [*Scyllam*] autem propulsem, cùm mihi laedat scilicet socios?"
Sic dixi: statim verò respondit nobilissima dearum:
" Infelix, et adhuc tibi bellica opera curae-sunt
" Et labor; nec diis cedes immortalibus?
" Illa nempè tibi non mortalis, sed immortale malum est,
" Graveque, difficileque, et immane, neque expugnabile:

Vide infrà ad *ver.* 235. Cæterùm reprehendit hic *Homerum Vossius:* " Errore," inquit, " implicatur Homerus, cùm ter quoti-" die maris æstum contingere ait, *Odyss.* μ', " 105. Τρὶς μὲν γάρ σ' ἀνέπνευσε τρὶς ἤμασι, τρὶς " δ' ἀναρροιδεῖ ——. Ubi aut δὶς, non τρὶς; " scripserat Poeta, aut planè decrrat à vero." " *Institution. Poetic. lib.* I. *cap.* iii. § 8. Vide autem *Strabonem, Geograph. lib.* I. *pag.* 9. 44. 74. 75. *al.* 4. 25. 43. 44. ubi de hoc loco fusiùs.

Ibid. —— τρὶς ἤματι.] Apud *Vossium* et *Strabonem*, locis jam citatis, τρὶς ἤμασι.

Ibid. —— ἀναρροιδεῖ.] Ita ex *Strabone* edidit *Barnesius. Vulgg.* ἀναῤῥοιδεῖ.

Ver. 106. —— μὴ σύ γε κεῖθι τύχοις, ὅτε ῥοιζδήσειεν.] Vide infrà ad *ver.* 431.

Ibid. —— τύχοις.] *Al.* τύχῃς.

Ver. 109. —— παρὲξ ἐλάαν.] *Al.* παρεξελάαν.

Ibid. —— ἐπειὴ πολὺ φέρτερόν ἐστιν.] Præstat Trinacrii metas lustrare Pachyni
Cessantem, longos et circumflectere cursus: [antro
Quàm semel informem vasto vidisse sub Scyllam, et cœruleis canibus resonantia saxa. *Æn.* III, 429.

Ver. 110. Ἕξ ἑτάρους ἐν νηῒ ποθήμεναι.] Vide ad *ver.* 245. 246.

Ver. 111. — ἀμειβόμενος.] *Al.* ἀντιόμενος.

Ver. 114. — σίνοιτο.] Vide suprà ad λ', 109.

Ver. 116. Σχέτλιε, καὶ δ' αὖ του.] Τὸ γὰρ πολεμεῖν καὶ τὸ μάχεσθαι, κατά γε τὸν ἀληθῆ λόγον, οὐδὲ ἔφετὸν, οὐδὲ εὐτυχίς· τοὐναντίον δὲ μᾶλλον ἀπευκτὸν καὶ κακοτυχίς. Καὶ διὰ τοῦτο δικαίως φασὶν ἐπιτιμᾶν τὴν Κίρκην τῷ Ὀδυσσεῖ πρὸς Σκύλλην ἀναίρεως θρασυναμένῳ, " Σχέτλιε, " καὶ δ' αὖ τοι πολεμήϊα ἔργα μέμηλε, Καὶ πόνος, " &c." *Kyriac. Stroz. de Republ. lib.* IX.

Ver. 117. —— οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;]

—— Τί γάρ;
Πρὸς τοὺς σθένοντας θεοὺς ἀμιλλᾶσθαι καλόν;
Euripid. Iphig. in Taur. ver. 1479.
Οὐκ ἐστὶ θνητοῖσι πρὸς ἀθανάτους μαχίσασθαι.
Theognis, Gnom. ver. 687.

Ver. 119. Δεινόν τ', ἀργαλέον τε, καὶ ἄγριον, οὐδὲ μαχητόν.] Vide suprà ad λ', 611.

Οὐδέ τις ἔστ' ἀλκή· φυγέειν κάρτιστον ἀπ' αὐτῆς·
Ἢν γὰρ δηθύνῃσθα, κορυσσόμενος παρὰ πέτρῃ,
Δείδω, μή σ' ἐξαῦτις ἐφορμηθεῖσα κίχῃσι
Τόσσῃσιν κεφαλῇσι, τόσους δ' ἐκ φῶτας ἕληται,
Ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κραταιΐν,
Μητέρα τῆς Σκύλλης, ἣ μιν τέκε πῆμα βροτοῖσιν·
Ἣ μιν ἔπειτ' ἀποπαύσει ἐς ὕστερον ὀρμηθῆναι.
Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
Βόσκονθ' Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
Ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ' οἰῶν κάλα καλὰ,
Πεντήκοντα δ' ἕκαστα· γόνος δ' οὐ γίνεται αὐτῶν,
Οὐδέ ποτε φθινύθουσι· θεαὶ δ' ἐπιποιμένες εἰσίν,
Νύμφαι ἐϋπλόκαμοι, Φαέθουσά τε, Λαμπετίη τε,
Ἃς τέκεν Ἠελίῳ Ὑπερίονι δῖα Νέαιρα.
Τὰς μὲν ἄρα θρέψασα, τεκοῦσά τε, πότνια μήτηρ,

" Neque ullum est praesidium; fugere optimum-est ab illâ:
" Si enim cunctêris, arma induens ad petram,
" Vereor, nè te denuò impetu-facto consequatur
" Tot capitibus, totque viros abripiat.
" Sed valdè celeritèr praeternaviga; voca autem Crataeïn
" Matrem Scyllae, quae ipsam peperit perniciem hominibus:
" Quae ipsam deinde compescet, denuò nè irruat.
" Trinacriam verò ad insulam pervenies: ibi autem multae
" Pascuntur Solis boves et pingues pecudes,
" Septem boum armenta, tot verò ovium pulchri greges,
" Quinquaginta verò singula; propagatio autem non fit ipsarum,
" Neque unquam moriuntur; deae verò pastores sunt,
" Nymphae comas-pulchrae, Phaëthusaque, Lampetieque,
" Quas peperit Soli Hyperioni nobilis Neaera.
" Has quidem postquam educavit peperitque veneranda mater,

Ver. 120. Οὐδέ τις ἔστ' ἀλκή.] Ἀλκὴ —, ἡ βοήθεια καὶ ἀλέξησις. *Schol.*

Ver. 124. —— Κραταιΐν.] Κραταιὶς καλεῖται ἡ μήτηρ τῆς Σκύλλας· μάγου δὲ Ἑλένην αὐτὴν καλοῦσι. *Schol.*

Ver. 125. —— τῆς.] *Al.* τήν.

Ver. 126. —— ἐς ὕστερον.] *Al.* ἐσόπισθεν.

Ver. 127. Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι.]

Antè et Trinacriâ lentandus remus in undâ. *Æn.* III, 384.

Ibid. —— ἔνθα δὲ πολλαὶ Βόσκονθ' Ἠελίοιο βόες.] Ὅτι δὲ καὶ καθ' ἱστορίαν ἀγέλας ἅλας ἡμέρων ζώων Ἕλληνες ἀφιέρουν διάφοροι, ὧν οὐκ ὀλίγοι Θεμιστοῦ ἀντιοῦσί τινες. *Eustath.* Ἐστὶ δὲ ἐν τῇ Ἀπολλωνίᾳ ταυτῇ [τῇ ἐν τῷ Ἰονίῳ κόλπῳ] ἱερὰ ἡλίου περίβατα, τὰ τὰς μὲν ἡμέρας βόσκεται παρὰ ταυρῶν, ὡς ἐκ λάμπουσι οὔρεις ῥίπι διὰ τῆς Ἀπολλωνίης χώρης ἐς θάλασσαν πᾶς· Ὥρεσιν λαμπὸς τὰς δὲ νύκτας ἀφανεμίοισι ἄνδρες οἱ πλοίσῳ τι καὶ γίνει δοκιμάσατοι τῶν ἀστῶν, οὕτω φυλάσσουσι ἑκάστην· περὶ πολλοῦ γὰρ δὴ ποιοῦνται Ἀπολλωνῆται τὰ περίβατα ταῦτα, ἐκ θεσπεσίου τινός. Ἐν δὲ ἄστει αἰτίζονται ἀπὸ τῆς πόλεως ἑκάς. *Herodot. lib.* IX. § 92.

Ver. 129. Ἑπτὰ βοῶν ἀγέλαι.] Ἀριστοτέλης φησὶπῶν φησὶ λέγει γὰρ τὰς καθ' ἡμέρας στρεφούσας περὶ ταῖς τροπαῖσιν. *Schol.* Καὶ τῶν Ἠελίου τὰς βόας, τὰ δὴ ἐγὼ ἥματα εἶναι συμβάλλομαι. *Lucianus, Astrolog.* ἃ *Barnesio* citatus. Vide et *Heraclitum* περὶ ἀπίστων, *cap.* 39.

Ver. 131. —— ἐπιποιμένες.] *Al.* ἐπὶ ποιμέσι.

Ver. 132. —— Λαμπετίη τε.]

Paverat hos Phoebo filia Lampetie. *Propert. lib.* III. *Eleg.* xi. *ver.* 50.

Ver. 133. 346 et 374. —— Ἠελίῳ Ὑπερίονι.] Similitérque *ver.* 263. Ὑπερίονος Ἠελίοιο. Ὑπερίονα δὲ νομιστέον αὐτὸν ὑπερθέοντα διὰ τῆς γῆς. *Heraclid. Pontic.* Vide suprà ad ε, 8.

Θρινακίην ἐς νῆσον ἀποίσεσθ' ἠλόθι ταίην,
Μῆλα φυλασσέμεναι πατρώϊα καὶ ἴδιναε βοῦς.
Τὰς εἰ μέν κ' ἀσινέας ἐάσῃς, νόστου τε μέδηαι,
Ἦ τ' ἂν ἔτ' εἰς Ἰθάκην, καπά περ πάσχοντες, ἵκοισθε·
Εἰ δέ κε αἴνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον
Νηΐ τε, καὶ ἑτάροις· αὐτὸς δ' εἴπερ κεν ἀλύξῃς,
Ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἀπὸ πάντας ἑταίρους.
Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
Ἡ μὲν ἔπειτ' ἀνὰ νῆσον ἀπίστιχε δῖα θεάων·
Αὐτὰρ ἐγὼν ἐπὶ νῆα κιὼν, ὄτρυνον ἑταίρους,
Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.
Οἱ δ' αἶψ' εἴσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον·
Ἑξῆς δ' ἑζόμενοι, πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἡμῖν δ' αὖ κατόπισθε νεὼς κυανοπρῴροιο
Ἴκμενον οὖρον ἴει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.
Αὐτίκα δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
Ἥμεθα· τὴν δ' ἄνεμός τε, κυβερνήτης τ' ἴθυνον.
Δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων, ἀχνύμενος κῆρ·

"Trinacriam in insulam relegavit, procul ut-habitarent,
"Ad oves custodiendas paternas, et camuras boves.
"Eas si quidem illaesas sinas, reditûsque memor-sis,
"Sanè et adhuc in Ithacam, mala licèt patientes, perveneritis:
"Sin laedas, tum tibi praedico exitium
"Navique et sodalibus: ipse verò si quidem effugias,
"Serò malè redibis, amissis omnibus sociis."
Sic dixit: statim verò aureum-solium-habens venit Aurora.
Ipsa quidem deinde per insulam abiit nobilissima deorum:
At ego ad navem profectus hortabar socios,
Et ipsi ut-ascenderent, et retinacula solverent.
Illi verò statim ingrediebantur, et per transtra sedebant;
Ordine verò sedentes canum mare verberabant remis.
Nobis autem dein pone navem prorâ-coeruleam
Secundum ventum misit implentem-vela, bonum socium,
Circe comas-pulchra, gravis dea, vocalis.
Continuò verò armis omnibus ordinatis per navem
Sedebamus; hunc autem ventusque gubernatorque dirigebant.
Tum verò ego socios alloquebar, dolens corde:

Ver. 136. —— ἴλιναε βοῦς.
—— camuris —— cornibus ——
Virg. Georg. III, 55.

Ver. 137. 139. —— ἀσινέας —— εἴπερ.] Vide suprà ad λ', 109. 111. *Al.* ἀσινεῖς.

Ver. 140. —— ἀλύξῃς.] *Al.* ἀλύξῃσ.

Ver. 147. 'Εξῆς δ' ἑζόμενοι.] Desunt hic versus in codicibus nonnullis.

Ver. 148. 'Ημῖν δ' αὖ κατόπισθε.] Vide suprà ad λ', 6.

Ver. 150 et 449. —— αὐδήεσσα.] Vide suprà ad κ', 136.

Ver. 152. —— ἴθυνον.] *Al.* ἴθυνε. Ut λ', 10.

Ver. 153. —— ἀχνύμενος κῆρ.] Codices nonnulli post hunc versum habent, Κίκλωσί μιν μύθων, καπά περ πάσχοντες, ἑταῖρε. Ut suprà κ', 189.

Ὦ φίλοι, οὐ γὰρ χρὴ ἕνα ἴδμεναι, οὐδὲ δύ' οἵους,
Θέσφαθ', ἃ μοι Κίρκη μυθήσατο, δῖα θεάων·
Ἀλλ' ἐρέω μὲν ἐγών, ἵνα εἰδότες ἢ κε θάνωμεν,
Ἢ κεν ἀλευάμενοι θάνατον καὶ κῆρα φύγοιμεν.
Σειρήνων μὲν πρῶτον ἀνώγει θεσπεσιάων
Φθόγγον ἀλεύασθαι, καὶ λειμῶν' ἀνθεμόεντα·
Οἷον ἐμὶ ἠνώγει ὄπ' ἀκουέμεν· ἀλλά με δεσμῷ
Δήσατ' ἐν ἀργαλέῳ, (ὄφρ' ἕμπεδον αὐτόθι μίμνω,)
Ὀρθὸν ἐν ἱστοπέδῃ· ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω.
Αἴ δέ κε λίσσωμαι ὑμῖας, λῦσαί τε κελεύω,
Ὑμεῖς δὲ πλεόνεσσι τόθ' ἁρμοῖσι πίεζειν.
Ἦτοι ἐγὼ τὰ ἕκαστα λέγων ἑτάροισι πίφαυσκον·
Τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς εὐεργὴς
Νῆσον Σειρήνοιϊν· ἔπειγε γὰρ οὖρος ἀπήμων.
Αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἠδὲ γαλήνη
Ἔπλετο νηνεμίη, κοίμησε δὲ πύματα δαίμων.

" O amici, non enim oportet unum scire, neque duos solos,
" Vaticinia, quae mihi Circe dixit nobilissima dearum;
" Sed dicam quidem ego, ut scientes vel moriamur,
" Vel elapsi mortem et fatum effugiamus.
" Sirenum quidem primùm jubet divinarum
" Vocem evitare, et pratum floridum:
" Solum me jubebat vocem audire; sed me vinculo
" Ligate in arcto, (ut firmitèr illic maneam,)
" Erectum ad basim-mali: ex ipso autem funes alligentur.
" Quòd si orem vos, solvereque jubeam,
" Vos dein pluribus tum verò in vinculis constringite."
Sanè ego haec singula dicens sociis declarabam:
Interea autem celeritèr venit navis fabrefacta
Ad insulam Sirenum; urgebat enim ventus innoxius.
Statim deinde ventus quidam quievit, atque tranquillitas
Erat absque-vento; sopivit autem fluctus deus.

Ver. 154. Ὦ φίλοι, οὐ γάρ.] Vide suprà ad κ', 190.

Ver. 155. Θέσφαθ', ἃ μοι Κίρκη μυθήσατο.]

Quæ Phœbo pater omnipotens, mihi Phœbus Apollo
Prædixit, vobis furiarum maxima pando. *Æn.* III, 251.

Ver. 156. Ἀλλ' ἐρέω μὲν ἐγών.] Εἰδὼς Ὀδυσσεὺς δεχεται λόγον τοῦ περὶ αὐτὸν ὑ παρήγγειλεν ὁ Κίρκη περὶ Σειρήνων τὰ μέντοι ἐφεξῆς διπλῇ συμπεριλαμβάνει τοῦ ἑταίρους, ὡς ἂν μὴ μαθόντες ἀνθυποτιθῶνται πλόν. *Eustath.*

Ver. 157. —— κῆρα φύγοιμεν.] Ita Vulgati. *Barnesius* autem ex *Eustathio* edidit φύγωμεν. Verùm etsi in *Eustathii* editionibus scriptum sit φύγωμεν, ipse tamen in commentario citat φύγοιμεν.

Ver. 163. Αἴ δέ κε.] *Al.* Εἰ δέ κε.

Ver. 164. Ὑμεῖς δέ.] *Barnesius* edidit Ὑμεῖς δέ. Sed nihil opus.

Ibid. —— τόθ' ἁρμοῖσι.] *Eustathius* in commentario citat, τότε δεσμοῖσι. Vide suprà ad *ver.* 54.

Ver. 166. —— ἐξίκετο νηῦς εὐεργὴς Νῆσον Σειρήνοιϊν.]

Jamque adeò scopulos Sirenum advecta subibat. *Æn.* V, 864.

Ver. 167. —— οὖρος ἀπήμων.] *Al.* οὖρος ἀμύμων.

Ver. 168. —— ἄνεμος μὲν ἐπαύσατο.] Ἐντεῦθεν Ἡσίοδος καὶ τοὺς ἀνέμους αὐτοὺς φίλους ἴφη. *Schol.*

Ἀνστάντες δ' ἕταροι νεὸς ἱστία μηρύσαντο,
Καὶ τὰ μὲν ἐν νηῒ γλαφυρῇ βάλον· οἱ δ' ἐπ' ἐρετμὰ
Ἕζόμενοι, λευκαινον ὕδωρ ξεστῆς ἐλάτῃσιν.
Αὐτὰρ ἐγὼ κηροῖο μέγαν τροχὸν ὀξέϊ χαλκῷ
Τυτθὰ διατμήξας, χερσὶ στιβαρῇσι πιέζευν·
Αἶψα δ' ἰαίνετο κηρὸς, ἐπεὶ κέλετο μεγάλη ἶς,
Ἠελίου τ' αὐγὴ, Ὑπεριονίδαο ἄνακτος·
Ἐξείης δ' ἑτάροισιν ἐπ' οὔατα πᾶσιν ἄλειψα.
Οἱ δ' ἐν νηῒ μ' ἔδησαν ὁμοῦ χεῖράς τε, πόδας τε,
Ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνῆψαν·
Αὐτοὶ δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἀλλ' ὅτε τόσσον ἀπῆμεν, ὅσον τε γέγωνε βοήσας,
Ῥίμφα διώκοντες, τάσδ' οὐ λάθεν ὠκύαλος νηῦς
Ἐγγύθεν ὀρνυμένη· λιγυρὴν δ' ἔντυνον ἀοιδήν·
Δεῦρ' ἄγ' ἰὼν, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,

Surgentes verò socii navis vela complicârunt,
Et ea quidem in navi cavâ collocârunt: ipsi autem ad remos
Sedentes, dealbabant aquam politis remis-abiegnis.
At ego cerae ingentem massam-rotundam acuto aere
Minutatim dissectam manibus validis premebam:
Statim verò calefiebat cera, nam urgebat magna vis,
Solisque splendor, Hyperionidae regis:
Ordine verò sociis ad aures omnibus illevi.
Illi autem in navi me ligârunt, simul manusque pedesque,
Erectum ad basim-mali: ex ipso autem funes alligârunt:
Ipsi verò sedentes canum mare verberabant remis.
Sed quum tantum aberamus quantum scilicet auditur clamans,
Celeritèr pergentes; illas utique non latuit velox navis
Propè impulsa: argutum verò exordiebantur cantum:
" Huc age profectus, laudatissime Ulysses, ingens decus Achivorum,

---

Ver. 170. ——— *μηρύσαντο.*] Συνέστειλαν ἀπὸ τῶν πάλων. *Schol.*

Ver. 171. —— *ἐν νηῒ γλαφυρῇ βάλον.*] *Al.* ἐν νηῒ γλαφυρῇ θέσαν.

Ver. 174. —— *πιέζευν.*] *Al. πίεζον.*

Ver. 175. —— *ἐπεὶ κέλετο μεγάλη ἶς.*] Ἡ τῶν ἰμῶν δηλαδὴ στιβαρῶν χειρῶν, ἃ κατὰ τὸ πιέζειν. *Eustath.*

Ver. 179. —— *ἀνῆψαν.*] *Al. ἀνῆπτον.*

Ver. 181. —— *ἀπῆμεν, ὅσον.*] *Al. ἀπῆν, ὅσσον.*

Ver. 184. Δεῦρ' ἄγ' ἰὼν, πολύαιν' Ὀδυσεῦ.] *Cicero, de finibus, lib.* V. § 18. locum hunc ita vertit:

O decus Argolicum, quin puppim flectis, Ulysses,
Auribus ut nostros possis agnoscere cantus:
Nam nemo hæc unquam est transvectus cærula cursu,
Quin priùs adstiterit, vocum dulcedine captus;
Pòst variis avido satiatus pectore musis,
Doctior ad patrias lapsus pervenerit oras.
Nos grave certamen belli, clademque tenemus,
Græcia quam Trojæ divino numine
Omniaque è latis † rerum vestigia terris.

Ὥρα δ' ἐν τούτοις τοῖς Ὁμηρικοῖς ἐκτὸς στίχοις, ὡς ἱστόρησεν ὁ γλυκὺς καὶ μελίγηρυς ἀοιδὸς Ὁμηρὸς ὑποφήσεσθαι τὰς Σειρῆνας ὡς ἐν ὑποστολῇ· οἶα εἰδὼς τὴν ποίησιν, καὶ μάλιστα τὴν αὐτοῦ, Σειρήνων οὖσαν ἀοιδήν. Ἔοικε γὰρ, ἐν αἷς εἶπε, τὰ καθ' ἑαυτὸν ὑπαινίττεσθαι ὁ Ποιητὴς· καὶ ὅλως εἰπεῖν, τὰ τῆς ποιήσεως ἓξ ὁ ἀπλόους " τιεψάμενός τε ἄπτεσι, καὶ πλείονα εἰδώς," ὡς εἰ καὶ Σειρήνων ἤκουεν. *Eustath.* Εἰώθασι δὲ καὶ τῶν ἔτι ποιήματων καὶ λόγων τὸ ἐπαγωγὸν

---

* Ita *Davisius* ex editis vetustioribus. *Al.* canemus.

† Ita *Davisius*. *Al.* regum.

Νῆα κατάστησον, ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς. 185
Οὐ γάρ πώ τις τῇδε παρήλασε νηῒ μελαίνῃ,
Πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὄπ' ἀκοῦσαι·
Ἀλλ' ὅγε τερψάμενος νεῖται, καὶ πλείονα εἰδώς.
Ἴδμεν γάρ τοι πάνθ', ὅσ' ἐνὶ Τροίῃ εὐρείῃ
Ἀργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν· 190
Ἴδμεν δ' ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ.
Ὣς φάσαν, ἱεῖσαι ὄπα κάλλιμον· αὐτὰρ ἐμὸν κῆρ
Ἤθελ' ἀκουέμεναι, λῦσαί τ' ἐκέλευον ἑταίρους,

" Navem siste; ut nostram vocem audias. 185
" Non enim unquam aliquis praeter-navigavit nave nigrâ,
" Priusquàm nostram suavem ab ore vocem audisset:
" Verùm ille delectatus abiit, et plura doctus.
" Scimus enim utique omnis, quaecunque in Trojâ latâ
" Argivi, Trojanique, deorum voluntate pertulerunt: 190
" Scimus etiam, quaecunque fiunt in terrâ almâ."
Sic dixerunt, emittentes vocem dulcem; at meum cor
Volebat audire; solvereque *me* jubebam socios,

Σειρῆσι ἐπάζιτο. *Pausan. lib.* I. *cap.* 21. Εἶναι μὲν τινὰς φασὶν ἑστηκέναι ἐπὶ τῇδε τῇ ἀκτῇ τὰς Σειρῆνας, ἃς ἐπὶ τοῖς ἀνθρώποις ἐποιήσατο ἡ Δημήτηρ, ἐπειδὴ τὴν Κόρην ἀπολέσασα ἐπλανᾶτο. Εἶναι δὲ καὶ φίλτρα, οἷς ἐπὶ ἑστάμενοι πρὸς οὓς ἂν βούλονται χρῶνται, φιλοῦνται ὑπ' αὐτῶν. Πόθεν οὖν ταῦτα μάθωμεν ἄν; Ἃ μὲν αἱ Σειρῆνες ἐπῇδον τῷ Ὀδυσσεῖ ἤπιονται Ὁμήρου, ὃν ἐστὶν ἀρχὴ τοιάδε τις, " Δεῦρ' ἄγε δὴ, στο- " λόεσσ' Ὀδυσεῦ, &c." Ταύτην οὖν τὴν ἐπῳδὴν, ὃ Σώπρατες, καὶ τοῖς ἄλλοις ἀνθρώποις αἱ Σειρῆνες ἐπᾴδουσαι κατέχουσι, διότι μὴ ἀπίασιν ἀπ' αὐτῶν τοὺς ἐπᾳδήσαντας; Οὐκ, ἀλλὰ τοῖς ἐπ' ἀρετῇ φιλοτιμουμένοις οὕτως ἐπῇδον. *Xenophon.* Ἀπομνημονευμάτων, *lib.* II. Ubi notandum, pro Δεῦρ' ἄγ' ἰὼν, legisse hîc aut memoritèr citâsse *Xenophontem*, Δεῦρ' ἄγε δή. Vide et infrà ad *ver.* 188 et 190.

Ibid. —— μέγα κῦδος Ἀχαιῶν.] Sic apud *Virgilium*:

—— Procas, Trojanæ gloria gentis.
Æn. VI, 767.

Ver. 185. —— ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς.] *Clemens Alexandrinus* citat, ἵνα θυσιέρην ὄπ' ἀκούσῃς. *Admonit. ad Gentes*, haud longè à fine.

Ver. 188. —— ὄγε.] Apud *Dionys. Halicarn. περὶ τῆς Ὁμήρου ποιήσεως*, § 18, ὅδε.

Ibid. —— καὶ πλείονα εἰδώς. "Ἴδμεν γάρ τοι πάνθ'.] Ἐκεῖναι μὲν γὰρ [αἱ Σειρῆνες], εἰδυῖαι ὅτι φύσει φιλοτιμόν ἐστιν ἄνθρωπος, καὶ πολὺς αὐτῷ κατὰ σπέρμα τῆς ἀληθείας ἵμερος ἐνέστηκεν, οὐ μόνον θελκτείοις μέλεσι παλαίουσι τοὺς παραπλέοντας ὑπισχνοῦνται, ἀλλὰ καὶ τὰ ὄντα αὐτοὺς διδάξειν. *Sext. Empiric. advers. Mathemat. lib.* I. *cap.* 1. " Neque enim vocum " suavitate videntur, aut novitate quâdam " et varietate cantandi revocare eos solita, " qui prætervehebantur; sed quia multa " se scire profitebantur; ut homines ad ea- " rum saxa discendi cupiditate adhærescere- " rent.—Vidit Homerus probari fabulam " non posse, si cantiunculis tantus vir irre- " titus teneretur. Scientiam pollicentur, " quam non erat mirum sapientiæ cupido " patriâ [esse] cariorem." *Cicero*, loco suprà ad *ver.* 184. citato.

Ver. 189. —— ὅσ' ἐνὶ Τροίῃ.] *Eustathius* citat, ὅσσ' ἐν Τροίῃ.

Ver. 191. "Ἴδμεν δ', ὅσσα γίνηται ἐπὶ χθονί.] Καὶ αἱ Σειρῆνες δὲ ᾄδουσι τῷ Ὀδυσσεῖ τὰ μάλιστα αὐτὸν τέρψουσα, καὶ τὰ οἰκεῖα τῇ φιλοτιμίᾳ αὐτοῦ καὶ πολυμαθίᾳ, λέγουσαι "Ἴσμεν γάρ," φασὶ, " τά σ' ἄλλα, καὶ ὅσσα γίνεται ἐν χθονὶ " πολυβοτείρῃ." *Athenæus, lib.* I. *cap.* 12.

Ver. 192. —— ἱεῖσαι ὄπα κάλλιμον.] Sic apud *Hesiodum*:

Παντοίην ὄπ' ἰεῖσαι ——.
Theogon. ver. 830.

Ibid. —— αὐτὰρ ἐμὸν κῆρ "Ἤθελ' ἀκουέμεναι.] Ἐμμελὴς δὲ καὶ χαρίεις ὁ λήθην τινὰ καθ' αὑτοὺ λέγων, ἢ ἄγνοιαν, ἢ φιλοτιμίαν, ἢ σφᾶς τινὰ μαθήματα καὶ λόγους ἀπρίατον· ὡς Ὀδυσσεὺς, " αὐ- " τὰρ ἐμὸν κῆρ "Ἤθελ' ἀκούμεναι· λῦσαι δ' ἑτά- " λιπον ἑταίρους, "Ὄφρυσι νευστάζων." *Plutarch. de Sui Laude.*

Ver. 193. —— λῦσαί τ' ἐκέλευον.] Μαρτυρία τῆς ᾠδῆς, ὅτι καὶ ὁ ἐγκρατέστερος ἥττητα. *Schol.*

His sua Sisyphides auditis penè resolvit
Corpora; nam sociis illita cera fuit.
Ovid. Art. Amator. lib. III, 313.

Cæterùm *Scholiastes* et *Eustathius*, itemque *Plutarchus* loco suprà citato, omnes legunt, λῦσαι δ' ἑτάλιπον,

Ὀφρύσι νευστάζων· οἱ δὲ, προκεκόντες ἔρεσσον·
Αὐτίκα δ' ἀνστάντες Περιμήδης, Εὐρύλοχός τε,
Πλείοσί μ' ἐν δεσμοῖσι δέον, μᾶλλόν τε πιέζειν.
Αὐτὰρ ἐπειδὴ τάσγε παρήλασεν, οὐδ' ἔτ' ἔπειτα
Φθογγῆς Σειρήνων ἠκούομεν, οὐδέ τ' ἀοιδῆς,
Αἶψ' ἀπὸ κηρὸν ἕλοντο ἐμοὶ ἐρίηρες ἑταῖροι,
Ὅν σφιν ἐπ' ὠσὶν ἄλειψ', ἐμέ τ' ἐκ δεσμῶν ἀνέλυσαν.
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, αὐτίκ' ἔπειτα
Καπνὸν καὶ μέγα κῦμα ἴδον, καὶ δοῦπον ἄκουσα·
Τῶν δ' ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατ' ἐρετμά·
Βόμβησεν δ' ἄρα πάντα κατὰ ῥόον· εἴχετο δ' αὐτοῦ
Νηῦς, ἐπεὶ οὐκ ἔτ' ἐρετμὰ προήκεα χερσὶν ἔπειγον.

Supercilliis innuens; illi autem incumbentes remigabant:
Statim verò surgentes Perimedes Eurylochusque,
Pluribus me in vinculis ligabant, magisque premebant.
Caeterùm postquam illas praeteriisset *navis*, neque ampliùs deinde
Vocem Sirenum audiremus, neque cantum:
Continuò ceram sibi-dempserunt mei dilecti socii,
Quam ipsis auribus illeveram; meque ex vinculis resolverunt.
Sed quando jam insulam reliquimus, statim deinde
Fumum, et ingentem fluctum vidi, et fragorem audivi.
His autem perculsis, ex manibus exciderunt remi;
Insonuerunt verò omnes per fluctum; sistebatur autem illic
Navis: quoniam non ampliùs remos prolixos manibus urgebant.

Ver. 194. Ὀφρύσι νευστάζων.] Οὐ δὶ γὰρ ἦν ἄλλως ἀκούσασθαι διὰ τὸ βλύσμα τοῦ πηροῦ. *Eustath.*

Ver. 195. Αὐτίκα δ' ἀναστάντες.] *Al.* Αὐτὰρ ἀναστάντες.

Ver. 196. —— μᾶλλόν τε πιέζειν.] *Al.* μᾶλλόν τ' ἐπιέζειν· et μᾶλλον δ' ἐπίεζον.

Ver. 197. —— τάσγε παρήλασεν.]

Præteriitque citâ Sirenum littora puppi. *Tibull. lib.* IV. *Eleg.* i. *ver.* 69.

Ibid. —— παρήλασεν.] Apud *Eustathium*, παρήλυσεν.

Ver. 198. Φθογγῆς Σειρήνων ——, οὐδί τ' ἀοιδῆς.] Dna. *Dacier* interpretatur; *Neque instrumentorum, quibus Sirenes canebant, sonum; neque ipsarum voces.* "Φθογγὴ," inquit, "se dit du son des instruments, et "ἀοιδὴ de la voix. Car de ces Sirenes, l'une "chantoit, l'autre joüoit de la flute, et la "troisiéme joüoit de la lyre." Verùm ista explicatio ferri non potest. Neque enim apud *Homerum* ullo instrumento canere dicuntur Sirenes; neque Φθογγὴ quicquam aliud quàm "vox" ullibi significat. Vide suprà ad ι', 167. et ad *Il.* β', 791. ν', 216. et σ', 508. Rectiùs *Eustathius*: Ἓν δὶ τῷ, "οὐ φθογγῆς ἠκούομεν οὐδὶ ἀοιδῆς," φασιρὰ διαφορὰ τῆς τε ἁπλῆς οὔσης φθογγῆς, καὶ τῆς μετὰ τοῦ στιφάδην, ἤτοι μέλους· ἰκανὸς δὶ καὶ ὁ τῶν Σιρήνων. Ἐστὶ γὰρ ἀοιδὴ φθογγὴ ἐμμελής.

Ibid. Φθογγῆς —— ἀοιδῆς.] *Al.* Φθογγὴν —— ἀοιδήν.

Ver. 199. Αἶψ'.] *Al.* Ἄψ.

Ver. 200. Ὅν σφιν ἐπ' ὠσὶν ἄλειψ'.] *Eustathius* in commentario citat, Ὅν σφιν πᾶσιν ἄλειψα.

Ver. 201. —— αὐτίκ' ἔπειτα Καπνὸν καὶ μέγα κῦμα ἴδον, καὶ δοῦπον ἄκουσα.]

Tum procul è fluctu Trinacria cernitur Ætna:
Et gemitum ingentem pelagi, pulsataque saxa [voces;
Audimus longè, fractasque ad littora
Exultantque vada, atque æstu miscentur arenæ. *Æn.* III, 554.

Ver. 202. —— δοῦπον ἄκουσα.] *Al.* δοῦπον ἄκουσα.

Ver. 204. Βόμβησεν.] *Al.* Βόμβουσαν. Vide infrà ad *ver.* 358. et ad *Il.* β', 210. δ', 455.

Ibid. —— εἴχετο.] *Al.* ἴσχετο.

Αὐτὰρ ἐγὼ, διὰ νηὸς ἰὼν, ὤτρυνον ἑταίρους
Μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
Ὦ φίλοι, οὐ γάρ πώ τι κακῶν ἀδαήμονες εἰμέν·
Οὐ μὲν δὴ τόδε μεῖζον ἔπι κακὸν, ἢ ὅτε Κύκλωψ
Εἶλεν ἐνὶ σπῆϊ γλαφυρῷ κρατερῇφι βίηφιν· 210
Ἀλλὰ καὶ ἔνθεν ἐμῇ ἀρετῇ, βουλῇ τε, νόῳ τε,
Ἐκφύγομεν· καί που τῶνδε μνήσεσθαι ὀΐω.
Νῦν δ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.

Ast ego, per navem profectus, hortabar socios
Blandis verbis propè-astans virum quemque:
" O amici, non enim hactenùs ullo-pacto malorum inexperti sumus:
" Non quidem jam hoc majus imminet malum, quàm cùm Cyclops
" Claudebat *nos* in speluncâ cavâ, fortì vi. 210
" Sed et illinc meâ virtute, consilioque, prudentiâque
" Effugimus; et aliquandò horum recordaturos *vos* puto.
" Nunc verò agite; quemadmodùm ego dixero, pareamus omnes.

Ver. 206. —— ὤτρυνον ἑταίρους Μειλιχίοις ἐπέεσσι.]

—— dictis mœrentia pectora mulcet.
Æn. I, 197.

Ver. 208. Ὦ φίλοι, οὐ γάρ πώ τι κακῶν ἀδαήμονες.]

O socii, (neque enim ignari sumus antè malorum;) [finem.
O passi graviora; dabit Deus his quoque
Vos et Scyllæam rabiem, penitusque sonantes
Accèstis scopulos; vos et Cyclopea saxa
Experti; revocate animos, mœstumque timorem
Mittite: forsan et hæc olim meminisse juvabit. *Æn.* I, 198.

Quem locum *Macrobius* inter eos recensens, in quibus *Virgilium Homero* superiorem contendit: " In his quoque versibus (inquit) " Maro exstitit locupletior interpres ——. " Ulysses ad socios unam commemoravit " ærumnam; hic ad sperandam præsentis " mali absolutionem gemini casûs hortatur " eventu. Deinde ille obscuriùs dixit, Καί " που τῶν δὴ μνήσεσθαι ὀΐω· hic apertiùs: " *Forsan et hæc olim meminisse juvabit.* Sed " et hoc quod vester adjecit, solatii fortis est: suos enim non tantùm exemplo " evadendi, sed et spe futuræ felicitatis " animavit, per hos labores non solùm se- " des quietas, sed et regna promittens." *Saturnal. lib.* V. *cap.* 11. Ἐν δὲ τῷ, " Ὦ " *φίλοι,*" λείπει τὸ " ἴσασι·" συνεπιφερόμενος τοῦ λόγου τῇ τε καιρῷ καὶ τῇ τοῦ λαλοῦντος Ὀδυσσέως σπουδῇ. *Eustath.* Vide ad *Il. ι*, 348.

Ibid. —— γάρ πώ τι κακῶν.] Ὅρα δὲ καὶ ὅτι ἀρξάμενος καὶ οὗτος ἀπὸ τοῦ " γὰρ," μετὰ πέντε στίχους τὸ τῆς ἴυγμας ἀποδίδωσι πρόσμασμα ἐν τῷ, " Νῦν δ' ἄγετε" — ὁ δὲ σύνδεσις Ὁμήρῳ, καθὰ καὶ πρὸ ὀλίγων διδάσκομεν. *Eustath.* Vide suprà ad *κ*, 190. Verùm (ut opinor) vocula γὰρ hoc in loco refertur ad id quod eleganter reticetur: " *Nè animo pensilis con-* " *cidite; nequaquam ENIM, &c.*"

Ver. 209. Οὐ μὲν δὴ τόδε μεῖζον ἔτι κακόν.] *Barnesius* hoc in loco pro ἔτι legi posse conjicit ἴσως. Quin *Cicero ad Atticum, lib.* VII. *Epist.* 6. citat Οὐ γὰρ ἂν τόδε μεῖζον ἔτι κακόν· Sed vide ad *Il. δ*, 202. *Al.* Οὐ μὲν δὴ τόδε μεῖζον ἔτι κακὸν, &c.

Ver. 210. —— κρατερῇφι βίηφι.] Vide ad *Il. ν*, 588. Τὸ δὲ " κρατερῇφι βίηφι" σύγκρισιν ὑπολαλεῖ βίας καὶ φρενήσεως· οἱονεὶ λέγοντος Ὀδυσσέως, ὅτι Κύκλωψ μὲν βίαι εἶχε καθ' ἡμῶν, ἐγὼ δὲ νόῳ στρεμνισάμην. *Eustath.* Vide ad *ver.* 211. Cæterùm *Plutarchus*, loco infrà ad *ver.* 211. citatus, legit κρατερῇ γε βίηφι.

Ver. 211. —— ἐμῇ ἀρετῇ, βουλῇ τε, νόῳ τε.] Οὐ μόνον ἴσως τοὺς θρασυνομένους κατασοφίσας καὶ σοφοὺς ἀποκτείνας, ἀλλὰ καὶ τοὺς στερρόφρονας καὶ κατασκληρᾶς ἐξάρας σάλπι καὶ παροξύνας, χρησάμενος ἐν δόλοις μεγαλαυχίᾳ——. Καὶ τοῦτο δὲ ἴσως συνιδὼν Ὅμηρος τὸν γὰρ Ὀδυσσέα σιωπήσαι, ἀποδιλώντων τῶν ἑταίρων πρὸς τὸν ψόφον καὶ τὸν πλοῦτον τοῦ σπηλαίου τὸν Κάμυκλον, ἀναμιμνήσκοντα τῆς αὐτοῦ διανοίας καὶ ἀνδρείας. " —— Ἀλλὰ καὶ ἔνθεν ἐμῇ ἀρετῇ, βουλῇ τε, νόῳ τε, Ἐκφύγομεν." Οὐ γὰρ ἴσως ἀμαυρωτέους εἶδε σοφιστεύοντος ἢ τοιούτους ἴσως, οὐδὲ πρότερον ὑπὸ σωτηρίας ἀλισκομένους, ἀλλὰ τὴν ἀρετὴν καὶ τὴν ἐνιστάμην ἰσχύρου τοῦ Σαββίου τοῖς φίλοις διδόντος. Μίγα γὰρ ἐν καιροῖς ἰσχυφαλίσι πρὸς σωτηρίαν, δᾶξι καὶ σίσεις ἀνδρὸς ἡγεμονικὴν ἐμπειρίαν καὶ δύναμιν ἔχοντος." *Plutarch. de Aud. Laude.*

Ὑμεῖς μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν
Τύπτετε, κληῖδεσσιν ἐφήμενοι, αἴκε πόθι Ζεὺς
Δώῃ τόνδε γ' ὄλεθρον ὑπεκφυγέειν καὶ ἀλύξαι.
Σοὶ δὲ, κυβερνῆθ', ὧδ' ἐπιτέλλομαι, (ἀλλ' ἐνὶ θυμῷ
Βάλλευ, ἐπεὶ νηὸς γλαφυρῆς οἰήϊα νωμᾷς·)
Τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε
Νῆα· σὺ δὲ σκοπέλου ἐπιμαίεο, μή σε λάθῃσι
Κεῖσ' ἐξορμήσασα, καὶ ἐς κακὸν ἅμμε βάλῃσθα.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.
Σκύλλην δ' οὐκέτ' ἐμυθεόμην, ἄπρηκτον ἀνίην,
Μήπως μοι δείσαντες ἀπολλήξειαν ἑταῖροι
Εἰρεσίης, ἐντὸς δὲ τυπάζοιεν σφέας αὐτούς·
Καὶ τότε δὴ Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς
Λαυθανόμην, ἐπεὶ οὔτι μ' ἀνώγει θωρήσσεσθαι·
Αὐτὰρ ἐγὼ καταδὺς κλυτὰ τεύχεα, καὶ δύο δοῦρε

" Vos quidem remis maris fluctus profundos
" Verberate, transtris insidentes; si fortè Jupiter
" Det hanc saltem mortem effugere et evitare.
" Tibi verò, gubernator, hoc praecipio; (sed in animo
" Reconde, quoniam navis cavae gubernacula regis:)
" Hunc quidem fumum et fluctum extra dirige
" Navem; tu autem scopulum observa, nè te lateat
" Illinc evagata, et in malum nos conjicias."
Sic dixi: illi verò celeritèr meis verbis paruerunt.
Scyllam autem nondum commemorabam immedicabile damnum:
Ne quodammodo veriti cessarent socii
A-remigando, intráque constiparent seipsos.
Et tum sanè Circes quidem mandati tristis
Obliviscebar, quoniam neutiquam me jussit armari:
Ast ego indutus inclyta arma, et duabus hastis

Ver. 214. Ὑμεῖς μὲν κώπῃσιν.]

Eripite, ô socii, paritérque insurgite remis. *Æn.* III, 560.

Ver. 216. —— ὑπεκφυγέειν.] *Al.* ὑπεκφεύγειν.

Ver. 217. —— ἀλλ' ἐνὶ θυμῷ Βάλλευ.]

—— Tu condita mente teneto. *Æn.* III, 388.

Ver. 219. Τούτου μὲν καπνοῦ καὶ κύματος.] Διῖ τὸν στοχαζόμενον τοῦ μέσου, πρῶτον μὲν ἀποχωρεῖν τοῦ μᾶλλον ἐπικίνδυνον καθάπερ καὶ ἡ Καλυψὼ παρήνει τὸ, "—— τοῦ μὲν καπνοῦ καὶ "κύματος ἐκτὸς ἴεργε Νῆα." *Aristot. Ethic. Nicomach. lib.* II. *cap.* 9. Ubi notandum, sermonem hunc *Ulyssis* ab *Aristotele*, memoritèr fortassè citatum, *Calypso* tribui. Cæterùm *Clemens Alexandrinus*, *Admonit. ad Gentes* haud longè à fine, citat, Κείνου μὲν καπνοῦ, &c.

Ver. 220. —— σκοπέλου.] *Al.* σκοπίλου.

Ver. 221. —— ἅμμε βάλῃσθα.] Vide suprà ad *i*, 404,.

Ver. 222. —— οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.]

Haud minùs ac jussi faciunt ——. *Æn.* III, 561.

Ver. 223. —— ἄπρηκτον ἀνίην.] Τοιοῦτοι καθ' ἕν τι σῴζειν καὶ μηχανήσασθαι. *Eustath.*

Ver. 226. Καὶ τότε δή.] *Al.* Καὶ τότ' ἐγώ.

Ibid. —— Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς Λαυθανόμην.] Vide suprà ad ver. 192. item ad λ', 101.

Ver. 227. —— ἐπεὶ οὔτι μ' ἀνώγει θωρήσσεσθαι.] Suprà ver. 120. 121.

Ver. 228. —— δύο δοῦρε Μακρὰ ἐν χερσὶν ἑλών.]

Bina manu lato crispans hastilia ferro. *Æn.* I, 313. XII, 165.

Μάκρ' ἐν χερσὶν ἑλὼν, εἰς ἴκρια νηὸς ἔβαινον
Πρῴρης· ἔνθεν γάρ μιν ἐδέγμην πρῶτα φανεῖσθαι
Σκύλλην πετραίην, ἥ μοι φέρε πῆμ' ἑτάροισιν.
Οὐδέ πη ἀθρῆσαι δυνάμην· ἔκαμον δέ μοι ὄσσε
Πάντη κακκαίνοντι πρὸς ἠερόσειδέα πέτρην.
Ἡμεῖς δὲ στεινωπὸν ἀνεπλέομεν γοόωντες·
Ἔνθεν μὲν γὰρ Σκύλλ', ἑτέρωθι δὲ δῖα Χάρυβδις
Δεινὸν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ.
Ἦτοι ὅτ' ἐξεμέσσειε, λέβης ὣς ἐν πυρὶ πολλῷ,
Πᾶσ' ἀναμορμύρεσκε κυκωμένη· ὑψόσε δ' ἄχνη
Ἀκροισι σκοπέλοισιν ἑπ' ἀμφοτέροισιν ἔπιπτεν·

Longis in manus sumptis, ad tabulata navis conscendebam
Prorae; indè enim ipsam expectabam primùm appariturum
Scyllam petrosam, quae mihi ferebat damnum sociis.
Nec usquam videre potui; lassati autem erant mihi oculi
Undique circumspectanti ad obscuram petram.
Nos verò angustum-locum transibamus lugentes;
Ab alterâ etenim parte Scylla, ab-alterâ autem gravis Charybdis
Horrendùm absorbuit maris salsam aquam.
Utique cùm evomeret, lebes sicut in igne multo,
Tota immurmurabat conturbata; in altum autem aspergo
Summis scopulis utrisque incidebat:

Ver. 229. ——— *ἴκρια.*] Τὰ *κατασκεύσματα τῆς πρύ. Schol.*

Ver. 234. *Ἡμεῖς δέ.*] *Al. Ἡμεῖς μέν.*

Ver. 235. *Ἔνθεν μὲν γὰρ Σκύλλ', ἑτέρωθι δὲ δῖα Χάρυβδις.*] *Al. Ἔνθεν γὰρ Σκύλλη.*

Dextrum Scylla latus, lævum implacata Charybdis
Obsidet. ——— *Æn.* III, 420.

Scylla latus dextrum, lævum irrequieta Charybdis
Infestant. ———
Ovid. Metam. lib. XIII. *ver.* 730.

Illum inter geminæ nantem confinia mortis,
Nec Scyllæ sævo conterruit impetus ore,
Quum canibus rapidas inter freta serperet undas:
Nec violenta suo consumsit more Charybdis,
Vel si sublimis fluctu consurgeret imo,
Vel si interrupto nudaret gurgite pontum.
Tibull. lib. IV. *Eleg.* i. *ver.* 70.

Porrò *Scaliger Virgilium*, loco jam suprà citato, *Homero* superiorem contendens; "Quanto verò," inquit, "meliùs impacata "[apud *Virgilium implacata*] quàm δῖα"? "Quid enim divinum in monstro?" *Poetic. lib.* V. *cap.* 3. Sed vide suprà ad *ver.* 104.

Ver. 236. 237. *Δεινὸν ἀνερροίβδησε.* ——— *ἐξεμέσσειε.*]

— Vorat hæc raptas, revomitque carinas. *Ovid. ibid. ver.* 731.

Vide suprà ad *ver.* 105. Porrò hinc (notante *Duporto*, in *Gnomologiâ* ad hunc *Homeri* locum) *Charybdis* in proverbium cessit, ad rapinam sive voracitatem insatiabilem denotandam. *Πάνυ, ὅτε περ ἐπάτησατο,* ——— *καταπαλαίζειν, καὶ καταστέρνιζειν, καὶ καταζέζρωκεν, καὶ καταπέπωκεν ὥσπερ ἡ Χάρυβδις. Cicero, de Antonio, apud Dion. Cass. lib.* XLV. "Quæ Charybdis tam vorax? *Cic. de eodem Antonio, Orat. Philippic.* II. § 27.

Quantâ laboras in Charybdi?
Horat. Carm. lib. I. *Od.* xxvii. *v.* 19.

Cæterùm vocem *ἀνερροίβδησε* hoc in loco exponit *Scholiastes*, *ἀνηφάνισεν.* Quem rectè reprehendit *Eustathius*: Τὸ δὲ "*ἀνερροίβδησεν*," *ἀνηφάνισεν ἐμφαίνουσι τινὲς τῶν Παλαιῶν· ἴσως δὲ οὐ καλῶς, διὰ τὸ προφήπτοντα, ἐν οἷς ὁ Ποιητὴς τὸ μὲν ἐξαπορίζεσθαι τὸ τοιοῦτον ὕδωρ ἀνάγκαι ἔοικεν, ἀνερροίβδησε δὲ τὸ καταπίπτειν.* (suprà *ver.* 105.)

Ver. 238. 240. 242. ——— *ἀναμορμύρεσκε* ——— *ἀναζέξει* ——— *ἐκζεύξει.*] Καὶ ἡ ἐξ *ὁμοιοτελεύτων τραχυφωνία σημαίνει καὶ δεινὸν ἐπιτετάθαι διὰ τοῦ "ἀνερροίβδησεν," καὶ "μορμύρει," καὶ "ἀναζέχει," καὶ "βιζρυχίαι," καὶ τῶν λοιπῶν. Eustath.* Vide ad *Il.* δ, 455.

Ἀλλ' ὅτ' ἀναβρόξειε θαλάσσης ἁλμυρὸν ὕδωρ,
Πᾶσ' ἔντοσθε φάνεσκε κυκωμένη· ἀμφὶ δὲ πέτρη
Δεινὸν ἐβεβρύχει· ὑπένερθε δὲ γαῖα φάνεσκε
Ψάμμῳ κυανέῃ· τοὺς δὲ χλωρὸν δέος ᾕρει.
Ἡμεῖς μὲν πρὸς τήνδ' ἴδομεν, δείσαντες ὄλεθρον·
Τόφρα δέ μοι Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑταίρους
Ἕξ ἕλεθ', οἳ χερσίν τε βίηφί τε φέρτεροι ἦσαν.
Σκεψάμενος δ' ἐς νῆα θοὴν ἅμα καὶ μετ' ἑταίρους,
Ἤδη τῶν ἐνόησα πόδας, καὶ χεῖρας ὕπερθεν,
Ὑψόσ' ἀειρομένων· ἐμὲ δὲ φθέγγοντο παλεύντες
Ἐξονομακλήδην, τότε γ' ὕστατον, ἀχνύμενοι κῆρ.
Ὡς δ' ὅτ' ἐπὶ προβόλῳ ἁλιεὺς περιμήκεϊ ῥάβδῳ
Ἰχθύσι τοῖς ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων,
Ἐς πόντον προΐησι βοὸς κέρας ἀγραύλοιο.
Ἀσπαίροντα δ' ἔπειτα λαβὼν ἔρριψε θύραζε·

Sed cùm absorberet maris salsam aquam,
Tota intùs apparebat commota; circum verò petram
Horrendùm resonabat: infrà autem terra apparebat
Arenâ coeruleâ: illos verò pallidus timor cepit.
Nos quidem ad hanc aspiciebamus, veriti interitum;
Intereà autem mihi Scylla cavâ ex navi socios
Sex abstulit, qui manibusque viribusque optimi erant.
Conspicatus autem in navem velocem simulque ad socios,
Jam horum animadverti pedes et manus supernè
In altum sublatorum; me verò compellabant vocantes
Nominatim, tunc sanè postremò, dolentes corde.
Quemadmodùm autem cùm in scopulo-projecto piscator praelongâ virgâ
Piscibus minutis per dolum escam objiciens,
In pontum demittit bovis cornu agrestis,
Palpitantemque deinde correptum projicit foras:

Ver. 244. —— *Πᾶσιν.*] *Al.* ἅμιν.

Ver. 245. *Τόφρα δέ μοι Σκύλλη γλαφυρῆς ἐκ νηός.*]

—— Scyllam Nisi, quam fama secuta est,
Candida succinctam latrantibus inguina monstris,
Dulichias vexâsse rates, et gurgite in alto
Ah timidos nautas canibus lacerâsse marinis. *Virg. Ecl.* VI, 74.

Ibid. —— γλαφυρῆς ἐκ νηός.] *Al.* πείλης ἐκ νηός.

Ver. 246. —— οἳ χερσίν τε βίηφί τε φέρτεροι ἦσαν.] Πάντες ἐκαινώμεν τοὺς στιλιστεύσαντας. *Schol.*

Ibid. —— φέρτεροι.] *Al.* φέρτατοι.

Ver. 250. —— τότε γ' ὕστατον.] *Al.* τόθ' ἧς ὕστατον.

Ver. 252. Ἰχθύσι τοῖς ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων.] Mirè hanc explicat *Scholiastes*: *Τοῖς μικροῖς* (inquit) *τοὺς μεγάλους κυνηγοῦσι.* Quem sensum neque ipsa omninò ferunt verba; et, si ferre possent, istâ tamen ratione periisset tota ferè comparationis vis: nam, ut rectè *Eustathius*, Παραβολικῶς δηλῶν ὁ Ποιητὴς ὅτως ῥᾳδίως ἡ Σκύλλα τοὺς τοῦ Ὀδυσσέως ἑταίρους ἄνω ἤγαγε τοῖς στομώσασι διεφθείρατο, φησίν· "Ὡς δ' ὅτ' ἐπὶ προβόλῳ ἁλιεὺς περιμήκεϊ ῥάβδῳ Ἰχθύσι" οὐ μεγάλοις τισίν, ἀλλὰ "τοῖς ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων, &c."

Ver. 253. —— βοὸς κέρας.] Ἦτοι τὸν τρίχα λίγνι, ἢ τὸ ἐκπεπτωκὸς τῇ ὁρμῇ κέρας· ἴσχει κέρατος γὰρ ἡ ὁρμὴ τρίχας καθαπίπτη, καὶ ἀπλανομένη. Εἰώθασι δὲ οἱ ἁλιεῖς μιτωθῆ τοῦ ἀγκίστρου καὶ τῆς σαύρου, κέρας βόειον περιάπτειν, ἵνα κατασπάσῃ τὸ ἄγκιστρον οἱ ἰχθύες, μὴ τρόπον τὸν σαύρου. *Schol.* Vide ad *Il.* ω, 80.

Ὡς οἳγ' ἀσπαίροντες ἀείροντο πρὸς πέτρας·
Αὐτοῦ δ' εἰνὶ θύρῃσι κατήσθιε κεκληγοντας,
Χεῖρας ἐμοὶ ὀρέγοντας ἐν αἰνῇ δηϊοτῆτι.
Οἴκτιστον δὴ κεῖνο ἐμοῖς ἴδεν ὀφθαλμοῖσι
Πάντων, ὅσσ' ἐμόγησα, πόρους ἁλὸς ἐξερεείνων.
Αὐτὰρ ἐπεὶ πέτρας φύγομεν, δεινήν τε Χάρυβδιν,
Σκύλλην τ', αὐτίκ' ἔπειτα θεοῦ ἐς ἀμύμονα νῆσον
Ἱκόμεθ'· ἔνθα δ' ἔασαν καλαὶ βόες εὐρυμέτωποι,
Πολλὰ δὲ ἴφια μῆλ' ὑπερίονος Ἠελίοιο.
Δὴ τότ' ἐγὼν, ἔτι πόντῳ ἐὼν ἐν νηῒ μελαίνῃ,
Μυκηθμοῦ τ' ἤκουσα βοῶν αὐλιζομενάων,
Οἰῶν τε βληχήν· καί μοι ἔπος ἔμπεσε θυμῷ
Μάντιος ἀλαοῦ, Θηβαίου Τειρεσίαο,
Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλε,
Νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο.
Δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων, ἀχνύμενος κῆρ·
Κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες, ἑταῖροι,

Sic illi palpitantes tollebantur ad petras:
Illic autem pro foribus devorabat exclamantes,
Manus mihi porrigentes in gravi calamitate.
Miserabilissimum demùm illud meis vidi oculis
Omnium, quaecunque passus sum, vada maris perlustrans.
Caeterùm postquam petras effugissemus, horrendamque Charybdin,
Scyllamque; statim deinde dei ad eximiam insulam
Pervenimus: ibi autem erant pulchrae boves latis-frontibus;
Multaeque pingues pecudes sublimis Solis.
Tum verò ego adhuc in-mari cùm-essem in navi nigrâ,
Mugitumque audivi boum stabulantium,
Oviumque balatum: et mihi sermo incidit animo
Vatis caeci, Thebani Tiresiae,
Circesque Aeaeae, quae mihi plurimùm praecipiebat,
Insulam ut-vitarem hominum-oblectantis Solis.
Tum verò ego socios alloquebar, dolens corde:
" Audite meos sermones, mala quamvis patientes, socii.

Ver. 255. —— περοί.] Ita *Barnesius*, et MS. à *Tho. Bentleio* collatus. *Al.* πεοί.

Ver. 256. —— κεκλήγοντας.] Vide ad *Il.* β', 314. et γ', 31.

Ver. 259. —— πόρους ἁλός.] Τὸν δὲ πόρον σαφῶς μὲν ἐπὶ τῆς τοῦ ὕδατος τάσεως σημαίνει, λέγων· " ἴσον' ἐμόγησα, πόρους ἁλὸς ἐξερεείνων." *Porphyr. Quæst. Homeric.* 21.

Ver. 262. —— ἔνθα δ' ἔασαν καλαὶ βόες.]

Huc ubi delati portus intravimus, ecce
Læta boum passim campis armenta videmus,
Caprigenumque pecus, nullo custode, per herbas. *Æn.* III, 219.

Vide suprà ad ver. 197.

Ver. 264. —— ἔτι πόντῳ ἐών.] *Al.* ἐνὶ πόντῳ ἐών.

Ver. 267. Μάντιος ἀλαοῦ.] Vide suprà ad κ', 495.

Ver. 268 et 275. —— ἥ μοι μάλα πόλλ' ἐπέτελλε.] *Al.* οἵ μοι μάλα πόλλ' ἐπέτελλον.

Ver. 269 et 274. —— τερψιμβρότου.] *Al.* φαεσιμβρότου.

Ver. 271 et 340. —— κακὰ περ πάσχοντες, ἑταῖροι.]

O passi graviora. ——— *Æn.* I, 199.

O fortes, pejoraque passi
Mecum sæpe viri. ———
Horat. Carm. lib. I. *Od.* vii. *ver.* 30.

Ὄφρ' ὑμῖν εἴπω μαντήια Τειρεσίαο,
Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλε,
Νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο·
Ἔνθα γὰρ αἰνότατον πακὸν ἔμμεναι ἄμμιν ἔφασκεν.
Ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε νῆα μέλαιναν.
Ὡς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ.
Αὐτίκα δ' Εὐρύλοχος στυγερῷ μ' ἠμείβετο μύθῳ·
Σχέτλιος εἶς, Ὀδυσεῦ· πέρι τοι μένος, οὐδέ τι γυῖα
Κάμνεις· ἦ ῥά νύ σοί γε σιδήρεα πάντα τέτυκται,
Ὅς ῥ' ἑτάρους, καμάτῳ ἀδηκότας, ἠδὲ καὶ ὕπνῳ,
Οὐκ ἐάας γαίης ἐπιβήμεναι· ἔνθα κεν αὖτε
Νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον·
Ἀλλ' αὕτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας,
Νήσου ἀποπλαγχθέντας ἐν ἠεροειδέϊ πόντῳ.
Ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποὶ, δηλήματα νηῶν,
Γίνονται· πῇ κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
Ἤν πως ἐξαπίνης ἔλθῃ ἀνέμοιο θύελλα,

" Ut vobis dicam vaticinia Tiresiae,
" Circesque Aeaeae, quae mihi plurimùm praecipiebat,
" Insulam ut-vitarem homines-oblectantis Solis:
" Ibi enim gravissimum malum fore nobis dicebat.
" Sed praeter insulam agite navem nigram."
Sic dixi: illis autem confractum est charum cor.
Statim verò Eurylochus molesto mihi respondit sermone:
" Crudelis es, Ulysses; abundat tibi robur, neque omninò membris
" Defatigaris; profectò utique tibi omnia ferrea sunt;
" Qui scilicet socios, labore defatigatos, atque etiam somno *domitos*,
" Non sinis terram conscendere; ubi demùm
" Insulâ in circumfluâ lautam paremus coenam:
" Sed temerè per noctem celerem errare jubes
" Ab insulâ divagatos in obscuro ponto.
" Ex noctibus autem ventî graves, pernicies navium,
" Oriuntur: quâ quis effugerit saevum exitium;
" Si fortè repentè ingruerit venti procella,

Ver. 275. —— Ἴφασιν.] *Al.* Ἴφασκον. *Al.* Ἴφησιν, et Ἴφησαν.

Ver. 281. Ὅς ῥ' ἑτάρους.] *Qui scilicet.* — *Al.* Ὅς ἑτέρους.

Ibid. —— καμάτῳ ἀδηκότας, ἠδὶ καὶ ὕπνῳ.] Ὅτι ἐν τῷ, " ἑτέρους καμάτῳ ἀδηκότας, ἠδὶ " ὕπνῳ," κάματον μὲν λέγει τὸν ἤδη γινόμενον, ὕπνον δὲ τὸν μὴ γιγονότα, ἤγουν οὗ ἐσπέρηνται οἱ τοῦ Ὀδυσσέως φίλοι. Διὸ καὶ ἀδηκότας εἶπεν — διά τε τὸν κάματον, καὶ διὰ τὸ ἐστερῆσθαι ὕπνου. *Eustath.* Quam interpretationem secutus *Barnesius*, vertit " *labore defatigatos, atque* " *etiam somni carentiâ.*" Minùs rectè. Nam ut per ὕπνος intelligatur ἀϋπνία, sive ὁ μὴ γιγονὼς ὕπνος· mirè videtur inficetum. Simpliciùs multò interpreteris, *Labore defatigatos, somnoque oppressos.* Sic infrà ν', 119.

Καὶ δ' ἂς' ἐπὶ ψαμάθῳ ἕλισεν λιδμηκέσιν ὕπνῳ.

Et *ver.* 282.

Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπάλυσε κεκμηῶτα.

Vide suprà ad ζ', 2.

Ibid. —— ἀδηκότας.] Ita ex *Il.* κ', 98. 399 et 471. edidit *Barnesius.* *Al.* ἀδηκότας.

Ver. 284. —— διὰ νύκτα θοήν.] *Al.* νύκτ' ἀλεγεινήν. Cæterùm vocem θοὴν mirè explicat *Heraclides Ponticus*: Ἡ τι θοὴ νὺξ (inquit) οὐκ ἄλλο τί σημαίνει σαφὲς τὸ σφαιρουδὲς ὅλου τοῦ κόσμου σχῆμα. Τὸν γὰρ αὐτὸν Ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει· καὶ σᾶς ὁ καταλιμψθεὶς ὑπ' ἐκείνου τόπος, τοῦτ' ὑπὸ ταύτης ἐκαλλείπετο.

Ver. 287. 288. —— ὑπεκφύγοι —— ἔλθῃ.] Apud *Eustathium*, ὑπεκφύγῃ —— ἔλθοι.

Ἦ Νότου, ἢ Ζεφύροιο δυσαέος, οἵ τε μάλιστα
Νῆα διαρραίουσι, θεῶν ἀέκητι ἀνάκτων,
Ἀλλ' ἦτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
Δόρπον θ' ὁπλισόμεσθα, θοῇ παρὰ νηὶ μένοντες·
Ἠῶθεν δ' ἀναβάντες ἐνήσομεν εὐρέϊ πόντῳ.
Ὣς ἔφατ' Εὐρύλοχος· ἐπὶ δ' ἤνεον ἄλλοι ἑταῖροι·
Καὶ τότε δὴ γίνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων·
Καί μιν φωνήσας ἔπτα πτερόεντα προσηύδων·
Εὐρύλοχ', ἦ μάλα δή με βιάζετε μοῦνον ἐόντα.
Ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον
Εἴ κέ τιν' ἠὲ βοῶν ἀγέλην, ἢ πῶϋ μέγ' οἰῶν
Εὕρωμεν, μήπου τις, ἀτασθαλίῃσι κακῇσιν,
Ἦ βοῦν, ἢ ἔτι μῆλον, ἀποκτάνῃ· ἀλλὰ ἔκηλοι
Ἐσθίετε βρώμην, τὴν ἀθανάτη πόρε Κίρκη.
Ὣς ἐφάμην· οἱ δ' αὐτίκ' ἀπώμνυον, ὡς ἐκέλευον.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,
Στήσαμεν ἐν λιμένι γλαφυρῷ εὐεργέα νῆα,
Ἄγχ' ὕδατος γλυκεροῖο· καὶ ἐξαπέβησαν ἑταῖροι

" Aut Noti, aut Zephyri graviter-spirantis, qui utique potissimùm
" Navem disperdant, diis regibus invitis ?
" Verùm sanè nunc quidem pareamus nocti nigrae,
" Coenamque apparemus, celerem apud navem manentes :
" Manè autem conscensâ *navi*, intremus latum pontum."
Sic dixit Eurylochus ; comprobârunt autem alii socii.
Et tunc demùm agnoscebam, quòd jam mala moliretur deus ;
Et ipsum compellans, verba alata dixi :
" Euryloche, profectò valdè jam me urgetis, solus cùm-sim :
" Sed age, nunc mihi omnes jurate firmum jusjurandum ;
" Siquod boum armentum, aut gregem magnum ovium
" Inveniamus, nullo-pacto quis insipientiâ malâ
" Aut bovem, aut etiam pecudem, occidat : sed quieti
" Comedite cibum, quem immortalis praebuit Circe."
Sic dixi : illi autem protinùs jurabant, ut jussi.
At postquam jurâssent, perfecissentque jusjurandum,
Constituimus in portu cavo fabrefactam navem,
Prope aquam dulcem ; et egressi sunt socii

Ver. 289. —— οἵ τε.] *Qui utique* ——. *Qui videlicet* ——.

Ver. 290. —— διαῤῥαίουσι.] Codices nonnulli, διαῤῥαίσουσι. Minùs rectè.

Ver. 291. —— νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ, Δόρπον θ' ὁπλισόμεσθα.]

Nunc adeò, melior quoniam pars acta diei ;
Quod superest, læti benè gestis corpora rebus
Procurate, viri, ——.
Æn. IX, 156.

Ver. 293 et 401. —— ἀναβάντες.] *Al.* ἀμβάντες.

Ver. 294. Ὣς ἔφατ' Εὐρύλοχος· ἐπὶ δ' ἤνεον ἄλλοι ἑταῖροι.]

Dixerat hæc ; unoque omnes eadem ore fremebant. *Æn.* XI, 132.

Ver. 298. —— ἄγε νῦν.] *Al.* ἄγε δή.
Ver. 301. —— ἢ ἔτι.] *Al.* ἤ τι.
Ver. 304. —— ῥ'.] *Ut dictum est* ——.
Ver. 306. —— καὶ ἐξαπέβησαν ἑταῖροι.]
" Quid est aliud, socios navim in patriam
" tendentem egressos, Ulyxis in patriam fes-
" tinantis, et viæ peragendæ semper instan-
" tis reminisci noluisse, quàm in vitâ hujus
" seculi voluptatem illectricem saluti præ-
" tulisse." *Budæus, de Asse, lib.* V.

Νηὸς, ἔπειτα δὲ δόρπον ἐπισταμένως τετύκοντο.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Μνησάμενοι δὴ ἔπειτα φίλους ἕπλαιον ἑταίρους,
Οὓς ἔφαγε Σκύλλη, γλαφυρῆς ἐκ νηὸς ἑλοῦσα·
Κλαιόντεσσι δὲ τοῖσιν ἐπήλυθε ἡδὺμος ὕπνος,
Ἧμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
Ὦρσεν ἐπὶ ζαὴν ἄνεμον νεφεληγερέτα Ζεὺς
Λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
Ἧμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Νῆα μὲν ὡρμίσαμεν, κοῖλον σπέος εἰσερύσαντες·
Ἔνθα δ' ἔσαν Νυμφέων καλαὶ χοροὶ, ἠδὲ θόωκοι·
Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος, μετὰ μῦθον ἔειπον·
Ὦ φίλοι, ἐν γὰρ νηῒ θοῇ βρῶσίς τε, πόσις τε
Ἔστιν, τῶν δὲ βοῶν ἀπεχώμεθα, μή τι πάθωμεν·

E-navi; deinde autem coenam scitè apparârunt.
Caeterùm postquam potûs et cibi desiderium exemissent,
Recordati deinde charos flebant socios,
Quos devoraverat Scylla, cavâ ex navi ereptos:
Flentibus autem iis supervenit dulcis somnus.
Quando verò tertia pars noctis erat, et astra transierant,
Immisit vehementem ventum nubium-coactor Jupiter
Turbine cum ingenti; nubibusque cooperuit
Terram simul et pontum: ingruit autem de-coelo nox.
Quando autem manè-genita apparuit rosea-digitos Aurora,
Navem quidem subduximus, in cavum specum intrò-tractam;
Ubi scilicet erant Nymphârum pulchri chori, atque sedilia:
Et tum ego, concione habitâ, sermonem dixi:
" O amici, in navi enim celeri cibusque, potusque
" Est; à bobus verò abstineamus, nè quid patiamur;

Ver. 308. 309. Αὐτὰρ ἐπεὶ — Μνησάμενοι δὴ ἔπειτα φίλους.]

Postquam exempta fames epulis, mensæque remotæ,
Amissos longo socios sermone requirunt.
Æn. I, 216.

——Amissâ sociorum parte dolentes
Multaque conquesti ——.
Ovid. Metam. lib. XIV. *ver.* 242.

Ver. 309. —— δὴ ἔπειτα.] Vide suprà ad ά, 290.

Ver. 312. Ἧμος δὲ τρίχα νυκτὸς ἔην.] Ἤτοι τρία μέρη, ἢ τρίτον μέρος τῆς νυκτός. *Schol.*

Ver. 313. —— ἐπὶ ζαὴν.] *Al.* ἐπιζαὴν.

Ver. 314. —— σὺν δὲ νεφέεσσι.] Vide suprà ad ί, 293.

Ver. 319. —— μετὰ μῦθον ἔειπον.] *Al.* μετὰ πᾶσιν ἔειπον.

Ver. 320. Ὦ φίλοι, ἐν γὰρ νηῒ θοῇ &c.] Ὅτι καὶ ἐνταῦθα, ὡς καὶ πρὸ ὀλίγων, ἵνα μὴ διὰ ἀρχομένου ἐκ τοῦ "γὰρ," ἀναδίδωσιν εἰς τὸν "δὲ" σύνδεσμον πάλιν γογγύσαι ἔστιν· "Ὦ φίλοι, ἐν "γὰρ νηῒ θοῇ βρῶσίς τε πόσις τε· τῶν δὲ "βοῶν ἀπεχώμεθα." *Eustath.* Vide suprà ad κ', 190. Cæterùm referri potest istud γὰρ ad id quod elegantèr reticetur: " *Mi-* " *nimè nobis fames metuenda est; NAM* &c." Quod autem addit *Eustathius*; "Ἢ καὶ ἄλλως, ἀντὶ τοῦ "δὴ" ἐγράφη ὁ "ἤ" σύνδεσμος· planè nihili est.

Ver. 321. —— τῶν δὲ βοῶν ἀπεχώμεθα.] Τὸ δὲ γράψαι "τῶνδε βοῶν ἀπεχώμεθα," ἔχουν τούτων οὐ δεκτέον τοῖς Παλαιοῖς. *Eustath.* Atque hinc τῶν δὲ edidit *Barnesius*, pro vulgato τῶνδε.

Ibid. —— πάθωμεν.] Apud *Eustathium*, πάθομεν.

Δεινοῦ γὰρ θεοῦ αἴδε βόες καὶ ἴφια μῆλα,
Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπίθετο θυμὸς ἀγήνωρ.
Μῆνα δὲ πάντ' ἄλληκτος ἄη Νότος, οὐδέ τις ἄλλος
Γίνετ' ἔπειτ' ἀνέμων, εἰ μὴ Εὖρός τε, Νότος τε.
Οἱ δέ, ἕως μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρὸν,
Τόφρα βοῶν ἀπέχοντο, λιλαιόμενοι βιότοιο·
Ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο πῖα πάντα,
Καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
Ἰχθῦς, ὀρνιθάς τε, φίλας ὅ, τι χεῖρας ἵποιτο,
Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δὲ γαστέρα λιμός.
Δὴ τότ' ἐγὼν ἀνὰ νῆσον ἀπέστιχον, ὄφρα θεοῖσιν
Εὐξαίμην, εἴ τίς μοι ὁδὸν φήνειε νέεσθαι.
Ἀλλ' ὅτε δὴ διὰ νήσου ἰὼν ἤλυξα ἑταίρους,

" Gravis enim dei hae boves et eximiae pecudes,
" Solis, qui omnia inspicit, et omnia audit."
Sic dixi: illis verò persuasus est animus generosus.
Mensem autem integrum perpetuus flabat Notus, neque quis alius
Oriebatur deinde ventorum, nisi Eurusque, Notusque.
Illi autem, quamdiù quidem panem habebant, et vinum rubrum,
Tamdiù à-bobus abstinebant, studiosi vitae-*conservandae*:
Sed cùm jam è-navi abeumpta-essent viatica omnia,
Tum demùm praedam sequebantur palantes ex-necessitate,
Pisces, avesque, charas quodcunque in manus venisset,
Uncis hamis: vexabat verò ventrem fames.
Atque tum ego per insulam secessi, ut diis
Supplicarem, si quis mihi viam monstraret, ut-redirem.
Sed cùm jam per insulam profectus, declinâssem à sociis,

Ver. 322. Δεινοῦ γὰρ θεοῦ αἴδε.] Δίγυα δ' ἐπαΰδα καὶ δεινὸν τὸν ἥλιον, ἐφορῶντα τοὺς ἑταίρους. *Eustath.*

Ver. 323. Ἠελίου, ὃς πάντ' ἐφορᾷ.]

Sol, qui terrarum flammis opera omnia
lustras. *Æn.* IV, 607.

Ver. 325. —— πάντ' ἄλληκτος.] *Eustathius* in commentario citat, πάντα ἄληκτος.

Ibid. —— ἄη.] *Al.* ἄα. Ut suprà ad ι, 478.

Ver. 327. Οἱ δ', ἕως.] *Al.* Οἱ δ', ἕως.

Ver. 328. Τόφρα βοῶν ἀπέχοντο, λιλαιόμενοι βιότοιο.] Τὸ δὲ " λιλαιόμενοι βιότοιο" ἀνθρωπίνως ὑπέβαλε· ὡς τῶν λιμωττόντων, καὶ τὸ ζῆν περιφρονούντων, εἰ μέλλοντες οἱ φάγονται, ὡς μετ' ὀλίγα δηλώσει Εὐρύλοχος. *Eustath.* Verùm hæc interpretatio cum præcedenti " ἕως μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρὸν," nullo modo congruit. Sententia, ut opinor, est; " *A bobus abstinebant, vitae servandae studio-* " *si.*" Veriti nimirùm nè, si boves occiderent, ipsi deinceps perirent. Atque hoc sensu occurrit ipsa phrasis " λιλαιόμενοι βιότοιο" infrà ω, *ver.* 535.

Πρὸς δὲ σέλας τρωτῶντος, λιλαιόμενοι βιότοιο.

Ver. 329. —— ἤια.] Vide suprà ad β, 289. et ad *Il.* ι', 103.

Ver. 331. Ἰχθῦς, ὀρνιθάς τε.] Καὶ ἰχθύσι δὲ Ὅμηρος τοῖς χερσαίοις τοὺς τότε, καὶ ὄρνισι. Κατὰ γοῦν τὴν Θρινακίαν οἱ Ὀδυσσέως ἑταῖροι θηρεύουσι, " Ἰχθῦς, ὀρνιθάς τε, φίλας δ' ὅ, τι " χεῖρας ἵποιτο, Γναμπτοῖς ἀγκίστροισιν." Οὐ γὰρ ἐν τῇ Θρινακίᾳ ἰχάλκευτο τὰ ἄγκιστρα, ἀλλ' ἐτιθέροντο ἐν τῷ πλῷ· δηλονότι ὅς τι ἦν αὐτοῖς θήρας ἰχθύων ἐπιμιλὲς καὶ τέχνη. *Athenæus, lib.* I. *cap.* 10. *Eustathius* autem; Δῆλον (inquit) ὡς εἰ μὴ ἀνάγκη ἦν τοιαύτη, οὔτε ἰχθυοφάγων οἱ Παλαιοὶ, οὔτε ἀγνίθων ἐπιχωρίων θήραν.

Ibid. Ἰχθῦς.] *Al.* Ἰχθύας.

Ibid. —— φίλας ὅ, τι.] Apud *Athenæum*, loco jam suprà citato, φίλας δ' ὅ, τι.

Ver. 335. —— ἤλυξα ἑταίρους.] Ἐξέλιπον, ἐκτὸς ὄψεως αὐτῶν ἐγενόμην. *Schol.*

Χεῖρας νιψάμενος, ὄθ' ἐπὶ σκέπας ἦν ἀνέμοιο,
Ἡρώμην πάντεσσι θεοῖς, οἳ ὄλυμπον ἔχουσιν·
Οἱ δ' ἄρα μοι γλυκὺν ὕπνον ἐπὶ βλεφάροισιν ἔχευαν.
Εὐρύλοχος δ' ἑτάροισι κακῆς ἐξήρχετο βουλῆς·
Κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες, ἑταῖροι· 340
Πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσι,
Λιμῷ δ' οἰκτιστον θανέειν καὶ πότμων ἐπισπεῖν.
Ἀλλ' ἄγετ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας,
Ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
Εἰ δέ κεν εἰς Ἰθάκην ἀφικοίμεθα, πατρίδα γαῖαν, 345
Αἶψά κεν Ἠελίῳ Ὑπερίονι πίονα νηὸν
Τεύξομεν, ἔνθα κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά·
Εἰ δὲ χολασάμενός τι βοῶν ὀρθοκραιράων,
Νῆ' ἐθέλῃ ὀλέσαι, ἐπὶ δ' ἕσπωνται θεοὶ ἄλλοι,

Manibus lotis, ubi receptus erat à-vento,
Supplicabam omnibus diis, qui coelum habitant;
Hi verò deinde mihi dulcem somnum palpebris infuderunt.
Eurylochus autem sociis mali auctor erat consilii:
" Audite meos sermones, mala quamvis patientes, socii; 340
" Omnes quidem invisae mortes miseris mortalibus,
" Fame verò miserrimum mori, et fatum consequi.
" Sed agite, Solis boum abactis optimis,
" Sacra-faciemus immortalibus, qui coelum latum habitant.
" Quòd si in Ithacam pervenerimus, patriam terram, 345
" Statim Soli sublimi opulentum templum
" Struamus; ubi ponamus donaria multa et pretiosa:
" Sin iratus aliquantum ob-boves capita-altè-ferentes,
" Navem velit perdere, suffragenturque dii alii;

Ver. 342. Λιμῷ δ' οἰκτιστον θανέειν.] Sic apud *Thucydidem*: Τῷ αἰσχίστῳ ὀλέθρῳ λιμῷ τελευτῆσαι. *Lib.* III. Ubi *Scholiastes* hunc locum citat. Similiter et apud *Sallustium*: " Fame, miserrimâ omnium morte, con- " fecistis." *Fragm. Hist. lib.* III. *cap.* 2. Et apud *Ammianum Marcellinum*: " Fame, " ignavissimo mortis genere, tabescentes." *Rerum gestarum, lib.* XVII. *cap.* 9. Cæterùm vituperat hunc *Homeri* locum *Plato, de Republ. lib.* III. haud longè ab initio.

Ibid. —— θανέειν καὶ πότμον ἑτοιμοτέρ.] Τὸ δὲ " θανεῖν καὶ πότμον ἑτοιμοτέρ." ἢ ταυτὰ εἰσὶν ἢ καὶ ἄλλως πότμον μὲν ἑτοιμοτέρ., τὸ δυστότμως ζῆν· θανεῖν δὲ, τὸ τῆς τοιαύτης ζωῆς δεινὸν ἀποτέλεσμα. *Eustath.* Atqui phrasis " πότμον " ἑτοιμοτέρ." posteriori isto sensu nusquam à Poetâ usurpatur. Vide autem suprà ad λ', 611. et infrà ad υ', 241.

Ver. 343. —— βοῶν ἐλάσαντες ἀρίστας, Ῥέξομεν ἀθανάτοισι.] Ἔνθα σημείωσαι ὡς φιλοικτίρμων, οὐκ αὐτὸ τεῦχος φαγεῖν τὰς βοῦς συμβουλεύει Εὐρύλοχος· ἀλλ' αὐτὸ μὲν ὑποκλαῦσαι ἐν τῷ εἰπεῖν μὴ θέλειν λιμῷ τελευτᾶσαι, ἐν δὲ φαινομένῳ ῥίζειν ἰθέλειν τὰς ἀρίστας βόας. *Eustath.*

Ver. 347. —— ἴνθα κε θεῖμεν.] *Al.* ἐν δὲ κε θεῖμεν.

Ibid. —— ἀγάλματα.] Λέγει —— τῶν οὕτω τὰ ἀναθήματα. *Eustath.*

Ver. 348. Εἰ δὲ χολασάμενός τι βοῶν ὀρθοκραιράων.] Editiones nonnullæ, notante *Henrico Stephano*, habent βοῶν ἵνα' ὀρθοκραιράων. Quod ferri non potest, nisi ὀρθοκραιράων in vocem quadrisyllabam contrahatur. Sed omninò nihil opus. Nam, ut rectè notat vir idem eruditus, eâdem loquendi ratione alibi utitur Poeta:

Οὔτ' ἄρ' ὔγ' ἰὺχωλῆς ἐκφεύξεται, οὔθ' ἑκατόμπης. *Iliad.* ά, 93.

Κούρης χούρανος βριαρῖδος ——. β', 689.

Ver. 349. —— ἕσπωνται.] Ita ex Editionibus nonnullis, propter præcedentem ἰθέλῃ, edidit *Barnesius*. *Vulgg.* ἕσπονται. *Al.* ἴσπονται et ἴσπωνται.

Βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι,
Ἢ δηθὰ στρεύγεσθαι, ἐὼν ἐν νήσῳ ἐρήμῃ.
Ὣς ἔφατ' Εὐρύλοχος· ἐπὶ δ' ἤνεον ἄλλοι ἑταῖροι.
Αὐτίκα δ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
Ἐγγύθεν, (οὐ γὰρ τῆλε νεὸς κυανοπρῴροιο
Βοσκέσκοντ' ἕλικες καλαὶ βόες, εὐρυμετώποι,)
Τὰς δὲ περιστήσαντο, καὶ εὐχετόωντο θεοῖσι,
Φύλλα δρεψάμενοι τέρενα δρυὸς ὑψικόμοιο·
Οὐ γὰρ ἔχον κρῖ λευκὸν ἐϋσσέλμου ἐπὶ νηός.
Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ ἔσφαξαν καὶ ἔδειραν,
Μηρούς τ' ἐξέταμον, κατά τε κνίσῃ ἐπάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοβέτησαν·
Οὐδ' εἶχον μέθυ λεῖψαι ἐπ' αἰθομένοις ἱεροῖσιν,
Ἀλλ' ὕδατι σπένδοντες ἐπώπτων ἔγκατα πάντα.

" Malo semel ad fluctus hians animam perdere,
" Quàm diutiùs tabescere, manens in insulâ desertâ.'
Sic dixit Eurylochus; comprobabant verò alii socii.
Statim autem Solis ex-bobus cùm-abegissent optimas
E-propinquo, (non enim longè à nave prorâ-coeruleâ
Pascebantur camurae-cornibus pulchrae boves, latis-frontibus,)
Eas utique circumstabant, et vota-faciebant diis,
Foliis decerptis teneris quercûs alto-vertice:
Non enim habebant hordeum album benè-tabulatâ in navi.
Caeterùm postquam precati essent, et mactâssent et excoriâssent:
Femoraque exsecuerunt, atque adipe cooperuerunt,
Postquam duplicaverunt, et super ipsis frusta-cruda posuerunt:
Neque verò habebant vinum ad-libandum super ardentia sacra,
Sed aquâ libantes assabant intestina omnia.

Ver. 350. —— Βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι, Ἢ δηθὰ στρεύγεσθαι.] Sic *Iliad.* ι, 511.

Βέλτερόν, ἢ ἀπολέσθαι ἴνα χρέιον, ἢ βιῶναι,
Ἢ δηθὰ στρεύγεσθαι ——————.

Similiter apud *Æschylum*:

—————— κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν,
Ἢ τὰς ἀπάσας ἡμέρας πάσχειν κακῶς.
Prometh. Vinct. ver. 749.

Ver. 351. —— στρεύγεσθαι.] Κατὰ στρέβγα, ἤ ἐστὶ κατ' ὀλίγον, ὑποφθίν. *Schol.*

Ver. 356. Τὰς δὲ περιστήσαντο.] "Ορα δ' ἐν τῷ, " Τὰς δὲ περιστήσαντο," καὶ ἐν τῷ (*ver.* 362.) " Οὐδ' εἶχον μέθυ λεῖψαι," ὅτι περιστὰς λύεται ὁ " δὲ" σύνδεσμος· τὸ γὰρ ὀρθὸν τῆς συντάξεως, ταύτας περιστήσαντο· καὶ, οὐκ εἶχον μέθυ λεῖψαι. Κεῖται οὖν σύνδεσμος πάντοθεν ὁ " δὲ" σύνδεσμος ἀντὶ τοῦ "δή." *Eustath. Henricus Stephanus* legendum conjicit Τάσδὶ conjunctè. Quo modo et edidit *Barnesius*. Sed nihil opus. Nam Τὰς δὲ hoc in loco (ut opinor) non est, " *Has autem;*" sed, " *Has utique;*" sive, " *Has deinceps;*" vide ad *Il.* ά, 57. ή, 148. et κ', 490. Caeterùm posteriori in loco non advertit *Eustathius*, istud, " Οὐδ' εἶχον μέθυ λεῖψαι" novam periodum, ἀπ' ἄλλης ἀρχῆς (ut rectè *Henricus Stephanus*) inchoare; sententiæ autem *apodosin* reddi suprà *ver.* 360. " Μηρούς τ' ἐξέταμον, &c."

Ibid.—περιστήσαντο.] Τὸ δὲ, "περιστήσαντο," ἢ ἀντὶ τοῦ αὐλῷ περιστάθησαν, ὅσπερ συσχεῖν αὐτάς· ἢ ἀντὶ τοῦ ὡς εἰς θυσίαν ἑστῶσαν. *Eustath.*

Ver. 357. Φύλλα δρεψάμενοι.] *Al.* Φύλλα δὲ δρεψάμενοι· et Φύλλα δ' ἐρεψάμενοι.

Ver. 359. —— καὶ ἔσφαξαν καὶ ἔδειραν.] Vide ad *Il.* ά, 459.

Ver. 361. —— ὠμοβέτησαν.] Vide suprà ad γ', 458.

Ver. 362. Οὐδ' εἶχον.] Vide suprà ad *ver.* 356.

Ver. 363. —— σπένδοντες.] MSS. nonnulli à *Tho. Bentleio* collati, σπενδοντες.

Ibid. —— ἐπώπτων.] Vide suprà ad β', 300. et ad *Il.* ά, 466.

Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
Μίστυλλόν τ' ἄρα τ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν·
Καὶ τότε μοι βλεφάρων ἐξέσσυτο ἡδύμος ὕπνος·
Βῆν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
Ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
Καὶ τότε με κνίσσης ἀμφ' ἤλυθεν ἡδὺς ἀϋτμή·
Οἰμώξας δὲ θεοῖσι μετ' ἀθανάτοισι γεγώνευν·
Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ, αἰὲν ἐόντες,
Ἦ με μάλ' εἰς ἄτην κοιμήσατε νηλεῖ ὕπνῳ·
Οἱ δ' ἕταροι μέγα ἔργον ἐμητίσαντο μένοντες.
Ὠκέα δ' Ἠελίῳ Ὑπερίονι ἄγγελος ἦλθε
Λαμπετίη ταναύπεπλος, ὅ οἱ βόας ἔκταν ἑταῖροι.
Αὐτίκα δ' ἀθανάτοισι μετηύδα, χωόμενος κῆρ·
Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ, αἰὲν ἐόντες,
Τῖσαι δὴ ἑτάρους Λαερτιάδεω Ὀδυσῆος,
Οἵ μευ βοῦς ἔκτειναν ὑπέρβιον· ἧσιν ἔγωγε
Χαίρεσκον μὲν ἰὼν εἰς οὐρανὸν ἀστερόεντα,

Caeterùm postquam femora exusta sunt, et viscera gustârunt,
Minutatimque secuerunt caetera, et verubus transfixerunt:
Et tunc mihi palpebris excidit suavis somnus:
Perrexi autem ire ad navem velocem et littus maris.
Sed cùm jam prope essem profectus navem remis-utrinque-agitatam,
Tum verò mihi nidoris obvenit dulce flamen:
Lugens autem deos ad immortales clamavi:
" Jupiter pater, atque alii beati dii semper-existentes,
" Profectò me magnum in damnum sopivistis saevo somno:
" Socii verò magnum facinus moliti-sunt manentes."
Velox autem Soli sublimi nuncia venit
Lampetia longo-peplo-induta, quòd ei boves interfecerant socii.
Statim autem *is* deos allocutus est iratus corde:
" Jupiter pater, atque alii beati dii semper-existentes,
" *Fac*-luere jam socios Laërtiadae Ulyssis,
" Qui meas boves occiderunt superbè; quibus ego
" Gaudebam quidem profectus in coelum stellatum,

Ver. 369. —— *με.*] *Al. μοι.*

Ibid. —— *ἀμφ' ἤλυθεν.*] *Henricus Stephanus* legendum censet *ἀμφήλυθεν.*

Ibid. —— *ἡδὺς ἀϋτμή.*] Ita suprà ι, 467. notante *Barnesio:*

—— Ἥλιος ἱερὸς.

Et δ', 709. —— *σκολὸν ἰφ' ὑγιές.*

Et apud *Hesiodum:* —— *Διεμὸς ἀϋτμή.* *Theogon. ver.* 696.

Cæterùm apud *Homerum* hic legi posset, conjectante itidem *Barnesio*, *ἡδὺς ἀϋτμήν.* Quæ posterior vox non inusitata. Vide suprà ad γ', 289. et ad *Il.* ψ', 765.

Ver. 372. —— *κοιμήσατε.*] Ita ex *Eustathio* et ex Editt. Vett. edidit *Barnesius.* Atque ita habent MSS. nonnulli à *Tho. Bentleio* collati. *Vulgg. κοιμίσατε.* Quod, si vera lectio, omninò scribendum, uti et notavit *Barnesius*, *κοιμίσατε.* Vide ad *Il.* ά, 140.

Ver. 373. —— *ἐμητίσαντο.*] *Barnesius* edidit *ἐμητίσαντο.* Sed nihil opus. Vide ad *Il.* ψ', 312.

Ver. 375. —— *ἔκταν ἑταῖροι.*] *Al. ἔκταμεν ἡμεῖς.*

Ver. 378. 382. *Τῖσαι* —— *τίσασα.*] Vide ad *Il.* χ', 19. 20. Item infrà ad ν', 193.

Ver. 380. *Χαίρεσκον.*] *Gaudere solebam.* Vide ad *Il.* ά, 37. et β', 221.

Ἠδ' ὁπότ' ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτραπόμην.
Εἰ δέ μοι οὐ τίσουσι βοῶν ἐπιείκελ' ἀμοιβήν,
Δύσομαι εἰς Ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἠέλι', ἦτοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε,
Καὶ θνητοῖσι βροτοῖσιν, ἐπὶ ζείδωρον ἄρουραν·
Τῶν δέ κ' ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι κεραυνῷ
Τυτθὰ βαλὼν κεάσαιμι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠϋκόμοιο·
Ἡ δ' ἔφη Ἑρμείαο διακτόρου αὐτὴ ἀκοῦσαι.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Νείκεον ἄλλοθεν ἄλλον ἐπισταδὸν, οὐδέ τι μῆχος
Εὑρέμεναι δυνάμεσθα· βόες δ' ἀποτέθνασαν ἤδη.
Τοῖσιν δ' αὐτίκ' ἔπειτα θεοὶ τέρατα προὔφαινον·
Εἶρπον μὲν ῥινοὶ, κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει,

" Et quando retrò ad terram è coelo revertebar.
" Quòd si mihi non luant boum condignam talionem,
" Descendam in Orcum, et inter mortuos lucebo."
Hunc autem respondens allocutus est nubium-coactor Jupiter:
" Sol, sanè quidem tu inter immortales luceto,
" Et mortales homines, super almam terram:
" Horum autem ego citò navem celerem candenti fulmine
" Paululùm ictam diffidero, medio in nigro ponto."
Haec verò ego audivi à-Calypso comas-pulchrâ:
Illa autem dixit à-Mercurio internuncio se ipsam audivisse.
Caeterùm postquam ad navem pervenissem atque mare,
Objurgabam aliundè alium ordine; neque ullum remedium
Invenire potuimus: boves enim mortuae erant jam.
Eis autem continuò deinde dii prodigia ostendebant:
Serpebant quidem pelles, carnes autem circum verua mugiebant,

---

Ver. 383. Δύσομαι εἰς Ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω.]

——— Ἴσγνε μὲν οὔτ' ἐν Ὀλύμπῳ
Ἔσσομαι, οὔτ' ἔτι σῦσι πεπάλσομαι, εἰ μὴ Ἀχαιῶν
Τίσουσ' ἀντάποινα ———.
Quintus Calaber, παραλειπομένων Ὁμήρου, lib. XIV. *ver.* 432.

——— ὁ δ' Ἥλιος,
Τὴν θρυαλλίδ' εἰς ἑαυτὸν ἰόβλητος συστρέψας,
Οὐ φασὶν ἴφασιν ὑμῖν ———.
Aristophanes, Nub. ver. 584.

Δείσαντα δὲ [Ὅμηρος] αὐτοῦ [Ἡλίου] ——— καὶ τὸ ἴρψυχον, καὶ τὸ ἐπὶ τῇ πατρίδι αὐτοσχεδίαστον, ἐν οἷς ἀπειλεῖ, "Δύσομαι εἰς Ἀΐδαο, καὶ "ἐν νεκύεσσι φαείνω." Καὶ ἐπὶ τούτῳ ὁ Ζεὺς αὐτὸν παραπαλεῖ, [*ver.* 385.] "Ἠέλι', ἦτοι μὲν "σὺ μετ' ἀθανάτοισι φάεινε, &c." *Dionys. Halicarn. περὶ τῆς Ὁμήρου ποιήσεως,* § 15.

Ver. 385. ——— φάεινε.] *Al.* φαίνει.

Ver. 389. Ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς.] Ὁ Ποιητὴς ὑπεριδόμενος δὲ ἀκριβίαν ἱστορίας, ὡς ἱερούντος εἰπὼν, πόθεν Ὀδυσεὺς εἰδὼς λέγει τὰ παρὰ τὸν Ἥλιον καὶ τὸν Δία, ἃς αὐτὰς οὐ σαφέστυχε· τὸν μὲν μῦθον οὐκ ἀνατρέπει, τὸ δὲ ἀσεφεύρετον ἀπέβαλεν Θεραπεύων, λύει, εἰπόντος Ὀδυσσέως οὕτως, "Ταῦτα δ' ἐγὼν ἤκουσα Καλυ-"ψοῦς, &c." *Eustath.*

Ver. 392. ——— μῆχος.] Μηχάνημα, τέχνασμα. *Etymolog. Magn. in voce.* Vide et ad *Il. β'*, 342. Caeterùm *Pindari* Scholiastes, notante *Barnesio*, legit *μάχας*.

Ver. 395. ——— κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει.] Respicit hunc locum *Euripides*:

——— ἡλίου δ' ἀγναὶ βάσις,
Αἳ σάρκα φωτὸς ἥσσονα στορὶ,
Πικρὰν Ὀδυσσεῖ γῆρυν ———.
Troad. v. 439.

Et *Propertius*:

Lampeties Ithacis verubus mugisse juvencos. *Lib.* III. *Eleg.* xi. *ver.* 29.

Ὀπταλέα τε καὶ ὠμά· βοῶν δ' ὡς γίνετο φωνή.
Ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἑρίηρες ἑταῖροι
Δαίνυντ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας·
Ἀλλ' ὅτ' ἄρ' ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς Θῆκε Κρονίων,
Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο λαίλαπι Θύων·
Ἡμεῖς δ' αἶψ' ἀναβάντες ἐνήπαμεν εὐρέϊ πόντῳ,
Ἱστὸν στησάμενοι, ἀνὰ δ' ἱστία λευκὰ ἐρύσαντες.
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, οὐδέ τις ἄλλη
Φαίνετο γαιάων, ἀλλ' οὐρανὸς, ἠδὲ Θάλασσα,
Δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
Νηὸς ὑπὲρ γλαφυρῆς· ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
Ἡ δ' ἔθει οὐ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθε
Κεκληγὼς Ζέφυρος, μεγάλῃ σὺν λαίλαπι Θύων·
Ἱστοῦ δὲ πρυτόνους ἔρρηξ' ἀνέμοιο Θύελλα
Ἀμφοτέρους· ἱστὸς δ' ὀπίσω πέσεν, ὅπλα τε πάντα
Εἰς ἄντλον κατέχυνθ'· ὁ δ' ἄρα πρύμνῃ ἐνὶ νηῒ

Assaeque et crudae; boumque quasi fiebat vox.
Sex-diebus quidem deinde mihi dilecti socii
Epulabantur, Solis bobus abactis optimis:
Sed quando utique septimum diem Jupiter induxit Saturnius,
Tum verò deinde ventus quidem desiit turbine saevire:
Nos autem statim nave-conscensâ immisimus lato mari,
Malo erecto, velisque albis expansis.
Sed quando jam insulam reliqueramus, neque ulla alia
Apparebat terrarum, sed coelum atque mare,
Sanè tum coeruleam nebulam statuit Saturnius
Navim supra cavam; obscuratus autem est pontus sub ipsâ.
Ea autem currebat haud valdè multum per tempus; statim enim venit
Stridens Zephyrus, ingenti cum turbine furens:
Mali autem rudentes rupit venti procella
Utrosque; malus verò retrò cecidit, armamentaque omnia
In sentinam deciderunt: is autem in puppi navis

Ver. 398. —— ἰλάσαντις.] *Al.* ἰλόωντις.
Ver. 399. —— ἦν' ἄρ' ἕβδομον.] *Al.* ὅτι δ' ἕβδομον.
Ver. 403. —— οὐδέ τις ἄλλη Φαίνετο γαιάων, —— Δὴ τότε κυανέην νεφέλην.]

Postquam altum tenuere rates, nec jam ampliùs ullæ
Apparent terræ; cœlum undique, et undique pontus:
Tum mihi cœruleus supra caput astitit imber,
Noctem hyememque ferens; et inhorruit unda tenebris. *Æn.* III, 192.

Similiterque, *Æn.* V, 8.

Ut pelagus tenuere rates, nec jam ampliùs ulla
Occurrit tellus, &c.

Ver. 409. —— πρυτόνους.] Τὰ σχοινία τὰ κατέχοντα τὸν ἱστόν. *Schol.*
Ver. 411. —— ἄντλον.] Τὸν ἀντλίαν, εἰς ἣν ἐγχύεται τὸ κατηθιζόμενον εἰς τὸν ναῦν ὕδωρ. *Schol.*
Ibid. — πρύμνῃ ἐνὶ νηῒ.] "Cum *Gubernatoris* locus," inquit *Barnesius*, "sit in *Prora*, non in *Puppi* navis; necessum putabam hoc in loco πρύμνῃ *Adverbialiter* capere, et à voce νηῒ distinguere: quare expono *retrorsùm*." Quod nequaquam ferri posset. Neque sanè opus. Gubernatori enim locus revera erat in Puppi navis, in quâ sedens clavum regebat. Atque ita *Eustathius*, quem et citat ipse *Barnesius*: Πρύμνην μὲν περίστασαι κυβερνήτης· πρύμνα δὲ διαπονεῖται ὁ πρωρεύς.

Πλῆξε κυβερνήτεω κεφαλὴν, σὺν δ' ὀστέ' ἄραξε
Πάντ' ἄμυδις κεφαλῆς· ὁ δ' ἅρ' ἀρνευτῆρι ἐοικὼς
Κάππεσ' ἀπ' ἰκριόφιν, λίπε δ' ὀστέα θυμὸς ἀγήνωρ·
Ζεὺς δ' ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηὶ κεραυνόν· 415
Ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα κεραυνῷ,
Ἐν δὲ θείοιο πλῆτο· πέσον δ' ἐκ νηὸς ἑταῖροι.
Οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
Κύμασιν ἐμφορέοντο· θεὸς δ' ἀποαίνυτο νόστον.
Αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίτων, ὄφρ' ἀπὸ τοίχους 420
Λῦσε κλύδων τρόπιος· τὴν δὲ ψιλὴν φέρε κῦμα.
Ἐκ δέ οἱ ἱστὸν ἔαξε ποτὶ τρόπιν· αὐτὰρ ἐπ' αὐτῷ
Ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς·
Τῷ ῥ' ἄμφω συνέεργον ὁμοῦ τρόπιν ἠδὲ καὶ ἱστόν·
Ἑζόμενος δ' ἐπὶ τοῖς, φερόμην ὀλοοῖς ἀνέμοισιν. 425
Ἔνθ' ἦτοι Ζέφυρος μὲν ἐπαύσατο λαίλαπι θύων·

Percussit gubernatoris caput, ossaque confregit
Omnia simul capitis; ille verò urinatori similis
Decidit à tabulatis, reliquitque ossa animus generosus;
Jupiter autem crebrò intonuit, et injecit fulmen navi; 415
Ea autem contorta est tota, Jovis icta fulmine,
Sulphureque impleta est: ceciderunt verò è navi socii.
Illi autem cornicibus similes circa navem nigram
In fluctibus ferebantur: deus autem auferebat reditum.
At ego per navim incedebam; donec latera 420
Solvit fluctuum-impetus à-carinâ: eam verò inermem ferebat unda.
Effregit autem ei malum usque-ad carinam: at super ipso
Lorum inditum erat, bovis corio factum:
Hoc utique utrumque colligabam paritèr carinam atque etiam malum:
Sedens autem super haec, ferebar perniciosis ventis. 425
Tum sanè Zephyrus quidem desiit turbine furere:

Ver. 413. ——— ὁ δ' ἅρ' ἀρνευτῆρι ἐοικὼς Κάππεσ' ἀπ' ἰκριόφιν.]

——— excutitur, pronusque magister
Volvitur in caput. ——— *Æn.* I, 115.

Ver. 415. Ζεὺς δ' ἄμυδις βρόντησε.]

Hic pater omnipotens ter cœlo clarus ab alto
Intonuit. ——— *Æn.* VII, 141.

Ver. 416.— πληγεῖσα.] Vide ad *Il.* γ', 31.

Ver. 418. Οἱ δὲ κορώνῃσιν ἴκελοι.]

Apparent rari nantes in gurgite vasto.
Æn. I, 118.

Ver. 421. Λῦσε κλύδων τρόπιος.]

——— laxis laterum compagibus omnes
Accipiunt inimicum imbrem, rimisque fatiscunt. *Æn.* I, 122.

Ver. 422. —— ἱστὸν ἔαξε.] Codices nonnulli habent ἱστὸν ἄραξε. Atque ita in commentario legit *Eustathius*.

Ver. 423. Ἐπίτονος βέβλητο.] Πολλοὶ ἀντιφάλους φασὶ [Ὅμηρος] στίχους ———. ἀπίφαλοι δὲ εἰσὶν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χαλίστην ἔχοντες· ——— "Ἐπιτονὸς τετάνυστο βοὸς ἴφι κταμένοιο." *Athenæus, lib.* XIV. *cap.* 8. Vide ad *Il.* Ψ', 2. Fortassè autem eadem hujus vocis ratio, ac vocum ἀβάντος, Πραμίδης, &c. Vide ad *Il.* ά, 398. Cæterùm notandum, hoc in versu pro βέβλητο βοὸς ῥινοῖο τετευχὼς, legisse *Athenæum*, τετάνυστο βοὸς ἴφι κταμένοιο.

Ibid. Ἐπίτονος.] Ἰμὰς, ἤτοι ὁ τῶν κεράτων δεσμός· ἢ ὁ ἱμὰς, ὁ περὶ ἄκρῳ τῷ ἱστῷ, δι' οὗ τὸ ἄρμενον ἀνέλκεται. *Schol.*

Ἦλθε δ' ἐπὶ Νότος ὦκα, φέρων ἐμῷ ἄλγεα θυμῷ,
Οἴφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν.
Παννύχιος φερόμην· ἅμα δ' ἠελίῳ ἀνιόντι
Ἦλθον ἐπὶ Σκύλλης σκόπελον, δεινήν τε Χάρυβδιν.
Ἡ μὲν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ·
Αὐτὰρ ἐγὼ ποτὶ μακρὸν ἐρινεὸν ὑψόσ' ἀερθείς,
Τῷ προσφὺς ἐχόμην, ὡς νυκτερίς· οὐδέκη εἶχον
Οὔτε στηρίξαι ποσὶν ἔμπεδον, οὔτ' ἐπιβῆναι.
Ῥίζαι γὰρ ἑπὰς ἦσαν, ἀπήωροι δ' ἔσαν ὄζοι,
Μακροί τε, μεγάλοι τε, κατεσκίαον δὲ Χάρυβδιν.
Νωλεμέως δ' ἐχόμην, ὄφρ' ἐξεμέσειεν ὀτίσσω
Ἱστὸν καὶ τρόπιν αὖτις· ἐελδομένῳ δέ μοι ἦλθεν
Ὄψ· ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη,

Supervenit autem Notus celeritèr, ferens meo dolores animo;
Ut iterùm perniciosam remetirer Charybdin.
Totâ-nocte ferebar: simul autem ac sol ortus est,
Veni ad Scyllae scopulum, horrendamque Charybdin.
Haec quidem absorpsit maris salsam aquam;
At ego ad proceram caprificum altè levatus,
Et implicitus tenebar, veluti vespertilio; neque uspiam potui
Neque haerere pedibus firmitèr, neque ascendere.
Radices enim longè erant, altè-remoti autem erant rami,
Longique, ingentesque; obumbrabant verò Charybdin.
Continentèr autem haerebam, donec evomeret retrorsùm
Malum, et carinam denuò; cupienti autem mihi advenit
Tandem: quando autem ad coenam vir è foro surgit,

Ver. 427. —— ἐπὶ Νότος.] *Barnesius* haud ignarus quâ ratione *ultima* vocis ἐπὶ producatur, tamen, "*Tribrachys*," inquit, "in "*Secundo* etiam loco stare possit, ut modò "in *Primo*, *ver.* 423." Atqui hoc, ut opinor, nisi in vocibus polysyllabis locum habere non potest. Vide ad *Il.* ά, 398.

Ver. 431. Ἡ μὲν ἀνερροίβδησε.] Quoniam suprà dixerat *Circe*, *ver.* 106. "μὴ σύ γε "κείδι σύχοις, ὅτι ῥοιβδήσειεν &c." et tamen eo ipso tempore ad *Charybdin* accedere hîc dicitur *Ulysses*; ideò *Circen* mentiri contendit *Strabo*; Ἐν αὐτοῖς γοῦν τοῖς ἔπεσι τούτοις εἴρηκεν ἡ Κίρκη, "—— μὴ σύ γε κείδι σύ- "χοις, ὅτι ῥοιβδήσειε· Οὐ γάρ κεν ῥύσαιτό σ' "ὀΐω· ἀλλὰ παρὸν οἶδ' Ἐνοσίχθονι." Καὶ μὴν παρέσχέ τι τῇ ἀναῤῥοιβδήσει ὁ Ὀδυσσεὺς, καὶ οὐκ ἀπώλετο, ὡς φησὶν αὐτός· "Ἡ μὲν ἀνερροίβ- "δησε &c." Εἶτα στρεμπτίνας τὰ ναυάγια, καὶ λεβόμενος πάλιν αὐτῶν, σώζεται· ὅστ' ἐψεύσα- το ἡ Κίρκη. *Geograph. lib.* I. *pag.* 75. *al.* 43. 44. Verùm istud "μὴ σύ γε κείδι σύχοις "&c." ita intelligendum arbitror, si navis eo tempore appelleret. Quòd autem *Ulysses* solus ope caprifici se ipse servet, priori illi loco (ut opinor) nullo modo repugnat.

Ver. 433. —— ὡς νυκτερίς.] Ὡς νυκτερὶς δὲ περσέφυκεν Ὀδυσσεὺς τῇ ἰσχάδι —— διότι καὶ ἡ νυκτερὶς οὐκ ἔωθεν ἰσχάδιόν κλάδον ἀλλ' ἐκλέμματα, ὡς καὶ ἐν τῷ τέλει τῆς Ὀδυσσείας φανήσεται. *Eustath.* Vide infrà ad ώ, 6.

Ver. 435. —— ἦσαν.] *Al.* εἶχον.

Ver. 438. —— ἦλθεν.] Apud *Eustathium*, ἦλθον.

Ver. 439. —— ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη, Κέϊνον πίνια πολλά.] Καὶ φασὶν οἱ Παλαιοὶ ἰσοπέδους τὸν παρὸν στρεῖ ὑγιόεν ἄρσαι εἶναι, εἶγε ἰσοστασιασέρουν ὑφῶν οὐσῶν τῇ νυκτὶ καὶ τῇ ἡμέρᾳ, τρὶς ἰκάστης ἡμέρας ἡ Χάρυβδις ἰστῆκε τὰ ἑαυτῆς. Οἱ δὲ φυσιῶσι καὶ δέρσαν ἰστανῶσι τὴν δυλυτὴν ἄρσαν φασὶν. *Eustath.* Πάντα γὰρ ταῦτα χρόνου τινὸς ἱμφαίνει ἐξελόγου δέονσι, καὶ μάλιστα τὸ τὴν ἰσοπέδου ἰστῶσαι· καὶ μὴ ναυὸς ἰσταμένης, ἡνίκα ὁ δικαστὴς ἀνίσταται, ἀλλ' ἡνίκα "Κέϊνον πίνια πολλά," ὅστι βραδύνει πλέον τί. Καὶ ἄλλως δὲ οὐ πιθανὸν ὧν ὑπόκειται τῷ παναγίῳ τὸν ὑπαλλαγὴν, εἰ περὶ ἀπροσπαθῆναι φαλὸν, καὶ αὐτάρκη τὸν ποιητὴν πολλῷ μείζονα παρίστασιν. *Strabo, Geograph. lib.* I. *pag.* 75. *al.* 44.

Κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
Τῆμος δὴ τά γε δοῦρα Χαρύβδιος ἐξεφαάνθη.
Ἦκα δ' ἐγὼ καθύπερθε πόδας καὶ χεῖρε φέρεσθαι,
Μέσσῳ δ' ἐνδούπησα παρὲξ περιμήκεα δοῦρα,
Ἐζόμενος δ' ἐπὶ τοῖσι διήρεσσα χερσὶν ἐμῇσι.
Σκύλλην δ' οὐκ ἔτ' ἔασε πατὴρ ἀνδρῶν τε θεῶν τε
Εἰσιδέειν· οὐ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον.
Ἔνθεν δ' ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ
Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί· ἔνθα Καλυψὼ
Ναίει ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα·
Ἣ μ' ἐφίλει τ', ἐπόμει τε. Τί τοι τάδε μυθολογεύω;
Ἤδη γάρ τοι χθιζὸς ἐμυθεόμην ἐνὶ οἴκῳ
Σοί τε καὶ ἰφθίμῃ ἀλόχῳ· ἐχθρὸν δέ μοι ἐστὶν,
Αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν.

Judicans lites multas litigantium juvenum,
Tunc demum ligna ex Charybdi apparebant.
Demisi verò ego desuper pedes et manus, ut possem ferri;
In medium autem cum-sonitu-cecidi praeter praelonga ligna,
Sedensque super haec remigavi manibus meis.
Scyllam autem non ampliùs sivit pater hominumque deorumque
Aspicere me; non enim effugissem saevam mortem.
Hinc autem per-novem-dies ferebar: decimâ autem me nocte
Insulam in Ogygiam appulerunt dii; ubi Calypso
Habitabat comas-pulchra, veneranda dea vocalis;
Quae me amicè-excipiebat, fovebatque. Quid tibi haec enarro?
Jamjam etenim heri enarrabam in domo
Tibique et castae uxori: odiosum autem mihi est
Rursùs planè enarrata recensere.

Ver. 441. Τῆμος δὴ τά γε δοῦρα.] *Strabo*, loco jam suprà citato, legit; Καὶ τότε δὴ μοι δοῦρα &c.

Ver. 443. —— ἐνδούπησα παρὲξ περιμήκεα δοῦρα.] Παρὰ μὲν γὰρ τοῖς ξύλαις ἐγγὺς ἰδούσησιν Ὀδυσσεὺς, ἵζω μέντοι αὐτὸν, καὶ οὐκ ἐπ' αὐτοῖς, ἦγουν ἄνω αὐτῶν, ἵνα μὴ προσαρμαχθεὶς αὐτοῖς, βλαβῇ. *Eustath.*

Ver. 444. —— διήρεσα χερσὶν ἐμῇσι.] —— ταῖς χερσὶ μου διανῃξάμην. *Schol.*

Ver. 445. —— οὐκ ἔτ' ἔασε.] *Barnesius* ob *Metrum*, scribendum contendit οὐκ ἔτ' ἔασσε. Sed minùs rectè. Vide ad *Il.* γ, 42. *Al.* οὐκ εἴασε.

Ibid. —— πατὴρ ἀνδρῶν τε θεῶν τε.]

—— Divûm pater, atque hominum Rex. *Æn.* I, 65.

—— hominum sator atque Deorum. *Æn.* XI, 725.

Ver. 446. Εἰσιδέειν· οὐ γάρ.] *Barnesius* legendum conjicit Εἰσιδέειν μ'· οὐ γάρ. Sed nihil opus.

Ver. 447. Ἔνθεν δ' ἐννῆμαρ φερόμην.] Vide suprà ad ε, 253.

Ver. 448. —— πέλασαν.] *Al.* ἔδυσαν.

Ver. 452. —— ἰχθρὸν δέ μοι ἐστὶν, Αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν.] Ἐξ οὗ δῆλον, ὅτι οὐδαμία τῶν παρ' Ὁμήρῳ διατελογιῶν ἀχρεία, οὐδὲ μάτην ἐπ' ἀδολεσχίᾳ παρεμβέβληται. *Eustath.* Τῶν δὲ περὶ τοῦ Παιπτοῦ λεγομένων ἐλαθέστατον ἐστὶν, ὅτι μόνος Ὅμηρος τῆς τῶν ἀνθρώπων ἀψιμαχίας περιγέγονεν, διὰ παντὸς ὢν, καὶ πρὸς χάριν ἀπραάζων. Ἀλλ' ὅμως ὑστὸν καὶ ἀναφανόντας ἐκεῖνο περὶ αὐτοῦ, τὸ, " ἰχθρὸν δέ μοι " ἐστὶν Αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν," φεύγει καὶ φοβεῖται τὸν ἐφιδεύοντα πανταχοῦ λόγῳ κόρον, εἰς ἄλλα ἐξ ἄλλων διαγράφοντα τὴν ἀκοὴν ἄγων, καὶ τῇ καινότητι τὴν κλησμονὴν αὐτῆς παραμυθούμενος. *Plutarch.* περὶ Ἀδολεσχίας. Porrò hinc *Ammianus Marcellinus*: " Ad " ea, quæ digesta sunt semel, revolvi super- " fluum duxi; ut Ulixes Homericus apud " Phæacas ob difficultatem nimiam repli- " care formidat." *Lib.* XXVII. *cap.* 8.

Ver. 453. Αὖτις.] Apud *Plutarchum*, Αὐθις.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἡ ΓΡΑΜΜΑ, Ν'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ν'.

ΚΟΙΜΩΜΕΝΟΝ Ὀδυσσέα, μετὰ τῶν δώρων, ἐκτιθέασιν οἱ Φαίακες εἰς τὴν γῆν τῶν Ἰθακησίων· καὶ τὴν μὲν ναῦν αὐτῶν ὑποστρέφουσαν, λίθον ποιεῖ Ποσειδῶν· Ἀθηνᾶ δὲ ἐπὶ τῷ αἰγιαλῷ Ὀδυσσεῖ συμβουλεύει περὶ τῆς μνηστηροφονίας· καὶ τὰ χρήματα ἐν τινὶ σπηλαίῳ ἀποκρύπτει, καὶ εἰς γέροντα μεταμορφοῖ τὸν Ὀδυσσέα.

Ἐπιγραφαί.

Ὀδυσσέως ἀπόπλους παρὰ Φαιάκων, καὶ ἄφιξις εἰς Ἰθάκην.

Ἄλλως.

Νῦν, Ἰθάκης ἐπίβη, Φαιήκων πομπῇ, Ὀδυσσεύς.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε·
Ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκευ ἐμὸν ποτὶ χαλκοβατὲς δῶ
Ὑψερεφὲς, τῷ σ' οὔτι παλιμπλαγχθέντα γ' οἴω
Ἄψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
Ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω,

Sic dixit: illi autem omnes muti facti sunt silentio;
Oblectationeque tenebantur per aedes umbrosas.
Huic autem vicissim Alcinous respondit, dixitque:
" O Ulysses, quandoquidem venisti meam ad aeratam domum
" Altam, ideò te haud retrorsùm-jactatum puto
" Retrò rediturum, et si valdè multa passus es.
" Vestrúm autem viro unicuique praecipiens haec dico,

Ver. 2. Κηληθμῷ.] Θέλξει, τέρψει πάλησις γάρ ἐστιν ἡ δὲ ψδὴ τέρψις, καὶ ἡδονή. *Schol.* Vide suprà ad λ', 333.

Ver. 4. —— ἵκεν.] *Al.* ἧκες.

Ibid. —— χαλκοβατὲς δῶ.] Ἤτοι χαλκοῦν ἔδαφος ἔχον ἢ χαλκοῦς ἔχον τοὺς βαθμοὺς τῶν θυρῶν. *Schol.* Vide autem ad *Il.* ά, 426.

Ver. 5. Ὑψερεφὲς.] *Al.* Ὑψιρεφὲς.

Ibid. —— γ'.] Particulam hanc omittunt Codices nonnulli.

Ver. 7. —— ἐφιέμενος τάδε εἴρω.] Μετὰ προθυμίας τάδε λέγω. *Schol.*

Ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
Αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ·
Εἵματα μὲν δὴ ξείνῳ εὐξέστη ἐνὶ χηλῷ
Κεῖται, καὶ χρυσὸς πολυδαίδαλος, ἄλλα τε πάντα
Δῶρ', ὅσα Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
Ἀλλ' ἄγε, οἱ δῶμεν τρίποδα μέγαν, ἠδὲ λέβητα,
Ἀνδρακάς· ἡμεῖς δ' αὖτε ἀγειρόμενοι κατὰ δῆμον
Τισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι·
Ὣς ἔφατ' Ἀλκίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,

" Quotcunque in sedibus honorarium generosum vinum
" Semper bibitis meis, auditisque cantorem:
" Vestes quidem jam hospiti benè-politâ in arcâ
" Jacent, et aurum arte-elaboratum, aliaque omnia
" Dona, quaecunque Phaeacum senatores huc attulerunt:
" Verùm age, ei demus tripodem magnum, et lebetem,
" Viritim; nos autem rursùs congregati in populo
" Rependemus: grave enim uni *fuerit* de-suo-totum praebere."
Sic dixit Alcinous: illis verò placebat sermo.
Ii quidem decubituri abierunt domum unusquisque.
Quando autem manè-genita apparuit rosea-digitos Aurora,

Ver. 8. —— *γερούσιον.*] Τὸν τοῖς ἐντίμοις δεδόμενον. *Schol.*

Ver. 11. —— *χρυσὸς πολυδαίδαλος.*] Ὁ ποικίλος, καὶ μετὰ τέχνης κατεσκευασμένος· ἢ ὡς τὸ δαιδάλλεσθαι καὶ ποικίλλεσθαι ὕβριστος. *Schol.* Posteriori modo explicat *Eustathius*: Ὅτι χρυσὸν πολυδαίδαλον Ἀλκίνοος ἐνταῦθα λέγει τὸν ἀργὸν καὶ ἀνατέρυστον, καὶ εἰς πολλὰ δαιδάλλεσθαι ἐπιτηδειον· τοιοῦτος δὲ ὁ τῶν ταλάντων, ἃ φάσκας ἴλαβεν (suprà Σ', 392.) ἐκ τῶν Φαιάκων Ὀδυσσεύς.

Ver. 12. —— *ἴσχαν.*] *Al.* ἴσχανε.

Ver. 13. —— *τρίποδα μέγαν, ἠδὲ λέβητα.*] *Eustathius* in commentario legit ἠδὲ λέβητα. Ἐστέον δὲ (inquit) ὅτι ἐν ἀκαφεῖ παραβύψας τὸ "τρίποδα, ἠδὲ λέβητα," οὐ διαφόρως τὸν εἶτε αὐτὸν εἶτε ἕτερον γίγνεσθαι —— εἰ μὴ ἄρα γράψοι τις καὶ ἐνταῦθα "τρίποδα μέγαν, ἠδὲ "λέβητα," —— ὃ κρεῖττον· φέρεται γὰρ καὶ τοιαύτη γραφὴ ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων. Cui posteriori lectioni favet quod occurrit infrà *ver.* 217.

Ὣς εἰπὼν, τρίποδας στιβαλλίδας, ἠδὲ λέβητας
Ἡείρομεν &c.

Ver. 14. Ἀνδρακάς.] Κατὰ ἄνδρα· ἵνα μὴ τὸ "τρίποδα μέγαν, ἠδὲ λέβητα" ἐπὶ ἑνὸς μόνου τρίποδος καὶ ἑνὸς λέβητος νοηθῇ, ἀλλὰ ἑνὸς κατὰ ἕκαστον ἄνδρα, ἡμῶν δηλαδὴ τῶν δικαστῶν βασιλέων ——. Τινὲς δὲ τῶν ἀντιγράφων ἔχουσιν, "Ἄνδρα καθ' ἕξ." *Eustath.*

Ibid. —— *αὖτε ἀγειρόμενοι.*] *Barnesius* edidit, *αὖτις ἀγειρόμενοι.*

Ibid. —— *ἀγειρόμενοι κατὰ δῆμον.*] *Eustathius* vocem *ἀγειρόμενοι* sensu *activo* accipit, et ad dona jam suprà memorata referri intelligit. Ἰσέον δὲ ὅτι τὸ, ὡς ἰρῆϊθι, ἀγείρει ἐκ τοῦ δήμου τὰ δωρηθέντα, σημειοσεισεὶς μὲν, ἴδιος δὲ ὅμως σχολιὸς, κατὰ τὰς λεγομένας συνθέσεις καὶ διανομάς. Atque hanc interpretationem secutus *Barnesius* in versione reddit, "*colligentes per populum.*" Sed minùs rectè. Nam *ἀγείρομαι* semper apud *Homerum* sensu *passivo* usurpatur. Vidè infrà ad π', 390. ρ', 379.

Ver. 15. Τισόμεθ'.] Vide ad *Il.* χ', 19. 20. Τὸ δὲ "τισόμεθα" οἱ μὲν Παλαιοὶ φασὶν, τίσασθαι ἐκτίσομεν· τὸ γὰρ ἐκ τοῦ δήμου ἀγειρθὲν τοῖς βουληφόροις ἀποδεήσεται ὑπὲρ οὗ ἄρτι διδόμεν τῷ Ὀδυσσεῖ. *Eustath.* Vide autem suprà ad *ver.* 14.

Ibid. —— *ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι.*] Καλιστὸν γὰρ καὶ ἀδύνατον, ἵνα δωρεὰν τοσαύτην χαρίσασθαι. *Schol.* Ὅτι δὲ προῖκα οἱ Παλαιοὶ τὴν δωρεὰν ἔλεγον, καὶ ὅτι ἐκ τοῦ κατὰ προῖξασθαι αὐτὴν παρῆγον, δηλοῦται καὶ ἀλλαχοῦ· —— ἐμμηνιθίη δ' ἂν καὶ χάρις, ἡ προῖξ ὡς δηλοῖ τὸ "προικὸς χαρίσασθαι." Ἀττικὸς δὲ ἀνὴρ οὕτω φράζει· τὸ γὰρ κοινότερον, "προῖκα "χαρίσασθαι." Ἑλλιστικῶς δὲ καὶ ἄμφω ἔχει· ἐστὶ γὰρ τὸ μὲν, διὰ προικὸς, τὸ δὲ, κατὰ προῖκα. Τὸ μέντοι ἐπὶ γαμηλίου δώρου τὴν προῖκα τιθέσθαι, τῶν μεθ' Ὁμηρον ἐστίν. *Eustath.*

Νῆ' ἄρ' ἐπεσσεύοντο, φέρον δ' εὐήνορα χαλκόν·
Καὶ τὰ μὲν εὖ κατέθηκ' ἱερὸν μένος Ἀλκινόοιο,
Αὐτὸς ἰὼν διὰ νηὸς, ὑπὸ ζυγὰ, μή τιν' ἑταίρων
Βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ' ἐρετμοῖς.
Οἱ δ' εἰς Ἀλκινόοιο κίον, καὶ δαῖτ' ἀλέγυνον.
Τοῖσι δὲ βοῦν ἱέρευσ' ἱερὸν μένος Ἀλκινόοιο
Ζηνὶ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει·
Μηρὰ δὲ κείαντες δαίνυντ' ἐρικυδέα δαῖτα
Τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Δημόδοκος, λαοῖσι τετιμένος· αὐτὰρ Ὀδυσσεὺς
Πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωντα,
Δῦναι ἐπειγόμενος· δὴ γὰρ μενέαινε νέεσθαι.
Ὡς δ' ὅτ' ἀνὴρ δόρποιο λιλαίεται, ᾧτε παννύμαρ
Νειὸν ἀνέλκηται βόε οἴνοπε πηκτὸν ἄροτρον,

Ad navem deinde properabant, ferebantque viros-honestans aes:
Et haec quidem benè deposuit sacra vis Alcinoi,
Ipse profectus per navem, sub transtris, nè aliquem sociorum
Laederent impellentium, quando incumberent remis.
Illi autem ad Alcinoi *domum* iverunt, et convivium curabant.
Horum autem gratiâ bovem mactavit sacra vis Alcinoi
Jovi atrarum-nubium-coactori Saturnio, qui omnibus imperat.
Femoribus autem assatis, celebrabant lautum convivium
Oblectantes-sese: inter ipsos verò canebat divinus cantor
Demodocus, populis honoratus: at Ulysses
Saepè ad Solem caput vertebat splendentem,
Ut-occideret expetens; jamdudùm enim copiebat reverti.
Sicut autem cùm vir coenam concupiscit, cui toto-die
Per novale traxerunt boves nigri compactile aratrum;

Ver. 19. Νῆ' ἄρ' ἐπεσσεύοντο.] *Al.* Νῆά γ' ἐπεσσεύοντο, et Νῆαδ' ἐπεσσεύοντο.

Ibid. —— εὐήνορα χαλκόν.] De voce εὐήνορα, mirè *Plutarchus*: Καὶ τοὺς γε διαφέροντας ἐν τοῖς χαλκευχίοις ἰσοροθοῦσιν ὠφελοῦσθαι τὰ ὄμματα, καὶ βλιφαρίδας ἰαφύειν τοὺς ἀποβεβληκότας. Ἡ γὰρ ἀτμοῦσα τῆς χαλκίτιδος ἄχνη, καὶ στίφουσα τοῖς βλιφάροις ἀδήλως, ἀποστίλλει τὰ ῥύματα, καὶ στερεοῖ τὸ δάκρυον. Διὸ καὶ φασὶν "εὐήνορα" καὶ "νάρσιπα" χαλκὸν ὑπὸ τοῦ Ποιητοῦ προσαγορεύεσθαι. *Symposiac. lib.* III. *Probl.* 10. sub fine. Quæ Latinè sic vertit *Macrobius*: "Qui in metallo æris "morantur, semper oculerum samitate pol- "lent; et quibus antè palpebræ nudatæ fu- "erant, illic convestiuntur. Aura enim "quæ ex ære procedit, in oculos incidens, "haurit et exsiccat quod malè influit. Un- "dè et Homerus modò εὐήνορα, modò νάρσι- "πα χαλκὸν, has causas secutus, appellat." *Saturnal. lib.* VII. *cap.* 16.

Ver. 21. —— ὑπὸ ζυγά.] Τὰ πρὸς ταῖς παλίδραις τῶν ἱστῶν. *Schol.*

Ver. 25. —— ὃς πᾶσιν ἀνάσσει.] —— qui res hominumque Deûmque Æternis regis imperiis ——. *Æn.* I, 229. —— rerum cui summa potestas. X, 100.

Ver. 26. —— κείαντες.] *Al.* πήξαντες.

Ver. 29. Πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε.] Illi ad surgentem conversi lumina Solem. *Æn.* XII, 172.

Ibid. —— τρέπε.] *Al.* τρέπεν. Minùs rectè. Vide ad *Il.* ν, 84.

Ver. 30. Δῦναι ἐφυγόμενος.] Fuerunt, notante *Merico Casaubono*, qui hoc interpretarentur, "*Conscendere navem properans.*" Ipse autem, "Quanto elegantius," inquit, "ut δῦναι in propriâ significatione de oc- "casu Solis accipiamus? *De nuperâ Homeri Edit. Dissertat.* I. Atque hanc veram esse interpretationem liquet ex sequentibus *ver.* 33. 35. Priori autem sensu vox δῦναι (ut opinor) accipi non potest.

Ver. 32. —— ἀνέλκηται.] *Al.* ἀν' ἕλκηται.

Ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο,
Δόρπον ἐποίχεσθαι, βλάβεται δέ τε γούνατ' ἰόντι·
Ὡς Ὀδυσῆι ἀσπαστὸν ἔδυ φάος ἠελίοιο.
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος φάτο μῦθον·
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Πέμπετέ με σπείσαντες ἀπήμονα· χαίρετε δ' αὐτοί·
Ἤδη γὰρ τετέλεσται, ἅ μοι φίλος ἤθελε θυμός,
Πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες
Ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἶκοι ἄκοιτιν
Νοστήσας εὕροιμι, σὺν ἀρτεμέεσσι φίλοισιν.
Ὑμεῖς δ' αὖθι μένοντες ἐϋφραίνοιτε γυναῖκας
Κουριδίας, καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσειαν
Παντοίην· καὶ μήτι κακὸν μεταδήμιον εἴη.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο·
Ποντόνοε, κρητῆρα κερασσάμενος, μέθυ νεῖμον
Πᾶσιν ἀνὰ μέγαρον· ὄφρ' εὐξάμενοι Διὶ πατρὶ,

Optatò autem huic occidit lumen Solis,
Ad-coenam ut-eat; affliguntur verò genua eunti:
Sic Ulyssi gratum occidit lumen Solis.
Statim autem inter Phaeaces remigii-studiosos locutus est,
Alcinoo autem maximè orationem-dirigens dixit sermonem:
" Alcinoë rex, omnium clarissime populorum,
" Mittite me, postquam-libaveritis, illaesum; Valete autem ipsi;
" Jam enim perfecta-sunt, quae mihi charus volebat animus,
" Deductio et chara dona, quae mihi Dii coelestes
" Fortunata faciant: eximiam autem domi uxorem
" Reversus inveniam, cum incolumibus amicis.
" Vos autem hìc manentes oblectetis uxores
" Quas-virgines-duxistis, et liberos; Dii verò virtutem dent
" Omnigenam; et nè quod malum publicum sit."
Sic dixit: illi verò omnes collaudabant, et jubebant
Dimitti hospitem, quòd decentèr locutus esset.
Atque tum praeconem allocuta est vis Alcinoi:
" Pontonoë, cratere mixto, merum distribue
" Omnibus in domo; ut precati Jovem patrem,

Ver. 44. —— γυναῖκας Κουριδίας.] Τὰς ἐν παρθενίαις γιγαμμένας. *Schol.*

Cui pater intactam dederat, primisque jugârat
Ominibus ——————. *Æn.* I, 345.

Ver. 45. —— ἀρετὴν ἐπάσειαν Παντοίην.] Ἀρετὴν δὲ πανσείαν τὴν εὐδαιμονίαν λέγει. *Eustath.*

Ver. 46. —— μήτι κακὸν μεταδήμιον εἴη.] Sic apud *Terentium*:

Haud citò mali quid ortum ex hoc sit publicè. *Adelph. Act.* III. *Scen.* iii. 89.

Ver. 51. —— μίγαρον ὄφρ'.] *Barnesius*, haud ignarus quâ ratione ultima vocis μίγαρον producatur, malè tamen annotat; " Potest *Iambus* ferri in *Tertio* loco, ut mox " in *Quarto*, *ver.* 136. Χαλκόν τε, χρυσόν τε " ἅλις, ἐσθῆτά θ' ὑφαντήν." Id quod in hujusmodi carmine ferri (ut opinor) non potest. Vide ad *Il.* ε, 51.

Τὸν ξεῖνον πέμπωμεν ἐὴν ἐς πατρίδα γαῖαν.
Ὣς φάτο· Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα·
Νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν
Ἔσπεισαν μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Αὐτόθεν ἐξ ἑδρέων· ἀνὰ δ' ἵστατο δῖος Ὀδυσσεὺς,
Ἀρήτῃ δ' ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον,
Καί μιν φωνήσας ἔπτα πτερόεντα προσηύδα·
Χαῖρέ μοι, ὦ βασίλεια, διαμπερὲς, εἰσόκε γῆρας
Ἔλθῃ, καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι τέλονται.
Αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ οἴκῳ,
Παισί τε, καὶ λαοῖσι, καὶ Ἀλκινόῳ βασιλῆϊ.
Ὣς εἰπὼν, ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς.
Τῷ δ' ἅμα κήρυκα προΐει μένος Ἀλκινόοιο,
Ἡγεῖσθαι ἐπὶ νῆα θοὴν, καὶ δῖνα θαλάσσης·
Ἀρήτη δ' ἄρα οἱ δμωὰς ἅμ' ἔπεμπε γυναῖκας·
Τὴν μὲν, φᾶρος ἔχουσαν ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,

" Hospitem dimittamus suam in patriam terram."
Sic dixit: Pontonous verò dulce vinum miscebat;
Distribuit deinde omnibus astando: illi autem Diis
Libárunt beatis, qui coelum latum habitant,
Indidem ex sedibus: surrexit verò nobilis Ulysses,
Aretaeque in manibus posuit poculum rotundum,
Χωόμενος, ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
Ἀλλ' ἄγε, τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν, ἁλίοιο γέροντος·
Ἤδε δ' ἐπὶ πρατὸς λιμένος τανύφυλλος ἐλαίη·
Ἀγχόθι δ' αὐτῆς ἄντρον ἠπήρατον, ἠερόεσσα,
Ἱρὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται·
Τοῦτο δέ τοι σπέος εὐρὺ κατηρεφὲς, ἔνθα σὺ πολλὰς
Ἕρδεσκες Νύμφῃσι τελήεσσας ἑκατόμβας·
Τοῦτο δὲ Νήριτον ἐστὶν ὄρος, κατατείμενον ὕλῃ.

" Tibi verò nondum gratum est scire, neque exquirere,
" Priusquam tuae uxoris periculi quid feceris, quae tibi incassùm
" Sedet in aedibus; luctuosae verò ei semper
" Pereunt noctes et dies lachrymas-fundenti.
" At ego de-hoc quidem nunquam diffidebam, sed in animo
" Sciebam, quòd rediturus esses, amissis omnibus sociis:
" Sed sanè nolui Neptuno obsistere
" Patruo, qui iram adversus-te induxit in-animum,
" Iratus, quòd ei filium dilectum excaecâsti.
" Verùm age, tibi ostendam Ithacae sedem, ut credas.
" Phorcynis quidem hic est portus, marini senis:
" Haec autem in vertice portûs patula oliva:
" Prope verò ipsam antrum amabile, obscurum,
" Sacrum Nympharum, quae Naïades vocantur:
" Haec autem spelunca lata, convexa, ubi tu multas
" Sacrificabas Nymphis perfectas hecatombas:
" Hic autem Neritus est mons, vestitus sylvâ."

Ver. 336. Περὶν γέ τι.] *Al.* Περὶν γ' ἴτι.

Ver. 341. Ἀλλά τοι οὐκ ἐθέλησα.] Vide suprà ad ζ', 329.

Ver. 342. —— χόλον.] *Al.* κότον.

Ver. 345. Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμήν.] Ὅρα δ' ἐν τούτοις, καὶ ὅπως ἐπίστησε γραφόντως ὁ Ποιητὴς ἐν ὀλιγίστῳ τὰ περὶ μικρῶν πλατύτερον ἐκφανθέντα περί τε τοῦ λιμένος καὶ τῶν κατ' αὐτὸν. *Eustath.* Vide suprà ad *ver.* 96. item ad μ', 452.

Ver. 347. 348. Ἀγχόθι δ' αὐτῆς ἄντρον, &c.] Desunt hi duo versus in nonnullis Exemplaribus, notante *Eustathio*. Et, propter sequentia " Τοῦτο δέ τοι σπέος εὐρὺ, &c." sine sententiae dispendio omitti possunt. Nec non verisimile eos ex *ver.* 103. 104. suprà huc irrepsisse.

Ver. 349. —— σπέος εὐρύ.] *Al.* σπέος ἐστί. Atque ita in commentario citat *Eustathius*.

Ver. 350. Ἕρδεσκες.] *Sacrificare solebas* —. Vide ad *Il.* ά, 37. et γ', 84.

Ver. 351. —— Νήριτον.] Ὄρος Ἰθάκης, ἀντικρὺ τῆς Ἠπείρου. *Schol. Al.* Νήριτον. Vide suprà ad ί, 21.

Ibid. —— κατατείμενον ὕλῃ.]

—— sylvis scena coruscis
Desuper, horrentique atrum nemus imminet umbrâ. *Æn.* I, 164.

Ὡς εἰποῦσα θεὰ σκέδασ' ἠέρα· εἴσατο δὲ χθών·
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεὺς,
Χαίρων ἦ γαίῃ· κύσε δὲ ζείδωρον ἄρουραν·
Αὐτίκα δὲ Νύμφης ἠρήσατο χεῖρας ἀνασχών·
Νύμφαι Νηϊάδες, κοῦραι Διος, οὔποτ' ἔγωγε
Ὄψεσθ' ὔμμ' ἐφάμην· νῦν δ' εὐχωλῆς ἀγανῆσι
Χαίρετ'· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τοπάρος περ,
Αἴκεν ἐᾷ πρόφρων με Διὸς θυγάτηρ ἀγελείη
Αὐτόν τε ζώειν, καί μοι φίλον υἱὸν ἀέξῃ.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Ἀλλ' ἄγε, χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
Θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνῃ·
Αὐτοὶ δὲ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Ὡς εἰποῦσα θεὰ δῦνε σφέος ἠεροειδὲς,
Μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
Ἄσσον πάντ' ἐφόρει, χρυσὸν καὶ ἀτειρέα χαλκὸν,
Εἵματά τ' εὐτοίητα, τά οἱ Φαίηκες ἔδωκαν·
Καὶ τὰ μὲν εὖ κατέθηκε· λίθον δ' ἐπέθηκε θύρῃσι

Sic fata Dea dissipavit nebulam; apparuit autem terra:
Laetatusque est deinde patiens nobilis Ulysses,
Gaudens suâ terrâ; osculatus est autem almam tellurem:
Statimque Nymphis supplicavit manibus sublatis:
" Nymphae Naïades, filiae Jovis, nunquam ego
" Visurum *me* vos putabam: nunc verò votis blandis
" Salvete: at et dona dabimus, sicuti anteà scilicet,
" Si sinat lubens Jovis filia praedatrix
" Ipsumque me vivere, et mihi charum filium auctet."
Hunc autem rursùs allocuta est dea caesia-oculis Minerva:
" Confide, nè tibi haec in mente tuâ curae-sint.
" Sed age, bona quidem in recessu antri divini
" Ponamus statim nunc, ubi utique haec tibi salva maneant:
" Ipsi autem consultemus, quo-pacto quàm optimè fiat."
Sic locuta Dea ingrediebatur specum obscurum,
Explorans latibula per specum: at Ulysses
Propiùs omnia portabat, aurum et indomitum aes,
Vestimentaque benè-elaborata, quae ei Phaeaces dederant:
Et haec quidem benè deposuit; lapidem verò imposuit foribus

Ver. 355. Αὐτίκα δέ.] *Barnesius*, minimè ignarus quâ ratione vocula δέ producatur, ex conjecturâ tamen edidit Αὐτίκα δή. Atque ita " multò meliùs" hìc legendum contendit. Immò verò ad sententiam minùs rectè. Vide autem ad *Il.* ά, 51.

Ver. 360. —— ἀέξῃ.] *Al.* ἀέξει, et ἀέξειν.

Ver. 363. —— μυχῷ ἄντρου.]

—— spelunca —— vasto submota recessu.
Æn. VIII, 193.

Ver. 365. Αὐτοὶ δὲ φραζώμεθ'.] Καὶ Ὀδυσσεὺς σωτῆ αὐτοῦ, ὡς ἡ φρόνησις ἀκλαδὴ αὐτῷ νοῆσαι ὑπίζηλε. *Eustath.*

Ibid. —— ὅπως ὄχ' ἄριστα γένηται.] *Al.* ὅπως ἔσται τάδε ἔργα.

Ver. 366. —— ἠεροειδὲς.] Νῦν (inquit *Scholiastes*) κακῶς ἀέρα ἔχον. Minùs rectè.

Ver. 369. —— τά οἱ Φαίηκες ἔδωκαν.] *Al.* τά οἱ Φαίηκες ἀγαυὸ Ἀλκινόου, &c. Ut suprà *ver.* 120. 305.

Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο.
Τὼ δὲ καθιζομένω ἱερῆς παρὰ ῥιζόθι ἐλαίης,
Φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
Τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Φράζευ, ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσῃς,
Οἵ δή τοι τρίετες μέγαρον κατακοιρανέουσιν,
Μνώμενοι ἀντιθέην ἄλοχον, καὶ ἕδνα διδόντες·
Ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν,
Πάντας μέν ῥ' ἔλπει, καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
Ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾷ.
Τὴν δ' ἀκαμαντόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρείδαο
Φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον,

Pallas Minerva, filia Jovis Aegiochi.
Hi autem sedentes sacrae ad radicem olivae,
Moliebantur procis insolentibus exitium.
Inter hos verò sermonem exordiebatur dea caesia-oculis Minerva:
" Generose Laërtiade, prudens Ulysses,
" Considera, quomodo procis impudentibus manus inferas,
" Qui jam tibi per-triennium in domo dominantur,
" Ambientes eximiam uxorem, et sponsalia dantes:
" Illa autem, tuum semper reditum cum-fletu-desiderans in animo,
" Omnibus quidem spem-dat, et pollicetur viro unicuique,
" Nuncios mittens; mens autem ei alia versat."
Hanc autem respondens allocutus est prudens Ulysses:
" Papae! profectò omninò jam Agamemnonis Atridae
" Periturus malo fato in aedibus eram,

Ver. 372. —— *ἱερῆς παρὰ ῥιζόθι ἐλαίης.*] Ὅτι ἱερὰν τὴν περιφήμισεν ἐλαίαν λέγει καὶ δι' ἄλλας μὲν αἰτίας, μάλιστα δὲ διὰ τὸ μυθικῶς, καθὰ καὶ ἀλλαχοῦ ἐδηλώθη, ἀνιερῶσθαι αὐτὴν τῇ Ἀθηνᾷ· διὸ καὶ σύνοις ἐνταῦθα βουλῆς ἡ συμπαρὰ αὐτῇ γίνεται, ὅτι Ὀδυσσεὺς τῇ Ἀθηνᾷ συμφράζεται. *Eustath.*

Ver. 377. —— *κατακοιρανέουσιν.*] *Al.* κατὰ κοιρανέουσιν.

Ver. 378. —— *καὶ ἕδνα διδόντες.*] Ὅτι καὶ ἐνταῦθα ἕδνα, τὰ ἐξ ἀνδρῶν πρὸς γυναῖκα. Φησὶ γὰρ ὅτι τρίτης ἤδη οἱ μνηστῆρες μνῶνται τὴν Πηνελόπην, καὶ ἕδνα διδόντες. *Eustath.*

Ver. 379. Ἡ δὲ σὸν αἰεὶ νόστον.]

Quam nequière Proci recte depellere cursu.
Horat. Serm. lib. II. v. *ver.* 78.

Ver. 383. —— Ἀγαμέμνονος Ἀτρείδαο Φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον.] Nempè nisi Minerva eum quæ facienda essent priùs edocuisset; suâ ipsius in domo, eodem atque Agamemnon fato, periturus fuisset. Quam sententiam (luculentam quidem satis et perspicuam) cùm non intellexerit *Spondanus*, mirè hæc annotat: " Quæri " autem potest, quale sit illud periculum, " quod se effugisse ope Minervæ refert, ex " aedibus Agamemnonis. An caedi Aga- " memnonis interfuit? Id sanè à Menelao, " suprà *lib.* IV. non memorabatur; sed ne- " que ipse Ulysses, *lib.* IX. narravit.—Re- " petenti ergò mihi quod suprà *lib.* III. [*ver.* " 162. *&c.*] à Nestore narrabatur, in illo " Graecorum dissidio circa profectionem à " Trojâ, Ulyssem in partes Agamemnonis " transiisse, et cum eo remansisse, disce- " dente nihilominùs Menelao et seipso; vi- " detur posteà Ulysses consilio Minervæ se- " orsim ab Agamemnone itineri se commi- " sisse. Alioqui non video quomodo hic " locus possit intelligi." Scilicet ad istud " Ἀγαμέμνονος Ἀτρείδαο," non " οἶτον" sed " μεγάροισιν" referri is arbitratus est; ut adeò Ulysses, non *Agamemnonis fato*, sed *Agamemnonis in aedibus* periturus fuisse dicatur.

Ver. 394. *Φίσσεθαι.*] *Al.* Πίσσεθαι.

Εἰ μή μοι σὺ ἕκαστα, θεὰ, κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἄγε, μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
Πὰρ δέ μοι αὐτὴ στῆθι, μένος πολυθαρσὲς ἐνεῖσα,
Οἷον, ὅτε Τροίης λύομεν λιπαρὰ κρήδεμνα.
Αἴκε μοι ὣς μεμαυῖα παραστᾶίης, Γλαυκῶπι,
Καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην,
Σύν σοι, πότνια θεὰ, ὅτε μοι πρόφρασσ' ἐπαρήγοις.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Καὶ λίην τοι ἔγωγε παρέσσομαι, οὐδέ με λήσεις,
Ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' ὀΐω
Αἵματί τ' ἐγκεφάλῳ τε παλαξέμεν ἄσπετον οὖδας,
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.

" Nisi mihi tu singula, dea, accuratè dixisses. 385
" Verùm age, consilium texe, quo-pacto ulciscar ipsos;
" Et mihi ipsa asta, animum valdè-audacem immittens,
" Qualem, quando Trojae solvebamus splendida moenia.
" Si mihi sic studiosa astares, caesia-oculis *Minerva*,
" Etiam adversus trecentos ego viros pugnarem, 390
" Tecum, veneranda dea, quando me prompto-animo adjuvares."
Huic autem respondit deinde dea caesia-oculis Minerva:
" Et omninò tibi ego adero, neque me latebis,
" Quandocunque demùm haec obeamus; atque aliquem puto
" Sanguineque cerebroque foedaturum immensum solum, 395
" Virorum procorum, qui tibi victum absumunt.

Ver. 388. Οἷον, ὅτε Τροίης.]

Εἰ γάρ σ' ὡς ἰδίλοι φιλέοιν γλαυκῶπις Ἀθήνη,
Ὡς τὸν σ' Ὀδυσσῆος περιπάντοτε κυδαλίμοιο,
Δάμῳ ἐν Τρώων, ἅδι κάσχομεν ἄλγε' Ἀχαιοί·
Οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλέοντας,
Ὡς πέρι σ' ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη.
Suprà γ', 218.

Ibid. —— λιπαρὰ κρήδεμνα.] Λιπαρὰ μὲν λέγων, ἀπτὰ τοὺς Παλαιούς, τὰ ἔνδηλα καὶ λαμπρά· εἰκὸς δὲ δαλοῦσθαι οὕτω καὶ τὰ εὐδείμονα στοᾶ. Κρήδεμνα δὲ μεταφορικῶς καὶ οὐ τὰς τῶν πύργων στεφάνας, καὶ λοιπὰς ἰσχάς. *Eustath.*

Ver. 390. Καί κε τριηκοσίοισιν.]

Σέφον γὰρ ἐν βούλευμα τὰς πολλὰς χέρας
Νικᾷ ——.
Euripides, citatus à Duporto, in Gnomologiâ ad hunc locum.

Ver. 391. Σύν σοι, πότνια θεά.] Τουτέστι μετὰ καὶ φρονήσεως· καθ' ἣν καὶ μάλιστα τῶν μνηστήρων περιεγίνετο. *Eustath.* Cæterùm pronuntiabatur vox θεὰ, ac si scriptum esset θᾶ. Vide ad *Il.* ά. 18. Editiones autem nonnullæ, notante *Barnesio*, habent πότνα θεά. Ut infrà ώ, 91.

Ibid. —— ὅτε μοι πρόφρασσ' ἐπαρήγοις.]

—— ὅτε οἱ πρόφρασσα παρίστης.
Iliad. κ', 290.

Ubi *Eustathius* vocem πρόφρασσα exponit, προμηθὴς, τὰ ἀπὸ ἰκμίνου φρασζομένη καὶ ἰθίλουσα. Minùs rectè. " Nec enim," uti annotat *Duportus* in *Gnomolog. Homeric.* ad hunc locum *Odysseæ*, " πρόφρασσα est πρόμηθης pro- " videns, prudens, sed πρόθυμος, πρόφρων, pro- " na, propensa."

Ver. 393. —— οὐδέ με λήσεις.] Vide suprà ad λ', 101.

Ver. 395. Αἵματί τ' ἐγκεφάλῳ τε παλαξέμεν ἄσπετον οὖδας.]

Ossaque dispergit cerebro permixta cruento.
Æn. X, 416.

—— et sparso latè rigat arma cerebro.
Æn. XII, 308.

Ἄσπετον δὲ οὖδας περιφρασεικῶς τὴν ἄπειρον λέγει, ἤ ἐστὶ τὴν ἀπλῶς γῆν· ἄλλως γὰρ πῶς ἄσπετος ἡ βραχεῖα καὶ εὐπερίγραπτος, καθ' ἣν οἱ μνηστῆρες περιεῖντο. *Eustath.* Quam explicationem rejiciens Dna. *Dacier*, "Ἄσπετον (inquit) ne signifie que *spacieuse*, *vaste*; " une salle, où tant de Princes faisoient leurs " banquets, pouvoit fort bien être appellée " *vaste*, ἄσπετος." Minùs rectè uterque. Poeta (ut opinor) per phrasin ἄσπετον οὖδας, ut per εὐρεῖα χθὼν et similia, nihil aliud quàm *Solum* in universum designare voluit. Quod tamen *Eustathium*, quidem non ex toto videtur fugisse, quum ait, ἤ ἐστὶ τὴν ἁπλῶς γῆν. Vide ad *Il.* σ'. 61.

Ἀλλ' ἄγε, σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι·
Κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος
Ἕσσω, ὅ κεν στυγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα·
Κνυζώσω δέ τοι ὄσσε, πάρος περικαλλέ' ἐόντε,
Ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανείης,
Σῇ τ' ἀλόχῳ, καὶ παιδὶ, τὸν ἐν μεγάροισιν ἔλειπες.
Αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
Ὅς τοι ὑῶν ἐπίουρος· ὁμῶς δέ τοι ἤπια οἶδε,
Παῖδά τε σὸν φιλέει, καὶ ἐχέφρονα Πηνελόπειαν.
Δήεις τόν γε σύεσσι παρήμενον· αἱ δὲ νέμονται
Πὰρ Κόρακος πέτρῃ, ἐπί τε κρήνῃ Ἀρεθούσῃ,
Ἔσθουσαι βάλανον μενοεικέα, καὶ μέλαν ὕδωρ

" Sed age, te incognitum faciam omnibus mortalibus:
" Arefaciam quidem cutem pulchram in flexilibus membris;
" Flavosque ex capite delebo crines; circúmque pallium
" Induam, quod aversetur conspicatus homo habentem:
" Deformabo etiam tibi oculos, anteà perpulchros existentes;
" Ut turpis omnibus procis apparens,
" Tuaeque uxori, et filio, quem in aedibus reliquisti.
" Ipse verò primùm subulcum adi,
" Qui tibi suùm custos; simulque tibi benè vult,
" Filiumque tuum diligit, et prudentem Penelopen.
" Invenies hunc utique suibus assidentem; hae verò pascuntur
" Apud Coracis petram, et ad fontem Arethusam,
" Comedentes glandem suavem, et nigram aquam

Ver. 397. —— *σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι.*] Πῶς οὖν ἡ Εὐρύκλεια γινώσκει; ἰστέον ἐκ τῆς οὐτῆς. *Schol.* Rectiùs *Eustathius*, citante *Barnesio*; Ἄγνωστος δὲ γίνεται πᾶσι, δίχα γε τῆς μαίας Εὐρυκλείας· φλὴν οὐδ' αὐτὴ ἐκ τοῦ εἴδους ἁπλῶς ἀναγνωρίζει τὸν Ὀδυσσέα, ἐκ τῆς κατὰ τὸν μηρὸν δὴ οὐλῆς, ὡς φανήσεται.

Ibid. —— *ἄγνωστον.*] Vide suprà ad *ver.* 190.

Ver. 400. —— *ὅ κεν στυγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα.*] *Al. ὅ κεν στυγέῃς τις ἰδὼν ἄνθρωπον ἔχοντα.*

Ver. 401. —— Κνυζώσω δέ τοι ὄσσε.] Ῥυσώσω, ἀσχετιῶ καὶ ῥυσὸν ποιήσω, ὀκνίοι εἶεν οἱ τῶν παθυνθόντων καὶ συμπλάσω, καὶ κακώσω. *Schol.*

Ver. 405. —— *ὁμῶς δέ τοι ἤπια οἶδε.*] Ἤγουν, ὁμοίως σοι τῷ Ὀδυσσεῖ, ἥτις ἐστὶ πρὸς τοὺς σούς. *Eustath.* Quæ explicatio (ut opinor) ferri non potest. Sensus istius "τοι ἤπια "οἶδε" reverà est; "*Erga te benè affectus* "est." Ut liquet ex *Odyss.* ὑ, 39. ubi *Minerva*, *Telemachum* alloquens, eâdem utitur phrasi: itemque ex ejusdem libri versu ultimo, ubi de *Subulco* dicitur:

—— ἀνέκτισεν ἤπια εἰδώς.

Vide et *Iliad.* σ', 73. Porrò Editiones vulgatæ hoc in loco habent ὅμως. Verùm cùm in iisdem Editionibus scriptum sit ὁμῶς, infrà ὑ, 39. ubi idem versus occurrit; cúmque ita etiam hîc in commentario legat *Eustathius*; utrobique ὁμῶς edidi.

Ver. 408. Πὰρ Κόρακος πέτρῃ.] Οὗτος ὁ Κόραξ κυνηγῶν, ἀπὸ τῆς πέτρας πεσών, ἐτελεύτησε· καὶ ἡ μήτηρ αὐτοῦ Ἀρέθουσα ἐανὴν ἀπήγασε. Ἀρέθουσαι δὲ τέσσαρες, ἐν Συρακούσῃ, ἐν Σμύρνῃ, ἐν Χαλκίδι, καὶ ἐν Ἴδῃ. *Schol.*

Ver. 409. Ἔσθουσαι βάλανον μενοεικέα, καὶ μέλαν ὕδωρ Πίνουσαι.] Παχύνεσθαι δὲ τὸν σῦν ἀκούω — πίνοντα ὕδωρ τεθολωμένον, — καὶ τρεφαῖς [καίουσα] ὅσαι φυσωδέστερόν τι εἰσὶ, καὶ ὑποκλήσαι δύνανται. Καὶ Ὁμηρος δὲ ἴσως ὑποδηλοῖ τοῦτο ἐνταῦθα ——. Ὅτι τῷ τεθολωμένῳ ὕδατι φιλίονται, φησὶ, "μέλαν ὕδωρ Πίνουσαι, "τό δ' ὑπερθε τρέφει τεθαλυῖαν ἀλοιφήν."—Τὸ δὲ φυσώδες αἰνίττεται τῆς τροφῆς, ὅταν λίγυι, "βάλανον μενοεικέα" ἐσθίωσι αὐτάς. *Ælian. de Animal. lib.* V. *cap.* 45. Quarum tamen observationum prior parùm rectè se habet; nam Epitheton "μέλαν" minimè aquam *turbidam*, τεθολωμένον, (uti vult *Ælianus*,) denotat; sed, ut liquet ex innumeris Poetæ locis, Omni Aquæ in universum tribuitur.

Πίνουσαι, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
Ἔνθα μένειν, καὶ πάντα παρήμενος ἐξερέεσθαι,
Ὄφρ' ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα,
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱόν, Ὀδυσσεῦ·
Ὃς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
Ἦλθε, πευσόμενος μετὰ σὸν κλέος, εἴπου ἔτ' εἴης.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Τίπτε τ' ἄρ' οὔ οἱ ἔειπες, ἐνὶ φρεσὶ πάντ' εἰδυῖα;
Ἦ ἵνα που καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
Πόντον ἐπ' ἀτρύγετον; βίοτον δέ οἱ ἄλλοι ἔδουσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω·
Αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο,
Κεῖσ' ἐλθών· ἀτὰρ οὔτιν' ἔχει πόνον· ἀλλὰ ἔκηλος
Ἧσται ἐν Ἀτρείδαο δόμοις, παρὰ δ' ἄσπετα κεῖται.
Ἦ μέν μιν λοχόωσι νέοι σὺν νηῒ μελαίνῃ,
Ἱέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι·
Ἀλλὰ τά γ' οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει

" Bibentes, quae scilicet suibus alunt florentem pinguedinem. 410
" Illic mane, et omnia assidens interroga,
" Dum ego ivero ad Spartam pulchris-mulieribus-abundantem,
" Telemachum accersitura, tuum dilectum filium, Ulysses;
" Qui in spatiosam Lacedaemonem ad Menelaum
" Abiit, sciscitaturus de tuâ famâ, sicubi adhuc esses." 415
Hanc autem respondens allocutus est prudens Ulysses:
" Et cur non ei dixisti, in mente omnia sciens?
" An ut alicubi et ille errans dolores patiatur
" Pontum super infructuosum? victum autem ei alii edunt."
Huic autem respondit deinde dea caesia-oculis Minerva: 420
" Nè jam tibi ille valdè curae-sit:
" Ipsa eum mittebam, ut famam bonam adipisceretur,
" Illuc profectus: quinetiam nullam habet molestiam; sed quietus
" Sedet in Atridae aedibus; copiosa autem *ei* adsunt.
" Profectò quidem ei insidiantur juvenes cum nave fligrâ, 425
" Cupientes interficere, antequam in patriam terram venerit:
" Sed ea scilicet non *futura* puto; priùs etiam aliquem terra detinebit

---

Ver. 410. Πίνουσαι.] Vide infrà ad π', 143.

Ver. 415. Ἦλθε, πευσόμενος μετὰ σὸν κλέος.] Ἐμφανίζει δὲ καὶ τὸ ἐν τοῖς φθάσασί σου [suprà *Odyss.* ά, 95. γ', 78.] γραφὲν περὶ Τηλεμάχου, " Ἦδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισι θείη," ὅ, διττὴν ἔχον ἐκεῖ ἔννοιαν, συγκροτεῖται ἐκ τῶν ἐνταῦθα. *Eustath.* Verùm liquet ex *ver.* 422. infrà, nullam ibi omninò esse ambiguitatem.

Ibid. —— εἶπου.] *Al.* ἤπου.

Ver. 417. Τίπτε τ' ἄρ'.] " *Et quamobrem* " *igitur* —— ?"

Ver. 419. —— ἴδωσι.] *Eustathius* in commentario citat, ἴδωσι.

Ver. 422. Αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο.] Vide suprà ad *ver.* 415. et ad ά, 95. et γ', 78.

Ver. 424. —— παρὰ δ' ἄσπετα κεῖται.] Ἤγουν παραπέπτωκε αὐτῷ πολλὰ εἰς τροφήν. *Eustath.*

Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ὣς ἄρα μιν φαμένη ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·
Κάρψε μέν οἱ χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
Πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος·
Κνύζωσεν δέ οἱ ὄσσε, πάρος περικαλλέ' ἐόντε·
Ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ·
Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἔσσ' ἐλάφοιο
Ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Τὼ γ' ὣς βουλεύσαντε διέτμαγον· ἡ μὲν ἔπειτα
Εἰς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος.

" Virorum procorum, qui tibi victum devorant."
Sic utique ipsum locuta virgâ tetigit Minerva:
Arefecit quidem ei cutem pulchram in flexilibus membris;
Flavosque ex capite delevit crines; circùm verò pellem
Omnibus membris antiqui posuit senis:
Deformavit porrò ei oculos, anteà perpulchros existentes:
Circum autem ipsum lacernam aliam malam jecit, et tunicam,
Laceras, squallentes, malo foedatas fumo:
Circumque ipsum magnam pellem velocis induit cervi
Depilem; deditque ei baculum et turpem peram,
Crebris-locis laceram: inerat verò tortum lorum.
Illi utique ita consilio-habito discesserunt: haec quidem deinde
In Lacedaemonem divinam ivit ad filium Ulyssis.

Ver. 428. Ἀνδρῶν μνηστήρων.] Deest hic versus in Codice uno à *Tho. Bentleio* collato.

Ver. 429. —— ἐπεμάσσατ'.] *Barnesius* edidit ἐπιμάσσατ'. Sed rationibus haud satìs idoneis. Vide ad *Il.* ε', 564.

Ver. 430. —— ἐνὶ.] *Al.* ἐπί.

Ver. 433. Κνύζωσεν δέ οἱ ὄσσε.] Vide suprà ad *ver.* 401.

Ver. 435. —— ῥυπόωντα.] *Al.* ῥυπόεντα.

Ibid. —— μεμορυγμένα.] *Al.* μεμορυχμένα.

Ver. 438. —— ἀορτήρ.] Ἐξ ὧν ἀπῆρτο, ὃ ἐστὶ, παρεκείμετο. *Schol.*

Ver. 439. —— διέτμαγον.] *Al.* διέτμαγεν. Ut *Il.* ά, 531.

Ibid. —— ἡ μὲν ἔπειτα Εἰς Λακεδαίμονα δῖαν ἔβη.] Redit hic Poeta (ut rectè notat Dna. *Dacier*,) undè digressus est, *Odyss.* δ', 624. cujus libri à fine, in novem deinceps sequentibus libris, quæcunque Ulyssi, à Trojæ excidio usque ad reditum ejus in Ithacam, acciderunt, omnia narrantur. " Et c'est en quoi (inquit eadem Dna. " *Dacier*) il faut admirer l'art du Poëte. " L'action de l'Odyssée étoit trop longue " pour être continuée naturellement et " tout du long —; c'est pourquoi Homere " a eu recours à l'ordre artificiel, en com- " mençant son Poéme par les incidents de " son action qui sont arrivez les derniers " selon les temps, et en rappellant ensuite " par la narration tous les autres qui ont " precedé." Vide ad *Il.* ά, 1. Notandum porrò (ut rectè observavit *Barnesius*,) connecti hæc cum sequentis libri initio, " Αὐ- " τὰρ ὁ ἐν λιμένος, &c." Quo magìs mireris eorum sententiam, qui Homerum hosce libros non uno consilio omnes conscripsisse, sed sparsim et singulatim compositos edidisse arbitrati sunt. Vide ad *Il.* ά, ipso statim initio. Cæterùm non malè conjicit *Barnesius* librum hunc in voce ἀορτὴρ desinere posse, sequentemque incipere, Τὼ γ' ὣς βουλεύσαντε &c.

Ver. 440. —— Λακεδαίμονα δῖαν.] Vide suprà ad δ', 1. et ί, 20.

FINIS TOMI PRIMI.

HOMERI ODYSSEA

GRÆCE ET LATINE.

EDIDIT,

ANNOTATIONESQUE,

EX NOTIS NONNULLIS MANUSCRIPTIS

A SAMUELE CLARKE, S.T.P.

RELICTIS,

PARTIM COLLECTAS, ADJECIT

SAMUEL CLARKE, S.R.S.

EDITIO QUINTA.

Τὴν Ὀδύσσειαν, καλὸν ἀνθρωπίνου βίου κάτοπτρον.
Alcidamas, apud Arist. Rhet. l. 3. c. 3.

TOM. II.

LONDINI:

IMPENSIS J. CUTHELL; J. NUNN; LAW & WHITTAKER; LONGMAN & SOC.; LACKINGTON & SOC.; ROBERTI SCHOLEY; J. MAWMAN; BALDWIN, CRADOCK & JOY; E. WILLIAMS; G. COWIE & SOC.:—EDINBURGI, BELL & BRADFUTE; DOIG & STIRLING;—ET EBORACI, WILSON & FIL.

MDCCCXV.

E Prelo Academico Edinensi.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ξ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ξ'.

ΞΕΝΙΣΜΟΣ Ὀδυσσέως γίνεται ἐν τῷ ἀγρῷ παρ' Εὐμαίῳ· καὶ ποικίλη τις ὁμιλία.

Ἄλλη ὑπόθεσις.

ΟΔΥΣΣΕΩΣ παρουσία πρὸς Εὔμαιον, καὶ λόγοι γίνονται, ἀναπλάττοντος ἑαυτὸν, καὶ πράξεις τινὰς ἐπιθυμίου.

Ἐπιγραφαί.

Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία.

Ἄλλως.

Ξεῖ δ' Ὀδυσῆα ξείνισεν Εὔμαιος ἀγρῷ ὑφορβός.

Αὐτὰρ ὁ ἐκ λιμένος προσέβη τρηχεῖαν ἀταρπὸν,
Χῶρον ἀν' ὑλήεντα δι' ἄκριας· ἦ οἱ Ἀθήνη

But he from the port entered upon a rough path,
A place through woody, through hills; where to him Minerva

Ver. 1. Αὐτὰρ ὁ ἐκ λιμένος προσέβη &c.] Laudat hic Poetam *Dionysius Halicarnassensis*, quòd sententiarum membra ita intersecuerit, periodosque ita disposuerit, ut ad orationem solutam quàm proximè accedat narratio. Τὸν δὲ βουλόμενον ἐν τούτῳ τῷ μέρει κατορθοῦν τὰ τῆς λέξεως μόρια, δεῖ πολυειδῶς συρίφιγγα τε καὶ συναρμόττειν, καὶ τὰ κῶλα ἐν διαστήμασι ποιεῖν συμμέτροις, μὴ συναναστιζουσα τοῖς στίχοις, ἀλλὰ διατέμνουσα τὸ μέτρον, ἄνισα τε ποιεῖν αὐτὰ καὶ ἀνόμοια· πολλάκις δὲ καὶ εἰς ῥήματα συνάγειν βραχύτερα κώλων, τάς τε περιόδους μήτε ἰσοσυγήθεις, μήτε ὁμοιοσχήμονας τὰς γοῦν παρακειμένας ἀλλήλαις ἐργαζέσθαι. Ἔγγιστα γὰρ φαίνεται λόγοις τὸ παρὰ τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα πεπλασμένον. — Αὐτὰρ "ὅγ' ἐκ λιμένος &c." *Dionys. Halicarn.* περὶ συνθέσεως § 26. Ubi de hoc loco fusiùs.

Ibid. — ὁ ἐκ.] Apud *Dionysium*, ὅγ' ἐκ.

Ibid. — τρηχεῖαν ἀταρπὸν, Χῶρον ἀν' ὑλήεντα] Οἷαν διὰ πλειόνων σημαίνει Κρανκὴν [τὴν Ἰθάκην] καλῶν *Strabo, Geograph. lib.* X. *pag.* 697. *al.* 454. Vide suprà ad *i.* 21.

Ibid. — τρηχεῖαν.] Vide ad *Il.* β', 633.

Πέφραδε δῖον ὑφορβὸν, ὅ οἱ βιότοιο μάλιστα
Κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.
Τὸν δ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον, ἔνθα οἱ αὐλὴ
Ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
Καλή τε, μεγάλη τε, περίδρομος· ἦν ῥα συβώτης
Αὐτὸς δείμαθ' ὕεσσιν, ἀποιχομένοιο ἄνακτος,
Νόσφιν δεσποίνης, καὶ Λαέρταο γέροντος,
Ῥυτοῖσιν λάεσσι, καὶ ἐθρίγκωσεν ἀχέρδῳ·
Σταυροὺς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
Πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσσας·
Ἔντοσθεν δ' αὐλῆς συφεοὺς δυοκαίδεκα ποίει
Πλησίον ἀλλήλων, εὐνὰς συσίν· ἐν δὲ ἑκάστῳ
Πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο

Designaverat eximium subulcum, qui ei victum maximè
Curabat famulorum, quos comparaverat nobilis Ulysses.
Eum autem in vestibulo invenit sedentem, ubi ei caula
Alta aedificata erat, undique-conspicuo in loco,
Pulchraque, magnaque, vacuis-spatiis-circumdata; quam scilicet subulcus
Ipse aedificaverat suibus, absente rege,
Sine dominâ, et Laërte sene,
Advectitiis lapidibus, et cinxerat sepe-spinosâ;
Palosque extrà adegerat prorsùs hinc atque illinc,
Densos et crebros, nigrâ roboris parte circum-fissâ:
Intra verò caulam suilia duodecim fecerat
Propè invicem, cubilia suibus; in singulis autem
Quinquaginta sues humi-cubantes concludebantur

Ver. 3. Πέφραδε.] Vide ad *Il.* β', 314. et ξ', 500.

Ibid. —— δῖον ὑφορβόν.] Fidelitate nimirùm, et in rebus domini sui curandis studio eximium. *Barnesius* et propter Generis nobilitatem δῖον appellari existimat. Vide infrà ad *ver.* 22. item ο, 412.

Ibid. —— ὅ οἱ.] *Al.* ὃς οἱ.

Ver. 4. —— κτήσατο.] Vide suprà ad ι, 296.

Ver. 6. —— περισκέπτῳ ἐνὶ χώρῳ.] *Eustathius* in commentario citat, κατωρυχίσσι λίθοισι. Minùs rectè, propter sequentem Ῥυτοῖσιν λάεσσι, *ver.* 10.

Ver. 7. —— περίδρομος.] Περιοδιστὴ, γείτονας μὴ ἔχουσα τοὺς ἐμποδίζοντας τῷ βουλομένῳ περίδρομον καὶ περιπλεῖν αὐτήν. *Schol.*

Ver. 8. Αὐτὸς δείμαθ' ὕεσσιν.] Τὸ δὲ "αὐτὸς δείματο," κατ' ἰδιχὴν ἔχει τὸ Αὐτός· —— ὡς αὐτὸς δασαμένους. *Eustath. Al.* Αὐτὸς δείματο οἷς.

Ver. 10. Ῥυτοῖσιν λάεσσι.] Ἐλευστοῖς, μεγάλοις, καὶ μὴ δυναμένοις διὰ χειρῶν βασταχθῆναι λίθοις. *Schol.*

Ibid. —— ἐθρίγκωσεν.] Ἐχαράκωσεν· θρίγκος δὲ λέγεται ἡ ἐπὶ τοῖς οἴκοις στιφάνη. *Schol.*

Ibid. —— ἀχέρδῳ.] Ἄχερδος ἐστὶν ἀκανθῶδες φυτὸν, ἐξ οὗ τὰς αἱρεσίας ποιοῦσιν. Ἔνιοι δὲ ἀπίδοσαν τὴν ἀγρίαν ἄπιον ἀκανθώδης γὰρ ἡ αὐτὴ εἶναι. *Schol.*

Ver. 11. Σταυρούς.] Τὰ ὀρθὰ καὶ ἀπιζυσμένα ξύλα. *Schol.*

Ver. 12. —— θαμέας.] *Al.* μεγάλους.

Ibid. —— μέλαν δρυός.] Ἤτοι δάσος, ἢ τὴν ἐντεριώνην, τὸ ἐγκάρδιον τοῦ δρυός· μελάνδρυον γὰρ λέγεται διὰ τὴν χροιάν, ἢ τὸν φλοιὸν τῆς δρυός. *Schol.* Ἀρίσταρχος δὲ τὸν φλοῦν οὕτω νοεῖ. Κράτης δὲ τὴν δασύτητα καὶ πολλὴν συνύστητα τῶν φύλλων μελάνδρυον καλεῖ. *Eustath.*

Ver. 15. —— σύες χαμαιευνάδες.] Ἀπὸ τοῦ παρακολουθοῦντες αὐτοῖς· πολλὰ γὰρ τῶν ἄλλων τετραπόδων ὀρθὰ κοιμᾶται καὶ ἑστῶτα. *Hesychius.* Παχύτεσθαι δὲ τὸν σῦν ἀκοίτην μὴ λυσιτελοῦν μάλιστα, ἀλλ' ἐν τῷ βορζόμῳ διατρίβοντά τι καὶ στριφόμενον. —— Καὶ Ὅμηρος δὲ ἔοικε ὑποδηλοῦν ταῦτα· στρεῖ μὲν οὖν τοῦ κυλινδεῖσθαι αὐτὸν καὶ φιλυδεῖν τοῖς ὑπαρωτίοις τίλμασι λέγων "σύες χαμαιευνάδες." *Ælian. de Animal. lib.* V. *cap.* 45.

Θήλειαι τοκάδες· τοὶ δ' ἄρσενες ἐκτὸς ἴαυον,
Πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
Ἀντίθεοι μνηστῆρες· ἐπεὶ προΐαλλε συβώτης
Αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον ἁπάντων·
Οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
Πὰρ δὲ κύνες, θῆρεσσιν ἐοικότες αἰὲν ἴαυον
Τέσσαρες, οὓς ἔθρεψε συβώτης, ὄρχαμος ἀνδρῶν.
Αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑοῖς ἀράρισκε πέδιλα,
Τάμνων δέρμα βόειον, εὐχροές· οἱ δὲ δὴ ἄλλοι
Ὤχονθ' ἄλλυδις ἄλλος, ἅμ' ἀγρομένοισι σύεσσιν
Οἱ τρεῖς· τὸν δὲ τέταρτον ἀποπροέηκε πόλινδε,
Σὺν ἀγέμεν μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ,
Ὄφρ' ἱερεύσαντες, κρειῶν πορεσαίατο θυμόν.

Foeminae genitrices; mares autem foris dormiebant,
Multò pauciores; hos enim minuebant comedentes
Eximii proci; quippè mittebat subulcus
Semper saginatorum porcorum optimum omnium:
Hi verò trecentique et sexaginta erant.
Juxta autem canes, feris similes, semper dormiebant
Quatuor, quos nutriverat subulcus, princeps virorum.
Ipse autem circa pedes suos aptabat calceamenta,
Incidens pellem bubulam, benè-coloratam: caeteri autem jam
Ibant aliò alius; cum congregatis suibus
Tres; quartum autem dimiserat ad-urbem,
Suem ut-ageret procis superbis, ex-necessitate;
Ut sacris-factis, carnibus satiarent-se animo.

Ver. 16. Θήλειαι τοκάδες.] *Eustathius* ex Epitheto isto "τοκάδες" colligendum existimat, præter has, alias fuisse *steriles*. Ὅρα δὲ (inquit) καὶ ὡς μεταξὺ ἀρσένων συῶν καὶ τοκάδων οὐκ ἴδιτο μὲν τὰς στείρας, ἰνίφηνε δὲ ὅμως καὶ αὐτὰς, διὰ τοῦ εἶπεῖν, "Θήλειαι τοκάδες" διὰ τὸ εἶναι καὶ ἐτησίας θηλείας αἳ μὴ τοκάδες εἰσί. Cui tamen observationi vix ullus videtur locus.

Ver. 18. Ἀντίθεοι μνηστῆρες.] Malè *Scholiastes*: Νῦν, οἱ ἐναντίοι τοῖς θεοῖς Quo sensu vox Ἀντίθεος nusquam apud Poetam usurpatur. Rectiùs *Eustathius*: Τὸ δὲ, "Ἀντίθεοι μνηστῆρες," —— εἰ τοὺς ἰσοθέους λέγει, διὰ τι γίνοις τοιοῦτοι, καὶ κάλλος καὶ πλοῦτον καὶ ἀνδρείαν, Ὁμηρικώτερον ἐστί. Vide ad *Il.* γ', 16. et δ', 88.

Ver. 21. Πὰρ δὲ κύνες, θήρεσσιν ἐοικότες.] Ὅτι καὶ τοῖς σμικροτάτοις καλὰ τινὰ παραλίαν ὁ Ποιητὴς, πλάττει ἐνταῦθα καὶ ὅτι ἐπιδύνουσιν ἂν μικροῦ ὁ Ὀδυσσεὺς ἐκ τῶν κυνῶν τοῦ Εὐμαίου, εἰ μὴ εἶκε σοφὸς ἐφυλάξατο. *Eustath.*

Ibid. —— αἰὲν ἴαυον.] *Eustathius* in commentario citat, ἐκτὸς ἴαυον. Ex versu (ut videtur) 16.

Ver. 22. —— ὄρχαμος ἀνδρῶν.] Νῦν ἴσχος ἐκ τῆ ὑγιείᾳ. *Schol.* Alitèr *Eustathius*: Ὅτι σημαίνων τὸν Εὔμαιον, —— λέγει —— "ὄρχαμον ἀνδρῶν," ἤγουν ἀρχικὸν ἀνδρα· ἢ καὶ ἄρχοντα δούλων ἑτέρων, ὡς καὶ μετὰ ταῦτα φανεῖται. Videtur autem Epitheto hoc apud Poetam, ut et Epitheto θίος, suprà *ver.* 2. et similibus, homo quàvis de causâ eximius denotari. Similitèr *Philetius* bubulcus, ὄρχαμος ἀνδρῶν appellatur infrà υ', 185. Vide suprà ad *ver.* 2.

Ver. 24. Τάμνων.] *Al.* Τίμνων.

Ibid. —— εὐχροές.] *Al.* ἰύχροον.

Ibid. —— οἱ δὲ δὴ ἄλλοι.] Ὧν δηλαδὴ ἦρχεν ὁ Εὔμαιος. *Eustath.*

Ver. 26. —— ἀποπροέηκε.] Vox ἀποπροέηκε hoc in loco non est *Perfectum*, sed *Aoristus* ex ἀποπροΐημαι. Alioqui non constaret Temporum ratio. Vide ad *Il.* ά, 37.

Ver. 28. —— κορεσαίατο θυμόν.] *Al.* κορεσαίατο θυμῷ. Quæ fortè et verior lectio. Maximè enim propria ista Vocis *Mediæ* significatio; "*Ut se ipsi satiarent animo.*" Atque ita infrà *ver.* 46. κορεσσάμενος κατὰ θυμόν. Vide suprà ad *l*, 491. et ad *Il.* σ', 167. Cæterùm *Eustathius* hoc malà in parte accipit, Procisque à Poetâ vitio datum exi-

Ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι·
Οἱ μὲν, κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
Ἕζετο νερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
Ἔνθα κεν ᾧ παρὰ σταθμῷ ἀεικέλιον πάθεν ἄλγος,
Ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μεταστὰς
Ἔσσυτ' ἀνὰ πρόθυρον· σκῦτος δέ οἱ ἔκπεσε χειρός.
Τοὺς μὲν ὁμοκλήσας σεῦεν κύνας ἄλλυδις ἄλλη
Πυκνῇσιν λιθάδεσσιν· ὁ δὲ προσέειπεν ἄνακτα·
Ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
Ἐξαπίνης· καί κέν μοι ἐλεγχείην κατέχευας.
Καὶ δέ μοι ἄλλα Θεοὶ δόσαν ἄλγεά τε, στοναχάς τε·
Ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων
Ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω

Extemplò verò Ulyssem viderunt canes latratores:
Hi quidem clamantes accurrerunt; at Ulysses
Sedit astutiâ; baculumque ei excidit manu.
Tunc suum apud stabulum indignum sustinuisset dolorem,
Sed subulcus ocyùs pedibus velocibus subsecutus
Ruit per vestibulum; corium verò ei excidit manu.
Canes quidem increpans pepulit aliò alium
Crebris lapidibus; ipse verò affatus est dominum:
" O senex, certè propemodùm te canes disperdiderunt
" Repentè; et mihi opprobrium offudisses.
" Quinetiam mihi alios Dii dederunt doloresque, gemitusque;
" Deo-parem enim *ob*-herum lugens et dolens
" Sedeo; aliis autem sues pingues nutrio

---

stimat. Τὸ δὲ " περίσασθαι," (inquit) "ὅτι ἀνοίκειον ἀγαθοῖς ἀνδράσι, πολλαχοῦ ἐδηλώθη. Sed minùs rectè. Nam eandem phrasin usurpat Poeta infrà *ver.* 46. de *Ulysse*: aliisque permultis in locis, ubi isto sensu accipi nullo modo potest.

Ver. 29. —— κύνες ὑλακόμωροι.] Ὁ μὲν Ἀρίσταρχος, ὀξύφωνοι· περίσσον δὲ ἀποδιδόναι, οἱ περὶ τοῦ ὑλακτεῖν μεμωκημένοι, ὅ ἐστι στενοκωμίνοι. *Schol.* Simili ratione voces ἰγχισιμώρους, ἰόμωρους exponuntur τοὺς περὶ τὰ ἴγχια μεμωκημένους· et, Οἱ περὶ ἰὸν καὶ τόξα μεμωκημένοι· *Iliad.* β', 692. δ', 242. Quod autem addit *Eustathius*: ἢ καὶ εἰ περὶ ὑλακὴν καὶ φυλακήν ὄντες, παρὰ τὴν ὥραν, τὴν φυλακήν· planè ridiculum.

Ver. 30. Οἱ μὲν κεκλήγοντες ἐπέδραμον.] Sic apud *Theocritum*:

Τοὺς δὲ κύνες προσιόντας ἀσάμενοι αἶψ' ἐνόησαν,—
Θεσσάμενοι δ' ὑλάοντες ἐπέδραμον ἄλλυδις ἄλλος. *Idyll.* XXV, 68. 70.

Ibid. —— κεκλήγοντες.] Vide ad *Il.* β', 314. et γ', 31. *Al.* κεκληγῶτες.

Ibid. —— αὐτὰρ Ὀδυσσεὺς Ἕζετο νερδοσύνῃ.] Φυσικὸν φησὶν βούλημα πρὸς ἀποτροπὴν κυνῶν, τὸ καθεσθῆναι καὶ περίσεσθαι τὴν ῥᾳδιουργίαν, ὡς μὴ ἰσχυριζόμενον. *Schol.* et *Eustath.* Similiter *Plutarchus*: Ἡμῖρου μὲν ἅμφασιν ὁμοῦ καὶ ὑψηλοῦ φρονήματος ποιοῦσιν οἱ κύνες, ἀποτρεπόμενοι τῶν συγκαθιζομένων· ὃς που καὶ ταῦτα εἴρηται· " Οἱ " μὲν κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς " Ἕζετο νερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε χειρός." Οὐκέτι γὰρ προσμάχονται τοῖς ὑποστρεφουσι καὶ γιγνόσκουσιν ἑαυτῶν τὰς ἴξεις ὁμοίως. *De Solertiâ Animalium.* Et *Plinius* de canibus: " impetus eorum (inquit) et sævitia miti- " gatur ab homine considente humi." *Nat. Hist. lib.* VIII. *cap.* 40. Notandum tamen apud Poetam neque istâ ratione tutum fuisse Ulyssem, nisi Subulcus etiam canes vi abegisset; *ver.* 32. 35.

Ver. 31. —— σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.] Οὐ διὰ ῥᾴδιον, ἀλλὰ ἐκὼν ἔῤῥιψεν αὐτόν. *Schol.*

Ver. 35. Τοὺς μὲν ὁμοκλήσας σεῦεν κυνάς.] Sic apud *Theocritum*:

Τοὺς μὲν ὄγε λάεσσι, ἀτὰρ χθονὸς ὅσσον ἀείρων,
Φευγίμαν ἄψ ὀπίσω διεδίσατο τηχὺ δι' ἠνῆ
Ἠπείλει μάλα πᾶσι, μεταστάσασκε δ' ὑλαγμοῦ. *Idyll.* XXV, 75.

Ibid. —— ἄλλυδις ἄλλη.] *Al.* ἄλλυδις ἄλλος.

Ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός που ἐδωδῆς
Πλάζετ' ἐπ' ἀλλοθρόων ἀνδρῶν δῆμόν τε, πόλιν τε,
Εἴπου ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
Ἀλλ' ἕπεο, κλισίηνδ' ἴομεν, γέρον, ὄφρα καὶ αὐτὸς
Σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμὸν,
Εἴπῃς, ὁππόθεν ἐσσὶ, καὶ ὁππόσα κήδε' ἀνέτλης.
Ὣς εἰπὼν κλισίηνδ' ἡγήσατο δῖος ὑφορβός·
Εἶσεν δ' εἰσαγαγὼν, ῥῶπας δ' ὑπέχευε δασείας·
Ἐστόρεσεν δ' ἐπὶ δέρμα ἰονθάδος ἀγρίου αἰγὸς,
Αὐτοῦ ἐνεύναιον, μέγα καὶ δασύ· χαῖρε δ' Ὀδυσσεὺς,
Ὅττι μιν ὣς ὑπέδεκτο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι
Ὅ,ττι μάλιστ' ἐθέλεις, ὅτι με πρόφρων ὑπέδεξο.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ξεῖν', οὔ μοι θέμις ἐστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
Ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διὸς εἰσὶν ἅπαντες
Ξεῖνοί τε, πτωχοί τε· δόσις δ' ὀλίγη τε φίλη τε
Γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν,

" Ad-comedendum: at ille egens alicubi cibi
" Vagatur apud alienorum virorum populumque, urbemque;
" Sicubi adhuc vivit, et videt lumen solis,
" Verùm sequere, ad casam eamus, senex, ut et ipse
" Cibo et vino saturatus in animo,
" Dicas, undè sis, et quot dolores toleraveris."
Sic locutus ad casam praeivit nobilis subulcus:
Collocavitque *illum* introductum: virgulta autem substravit densa:
Instravitque pellem villosae agrestis caprae,
Ibidem cubile-*ut-esset*, magnum et densum: gaudebat autem Ulysses,
Quòd ipsum sic exciperet; verbumque dixit, et compellavit:
" Jupiter tibi det, hospes, et immortales dii alii
" Quodcunque maximè velis, quia me lubens excepisti."
Illum autem respondens allocutus es, Eumaee subulce:
" Hospes, non mihi fas est, neque si pejor te venerit,
" Hospitem indignè-tractare; à Jove enim sunt omnes
" Hospitesque, pauperesque; munus verò exiguumque, charumque
" Est nostrum: hic enim servorum mos est,

Ver. 43. —— δῆμόν τε, πόλιν τε.] Vide ad *Il.* β', 547.

Ver. 46. Σίτου καὶ οἴνοιο.] *Al.* Οἴνου καὶ σίτοιο.

Ver. 48. Ὣς εἰπὼν, κλισίηνδ' ἡγήσατο.]

Dixit, et angusti subter fastigia tecti
Ingentem Æneam duxit; stratisque locavit.
Effultum foliis et pelle Libystidis ursæ.
Æn. VIII, 366.

Ver. 50. —— ἰονθάδος.] Δασείας, ἴσθι γὰρ αἱ ῥίζαι καὶ ἐκφύσεις τῶν τριχῶν. *Schol.* Ἰστέον δὲ ὅτι ἐν τῷ περὶ ὀνομασίας ἡλικιῶν γράφει ὁ γραμματικὸς Ἀριστοφάνης —— περὶ ἰονθάδος Ὁμηρικοῦ,—— ὅτι ἐφ' ἡλικίας τινὸς καὶ μειρίου αὐτο φησὶν ὁ Ποιητής. *Eustath.* ad *l.* 221.

Ver. 54. —— ὑπιδίξω.] *Al.* ὑπιδίξω.

Ver. 56. —— ἔλθοι.] *Al.* ἔλθῃ.

Ver. 57. —— πρὸς γὰρ Διὸς εἰσὶν ἅπαντες Ξεῖνοι.] Vide suprà ad ζ', 207. et ι', 269. 270.

Ver. 58. —— δόσις δ' ὀλίγη τε φίλη τε.] Vide suprà ad ζ', 208. et ad *Il.* ά, 167.

Αἰεὶ δειδιότων, ὅτ' ἐπικρατέωσιν ἄνακτες
Οἱ νέοι· ἦ γὰρ τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν,
Ὅς κεν ἐμὲ ἐνδυκέως ἐφίλει, καὶ κτῆσιν ὄτασσεν,
Οἷά τε ᾧ οἰκῆϊ ἄναξ εὐθυμος ἔδωκεν,
Οἶκόν τε, κλῆρόν τε, πολυμνήστην τε γυναῖκα,
Ὅς οἱ πολλὰ κάμησι, θεὸς δ' ἐπὶ ἔργον ἀέξει·
Ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ᾧ ἐπὶ μίμνω.
Τῷ κέ μοι πόλλ' ὤνησεν ἄναξ, εἰ αὐτόθ' ἐγήρα·
Ἀλλ' ὄλεθ'· ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
Πρόχυν, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούναθ' ἕλυσεν·
Καὶ γὰρ ἐκεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
Ἴλιον εἰς εὔππωλον, ἵνα Τρώεσσι μάχοιτο.
Ὡς εἰπὼν, ζωστῆρι θοῶς συνέεργε χιτῶνα·
Βῆ δ' ἴμεν ἐς συφεούς, ὅθι ἕθνεα ἔρχατο χοίρων·
Ἔνθεν ἑλὼν δύ' ἔνεικε, καὶ ἀμφοτέρους ἱέρευσεν·
Εὖσέ τε, μίστυλλέν τε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν·

" Semper timentium, cùm dominentur heri
" Juvenes: certè enim illius quidem dii reditum impedierunt,
" Qui me studiosè dilexisset, et possessionem dedisset,
" Qualia scilicet suo famulo dominus benignus dederit,
" Domumque, et facultates, et multùm-ambitam uxorem:
" Qui ei multùm laboraverit, cuique Deus laborem incremento adjuverit:
" Ut et mihi hic labor incrementum-habet, in quo versor,
" Ideò me multùm juvisset dominus, si hìc senesceret;
" Sed periit: utinam Helenae genus periisset
" Funditùs; quoniam multorum virorum genua solvit:
" Etenim ille ivit Agamemnonis propter honorem
" In Ilium aptum-equis, ut Trojanos oppugnaret."
Sic locutus, cingulo celeritèr constringebat tunicam:
Perrexitque ire ad suilia, ubi greges conclusi erant porcorum:
Illinc sumptos duos attulit, et ambos mactavit:
Ustulavitque, conciditque, et verubus infixit:

Ver. 60. —— ὅτ' ἐπικρατέωσιν ἄνακτες Οἱ νέοι.] *Eustathius* per istud ἄνακτες νέοι Procos intelligit. Τὸ δὲ "ἐπικρατέουσιν ἄνακτες" εὐφήμως περὶ μνηστήρων ἴφη Dna. *Dacier* autem hoc de *Telemacho* accipiendum contendit: ut opinor, minùs rectè.

Ibid. —— ἐπικρατέωσιν.] Apud *Eustathium*, ἐπικρατέουσιν.

Ver. 61. —— τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν.] Id est, Κατέδησαν τούτου τὸν νόστον. Ut rectè notavit *Barnesius*.

Ver. 62. Ὅς κεν ἐμὲ ἐνδυκέως ἐφίλει, καὶ κτῆσιν ὄτασσεν.] *Barnesius* malè vertit, "*Qui me* " *valdè* diligebat, *et possessionem procul-dubio* " dedisset." Ac si particula κεν utrumque vocabulorum ἐφίλει et ὄτασσεν non æquè respexisset.

Ver. 65. —— ἀέξει.] *Al.* ἀέξῃ.

Ver. 66. —— ᾧ ἐπὶ μίμνω.] *Al.* ᾧ ἐπιμίμνω.

Ver. 68. Ἀλλ' ὄλεθ'· ὡς ὤφελλ'.] Καὶ ὠφελε μὲν ὑπαῤῥᾴθε εἰπεῖν ὅτι διὰ τὴν Ἑλένην· ὁ δὲ ἄλλως διὰ λύσιν ἄκραν σχηματίσας τὸν τοιοῦτον λόγον εἰς ἄκραν, φησὶν "ὡς ὤφελλ' Ἑλένης, &c." *Eustath.*

Ver. 69. Πρόχυν.] Νῦν, πανταλῶς. *Schol.* Quod autem de hoc versu annotat *Eustathius*: Τὸ δὲ "ὑπὸ γούναθ' ἕλυσε" δοκεῖ ἀντιθέτως εἰρῆσθαι πρὸς τὸ "Πρόχυν," ἵνα πως λέγῃ, ὡς ὑπὸ γόνυ πέσοι τὸ τῆς Ἑλένης φῦλον, ὑπὸ πολλῶν ὑπὸ γούναθ' ἕλυσε· id verò subtilius videtur.

Ver. 72. —— συνέεργε.] *Al.* ὑπέεργε.

Ver. 75. Εὖσέ τε, μίστυλλέν τε.] *Al.* Εὖσε, μίστυλλέν τε.

Ὀπτήσας δ' ἄρα πάντα φέρων παρέθηκ' Ὀδυσῆϊ,
Θέρμ' αὐτοῖς ὀβελοῖσιν· ὁ δ' ἄλφιτα λευκὰ πάλυνεν·
Ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον
Αὐτὸς δ' ἀντίον ἷζεν, ἐποτρύνων δὲ προσηύδα·
Ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι
Χοίρε'· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
Οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν, οὐδ' ἐλεητύν.
Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
Ἀλλὰ δίκην τίουσι, καὶ αἴσιμα ἔργ' ἀνθρώπων.
Καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵτ' ἐπὶ γαίης

Assata autem omnia, ferens apposuit Ulyssi,
Calida ipsis in verubus; farinamque albam inspersit;
In poculo autem miscebat dulce vinum:
Ipse verò ex-adverso sedit; adhortansque allocutus est:
" Comede nunc, ô hospes, qui utique servis adsunt,
" Porculos; at pingues sanè sues proci comedunt,
" Non ultionem divinam habentes in mentibus, neque misericordiam.
" Haud quidem improba opera Dii beati amant,
" Sed justitiam honorant, et aequa opera hominum.
" Etiam hostes quidem et inimici, qui terram

Ver. 76. Ὀπτήσας δ' ἄρα πάντα.] Vide suprà ad β', 300. et ad *Il.* ά, 466.

Ver. 77. —— πάλυνεν.] Vide ad *Il.* ά, 309 et 338.

Ver. 78. —— κισσυβίῳ.] Ἀγροικικῷ ἐκπώματι. *Schol.* Vide infrà ad *ver.* 112.

Ibid. —— κίρνη μελιηδέα οἶνον.] Ἤγουν συνέμιξεν ὕδατι. *Eustath. Al.* κίρνα.

Ver. 81. Χοίρε'· ἀτὰρ σιάλους γε σύας.] Ὅτι διαφορὰ τις ἴσως ἐστὶ δοκεῖ χοίρων καὶ συῶν, ὡς ἐμφαίνει ὁ Εὔμαιος· —— καὶ ἴσως ἡ καθ' ἡλικίαν ἡ διαφορὰ τοῖς χοίροις καὶ τοῖς σιάλοις· ἢ κατὰ τὸ ζωτροφίας μὲν εἶναι τοὺς σιάλους, —— ὀλιγοτροφίᾳ δὲ τοὺς χοίρους. *Eustath.* Ἢ δὲ καὶ παλαιὸς νόμος, ὡς φησὶν Ἀνδροτίων, τῆς ἱστιγονίης ἕνεκα τῶν θρεμμάτων, μὴ σφάττειν πρόβατον ἄπτιστον ἢ ἄτοκον· διὸ τὰ ἤδη τίλια ἤθεσιν " —— ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι." *Athenæus, lib.* IX. *cap.* 4.

Ver. 82. Οὐκ ὄπιδα φρονέοντες.] Ὅσιδα, τὴν εἰς τὸ μέλλον τῶν θεῶν ἐπισκεφήν. *Schol.* Ita infrà ύ, 215.

Οὐδ' ὄπιδα τρομέουσι θεῶν ——.

Et φ', 28.

—— οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' ——.

At sperate Deos memores fandi atque nefandi. *Æn.* I, 543.

Vide et ad *Il.* ά, 388.

Ibid. —— φρονέοντες.] *Al.* τρομέοντες.

Ver. 83. Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν.]

"Τδρις γὰρ οὐ στέργουσιν οὐδ' οἱ δαίμονες. *Sophocl. Trachin. ver.* 283.

Μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν ——. *Euripid. Helen. ver.* 909.

Nec facta impia fallacum hominum Cœlicolis placent. *Catul. Carm.* XXX. *ver.* 4.

Τῆς δὲ πρεσβείας τῶν θεῶν ἴδιον ἐστὶ τὸ βούλεσθαι δικαίους τοὺς ἀνθρώπους βιοῦν· καὶ τοῦτο φησὶν ὁ Ποιητὴς ἐναργέστατα, "Οὐ γὰρ σχέτλια ἔργα "&c." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 14. Ubi notandum, pro Οὐ μὲν σχέτλια, legisse hic *Dionysium*, Οὐ γὰρ σχέτλια, &c.

Ver. 84. Ἀλλὰ δίκην τίουσι, καὶ αἴσιμα ἔργ' ἀνθρώπων.] Versus hic (notante *Duporto, Gnomolog. Homeric. ad hunc locum:* itemque *Barnesio*) apud *Grotium* in *Stobæi Excerptis* legitur hoc modo:

Ἀλλὰ δίκην τίνουσι, καὶ ἴσασιν ἔργ' ἀνθρώπων.

Quod ferri non potest: Nam vox ἴσασιν mediam necessariò producit. Nisi fortè legas (conjectante *Barnesio*) καὶ ἴσασ' ἔργ' ἀνθρώπων.

Ver. 85. 88. Καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, —— Καὶ μὲν τοῖς.] De hujusmodi Syntaxi ἀνακολούθῳ, vide ad *Il.* β', 353. et γ', 211. Σημείωσαι δ' ἐνταῦθα τὸ ἀπατάλληλον τῆς συντάξεως καὶ σολοικοειδὲς ἐν τῷ " Καὶ μὲν δυσμε" νέες καὶ ἀνάρσιοι· Καὶ μὲν τοῖς ἔπειθε πρά" τειν θέος." Ἐχρῆν γὰρ εἶναι κατὰ δοτικὴν πτῶσιν, " Καὶ μὲν δυσμενέσσι καὶ ἀναρσίοις ὅπε" θος ἐστὶ θέος." Μιμεῖται δὲ ὁ Ποιητὴς ἐνταῦθα Θουκυδίδειον ἄνδρα τὸν Εὔμαιον. *Eustath.* Aliam autem deinceps hujus loci explicandi

Ἀλλοτρίης βῶσιν, καὶ σφιν Ζεὺς λητδα δώῃ,
Πλησάμενοι δέ τε νῆας ἔβαν οἴκονδε ἕκαστος·
Καὶ μὲν τοῖς ὄπιθος κρατερὸν δέος ἐν φρεσὶ πίπτει·
Οἴδε δὲ καί τι ἴσασι, Θεοῦ δ' τιν' ἔπλυον αὐδήν,
Κείνου λυγρὸν ὄλεθρον, ὅτ' οὐκ ἐθέλουσι δικαίως
Μνᾶσθαι, οὐδὲ νέεσθαι ἐπὶ σφέτερ'· ἀλλὰ ἕκηλοι
Κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔτι φειδώ.
Ὅσσαι γὰρ νύκτες τε, καὶ ἤματα ἐκ Διός εἰσιν,
Οὔποθ' ἓν ἱερεύουσ' ἱερήϊον, οὐδὲ δύ' οἶω·
Οἶνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
Ἦ γάρ οἱ ζωὴ γ' ἦν ἄσπετος· οὔτινι τόσση

" Alienam invaserint, et ipsis Jupiter pracdam dederit,
" Impletisque navibus redierint domum unusquisque :
" Etiam his quidem ultionis ingens metus animis incidit :
" Hi verò etiam aliquid sciunt Deique aliquam audiêrunt vocem,
" Illius tristem mortem ; quandoquidem nolunt ritè
" Ambire, neque redire ad sua : sed tranquilli
" Bona absumunt immodicè, neque ampliùs *est* parsimonia,
" Quotquot enim noctesque et dies à Jove oriuntur,
" Nunquam unam mactant victimam, neque duas solas :
" Vinum verò consumunt immoderatè exhaurientes.
" Certè ei victus erat copiosus : nulli tantus

---

rationem addit : "Ἴσως δὲ καὶ ἄλλως δύναται ἐρῶσι ἴσχειν, εἴτις τὸ διύπτερον " μὴν" ληφθείη ἀντὶ τοῦ " ἄλλα." Ἵνα ᾖσιν μὴ ἀκριμῶς ἄλλα ἀκολύτως, ὅτι καὶ μὴν ἀνέρχοιτο ἄνδρες πλησαντες δὴ τὰς νῆας, ἀπῆλθεν· ἀλλὰ καὶ τούτοις δίος ἐστὶν ὄπιθος. Quod est valdè inficetum. Ita tamen accepisse videtur : *Meric. Casaubonus :* " Procorum," inquit, " iniquitatem Eumæ- " us Subulcus exaggerans, ait eos esse pe- " jores piratis hostibus, qui factâ in terram " aliquam impressione, contenti naves suas " spoliis implevisse, quasi divinam ultionem " aliquatenùs reveriti, aliò se conferunt ; " nec terris, quas semel spoliaverunt, incu- " bant et incumbunt ; quod contrà fiebat " à Procis, quotidianis hostibus et spoliato- " ribus domûs Ulyssis." *De nuperâ Homeri editione, Dissertat.* I. Eandemque interpretationem secutus videtur *Barnesius :* ac si istud Πλησάμενοι δέ τε νῆας &c. *ver.* 87. sententiæ esset ἀπίδοσις. Sed errant viri eruditi : hoc enim ait Poeta ; nempè, " *Terræ* " *alienæ populatoribus, etiam si prædam fe-* " *licitèr nacti fuerint, domumque incolumes* " *redierint ; metum tamen in posterum ultio-* " *nis animo incidere : Procos autem omni* " *vindictæ metu carere.*"

Ver. 86. —— βῶσιν.] Ἐπίλυσις ἐκ βίσιν. *Schol.*

Ibid. —— δῴη.] *Al.* δοίη.

Ver 87. —— εἰκότ' ἴδοι ἕκαστος.] *Eustathius* in commentario citat. Ἰκόνοι νίεσθαι. Atque ita in duobus MSS. scriptum reperit *Tho. Bentleius.*

Ver. 89. Οἴδε δὲ καί τι ἴσασι.] Ita edidit *Barnesius.* Vulgati habent, Οἴδε δέ τι ἴσασι. Quod est valdè durum.

Ver. 90. 91. —— οὐκ ἐθέλουσι δικαίως Μνᾶσθαι —— ἀλλὰ ἕκηλοι Κτήματα δαρδάπτουσιν.] Hinc *Horatius :*

Venit enim magnum donandi parca juventus ; [cullnæ.
Nec tantum Veneris quantum studiosa

Vel, uti emendavit eruditissimus *Bentleius :*

Venit enim (indignum !) donandi, &c.
Serm. lib. II. v. 79.

Ver. 92. —— οὐδ' ἔτι φειδώ.] *Al.* οὐκ ἔτι φειδώ. Sed " ita scribendo, (ut rectè *Henricus Stephanus,*) " esset asyndeton." *Al.* οὐδ' ἔτι φειδώ.

Ver. 94. Οὔποθ' ἓν ἱερεύουσ'.] *Al.* ἱερεύουσ'· Ut infrà υ, 3. ἱερεύσεκον. Atque eodem modo fortassè ἱερεύουσ' pronuntiabatur.

Ibid. —— ἱερήϊον.] Vide ad *Il.* χ', 159.

Ibid. —— δὺ οἶω.] *Al.* οἷα. Quod perindè est. Vide ad *Il.* ά, 866.

Ver. 96. Ἦ γάρ οἱ.] *Al.* Ἦ γὰρ τοῦ.

Ἀνδρῶν ἡρώων, οὔτ' Ἠπείροιο μελαίνης,
Οὔτ' αὐτῆς Ἰθάκης, οὔτε ξυνεείκοσι φωτῶν
Ἔστ' ἄφενος τοσσοῦτον· ἐγὼ δέ κέ τοι καταλέξω·
Δώδεκ' ἐν Ἠπείρῳ ἀγέλαι· τόσα πώεα οἰῶν, 100
Τόσσα συῶν συβόσεια, τόσ' αἰπόλια πλατέ' αἰγῶν
Βόσκουσι ξεῖνοί τε, καὶ αὐτοῦ βώτορες ἄνδρες.
Ἔνθα δέ τ' αἰπόλια πλατέ' αἰγῶν ἕνδεκα πάντα
Ἐσχατιῇ βόσκοντ'· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρονται.
Τῶν αἰεί σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγινεῖ, 105
Ζατρεφέων αἰγῶν, ὅς τις φαίνηται ἄριστος.
Αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε, ῥύομαί τε,
Καί σφι συῶν τὸν ἄριστον ἐΰ κρίνας ἀποπέμπω.
Ὣς φάθ'· ὁ δ' ἐνδυκέως κρέα τ' ἤσθιε, πῖνέ τε οἶνον
Ἀρπαλέως, ἀκέων· κακὰ δὲ μνηστῆρσι φύτευεν. 110
Αὐτὰρ ἐπεὶ δείπνησε, καὶ ἤρκεσε θυμὸν ἐδωδῇ,
Καί οἱ πλησάμενος δῶκε σκύφος, ᾧ περ ἔπινεν,

" Virorum heroum, neque continentis nigrae,
" Neque ipsius Ithacae, neque simul viginti virorum
" Sunt divitiae tantae: ego verò tibi recensebo:
" Duodecim in continente armenta *sunt:* tot greges ovium, 100
" Tot suûm pascua, tot stabula lata caprarum,
" Pascunt hospitesque, et ipsius pastores viri.
" Hìc autem stabula lata caprarum undecim omnia
" In extremo-agri pascuntur; virique boni custodiunt.
" Quorum semper ipsis unusquisque in-dies pecudem fert, 105
" Saginatorum caprorum, quicunque apparcat optimus.
" At ego sues has custodioque, tueorque,
" Et ipsis suûm optimum benè-selectum mitto."
Sic dixit: ille autem intentè carnes comedebat, bibebatque vinum
Avidè, tacitus; mala autem procis moliebatur. 110
At postquam coenàsset, et refecisset animum cibo,
Etiam ei impletum dedit *Eumaeus* poculum, quo scilicet bibebat,

---

Ver. 97. —— Ἠπείροιο μελαίνης.] Τῆς κατ' ἀντικρὺ Κεφαλληνίας τῶν λέγει μέρος δὲ ἐστὶ τῆς μελαίνης Ἠπείρου αὕτη καὶ μικρὸν ὀλίγον ἐπιφέρεται, " Δώδεκα" ἐν Ἠπείρῳ ἀγέλαι" *Schol.* Vide *Strabonem, Geograph. lib.* X. *pag.* 695. *al.* 453.

Ver. 100. —— ἀγέλαι.] Βοῶν δηλαδὴ, ἴσως δὲ καὶ ἵππων· ἐπ' ἀμφοῖν γὰρ φασὶ καὶ ἀγέλαι κυριολεκτεῖται. *Eustath.*

Ibid. —— πώεα οἰῶν.] Apud *Strabonem*, loco suprà citato, πώεα μήλων.

Ver. 101. —— συβόσια.] Ita edidit *Barnesius*; atque ita apud *Veteres* legi annotat. *Vulgg. συβόσια.*

Ver. 103. —— ἕνδεκα πάντα.] Vide suprà ad *ι*, 244. et ad *Il. κ'*, 560.

Ver. 106. Ζατρεφέων αἰγῶν.] *Henricus Stephanus* legendum conjicit Ζατρεφίων τ' αἰγῶν.

Ver. 108. —— ἐΰ κρίνας.] Ita *Barnesius. Al.* ἐϋκρίνας.

Ver. 111. —— διέπνησε.] Vide suprà ad *γ*, 333.

Ver. 112. Καί οἱ πλησάμενος δῶκε σκύφος ᾧ περ ἔπινεν.] Ἀσκληπιάδης δὲ ὁ Μυρλιανὸς ἐν τῷ περὶ Φῆς Νισσορίδος φησὶν, ὅτι τῷ σκύφῳ καὶ τῷ κισσυβίῳ Φῆν μὲν ἐν ἄστει καὶ μετρίων οὐδεὶς ἐχρῆτο, συβῶται δὲ καὶ νομεῖς καὶ οἱ ἐν ἀγρῷ, ὡς ὁ Εὔμαιος " πλησάμενος δῶκε σκύφος ᾧπερ ἔπινεν." *Athenaeus, lib.* XI. *cap.* 14. Vide et suprà ad *ν*, 57. Cæterùm *Eustathius* hoc de *Ulysse* intelligit, qui postquam ipse biberit, poculum *Eumaeo* tradat. Ἰστέον δὲ (inquit) ὅτι Ὀδυσσεὺς ἐνταῦθα δίδωσι σκύφον

Οἴνου ἐνίπλειον· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλε, τίς γάρ σε πρίατο κτεάτεσσιν ἑοῖσιν,
Ὧδε μάλ' ἀφνειὸς καὶ καρτερὸς, ὡς ἀγορεύεις;
Φῆς δ' αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα τιμῆς.
Εἰπέ μοι, αἴκε πόθι γνώω τοιοῦτον ἐόντα.
Ζεὺς γάρ που τόγε οἶδε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Εἴ πέ μιν ἀγγείλαιμι ἰδών· ἐπὶ πολλὰ δ' ἀλήθην.
Τὸν δ' ἠμείβετ' ἔπειτα συβώτης, ὄρχαμος ἀνδρῶν·
Ὦ γέρον, οὔτις ἐκεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν
Ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱόν.
Ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
Ψεύδονται, οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
Ὅς δ' ἂν ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
Ἐλθὼν ἐς δέσποιναν ἐμὴν, ἀπατήλια βάζει·
Ἡ δ' εὖ δεξαμένη φιλέει, καὶ ἕκαστα μεταλλᾷ·
Καί οἱ ὀδυρομένῃ βλεφάρων ἀπὸ δάκρυα πίπτει,

Vino plenum: is verò accepit, gaudebatque animo,
Et ipsum compellans verbis alatis allocutus est:
" O amice, quisnam te emit possessionibus suis,
" Ita valdè dives et fortis, ut praedicas?
" Dicis autem ipsum periisse Agamemnonis propter honorem.
" Dic mihi, si fortè nòrim, talis cùm-fuerit.
" Jupiter enim hoc scit, et immortales dii alii,
" Si de-eo viso nuntium-ferre-possim; per multa etenim loca erravi."
Huic autem respondit deinde subulcus, princeps virorum:
" O senex, nullus illum vir vagatus ubi-venerit
" Nuncians persuaserit uxorique et dilecto filio.
" Sed alitèr receptionis indigentes viri errones
" Mentiuntur, neque volunt vera loqui.
" Quicunque enim errans Ithacae in populum venerit,
" Profectus ad dominam meam, fallacia loquitur:
" Haec verò benignè exceptum diligit, et singula inquirit;
" Et ei lugenti palpebris lachrymae decidunt;

τῷ Εὐμαίῳ, δεξιόμενος κατὰ τὸν τοῦ πρεσβύτου λόγον. Atque hanc veram omninò explicationem contendit Dna. *Dacier*. Sed minùs rectè. Primò enim istud " ὥστις " ἴκηται" non est, (uti illi accipiunt,) *ex quo ipse jam* " *biberat*;" sed, *ex quo ipse* " *bibere solebat*;" (vide ad *Il.* ά, 37.) quod de *Ulysse* dici vix potuit. Deinde, si illud " ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ," (quod volunt *Eustathius* et Dna. *Dacier*) de *Eumæo* intelligatur; etiam sequens " Καί μιν φωνήσας, *&c.*" de eodem intelligendum erit. Rectiùs itaque *Athenæus*, loco jam suprà citato, itemque *Barnesius*, istud " πλέμενος δῶμα σεύφου," de *Eumæo* accipiunt.

Ibid. —— σεύφου.] *Aristarchus* apud *Athenæum*, *lib.* XI. *cap.* 4. legit σεύφου.

Ver. 115. Ὦ φίλε, τίς γάρ σε πρίατο κτεάτεσσιν.] *Barnesius* legendum conjicit, τίς κ' ἄρ σε πρίατο. Vide autem suprà ad κ', 174. 190. et ad *Il.* ά, 201.

Ver. 117. —— φθίσθαι.] *Al.* φθίσθαι. Vide et suprà ad β', 183.

Ver. 126. Ὅς δ' ἂν ἀλητεύων.] *Al.* Ὅς δέ κ' ἀλητεύων.

Ibid. —— Ἰθάκης ἐς δῆμον.] Vide suprà ad ά, 103.

Ἦ θέμις ἐστὶ γυναικὸς, ἐπὴν πόσις ἄλλοθ' ὄληται.
Αἶψά κε καὶ σὺ, γεραιὲ, ἔπος παρατεκτήναιο,
Εἵτις τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματα δοίη.
Τοῦ δ' ἤδη μέλλουσι κύνες ταχέες τ' οἰωνοὶ
Ῥινὸν ἀπ' ὀστεόφιν ἐρύσαι· ψυχὴ δὲ λέλοιπεν
Ἦ τόν γ' ἐν πόντῳ φάγον ἰχθύες, ὀστέα δ' αὐτοῦ
Κεῖται ἐπ' ἠπείρου, ψαμάθῳ εἰλυμένα πολλῇ.
Ὣς ὁ μὲν ἔνθ' ἀπόλωλε· φίλοισι δὲ κήδε' ὀπίσσω
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ' ἄλλον
Ἥτιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ' ἐπέλθω·
Οὐδ' εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι
Οἶκον, ὅθι πρῶτον γενόμην, καί μ' ἔτρεφον αὐτοί.
Οὐδέ τι τῶν ἔτι τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὀφθαλμοῖσιν ἰδέσθαι, ἐὼν ἐν πατρίδι γαίῃ·
Ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
Τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ' ὀνομάζειν

" Qui mos est mulieris, cùm maritus alibi perierit.
" Statim et tu, senex, fabulam fabricares,
" Si quis tibi laenamque, tunicamque, vestimenta daret.
" Illius autem jam oportet canes velocesque alites
" Cutem ab ossibus traxisse; anima verò destituit:
" Vel illum sanè in ponto comederunt pisces, ossa autem ipsius
" Jacent in littore, arenâ involuta multâ.
" Sic ille quidem illic periit; amicis verò dolores ponè
" Omnibus, mihi autem maximè, effecti-sunt: non enim ampliùs alium
" Mitem adeò dominum inveniam, quocunquè profectus-fuero;
" Neque si *ad* patris et matris iterùm ivero
" Domum, ubi primùm natus sum, et me educaverunt ipsi.
" Neque omninò *ob*-hos ampliùs tantùm lugeo, dolens licèt,
" Oculis ut-videam, existens in patriâ terrâ;
" Sed me Ulyssis desiderium capit absentis.
" Hunc quidem ego, ô hospes, etiam non praesentem nominare

Ver. 133. —— Τοῦ δ' ἤδη μέλλουσι κύνες.] Heu! terrâ ignotâ, canibus data praeda Latinis
Alitibusque jaces ——. *Æn.* IX, 485.

Ver. 134. —— ἐρύσαι.] *Al.* ἐρύσιν.

Ver. 135. Ἦ τόν γ' ἐν πόντῳ.]
—————— aut gurgite mersum
Unda feret; piscesque impasti vulnera lambent. *Æn.* X, 559.

Ver. 141. —— αὐτοί.] Apud *Eustathium* οὗτοι.

Ver. 142. Οὐδέ τι.] *Al.* Οὐδέ τι, et Οὐδ' ἔτι.

Ibid. —— ἀχνύμενός περ.] MS. à *Tho. Bentleio* collatus, ἰέμενός περ. Quod et aptiùs congruit cum sequente, Ὀφθαλμοῖσιν ἰδέσθαι.

Ver. 145. Τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ' ὀνομάζειν Αἰδέομαι.] Φησὶ, τὸν Ὀδυσσέα φιλοφρονηματικῆς προσηγορίας ὀνομάζειν αἰδοῦμαι· πρεσβύτερον δὲ ἀδελφὸν καλῶ. *Schol.* Τὸ δὲ " ὀνομάζειν αἰδέομαι," ἀντὶ τοῦ αἰδοῦμαι Ὀδυσσέα νῦν καλεῖν πρὸς ὄνομα διχὰ τινὸς προσρήσεως φιλοφρονες. *Eustath.* Ἐπὶ μὲν γὰρ τῆ μηδένα τῶν Πυθαγορείων ὀνομάζειν Πυθαγόραν, ἀλλὰ ζῶντα μὲν ὁποτὲ βούλοιντο δηλοῦσαι, καλεῖν αὐτὸν θεῖον· ἐπεὶ δὲ ἐτελεύτησεν, ἱκανὸν τὸν ἄνδρα. Καθάπερ Ὅμηρος ἀποφαίνει τὸν Εὔμαιον ὑπὲρ Ὀδυσσέως μεμνημένον, " Τὸν μὲν " ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ' ὀνομάζειν Αἰ- " δέομαι· πρεσβύτερος γάρ μ' ἐφίλει καὶ κήδετο λίην." *Jamblichus de vitâ Pythagoræ, cap.* 35. Nescio tamen annon simplicius fuerit ita locum hunc intelligere: nempè *Eumæum Ulyssis,*

Αἰδέομαι· περὶ γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ·
Ἀλλά μιν ἠθεῖον καλέω, καὶ νόσφιν ἐόντα.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδέ τι φῆσθα
Κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος·
Ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ νὺν ὄρκῳ,
Ὡς νεῖται Ὀδυσεύς· εὐαγγέλιον δέ μοι ἔστω,
Αὐτίκ', ἐπεί κεν κεῖνος ἰὼν τὰ ἃ δώμαθ' ἵκηται·
Ἕσσαι με χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά·
Πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔτι δεχοίμην.
Ἐχθρὸς γάρ μοι κεῖνος, ὁμῶς Ἀΐδαο πύλῃσι
Γίνεται, ὅς πενίη εἴκων ἀπατήλια βάζει.
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἰστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ἦ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω·

" Revereor; valdè enim me diligebat et curabat in-animo:
" Sed ipsum fratrem-majorem voco, etiam longè absentem.'
Hunc autem rursùs aliocutus est patiens nobilis Ulysses:
" O amice, quandoquidem prorsùs negas, neque omninò dicis
" Illum venturum esse, animus verò tibi semper incredulus:
" Verùm ego non temerè loquar, sed cum juramento,
" Quòd redibit Ulysses; munus-laeti-nuntii verò mihi sit,
" Statim, postquam ille reversus suas ad aedes pervenerit;
" Indue mihi laenamque, tunicamque, vestimenta pulchra;
" Antè autem, etiam licèt valdè indigens, nequaquam acciperem.
" Inimicus enim mihi is aequè ac Orci portae
" Est, qui egestati cedens fallacia loquitur.
" Sciat nunc Jupiter primùm deorum, hospitalisque mensa,
" Larque Ulyssis eximii, quem adveni;
" Certè quidem haec omnia perficiuntur, sicut dico:

---

propter eximiam ejus benignitatem et mansuetudinem, etiam absentis mentionem facere nisi cum reverentiâ non posse. Cæterùm *Spondanus* istud οὐ παριὼν', ut et οἰχομένου versu superiori, non "*absentem*," sed "*defunctum*," vertendum contendit. Minùs rectè.

Ver. 146. —— περὶ γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ.] "Vel περί" (inquit *Henricus Stephanus*) "jungendo cum θυμῷ, ut sit, ἐφίλει γάρ με καὶ κήδετο μου περὶ θυμῷ· Vel, ἐφίλει θυμῷ, pro ἐν θυμῷ, περὶ id est περισσῶς."

Ver. 151. —— οὐκ αὔτως.] *Al.* οὐχ αὔτως.

Ver. 152. —— εὐαγγέλιον.] Ἀγαθῆς ἀγγελίας δῶρον. *Schol.* Sic infrà *ver.* 166.

——αὖτε δ' ἐγὼν εὐαγγέλιον τόδε εἶπον.

Ver. 154. Ἕσσαι μι χλαῖνάν τε.] Deest hic versus in duobus MSS. à *Tho. Bentleio* collatis; neque ejusdem in commentario meminit *Eustathius*.

Ver. 156. Ἐχθρὸς γάρ μοι κεῖνος, &c.]

Ἐχθρὸς γάρ μοι κεῖνος, ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ βάζει. *Iliad.* ι, 312.

Ver. 158. —— ξενίη τε τράπεζα.] Sic apud *Horatium*: " *Umbram hospitalem.*" *Carm. lib.* II. *Ode* iii. *ver.* 10.

Ver. 159. Ἰστίη τ' Ὀδυσῆος.] Ita ex MSS. veterumque Editionum Scholiis, ex *Eustathio*, et ex *Etymolog. Magn.* edidit *Barnesius*. Atque ita (uti et ipse annotat) in omnibus scriptum occurrit infrà τ', 304. Ita etiam legitur apud *Porphyrium*, *Quæst. Homeric.* 2. *Vulgg.* hoc in loco, Ἐστίη τ' Ὀδυσῆος. Cæterùm *Scholiastes* explicat, Ὁ βωμὸς τῆς ἑστίας. Vide et *Porphyrium*, loco jam citato.

Τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς·
Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο,
Οἶκαδε νοστήσει, καὶ τίσεται, ὅς κεν ἐκείνου
Ἐνθάδ' ἀτιμάζει ἄλοχον, καὶ φαίδιμον υἱόν.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ὦ γέρον, οὔτ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω,
Οὔτ' Ὀδυσσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλὰ ἔπηλος
Πῖνε, καὶ ἄλλα παρὲξ μεμνώμεθα, μηδέ με τούτων
Μίμνησκ'· ἦ γὰρ θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἄχνυμαι, ὁππότε τις μνήσῃ πεδνοῖο ἄνακτος.
Ἀλλ' ἤτοι ὅρκον μὲν ἐάσομεν· αὐτὰρ Ὀδυσσεὺς

" Hoc autem ipso anno veniet huc Ulysses;
" Hoc quidem exeunte mense, isto autem instante,
" Domum revertetur, et ulciscetur, quicunque illius
" Hìc probro-afficit uxorem, et illustrem filium."
Hunc autem respondens allocutus es, Eumaee subulce:
" O senex, neque profectò ego munus-læti-nuncii hoc solvam,
" Neque Ulysses ampliùs domum veniet; sed quietus
" Bibe, et alia præter-hæc memoremus, neque mihi hæc
" In-mentem-revoca: certè enim animo in pectore meo
" Doleo, quando aliquis meminerit honorandi domini.
" At sanè juramentum quidem omittamus: verùm Ulysses

Ver. 161. Τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται.] Λυκάβας δὲ καὶ ὧν ὁ ἐνιαυτός· οὐ μόνον διὰ τὸ λυγκίως, ὅ ἐστι λελησθότως, καὶ οἷον σκοτεινῶς παρέρχεσθαι· ἀλλὰ καὶ διότι αἱ κατ' αὐτὸν ἡμέραι, καθ' ὁμοιότητα διαβάσεως λύκων, ἀλλήλοις ἴσχουσαι. Πιστεύεται δὲ, φασὶ, τοὺς λύκους διαβαίνοντας βαθεῖαν ποταμὸν, ἐνδακόντας τὴν πέρκον τῶν ἀεὶ προηγουμένων τοὺς ἑπομένους στιχηδὸν διανήχεσθαι, καὶ οὕτω μὴ παρασύρεσθαι τῷ ποταμῷ ἄλλον ἀλλαχοῦ, ὡς καὶ Αἰλιανὸς [*de Animal. lib.* III. *cap.* 6.] ἱστορεῖ. *Eustath.* Alitèr tamen de voce Λυκάβας ipse *Ælianus*: Λέγουσι δὲ φίλον ἡλίῳ εἶναι αὐτον [λυκὸν]· καὶ διὰ ταῦτα εἰς τιμὴν τὴν τοῦ ζώου κεκλῆσθαι καὶ τὸν ἐνιαυτὸν Λυκάβαντα εἶσιν οἱ λέγουσι· χαίρειν δὲ αὐτῷ καὶ τὸν Ἀπόλλωνα λόγος. *De Animal. lib.* X. *cap.* 26. Et *Macrobius*: " Annum " quoque vetustissimi Græcorum Λυκάβαντα " appellant, τὸν ἀπὸ τοῦ λύκου, id est Solem, " βαινόμενον καὶ μιτρούμενον Λύκου autem So- " lem vocari etiam Lycopolitana Thebaï- " dos civitas testimonio est; quæ pari reli- " gione Apollinem, itemque Lupum, hoc " est Λύκον, colit; in utroque Solem vene- " rans." *Saturnal. lib.* I. *cap.* 17.

Ver. 162. Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο.] Περὶ τρισκαίδεκα καὶ νουμηνίαν. *Schol.* " Homerus quoque cùm ait; τοῦ μὲν φθί- " νοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο, quid aliud " nisi illum φθίνοντα dicit, cujus paulatim " deficientis supputatio in nomen desinit " secuturi; et ἱστάμενον illum qui præcedit " numerum successurus priori in defectum " meanti." *Macrob. Saturnal. lib.* I. *cap.* 16. Συνιδὼν δὲ [ὁ Σόλων] τοῦ μηνὸς τὴν ἀνωμαλίαν, καὶ τὴν κίνησιν τῆς σελήνης, οὔτε δυομένην τῷ ἡλίῳ πάντως, οὔτ' ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε ταύτην, ἵνην καὶ νέαν καλεῖσθαι· τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς, τῷ παυομένῳ μηνὶ, τὸ δὲ λοιπὸν ἤδη τῷ ἀρχομένῳ προσήκειν ἡγούμενος· πρῶτος (ὡς ἔοικεν) ὀρθῶς ἀκούσας Ὁμήρου λέγοντος, " Τοῦ μὲν φθί- " νοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο." Τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσε. *Plutarch. in vitâ Solonis.* Vide et *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 13.

Ver. 163. —— νοστήσει.] *Al.* νοστήσας. Atque ita in duobus MSS. scriptum reperit *Tho. Bentleius.* Quæ et potior videtur lectio.

Ibid. —— ὅς κεν.] *Al.* ὅστις.

Ver. 168. Πῖνε, καὶ ἄλλα.] *Al.* Πιὲ τι, κἄλλα.

Ver. 169. —— Θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν Ἄχνυμαι.] *Eustathius* in commentario citat, Θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν Ἄχνυται.

Ver. 171. —— ὅρκον μὲν ἐάσομεν.] *Al.* κεῖνον μὲν ἐάσομεν. Ut infrà *ver.* 183. Sed hoc in loco minùs rectè, propter sequentem Αὐτὰρ Ὀδυσσεὺς &c.

Ἔλθοι, ὅπως μιν ἔγωγ' ἐθέλω, καὶ Πηνελόπεια,
Λαέρτης θ' ὁ γέρων, καὶ Τηλέμαχος θεοειδής,
Νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ' Ὀδυσσεύς,
Τηλεμάχου· τὸν ἐπεὶ θρέψαν θεοί, ἔρνεϊ ἶσον,
Καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔτι χερείω
Πατρὸς ἑοῖο φίλοιο, φρένας καὶ εἶδος ἀγητόν·
Τοῦ δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας,
Ἠέ τις ἀνθρώπων· ὁ δ' ἔβη, μετὰ πατρὸς ἀκουήν,
Ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
Οἴκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
Νώνυμον ἐξ Ἰθάκης Ἀρκεισίου ἀντιθέοιο.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἦ κεν ἁλώῃ,
Ἦ κε φύγοι, καί κέν οἱ ὑπέρσχοι χεῖρα Κρονίων.
Ἀλλ' ἄγε μοι σὺ, γεραιέ, τὰ σαυτοῦ κήδε' ἔνισπε,
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·

" Veniat, ut ipsum ego volo, et Penelope,
" Laërtesque senex, et Telemachus deo-par.
" Nunc rursùs nati-causâ in-perpetuum lugeo, quem genuit Ulysses,
" Telemachi, quem postquam nutrierant dii, plantae similem,
" Et ipsum putabam fore in viris haud pejorem
" Patre suo charo, mente et specie admirabilem;
" Ejus utique aliquis immortalium laesit mentem intùs aequam,
" Vel aliquis hominum; is autem ivit, ad patris auditionem,
" In Pylum divinam: ei verò proci superbi
" Domum venienti insidias-struunt, ut genus dispereat
" Sine-nomine ex Ithacâ Arcesii deo-paris.
" Sed sanè illum quidem sinamus, sive opprimatur,
" Sive effugiat, et eum protegat manu Saturnius:
" Sed age mihi tu, senex, tuas ipsius aerumnas enarra,
" Et mihi hoc dic verum, ut benè sciam,
" Quis? undè es virorum? ubi tibi urbs, et parentes?
" Quânam autem in nave venisti? quomodo te nautae
" Duxerunt in Ithacam? quosnam *se* esse profitebantur?
" Nequaquam enim te peditem puto huc venisse."
Hunc autem respondens allocutus est prudens Ulysses:

"Ὀρνυ δὲ φύγῃ, κἂν δικαίως ὀμνύῃ.
Menander, citatus à Duporto, in Gnomologiâ ad hunc Homeri locum.

Ibid. et *ver.* 183. —— ἐάσομεν.] *Barnesius* scribendum contendit ἐάσομεν. Sed malè. Vide ad *Il.* δ', 42.

Ver. 176. — χερείω.] *Al.* χέρεια, vel χειρῆτ.

Ver. 177. —— φρένας καὶ εἶδος.] *Eustathius* in commentario citat, δίμας καὶ εἶδος.

Ver. 182. Νώνυμον.] Vide ad *Il.* ν', 227.

Ver. 183.—— ἦ κεν.] *Al.* εἴ κεν.

Ver. 184. —— φύγοι, —— ὑπέρσχοι.] Apud *Eustathium* φύγῃ —— ὑπέρσχῃ.

Ver. 185. —— σαυτοῦ.] *Barnesius* edidit σ' αὐτοῦ.

Ver. 190. Οὐ μὲν γάρ τί σε πεζόν.] Vide suprà ad δ, 175.

Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
Εἴη μὲν νῦν νωΐν ἐπὶ χρόνον ἠμὲν ἐδωδὴ,
Ἠδὲ μέθυ γλυκερὸν, κλισίης ἔντοσθεν ἐοῦσι,
Δαίνυσθαί τ' ἀκέοντ', ἄλλοι δ' ἐπὶ ἔργον ἕποιεν,
Ῥηϊδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
Οὔτι διαπρήξαιμι, λέγων ἐμὰ κήδεα θυμοῦ,
Ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα·
Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων,
Ἀνέρος ἀφνειοῖο πάϊς· πολλοὶ δὲ καὶ ἄλλοι
Υἱέες ἐν μεγάροις ἠμὲν τράφεν, ἠδ' ἐγένοντο,
Γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ
Παλλακὶς, ἀλλά με ἶσον ἰθαγενέεσσιν ἐτίμα

" Enimverò tibi ego haec valdè accuratè enarrabo.
" Esset quidem nunc nobis in *longum*-tempus et cibus,
" Et vinum dulce, casam intra manentibus,
" Epularique quietis, alii autem opus obirent;
" Facilè posteà et in annum integrum
" Neutiquam perficerem narrans meos dolores animi,
" Quotquot utique jam omnes deorum voluntate pertuli:
" Ex Cretâ quidem genere glorior *me esse* latâ,
" Viri divitis filium: multi verò et alii
" Filii in aedibus et educati sunt, et nati,
" Legitimi ex uxore; me autem empta peperit mater
" Pellex; sed me aequè ac legitimos honorabat

Ver. 193. —— νωΐν.] Apud *Eustathium*, ἡμῖν, vel ἧμιν.

Ver. 195. —— ἰνὶ ἴεγυι ἴτσιιν.] Id est, ut rectè *Eustathius*, ἴεγον ἰφίστιιν. *Al.* ἰνὶ ἴεγα ἴτσιιν, et ἰπὶ ἴεγα τρέποιντο.

Ver. 196. —— καὶ εἰς ἐνιαυτὸν ἅπαντα Οὔτι διαπρήξαιμι, λέγων ἐμὰ κήδεα.]

— si prima repetens ab origine pergam,
Et vacet annales nostrorum audire laborum;
Antè diem clauso componet vesper Olympo. *Æn.* I, 374.

Ver 199. Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων.] " In hoc versu," inquit *Barnesius*, " *Rhythmus* insignis, ut *Odyss. ά, ver.* 40. " Ἐκ γὰρ Ὀρίσταο τῖσις ἔσσεται Ἀτρεΐδαο et " *ver.* 397. Αὐτὰρ ἐγὼν οἶκοιο ἄνωξ ἔσομ' " ἠμιτρέφοις. Item Ϡ, *ver.* 224. Οὔϑ' Ἡρα- " κλῆι, οὔτ' Εὐρύτῳ Οἰχαλιῆι. Et μ', *ver.* 70. " Ἀργὼ πασιμέλουσα, πᾶς' Αἰήταο πλέουσα. " Talis ille *Simmiæ* in *Gorgo*, apud *Athenæum*, *lib.* XI. *fol.* 491. Αἰθίοες ὠκεῖαι πρέσβολοι " πέλναντο πέλλαι. Item *Antholog. lib.* I. " *cap.* 13. § 16. *fol.* 19. Πειράζεις τὸν Νεῖλον· " ὁ δ' ἐν δίναις κροκόδιλον. Item: Τοῦ σο- " λυκώδους τοῦτ' ἦρίον Ἀραβίους. Hàc " Rhythmi dulcedine capti Neoterici, præ- " sertim *Orientalibus* et *Septentrionalibus* " Linguis ἰμειοστώτους cadentibus, sonum " semper sibi similem in Versibus conden- " dis captabant: quod in *Anglicâ* nostrâ " Linguâ, *Gallicâ*, et *Germanicâ* aptius " quàm in *Græcâ* aut *Latinâ* conveniet. " Verùm nec *Ovidius* nec *Virgilius* hanc " rem intactam reliquerunt, præsertim in " ἰμειστιλεύτοις." Vide ad *Il.* ζ', 236. Cæterùm de totâ hâc narratione *Eustathius*: Εἰδὼς δὲ [ὁ Ποιητὴς] ὡς οὐκ ἂν τῶν τις ἰσόστιχον ἀνδρώων ἱστιστρεφτὶν λόγων οὕτω ψευδῶν, ἀρτύει αὐτοὺς ἐν τῷ μέσῳ ἱστορίαις τι ἀληθέσι καὶ τοπογραφίαις καὶ ἱστίοις οὐκ ὀλίγοις χρησίμοις καὶ λόγου ἀξίοις. Ὡραΐζει δὲ καὶ ῥητορικῶς καλλιγραφίᾳ τὴν διήγησιν. Καὶ ὅλως πολὺ τὸ ἰπαγωγὸν ἐντίθησι καὶ τῷ τοιούτῳ λόγῳ, ἵνα μὴ διὰ τὴν ψευδῆ πλάσιν ἐξαϑεριζοιτο.

Ibid. —— εὐρειάων.] Νῦν —— μακρᾷς· στενὴ γὰρ ἡ Κρήτη. *Schol.*

Ver. 201. Τίτις ἐν μιγάροις.] *Al.* Τῖτις ἰνὶ μιγάροις, et Τίμις ἰν μιγαρῳ.

Ver. 202. —— ἰμὶ ὁ ὠνητὴ τέκε μήτηρ Παλλακίς.]

Mæonio regi quem serva Lycimnia furtim
Sustulerat ——————. *Æn.* IX, 546.

Ibid. — ὠνητή.] Ἐξ ἀγοραστίας δούλη. *Schol.*

Ver. 203. —— ἰθαγενέεσσιν.] Τίσιν γνησίοις. *Schol. Al.* ἰθαγενίεσσιν.

Κάστωρ Ὑλακίδης, τοῦ ἐγὼ γένος εὔχομαι εἶναι·
Ὅς ποτ' ἐνὶ Κρήτεσσι, θεὸς ὡς, τίετο δήμῳ,
Ὀλβῷ τε, πλούτῳ τε, καὶ υἱάσι κυδαλίμοισιν.
Ἀλλ' ἤτοι τὸν κῆρες ἔβαν θανάτοιο φέρουσαι
Εἰς Ἀΐδαο δόμους· τοὶ δὲ ζωὴν ἐδάσαντο
Παῖδες ὑπέρθυμοι, καὶ ἐπὶ κλήρους ἐβάλοντο·
Αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν, καὶ οἰκί' ἔνειμαν.
Ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων,
Εἵνεκ' ἐμῆς ἀρετῆς· ἐπεὶ οὐκ ἀποφώλιος ἦα,
Οὐδὲ φυγοπτόλεμος· νῦν δ' ἤδη πάντα λέλοιπεν·
Ἀλλ' ἔμπης καλάμην γέ σ' ὀΐομαι εἰσορόωντα
Γινώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
Ἦ μὲν δὴ θάρσος μοι Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη,
Καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε
Ἀνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων,

" Castor Hylacides, cujus ego genus glorior *me* esse:
" Qui quondam in Cretensibus, deus veluti, honorabatur populo,
" Fortunisque, divitiisque, et filiis gloriosis.
" Sed sanè illum fata iverunt mortis ferentia
" In Orci domos: facultates verò-diviserunt
" Filii magnanimi, et sortes jacerunt:
" At mihi valdè pauca dederunt, et aedes tribuerunt.
" Duxi autem uxorem locupletissimorum hominum
" Gratiâ meae virtutis; quia non despicabilis eram,
" Neque fugax-in-bello: nunc autem jam omnia defecerunt;
" Sed tamen stipulam saltem te arbitror intuentem
" Cognoscere; profectò enim me calamitas tenet cumulatè multa.
" Sanè quidem omninò audaciam Marsque dederunt et Minerva,
" Et vires-bellicas: cùm legerem ad insidias
" Viros optimates, mala inimicis serens;

Ver. 205. Ὅς ποτ'.] *Al.* Ὅς τότ'.
Ibid. —— Κρήτεσσι.] *Al.* Κρήτησι.
Ver. 208. —— ζωὴν.] Πειρωσίαν. *Schol.*
Ver. 209. —— καὶ ἐπὶ κλήρους ἐβάλοντο.] Δῆλον γὰρ ὡς κλήρους διενείμαντο οἱ παῖδες τὴν πατρικὴν κτῆσιν· ὅθεν ἡ κληρονομία λέγεται. *Eustath.*

Ver. 214. —— καλάμην γέ σ' ὀΐομαι εἰσορόωντα Γινώσκειν.] Πιθανῶς τῷ παραδείγματι· ὡς γὰρ πρὸς ἄγροικον ὄντες τοῦ λέγου· ἐστὶ δὲ οὐδὲν ἧττον ἐναργὲς· ὡς γὰρ ἀπὸ τῆς καλάμης ἰσίσωσι νοῆσαι τὸ κάλλος τῶν στιφρισμένων καρπῶν, οὕτως καὶ ἐκ πρισβυτικοῦ σώματος τὴν ἀρχαίαν ἕξιν κατανοῆσαι. *Schol.* Hinc apud *Erasmum*, Proverbium: *Ex stipulâ cognoscere.* " Ἐκ τῆς καλάμης γινώσκειν —— dicitur, " quoties è vestigiis quibusdam in senectâ " reliquis conjecturam facimus, cujusmodi " quis fuerit in adolescentiâ; translatâ me- " taphorâ à segetibus." *Erasm. Adag. Sect. de Conjecturis.* Sic apud *Lucianum*: Ὡς ἐκ τῆς ἀπὸ τῆς καλάμης τεκμαίρεσθαι. *Pseudomantis*, haud longè ab initio. Cæterùm laudat hanc Metaphoram *Aristoteles*: Τὸ γὰρ μανθάνειν ῥᾴδιον, ἡδὺ φύσει πᾶσιν ἐστί ——. Ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα. Ὅταν γὰρ εἴπῃ τὸ γῆρας καλάμην, ἐοίκησε μάθησιν καὶ γνῶσιν διὰ τοῦ γίνους· ἄμφω γὰρ ἀπηνέκοτα. *Rhetoric. lib.* III. *cap.* 10.

Ver. 215. —— δύη.] Κακοπαθία, καὶ ἡ ἐξ ἰνδίας δυστυχία. *Schol.*

Ver. 217. Καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε]

Ἐς λόχον ἔνθα μάλιστ' ἀριστὴ διαφαίνεται ἀνδρῶν,
Ἔνθ' ἴ, τε διιλὴς ἀνὴρ, ἴς τ' ἄλκιμος, ἐξιφανάων. *Iliad.* ν', 277

Οὔτοτέ μοι θάνατον προτιόσσετο θυμὸς ἀγήνωρ,
Ἀλλὰ πολὺ πρώτιστος ἐπάλμενος ἔγχει ἕλεσκον
Ἀνδρῶν δυσμενέων, ὅ, τέ μοι εἴξειε πόδεσσι.
Τοῖος ἔ' ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν,
Οὐδ' οἰκωφελίη, ἥτε τρέφει ἀγλαὰ τέκνα·
Ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν,
Καὶ πόλεμοι, καὶ ἄκοντες ἐΰξεστοι, καὶ ὀϊστοὶ,
Λυγρὰ, τά τ' ἄλλοισίν γε καταριγηλὰ πέλονται.
Αὐτὰρ ἐμοὶ τὰ φίλ' ἔσκε, τά που Θεὸς ἐν φρεσὶ θῆκεν·
Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
Πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν,
Εἰνάκις ἀνδράσιν ἦρξα, καὶ ὠκυπόροισι νέεσσιν,
Ἄνδρας ἐς ἀλλοδαπούς· καί μοι μάλα τύγχανε πάντα·

" Nunquam mihi mortem ante-oculos-ponebat animus generosus,
" Sed multò primus insiliens hastâ occidebam
" Virorum inimicorum, quicunque mihi cederet pedibus.
" Talis eram in bello; opus verò mihi haud gratum erat,
" Neque rei-familiaris-cura, quæ scilicet nutrit claros filios;
" Sed mihi semper naves remigio-instructæ gratæ erant,
" Et bella, et tela benè-polita, et sagittæ:
" Tristia, quæ utique aliis horrenda sunt.
" At mihi ea grata erant, quæ scilicet Deus in animo posuit:
" Alius etenim aliis vir delectatur operibus.
" Antè enim quàm in Trojam profecti sint filii Achivorum,
" Novies viris imperavi, et velocibus navibus,
" Viros adversus externos; et mihi abundè contigerant omnia;

Ver. 219. —— προτιόσσετο.] *Porphyrius, Quæst. Homeric.* 16. exponit προμαντεύετο. *Scholiastes* autem, προείλκετο, προεδίκετο.

Ver. 220. —— ἕλεσκον.] *Al.* ἕλασκον.

Ver. 222. Τοῖος ἔ' ἐν πολέμῳ.] *Barnesius* legi posse conjicit, Τοῖος ἦν πολέμῳ. Sed nihil opus; quum vox ἔα hoc sensu alibi apud Poetam occurrat: nempè *Iliad.* Υ', 321. ί, 887. et infrà *ver.* 352. hujus libri.

Ibid. —— ἔργον δέ μοι οὐ φίλον ἔσκεν, Οὐδ' οἰκωφελίη.] Εὖ δὲ καὶ Ὁμήρῳ κεῖσόηται, " — " ἔργον δέ μοι οὐ φίλον ἦεν, Οὐδ' οἰκωφελίη, ἥ- " τε τρέφει ἀγλαὰ τέκνα. Ἀλλά μοι αἰὲν νῆες " ἕϛ." ὡς τοὺς αὐτοὺς ἀμελοῦντας οἰκίας, καὶ περιζωμένους ἐξ ἀδικίας. *Plutarch. in Catone Majore*, haud longè à fine. Ubi notandum pro φίλον ἔσκεν, legisse hìc *Plutarchum*, φίλον ἦεν. Cæterùm nonnulli, notante *Eustathio*, ἔργον hoc in loco. κατ' ἐξοχὴν accipiunt τὸν γυναικεῖον μόνον. Atque ita exponit *Scholiastes*.

Ver. 223. Οὐδ' οἰκωφελίη.] Οἰκουρία, οἰκονομία, ἐπιμέλεια. *Schol.*

Σοὶ δ' οἰκωφελίη μελέτω, μίγαρόν τε φυλάσσειν. *Naumach. Gnom. ver.* 20.

Ver. 226. —— καταριγηλά.] *Al.* κατὰ ῥιγηλὰ, et καταῤῥιγηλά.

Ver. 228. Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.] Ἐν τούτοις καὶ γνωμικὴν παραμίαν ἐπιθέσεως τῆς λεγούσης, " Ἄλλα παρ' " ἄλλοις καλά." *Eustath.*

Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἐπέκλασεν.
Archiloch. ap. Clem. Alexand. Strom. VI.

Ubi et hic *Homeri* locus adducitur.

Ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.
Euripides apud Eundem, ibid.

Καὶ γὰρ ἑτέροις ἑτέροις ἔρως
Ἐπικεῖται γε φρένας.
Pindar. Pythior. Ode X. *ver.* 93.

Denique non omnes eadem mirantur amantque.
Horat. Epist. lib. II. ii. 58.

Castor gaudet equis; ovo prognatus eodem,
Pugnis: quot capitum vivunt, totidem studiorum
Millia. —— *Id. Serm. lib.* II. i. 26.
—— trahit sua quemque voluptas.
Virg. Ecl. II, 65.

Vide et suprà ad Σ', 167.

Ver. 231. —— πάντα.] MS. à *Theo. Bentleio* collatus, πολλά.

Τῶν ἐξαιρεύμην μενοεικέα, πολλὰ δ' ὀπίσσω
Λάγχανον· αἶψα δὲ οἶκος ὐφάλλετο, καί ῥα ἔπειτα
Δεινός τ' αἰδοῖός τε, μετὰ Κρήτεσσι τετύγμην.
Ἀλλ' ὅτε δὴ τήνδε στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
Ἐφράσαθ', ἣ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε,
Δὴ τότε μ' ἤναγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
Νήεσσ' ἡγήσασθαι ἐς Ἴλιον· οὐδέ τι μῆχος
Ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις.
Ἔνθα μὲν εἰνάετες πολεμίζομεν υἷες Ἀχαιῶν,
Τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες ἔβημεν
Οἴκαδε σὺν νήεσσι· θεὸς δ' ἐκέδασσεν Ἀχαιούς.
Αὐτὰρ ἐμοὶ δειλῷ κακὰ μήδετο μητίετα Ζεύς·
Μῆνα γὰρ οἷον ἔμεινα τερπόμενος τεκέεσσι,
Κουριδίῃ τ' ἀλόχῳ, καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
Αἴγυπτόνδε με θυμὸς ἀνώγει ναυτίλλεσθαι,
Νῆας ἐῢ στείλαντα σὺν ἀντιθέοις ἑτάροισιν.
Ἐννέα νῆας στεῖλα, θοῶς δ' ἐσαγείρατο λαός.
Ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἑρίηρες ἑταῖροι
Δαίνυντ'· αὐτὰρ ἐγὼν ἱερήια πολλὰ παρεῖχον,
Θεοῖσίν τε ῥέζειν, αὐτοῖσί τε δαῖτα πένεσθαι.
Ἑβδομάτῃ δ' ἀναβάντες ἀπὸ Κρήτης εὐρείης,

" Ex quibus eligebam quae-placebant; multa autem pòst
" Sortitò-obtinebam: statim verò domus augebatur; et deinceps
" Gravisque reverendusque inter Cretenses factus-sum.
" Sed cùm jam hoc odiosum iter latè-sonans Jupiter
" Decrevit, quod multorum virorum subtùs genua solvit;
" Utique tunc me jusserunt et inclytum Idomeneum
" Naves ducere in Ilium; neque ulla ratio
" Erat denegandi, gravis nempè premebat vulgi vox.
" Ibi quidem novem-annis belligerabamus filii Achivorum,
" Decimo autem urbem Priami populati, ivimus
" Domum-versus cum navibus; Deus verò dissipat Achivos.
" At mihi misero mala struebat providus Jupiter;
" Mensem enim solum mansi delectans *me* filiis,
" Virgineâque uxore, et facultatibus: at postea
" In-Aegyptum me animus impulit navigare,
" Navibus benè-adornatis cum eximiis sociis.
" Novem naves adornavi; citò autem coactæ sunt copiæ.
" Sex-diebus quidem postea mei dilecti socii
" Convivabantur; at ego victimas multas præbebam,
" Et Diis ad-sacrificandum, et ipsis ad epulas parandas.
" Septimo autem navibus-conscensis à Cretâ latâ,

Ver. 235. —— τήνδε.] Apud *Eustathium* τήν γε.

Ver. 246. Αἴγυπτόνδε.] Vide infrà ad *ver.* 257. 258.

Ver. 247. —— εὖ στείλαντα.] Ita *Barnesius*. *Vulgg.* ἐϋστέλλαντα.

Ver. 250. —— ἱερήια.] Θελήματα. *Schol.* Vide ad *Il.* χ', 159.

Ver. 251. Θεοῖσίν τε ῥέζειν.] Pronuntiabatur Θεῖσιν ut rectè notavit *Barnesius*. Vide ad *Il.* έ, 18.

Ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέϊ, καλῷ,
Ῥηϊδίως, ὡσεί τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
Νηῶν πημάνθη, ἀλλ' ἀσπεθέες καὶ ἄνουσοι
Ἥμεθα· τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον.
Πεμπταῖοι δ' Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα·
Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
Ἔνθ' ἦτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
Αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι·
Ὀπτῆρας δὲ κατὰ σκοπιὰς ἄντρυνα νέεσθαι·
Οἱ δ', ὕβρει εἴξαντες, ἐπισπόμενοι μένει σφῇ,
Αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
Πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,

" Navigavimus Boreâ vento puro, bono,
" Facilè, veluti secundo flumine; neque ulla adeò mihi
" Navium laesa est, sed sospites et incolumes
" Sedebamus: has autem ventusque gubernatoresque dirigebant.
" Quinto-die autem ad Aegyptum pulchrè-fluentem venimus:
" Statui verò in Aegypto fluvio naves remis-utrinque-agitatas.
" Ibi quidem ego jubebam charos socios,
" Illic apud naves manere, et naves tueri;
" Speculatores autem per speculas hortabar ut-irent:
" Hi autem insolentiae cedentes, sequentes impetum suum,
" Statim admodùm Aegyptiorum virorum perpulchros agros
" Populabantur, mulieresque abducebant, et infantes liberos,

Ver. 254. —— *ὡσεί τε κατὰ ῥόον.*] *Al. ὡς εἴτε κατ' ἄῤῥοον.*

Ibid. —— *οὖν.*] *Proindè.* ——

Ver. 256. —— *τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον.*]

—— fugimus spumantibus undis,
Quà cursum ventusque gubernatorque vocabant. *Æn.* III, 269.

Ver. 257. *Πεμπταῖοι.*] *Τῶν δὲ ἄκρων* [*τῆς Κρήτης*] —— *τὸ δ' ἰὸν τὸ Σαμώνιόν ἐστιν·* —— *Ἐστὶ δ' ἀπὸ* —— *τοῦ Σαμωνίου πρὸς Αἴγυπτον, σταδίων ἡμισέων καὶ πεντῶν πλοῦς. Strabo, Geograph. lib.* X. *pag.* 727. 728. *al.* 474. 475.

Ibid.—*Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα.*] " Ita " appellatur Ægyptus propter Nilum à quo " certis temporibus irrigatur." *Spondan.* Pessimè. Rectè enim *Barnesius* hìc per *Αἴγυπτον* non *Terram Ægypti*, sed fluvium *Nilum* intelligit, qui in sequenti versu et alibi sæpè apud Poetam *Αἴγυπτος* appellatur. " Patet," inquit, " hìc ex *Masculino* Epi- " theto, *Ægyptum* hìc non dici de *Terrâ*, " sed de *Fluvio*. —— Præterea hoc *Epi-* " *theton* semper de *Fluvio* apud *Homerum* " dicitur:"

Ναῦ δὲ Σαπηίνους ἐϋῤῥείτης παρ' ὄχθας.
Iliad. ζ, 34.

Similitèr *Eustathius*: *Δηλοῖ δὲ, ὡς καὶ περὶ τούτων, καὶ ὅτι Αἴγυπτος καὶ ὁ Νεῖλος ἐκαλεῖτο· φησὶ γὰρ·* " *Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα.*" *Καὶ,* " *Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας.*" Vide ad *ver.* 258.

Ver. 258. *Στῆσα δ' ἐν.*] MS. à *Tho. Bentleio* collatus, *Στήσαμεν.*

Ibid. —— *Αἰγύπτῳ ποταμῷ.*] *Ὅμηρος* —— *τοῖς ἀρχαίοις ἐχρήσατο ὀνόμασιν,* —— *καθότι καὶ Αἴγυπτον τὸν ποταμὸν εἶπεν, οὐ Νεῖλον. Pausanias, lib.* IX. *cap.* 40. Vide *Plin. Nat. Hist. lib.* V. *cap.* 9. item suprà ad *γ'*, 300. et *δ'*, 581. et *λ'*, 638.

Ver. 262. —— *ὕβρει εἴξαντες.*] *Νεμεσήσαντες ὑπὸ τῆς ὕβρεως. Schol.*

Ibid. —— *μένει σφῇ.*] Apud *Eustathium*, *μένει σφῶν.*

Ver. 263. —— *Αἰγυπτίων.*] Similitèr infrà *ver.* 286. *Αἰγυπτίους.* Ubi *Barnesius*; " Duæ," inquit, " ultimæ Syllabæ coales- " cunt in unam." Sed nihil opus. Vide suprà ad *δ'*, 127. et ad *Il. β'*, 537.

Ver. 264. —— *ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα.*] *Ἄγον, ἀντὶ τοῦ, εἰς αἰχμαλωσίαν ἀπέφερον. Schol.* Sic *Iliad. ί*, 589.

Ἀνδρας μὲν κτείνουσι. ——
Τέκνα δὲ τ' ἄλλα ἄγουσι, βαθυζώνους τε γυναῖκας.

Αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή·
Οἱ δὲ, βοῆς ἀΐοντες, ἅμ' ἠοῖ φαινομένῃφιν
Ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων,
Χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
Φῦζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
Μεῖναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
Ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Τοὺς δ' ἄγαγον ζωοὺς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶ τοῦτο νόημα
Ποίησ'· (ὡς ὄφελον θανέειν, καὶ πότμον ἐπισπεῖν
Αὐτοῦ ἐν Αἰγύπτῳ· ἔτι γάρ νύ με πῆμ' ὑπέδεκτο·)
Αὐτίκ' ἀπὸ κρατὸς κυνέην εὐτυκτον ἔθηκα,
Καὶ σάκος ὤμοιϊν· δόρυ δ' ἔκβαλον ἔκτοσε χειρός·
Αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἦλυθον ἵππων,
Καὶ πύσα γούναθ' ἑλών· ὁ δ' ἐρύσατο, καί μ' ἐλέησεν·
Ἐς δίφρον δέ μ' ἔσας ἄγεν οἴκαδε δακρυχέοντα.

" Ipsosque interficiebant; citò autem ad urbem pervenit strepitus:
" Illi autem clamorem audientes, simul cum aurorâ apparente,
" Venerunt; impletus est verò totus campus peditibusque et equitibus,
" Aerisque fulgore: Jupiter autem gaudens-fulmine
" Fugam meis sociis malam immisit; neque quisquam sustinuit
" Consistere contrà: circùm enim mala undique stabant.
" Ibi nostrûm multos quidem interfecerunt acuto aere;
" Alios autem duxerunt vivos, sibi operaturos ex-necessitate.
" At mihi Jupiter ipse in mente hoc cogitatum
" Effecit; (ut debui mori, et fatum assequi
" Illic in Aegypto; adhuc enim me malum excepit!)
" Statim de capite galeam fabrefactam deposui,
" Et scutum ab humeris; hastamque projeci ex manu:
" At ego regis obviam ivi equis;
" Et osculatus-sum genua prehensa: hic autem servavit, et mei misertus est;
" In currum verò me locatum duxit domum lachrymas-fundentem.

Ver. 266. —— *βοῆς ἀΐοντες.*] Vide ad *Il. δ*, 252.

Ver. 267. —— *πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων, Χαλκοῦ τε στεροπῆς.*]

Præterea magnæ legiones cum loca cursus
Camporum complent: ——
Fulgur ibi ad cœlum se tollit; totaque circùm
Ære renidescit tellus. ——
Lucret. lib. II. *ver.* 323. 327.

Ut sæpè ingenti bello cùm longa cohortes
Explicuit legio, et campo stetit agmen aperto,
Directæque acies, ac latè fluctuat omnis
Ære renidenti tellus. ——
Virg. Georg. II, 279.

—— campique armis sublimibus ardent. *Æn.* XI, 602.

Ver. 270. —— *περὶ γὰρ κακὰ πάντοθεν ἔστη.*] Sic *Iliad. π'*, 111.

—— *πάντη δὲ κακὸν κακῷ ἐστήρικτο.*

Ver. 272. —— *ἄγαγον.*] MSS. duo à *Tho. Bentleio* collati, *ἄναγον*. Quo modo et in Vulgatis legitur infrà *ρ'*, 441. ubi repetitur hic locus.

Ver. 273. —— *ἐνὶ φρεσὶ τοῦτο νόημα.*] *Eustathius* in commentario citat, *ἐνὶ φρεσὶν ᾗδε νόημα.*

Ver. 278. *Αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον.*] *Φασὶ δὲ οἱ Παλαιοὶ ἐν τῷ,* " *βασιλῆος ἐναντίον* " *ἦλυθον,*" *ὅτι ὁ Σίσυς ἐβασίλευεν Αἰγύπτου τότε. Eustath.*

Ver. 279. —— *καί μ' ἐλέησεν.*] *Eustathius* in commentario citat, *καί μ' ἐσάωσεν.*

Ἦ μέν μοι μάλα πολλοὶ ἐπήϊσσον μελίῃσιν,
Ἰέμενοι κτεῖναι· (δὴ γὰρ κεχολώατο λίην·)
Ἀλλ' ἀπὸ κεῖνος ἔρυκε· Διὸς δ' ὀπίζετο μῆνιν
Ξεινίου, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.
Ἔνθα μὲν ἑπτάετες μένον αὐτόθι, πολλὰ δ' ἄγειρα
Χρήματ' ἀν' Αἰγυπτίους ἄνδρας· δίδοσαν γὰρ ἅπαντες.
Ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,
Δὴ τότε Φοίνιξ ἦλθεν ἀνὴρ, ἀπατήλια εἰδὼς,
Τρώκτης, ὃς δὴ πολλὰ κάκ' ἀνθρώποισιν ἐώργει·
Ὅς μ' ἄγε παρπεπιθὼν ἧσιν φρεσὶν, ὄφρ' ἱκόμεσθα
Φοινίκην, ὅθι τοῦγε δόμοι καὶ κτήματ' ἔασιν.
Ἔνθα παρ' αὐτῷ μεῖνα τελεσφόρον εἰς ἐνιαυτόν·
Ἀλλ' ὅτε δὴ μῆνές τε, καὶ ἡμέραι ἐξετελεῦντο,
Ἄψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
Ἐς Λιβύην μ' ἐπὶ νηὸς ἐΐσατο πουκοτόροιο,
Ψεύδια βουλεύσας, ἵνα οἱ σὺν φόρτον ἄγοιμι·
Κεῖθι δέ μ' ὡς περάσῃσι, καὶ ἄσπετον ὦνον ἕλοιτο.

" Profectò me valdè multi adoriebantur fraxineis hastis,
" Cupientes interficere, (jam enim irati erant valdè :)
" Sed ille arcebat : Jovis nempè veritus est iram
" Hospitalis, qui utique maximè indigne-fert mala opera.
" Ibi quidem septem annos mansi ibidem, multasque collegi
" Divitias inter Aegyptios viros; dederunt enim omnes
" Sed cùm jam octavus mihi revolvens annus venisset,
" Tunc demùm Phoeniceus venit vir, fallacia doctus,
" Veterator, qui jam multa mala hominibus fecerat :
" Qui me duxit persuasum ipsius ingenio, donec venissemus
" In Phoeniciam, ubi ejus scilicet domus, et possessiones erant.
" Ibi apud ipsum mansi integrum in annum :
" Sed quando jam menseque et dies exacti essent,
" Iterùm se-circumvolvente anno, et supervenissent tempora ;
" In Libyam me navi imposuit pontum transeunti,
" Mendacia meditatus, ut secum onus portarem ;
" Illic autem me ut venderet, et magnum pretium acciperet.

Ver. 283. —— *ἀπὸ κεῖνος ἔρυκε.*] Suos nimirùm à vi *Ulyssi* inferendâ arcuit. Ita infrà *σ'*, 104. — *κίνας, σύας σ' ἀνερύσαι.* Et *Iliad. Υ'*, 542. *ρ'*, 562. — *βιλίων ἀνερύσαι ἕρμῆν. Barnesius*, Versionem Editionis *Didymi* secutus, malè reddit, " *ille eripuit.*"

Ver. 286. *Χρήματ'.*] *Al. Κτήματ'.*

Ver. 287. *Ἀλλ' ὅτε δὴ ὄγδοόν μα.*] Pronuntiabatur *ὄγδοον.* Ut rectè notavit *Barnesius.*

Ver. 288. *Δὴ τότε Φοίνιξ ἦλθεν ἀνὴρ.*] *Ἐστὶ δὲ καὶ τὸν Εὔμαιον ὑπὸ Φοινίκων πεπραμένον. Schol.*

Ibid. —— *Φοίνιξ.*] *Barnesius* edidit *Φοῖνιξ.* Sed minùs rectè. Nam *Φοινίκην* infrà *ver.* 291. et alibi apud Poetam *mediam* producit. Vide ad *Il. β'*, 267.

Ver. 289. *Τρώκτης.*] *Παντοῖος, ἀπατεὼν Schol.*

Ibid. —— *ἀνθρώποισιν ἐώργει.*] *Al. ἀνθρώποις ἐώργει.*

Ver. 294. —— *περιτελλομένου ἔτεος.*] *Al. ἐπιτελλομένου ἔτεος.*

—— volventibus annis. *Æn. I*, 234.

Ver. 297. *Κεῖθι δέ μ' ὡς περάσῃσι.*] Vox *περάσῃσι antepenultimam* corripit, quippè ex *πιπράσκω*, non ex *πιπράω*, deducta. Vide ad *Il. ά*, 67. *Al. πιράσῃσι* et *πράσῃσι.*

Ibid. — *ὦνον ἕλοιτο.*] Editio *Florentina*, notante *Barnesio*, habet *ὦνον ἔλοιτο.* Quam et veram omninò lectionem contendunt nonnulli. " Il faut certainement lire *ἔλοιτο* " avec l'Edition de *Florence* de 1448.——

Τῷ ἑπόμην ἐπὶ νηὸς, ὀϊόμενός περ, ἀνάγκῃ.
Ἦ δ' ἔθεεν Βορέῃ ἀνέμῳ ἀπραΐξι, παλῷ,
Μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφιν μήδετ' ὄλεθρον.
Ἀλλ' ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, οὐδέ τις ἄλλη
Φαίνετο γαιάων, ἀλλ' οὐρανὸς ἠδὲ θάλασσα,
Δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
Νηὸς ὑπὲρ γλαφυρῆς· ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
Ζεὺς δ' ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηῒ περαυνόν.
Ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα περαυνῷ,
Ἐν δὲ θείοιο κλῆτο· πίσον δ' ἐκ νηὸς ἅπαντες.
Οἱ δὲ κορώνῃσιν ἴκελοι, περὶ νῆα μέλαιναν
Κύμασιν ἐμφορέοντο· θεὸς δ' ἀπεαίνυτο νόστον.
Αὐτάρ ἐμοὶ Ζεὺς αὐτὸς, ἔχοντί περ ἄλγεα θυμῷ,
Ἰστὸν ἀμαιμάκετον νηὸς κυανοπρῴροιο
Ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
Τῷ ῥα περιπλεχθεὶς, φερόμην ὀλοοῖς ἀνέμοισιν·

" Hunc sequebar in navi, suspicans licèt, ex-necessitate.
" Illa verò currebat Boreâ vento puro, bono,
" Per-medium supra Cretam: Jupiter autem eis moliebatur exitium.
" Sed cùm jam Cretam quidem liquissemus, neque ulla alia
" Apparebat terrarum, sed coelum et mare;
" Tum verò atram nubem statuit Saturnius
" Nave super cavâ; obscuratus autem est pontus sub ipsa:
" Jupiter verò crebrò tonuit, et injecit navi fulmen.
" Haec autem contorta est tota, Jovis percussa fulmine,
" Sulphureque impleta est: ceciderunt autem ex navi omnes.
" Hi verò cornicibus similes, circum navem nigram
" In fluctibus ferebantur: Deus autem auferebat reditum.
" At mihi Jupiter ipse, habenti licèt dolores animo,
" Malum longum navis coeruleam-proram-habentis
" Manibus imposuit, ut adhuc malum effugerem.
" Hunc scilicet amplexus, ferebar perniciosis ventis:

" C'est qu' ἴλαται ne se trouve du tout point, " en ce sens-là, dans *Homère*: An lieu qu' " ἔρυτο s'y trouve souvent dans le sens d' " *auferre, reportare,* [nempè *domum,*] qu'il " doit avoir ici; car le *Phénicien* en ques- " tion, après avoir vendu Ulysse en Lybie, " devoit en reporter l'argent chez lui. Vid. " Ἰλ. ί, 3. ε', 307. υ, 247. Ὀδ. ν', 422. *&c.*" *Histoire Critique de la République des Lettres, tom.* VIII. *pag.* 41.

Ver. 299. Ἦ δ' ἔθεεν.] —vastumque cavâ trabe currimus æquor. Æn. III, 191.

Currit iter tutum non seciùs æquore classis. Æn. V, 862.

Ver. 300. —— Ζεὺς δέ σφιν.] *Al.* Ζεὺς γάρ σφισι.

Ver. 301. Ἀλλ' ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, *&c.*] Ἀφαγνίται δὲ καὶ κινδυνῶσαι, καθὰ καὶ περὶ τούτων ἔφη μαντὰ τὰς τοῦ ἁλίου βόας. *Eustath.* Vide suprà ad μ', 403. *&c.*

Ibid. — οὐδέ τις ἄλλη Φαίνετο γαιάων, *&c.*]

Postquam altum tenuere rates, nec jam ampliùs ullæ
Apparent terræ; cœlum undique et undique pontus:
Tum mihi cæruleus supra caput astitit imber,
Noctem hiememque ferens; et inhorruit unda tenebris.
Æn. III, 192.

Ver. 308. Οἱ δὲ κορώνῃσιν ἴκελοι.]

Adparent rari nantes in gurgite vasto.
Æn. I, 118.

Ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
Γαίης Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον.
Ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
Ἥρως ἀτρεΐδαο· τοῦ γὰρ φίλος υἱὸς ἐτέλθων
Αἴθρῃ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
Χειρὸς ἀναστήσας, ὄφρ' ἵκετο δώματα πατρός·
Ἀμφὶ δέ με χλαῖναί τε, χιτῶνά τε, εἵματα ἕσσεν.
Ἔνθ' Ὀδυσῆος ἐγὼ τυθόμην· πεῖνος γὰρ ἔφασκεν,
Ξεινίσαι, ἠδὲ φιλῆσαι, ἰὼν ἐς πατρίδα γαῖαν·
Καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς,
Χαλκόν τε, χρυσόν τε, πολύμηλόν τε σίδηρον.
Καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι·
Τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα Διοῖο
Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,

" Per-novem-dies ferebar, decimâ autem me nocte nigrâ
" Terræ Thesprotorum appulit magna unda volvens.
" Ibi me Thesprotorum rex excepit Pheidon
" Heros gratis; hujus enim dilectus filius cùm-supervenisset,
" Frigore et labore afflictum dixit in domum,
" Manu sublevatum, donec pervenisset ad sedes patris:
" Mihi verò laenamque, tunicamque, vestimenta induit.
" Ibi de-Ulysse ego audivi; ille enim dicebat,
" Hospitio *se illum* excepisse, et amicè-tractâsse euntem in patriam terram:
" Et mihi bona ostendit, quot collegerat Ulysses,
" Aesque, aurumque, et multùm-elaboratum ferrum,
" Et sanè *in* decimam generationem alium adhuc aleret;
" Tot ei in aedibus res-pratiosae jacebant regis.
" Ipsum autem in Dodonem dicebat ivisse, ut Dei
" Ex quercu alto-vertice Jovis consilium audiret,

Ver. 315. Γαίης Θεσπρωτῶν.] Θεσπρωτία, πόλις περὶ τὰ Ἴσχατα τῆς Θετταλίας. *Schol.*

Ver. 316. —— Θεσπρωτῶν βασιλεύς.] *Thesproti* apud *Thucydidem, lib.* II. ἀβασίλευτοι dicuntur; uti notavit *Barnesius.*

Ver. 317. —— ἀτρεΐδαο.] *Al.* ἀμφιάδαο.

Ver. 322. Ξεινίσαι, ἠδὲ φιλῆσαι.] *Al.* Ξεινίσσ' ἠδὲ φιλῆσαι.

Ver. 324. Καλκόν τε, χρυσόν τε, πολύμηλόν τε σίδηρον.] *Eustathius* in commentario citat, Καλκόν τε, χρυσόν τε ἄλις, ἰσθλά δ' ὀφέσσαι· Ut suprà ν', 136. et infrà ϖ, 231.

Ver. 326. Τόσσα οἱ ἐν μεγάροις.] Apud *Eustathium*, Τόσσα ἐνὶ μεγάροις.

Ver. 327. Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι.] Τὸ γὰρ δὴ μαντεῖον τοῦτο [τὸ ἐν Δωδώνῃ] νενόμισται ἀρχαιότατον τῶν ἐν Ἕλλασι χρηστηρίων εἶναι. Καὶ ἦν τὸν χρόνον τοῦτον μοῦνον. *Herodotus, lib.* II. § 52. Ἡ Δωδώνη τοίνυν τὸ μὲν παλαιὸν ὑπὸ Θεσπρωτοῖς ἦν καὶ τὸ ἱρὸν ἐν Τεμένεϊ, ἡ Τμάρος, (ἀμφοτέρους γὰρ λέγεται,) ὑφ' ᾧ κεῖται τὸ ἱρόν· καὶ οἱ Τρηχινιοὶ τε καὶ Πίνδαρος Θεσπρωτίδα εἰρήκασι τὴν Δωδώνην ἔστιν ὅτε Μολοσσικὴν ἐλέγοντα. *Strabo, Geograph. lib.* V. *pag.* 505. *al.* 328.

Ἐστὶ γὰρ ἔλπις πρὸς Μολοσσικὰ δάπεδα,
Τὴν αἰγιώνιόν τ' ἀμφὶ Δωδώνην, ἵνα
Μαντεῖα θῶκός τ' ἐστὶ Θεσπρωτοῦ Διός,
Τίρας τ' ἄσιτον αἱ πρεσβύγορυι δρύες.
Æschylus, Prometh. Vinct. ver. 827.

Ἔνθα τε Δωδώνης τὸ θ' ἱερήιον ἀμφιέπουσαι
Τῶν μὲ Διὸς ἰφίλασι καὶ ὃν χρηστήριον εἶπαι·
Τίρσιν ἀνθρώποις· ναίων δ' ἐν ἀνθρήλι φηγοῦ.
Ἔνθεν ἐνιχρίσω μαντήια πάντα φέρουσα.
Hesiod. apud Scholiasten in Sophocl. Trachin. ver. 1174.

Ver. 328. —— ἐκπακούσῃ.] *Al.* ἐκπακίδναι. Atque ita citat *Strabo, Geograph. lib.* VII. *pag.* 506. *al.* 329. Idem tamen, *lib.* XVI. *pag.* 1105. *al.* 762. citat ὑπακούσῃ. *Al.* ἐκπακούσῃ.

Ὅππως νοστήσῃ Ἰθάκης ἐς πίονα δῆμον,
Ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν, ἠὲ κρυφηδόν.
Ὤμοσε δὲ πρὸς ἔμ' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,
Νῆα κατειρύσθαι, καὶ ἑταιρήας ἑμμεν' ἑταίρους,
Οἵ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
Ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
Ἔνθ' ὅγε μ' ἠνώγει πέμψαι βασιλῆϊ Ἀκάστῳ
Ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶν ἤνδανε βουλὴ
Ἀμφ' ἐμοὶ, ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ κῆμα γενοίμην.
Ἀλλ' ὅτε γαίης πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
Αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο·
Ἐκ μέν με χλαίνάν τε, χιτῶνά τε, εἵματ' ἔδυσαν,
Ἀμφὶ δέ μοι ῥάκος ἄλλο κακὸν βάλον, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὄρηαι.
Ἑσπέριοι δ' Ἰθάκης εὐδειέλου ἔργ' ἀφίκοντο·
Ἔνθ' ἐμὲ μὲν κατέδησαν ἐϋσσέλμῳ ἐνὶ νηΐ,
Ὅπλῳ ἐϋστρεφέϊ στερεῶς· αὐτοὶ δ' ἀποβάντες

" Quomodo rediret Ithacae in opulentum populum,
" Jam diù absens, an palàm, an occultè.
" Juravit autem coram me ipso, libans in domo,
" Navem deductam, et paratos esse socios;
" Qui jam ipsum comitabuntur dilectam in patriam terram.
" Sed me priùs dimisit: contigit enim ut iret navis
" Virorum Thesprotorum in Dulichium tritici-feracem.
" Tunc ille me jussit mittere regi Acasto
" Accuratè; illis autem malum in animo placebat consilium
" De me, ut adhuc omninò in calamitatis pestem inciderem.
" Sed quando à-terrâ longè progressa est pontum-transiens navis,
" Statim servilem diem mihi moliebantur:
" Exuerunt quidem me laenâ, tunicâque, vestimentis,
" Circumque me pannum alium malum jecerunt, et tunicam,
" Lacera, quae et ipse in oculis vides.
" Vespertini autem Ithacae amoenae *ad* culta pervenerunt:
" Ibi me quidem ligaverunt bonis-transtris-instructâ in navi,
" Funè benè-torto arctè; ipsi verò egressi

Ver. 329. —— νοστήσῃ] *Al.* νοστήσει.

Ibid. —— Ἰθάκης ἐς πίονα δῆμον.] Vide suprà ad ά, 106.

Ver. 331. Ὤμοσε.] Apud *Eustathium* in commentario, Ὄμνυσι· Ut infrà σ', 288.

Ibid. —— ἀποσπένδων.] *Al.* ἐπισπένδων.

Ver. 333. —— πέμψουσι.] *Al.* πέμψωσι.

Ver. 335. —— ἐς Δουλίχιον.] Τὸ δὲ Δουλίχιον, νῆσος δὲ αὕτη μία τῶν Ἐχινάδων. *Eustath.*

Ibid. —— πολύπυρον.] *Al.* πολύμηλον.

Ver. 336. —— Ἀκάστῳ.] *Al.* Ἐκάστῳ.

Ver. 338. —— δύης ἐπὶ κῆμα γενοίμην.] *Scholiastes* interpretatur, Ἐπὶ ταῖς συμβεβηκυίαις συμφοραῖς ἄλλην βλάβην ὑπομείναιμι. Videtur itaque is legisse δύης ἐπί.

Ver. 340. —— ἐμοὶ περιμηχανόωντο.] *Al.* ἐμοὶ περὶ μηχανόωντο, et ἐμοὶ περὶ μηχανέοντο.

Ver. 341. Ἐκ μέν με.] *Al.* Ἐκ μέν γε.

Ver. 343. Ῥωγαλέα.] *Al.* Ῥωγαλέον, et Ῥωγαλέῃ.

Ἐσσυμένως παρὰ θῖνα θαλάσσης δόρπον ἕλοντο.
Αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνίγναμψαν θεοὶ αὐτοὶ
Ῥηϊδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψας,
Ξεστὸν ἐφόλκαιον καταβὰς ἐπέλασσα θαλάσσῃ
Στῆθος· ἔπειτα δὲ χερσὶ διήρεσα ἀμφοτέρῃσι
Νηχόμενος, μάλα δ' ὦκα θύρηφ' ἔα ἀμφὶς ἐπείνων.
Ἔνθ' ἀναβὰς, ὅθι τε δρίος ἦν πολυανθέος ὕλης,
Κείμην πεπτηώς· οἱ δὲ μεγάλα στενάχοντες
Φοίτων· ἀλλ' οὐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι
Μαίεσθαι προτέρω· τοὶ μὲν πάλιν αὖτις ἔβαινον
Νηὸς ἐπὶ γλαφυρῆς· ἐμὲ δ' ἔρυψαι θεοὶ αὐτοὶ
Ῥηϊδίως, καί με σταθμῷ ἐπέλασσαν ἄγοντες
Ἀνδρὸς ἐπισταμένου· ἔτι γάρ νύ μοι αἶσα βιῶναι.
Τὸν δ' ἀταμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας,
Ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες, ἠδ' ὅσ' ἀλήθης.
Ἀλλὰ τάδ' οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις,
Εἰπὼν ἀμφ' Ὀδυσῆϊ· τί σε χρὴ τοῖον ἐόντα

" Festinanter ad littus maris coenam sumpsere.
" At mihi vinculum quidem resolverunt dii ipsi
" Facilè; capiti autem panno obvoluto,
" Laevigatum per clavum delapsus applicui mari
" Pectus; deinde autem manibus remigavi ambabus
" Natans; valdéque citò foris eram seorsùm ab illis.
" Tunc cùm-ascendissem, ubi utique quercetum erat floridae sylvae,
" Jacebam stratus: illi autem valdè gementes
" Ibant; sed haud enim ipsis videbatur melius esse
" Inquirere ulteriùs; hi quidem retrò iterùm ibant
" Navem in cavam; me autem absconderunt dii ipsi
" Facilè, et me stabulo appulerunt ducentes
" Viri prudentis; adhuc enim jam mihi fatum vivere."
Hunc autem respondens allocutus es, Eumaee subulce:
" O miser hospitum, certè mihi valdè animum commovisti,
" Haec singula dicens, quot scilicet passus, et quantum vagatus es.
" Sed ea non pro decenti *dicta* arbitror, neque mihi persuadebis,
" Locutus de Ulysse: quid te oportet, talis cùm-sis,

Ver. 348. —— ἀνίγναμψαν.] *Al.* ἀνίγναψαν.
Ver. 350. — ἐφόλκαιον.] Πηδάλιον. *Schol.*
Ver. 352. ——θύρηφ'.] *Al.* θύρηθ'.
Ver. 353. —— δρίος.] Δενδρώδης καὶ σύσκιος τόπος. *Schol. Al.* δρύος.
Ver. 355. —— ἀλλ' οὐ γάρ σφιν.] Vide suprà ad π'. 190. *Eustathius* autem in commentario citat, ἀλλ' ἐπὶ οὔ σφιν.
Ver. 358. —— σταθμῷ.] Σταθμὸν δὲ καὶ τὸν ἀγροικικὸν οἶκον λέγει. *Eustath.*
Ver. 361. Ἆ δειλέ.] *Al.* Ὦ δειλέ.
Ver. 363. —— οὐ κατὰ κόσμον ὀΐομαι.] Ἄτοπον ἄκοσμα νομίζω. *Eustath.*
Ver. 364. — σί σε χρὴ τοῖον ἐόντα Μαψιδίως ψεύδεσθαι;]

—— μὴ ψεῦδε, ἐπιστάμενος σάφα εἰπεῖν.
Iliad. δ', 404.

Cæterùm minùs rectè hìc *Eustathius*; Καὶ ὅρα τὸ "Μαψιδίως ψεύδεσθαι," δηλοῦν ὡς τὸ μὴ μάτην ψεύδεσθαι, οὐ κἂν ψευστόν. Istius modi enim distinctioni nullus hìc videtur locus.

Μαψιδίως ψεύδεσθαι; ἐγὼ δ' εὖ οἶδα καὶ αὐτὸς,
Νόστον ἐμοῖο ἄνακτος, ὅτ' ἤχθετο πᾶσι θεοῖσι
Πάγχυ μάλ', οὕτι μιν οὔτι μετὰ Τρώεσσι δάμασσαν,
Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε.
Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν παναχαιοὶ,
Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω.
Νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο.
Αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
Ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
Ἐλθέμεν ὀτρύνῃσιν, ὅτ' ἀγγελίη ποθὶν ἵκῃ.
Ἀλλ' οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέουσιν,
Ἠμὲν οἳ ἄχνυνται δὴν οἰχομένοιο ἄνακτος,
Ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες.
Ἀλλ' ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι, καὶ ἔρεσθαι,
Ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθῳ,
Ὅς τ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀλήθεις,
Ἦλυθ' ἐμὸν πρὸς σταθμόν· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
Φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆϊ ἰδέσθαι
Νῆας ἀρειόμενον, τάς οἱ ξυνέαξαν ἄελλαι·

" Temerè mentiri? ego autem certè novi et ipse
" De-reditu mei domini, quòd odio *is* haberetur omnibus diis
" Omninò valdè, quia ipsum non inter Trojanos domuerunt,
" Vel amicorum in manibus, postquam bellum confecisset.
" Tunc ei tumulum quidem fecissent omnes Achivi,
" Atque etiam suo filio magnam gloriam comparisset in-posterum:
" Nunc autem ipsum ingloriè Harpyiæ abripuerunt.
" At ego apud sues semotus; neque ad urbem
" Eo; nisi quando fortè prudens Penelope
" Venire jubeat, quando nuntius alicundè venerit.
" Sed illi quidem singula assidentes interrogant,
" Tum qui dolent diù absente rege,
" Tum qui gaudent victum impunè edentes.
" Sed mihi non gratum est inquirere et interrogare;
" Ex quo sciliçet me Aetolus vir decepit sermone;
" Qui utique viro interfecto, multas per regiones vagatus,
" Venit meam ad casam: ego autem ipsum amanter-complectebar.
" Dixit autem eum *se* inter Cretenses apud Idomeneum vidisse
" Naves reficientem, quas ei confregerant procellæ:

Ver. 366. —— ὅτ' ἤχθετο πᾶσι θεοῖσι Πάγχυ μάλ', ὅτι μιν οὔτι ἕκ.] Ἐστέον δὲ ὅτι τὸ "ὅτ' ἤχθετο" δύναται νοεθῆναι καὶ ἀντὶ τοῦ ὅτε ἐμισήθη ὁ νόστος δηλαδὴ, ἢ ὁ Ὀδυσσεύς. *Eustath.* Pro posteriori accipiendi ratione planè faciunt sequentia.

Ver. 369. Τῷ κέν οἱ.] *Barnesius* edidit Τῷ κεν οἱ. Sed et ferri potest vulgata lectio. Vide ad *Il.* ά, 51. item ν', 212.

Ver. 370. —— ᾧ παιδὶ μέγα κλέος ἤρατ'.] *Filio suo magnam gloriam comparásset*, nempè *Ulysses*. Ita *Iliad.* γ', 373. δ', 165. —— καὶ ἐσσομένοισιν ἠοίδιμος ἔσσεται αὖτε. *Barnesius* aliique malè vertunt, "*suo filio magna gloria crevisset.*" Quod cum vocis ἤρατο significatione nullo modo congruit.

Ver. 374. —— ἵκῃ.] *Al.* ἵκοι.

Ver. 380. Ὅς τ' ἄνδρα.] *Al.* Ὅς ῥ' ἄνδρα.

Ver. 381. Ἦλυθ' ἐμὸν πρὸς σταθμόν.] *Al.* Ἦλθεν ἐμὰ πρὸς δώματ'.

Ver. 383. —— ἀειόμενον.] Θερμοτέρονται, ἰώμενον. *Schol. Al.* ἀειόμενον.

Καὶ φάτ' ἐλεύσεσθαι, ἢ ἐς θέρος, ἢ ἐς ὀπώρην,
Πολλὰ χρήματ' ἄγοντα, σὺν ἀντιθέοις ἑτάροισι.
Καὶ σύ, γέρον πολυπενθές, ἐπεί σέ μοι ἤγαγε δαίμων,
Μήτε τί μοι ψεύδεσσι χαρίζεο, μήτε τι δόλῳ·
Οὐ γὰρ τοὔνεκ' ἐγώ σ' αἰδέσσομαι, οὐδὲ φιλήσω,
Ἀλλὰ Δία ξένιον δείσας, αὐτόν τ' ἐλεήσας.
Τὸν δ' ἀταμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
Οἷόν σ' οὐδ' ὁμόσας περ ἐπήγαγον, οὐδέ σε πείθω.
Ἀλλ' ἄγε νῦν ῥήτρην ποιησόμεθ'· αὐτὰρ ὕπερθε
Μάρτυροι ἀμφοτέροισι θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν·
Εἰ μέν κεν νοστήσῃ ἄναξ τεὸς εἰς τόδε δῶμα,
Ἕσσας με χλαῖναν τε, χιτῶνά τε, εἵματα, πέμψαι
Δουλίχιόνδ' ἰέναι, ὅθι μοι φίλον ἔπλετο θυμῷ·
Εἰ δέ κε μὴ ἔλθῃσιν ἄναξ τεὸς, ὡς ἀγορεύω,
Δμῶας ἐπισσεύσας, βαλέειν μεγάλης κατὰ πέτρης,
Ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν.

" Et dixit venturum, vel in aestatem, vel in autumnum,
" Multas opes advehentem, cum deo-paribus sociis.
" Et tu, senex multa-passe, postquam te ad me duxit deus,
" Neque omninò mihi mendaciis gratificare, neque mulce:
" Non enim ob-id ego te honorabo, neque diligam,
" Sed Jovem hospitalem veritus, teque ipsum miseratus."
Hunc autem respondens allocutus est prudens Ulysses:
" Certè valdè quidem tibi animus in pectoribus incredulus,
" Quòd te neque vel juratus induxi, neque tibi persuadeo.
" Sed age nunc sponsionem faciamus; at desuper
" Testes ambobus dii *sint*, qui Olympum habitant.
" Si quidem redierit herus tuus in hanc domum,
" Indutum me laenâque, tunicâque, vestimentis, mitte
" Ad-Dulichium ut-eam, quò mihi gratum est animo.
" Sin non venerit herus tuus, ut praedico,
" Famulis incitatis, dejice magnâ de rupe,
" Ut et alius mendicus caveat decipere."

Ver. 387. Μήτε τί μοι ψεύδεσσι χαρίζεο.] ——— μηδέ μ' εἰκότως
Ψεύδεσι μυθοῖς ψευδίστι ———.
Æschyl. Prometh. Vinct. ver. 685.

Ver. 388. ——— αἰδέσσομαι.] Ita ex MS. et ex *Schol. Vett.* edidit *Barnesius*. Quocum facit et MS. à *Theo. Bentleio* collatus. *Vulgg.* αἰδέσομαι. Quæ vox alibi apud Poetam non occurrit. Vide ad *Il. i*, 504. 636. et χ', 419.

Ver. 389. ——— ἐλεήσας.] *Al.* ἐλεείσας. Atque ita in commentario legit *Eustathius*.

Ver. 392. Οἷόν σ' οὐδ' ὁμόσας περ ἐπήγαγον.] "Nullum enim vinculum ad adstrin-" gendam fidem jurejurando majores aro-" tius esse voluerunt." *Cicero, de Officiis, lib.* III. § 31.

Ὅστις γὰρ ὁμόσαι μηδὲν πείθεται,
Αὐτὸς ἑαυτῷ ῥᾳδίως ἐπίσταται.
Amphis, apud Stobæum, § 27.

Ver. 393. ——— ῥήτρην.] Τὴν διὰ ῥητῶν καὶ ὁμολογουμένων συνθήκην. *Schol.*

Ibid. ——— ὕπερθε.] *Al.* ὕπατθε.

Ver. 397. Δουλίχιον.] Πέλας τῆς Κεφαλληνίας. *Schol.* Aliter *Eustathius*: Vide supra ad *ver.* 335.

Ver. 399. ——— ἐπισσεύσας.] *Al.* ἐπασσεύσας.

Ver. 400. ——— ἀλεύεται.] *Al.* ἀλεύσεται. Ut infrà ϕ, 29.

Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε δῖος ὑφορβός·
Ξεῖν', οὔτω γάρ κέν μοι ἐϋκλείη γ' ἀρετή τε
Εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα, καὶ μετόπισσα,
Ὅς σ' ἐπεὶ ἐς κλισίην ἄγαγον, καὶ ξείνια δῶκα,
Αὖθις δὲ κτείναιμι, φίλον δ' ἀπὸ θυμὸν ἑλοίμην.
Πρόφρων δή κεν ἔπειτα Δία Κρονίωνα λιτοίμην.
Νῦν δ' ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
Εἶεν, ἵν' ἐν κλισίῃ λαρὸν τετυκοίμεθα δόρπον.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί·
Τὰς μὲν ἄρα ἕρξαν κατὰ ἤθεα ποιμενθῆναι·
Κλαγγὴ δ' ἄσπετος ὦρτο συῶν αὐλιζομενάων.
Αὐτὰρ ὁ οἷς ἑτάροισιν ἐκέκλετο δῖος ὑφορβός·
Ἄξεθ' ὑῶν τὸν ἄριστον, ἵνα ξείνῳ ἱερεύσω
Τηλεδαπῷ· πρὸς δ' αὐτοὶ ὀνησόμεθ', οἵπερ ὀϊζὺν

Hunc autem respondens allocutus est nobilis subulcus:
" Hospes, etenim sic mihi bona-fama, virtutisque nomen,
" Esset inter homines simul nunc, et deinceps,
" Qui te postquam in casam duxissem, et xenia dedissem,
" Deinde interficerem, dilectumque animum eriperem:
" Promptus sanè deinde Jovi Saturnio supplicarem.
" Nunc verò hora coenae: citissimè mihi intùs socii
" Fuerint, ut in casâ lautam apparemus coenam."
Sic hi quidem talia inter se dicebant.
Propè autem suesque et viri venerunt subulci;
Has quidem deinceps incluserunt in sua-claustra ad-cubandum:
Strepitus verò ingens ortus est suûm stabulantium.
Verùm suos socios hortabatur nobilis subulcus:
" Ducite suûm optimum, ut hospitis-*gratiâ* mactem
" Longinqui: unà autem ipsi recreabimur, qui utique aerumnam

Ver. 402. —— οὕτω γάρ.] Refertur istud γὰρ ad id quod elegantèr reticetur: " *Nè* " *mihi istiusmodi pactionis auctor sis; Ita* " *ENIM* &c."

Ver. 403. —— μετόπισσα.] *Al.* μετόπισθεν.

Ver. 405. Αὖθις δὲ κτείναιμι.] Malè hîc *Eustathius*: Ἐν δὲ τῷ " Αὖτις δὲ κτείναιμι," πυκνοῦται ἡ σύνδεσις, ληφθεὶς συνήθως ἀντὶ τοῦ Δή. Quidni enim (si oportuisset) et scribere potuisset *Homerus*, Αὖθις δὴ κτείναιμι, &c.? Vide autem ad *Il.* ά, 57. et π', 490.

Ibid. —— κτείναιμι.] *Al.* κτείνοιμι.

Ver. 406. Πρόφρων δή κεν ἔπειτα Δία Κρονίωνα λιτοίμην.] Ἄτοπον γὰρ φησι ὁ Εὔμαιος· ἄνδρα τινὰ φίλον καὶ αἵματι κεχραμένον, καὶ ὅλως ἱκανῆ, προσειλῆσθαι τῷ Διΐ. *Kyriac. Strozz. de Republ. lib.* X. Porrò aliam hujus loci interpretationem affert *Eustathius*: Ἀπελὴν (inquit) ἔπεσιν ἔχει. Ἡ γὰρ λίγει βαρίαν καὶ ἰδιοτικῶς καὶ ἀντίφρασιν, ὡς οὕτω περίφρων ἂν εὐξαίμην Διῒ ξενίῳ, φονεύσας ξένον· ἢ καὶ ἄλλως κατὰ συναλοιφὴν, [legendo nimirùm Δία Κρονίων' ἀλιτοίμην], ὅτι οὕτως ἂν περίφρων, ἤτοι ἀσεβὴς καὶ μετὰ βάρους, ἀλίτοιμι ἄγων ἀμάρτημα εἰς Διόν. Verùm posterior hæc accipiendi ratio cum isto δή κεν ἔπειτα parùm aptè convenit. Cæterùm *Barnesius* edidit cum notâ interrogationis, Δία Κρονίωνα λιτοίμην; Sed et hoc minùs rectè.

Ibid. —— δή κεν ἔπειτα.] *Al.* κεν δ' ἔπειτα.

Ver. 411. —— ἅμα ἕρξαν.] Vide ad *Il.* ά, 51.

Ibid. —— κατὰ ἤθεα.] Τὰς συνήθεις αὐλὰς. *Eustath.* Fuerunt, teste *Barnesio*, qui exposuerint, " *De more*;" Quo sensu hæc vox nullibi apud Poetam usurpatur. Vidè ad *Il.* ζ', 511. et ί, 268.

Ver. 415. —— ὀνησόμεθ'.] Ὀνήσεως καὶ ἀφελείας μετάσχωμεν. *Schol.*

Δὴν ἔχομεν, πάσχοντες ὑῶν ἕνεκ' ἀργιοδόντων
Ἄλλοι δ' ἠμίτεροι κάματον νήποινον ἔδουσιν.
Ὡς ἄρα φωνήσας κίασε ξύλα νηλέϊ χαλκῷ·
Οἱ δ' ὗν εἰσῆγον μάλα πίονα πενταέτηρον·
Τὸν μὲν ἔπειτ' ἔστησαν ἐπ' ἰσχάρῃ· οὐδὲ συβώτης
Λήθετ' ἄρ' ἀθανάτων, (φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν,)
Ἀλλ' ὅγ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν
Ἀργιόδοντος ὑός, καὶ ἐπεύχετο πᾶσι θεοῖσι,
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Κόψε δ' ἀνασχόμενος σχίζῃ δρυὸς, ἣν λίπε κείων·
Τὸν δ' ἔλιπε ψυχὴ· τοὶ δ' ἔσφαξάν τε καὶ ἔδσαν·
Αἶψα δέ μιν διέχευαν· ὁ δ' ὠμοθετεῖτο συβώτης,
Πάντοθεν ἀρχόμενος μελέων, ἐς πίονα δημόν·
Καὶ τὰ μὲν ἐν πυρὶ βάλλε, παλύνας ἀλφίτου ἀκτῇ,
Μίστυλλόν τ' ἄρα τἆλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν
Ὄπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα·
Βάλλον δ' εἰν ἑλεοῖσιν ἀολλέα· ἂν δὲ συβώτης
Ἵστατο δαιτρεύσων· (περὶ γὰρ φρεσὶν· αἴσιμα ᾔδη·)

" Diù habemus, patientes suûm gratiâ albis-dentibus;
" Alii verò nostrum laborem impune edunt."
Sic locutus, scidit ligna acuto aere:
Illi autem suem adduxerunt valdè pinguem quinquennem:
Eum quidem postea statuerunt ad focum; neque subulcus
Oblitus est immortalium, (mente enim utebatur bonâ;)
Sed hic auspicans, capitis pilos in ignem jecit
Albis-dentibus suis, et precabatur omnes deos,
Ut-rediret Ulysses prudens suam in domum.
Percussit autem manu-sublatâ, segmine quercûs, quod liquerat findens;
Hunc verò reliquit anima: hi autem jugulârunt et ustulârunt;
Statimque ipsum diviserunt; frusta autem cruda ponebat subulcus,
Undique auspicans à membris, in pinguem adipem:
Et alia quidem in ignem jecit, conspersa farinae flore;
Minutatim dein secuerunt caetera, et verubus infixerunt,
Assaveruntque scitè, detraxeruntque omnia:
Posuerunt autem in mensis simul-omnia: subulcus verò
Surrexit divisurus; (valdè enim mente aequa nôrat;)

Ver. 419. —— *ἰσῆγον.*] *Al. ἰσάγαγον.*

Ver. 421. *Λήθετ'.*] Vide suprà ad λ', 101.

Ver. 422. 425. 427. *Ἀλλ' ὅγ' ἀπαρχόμενος* —— *Κόψε δ' ἀνασχόμενος* —— *ὁ δ' ὠμοθετεῖτο συβώτης.*] *Ταῦτα δὲ Ῥωμαίοις ἔτι καὶ εἰς ἡμᾶς περάντοντας ἐπὶ ταῖς θυσίαις ἴδιον ἐπίσταται· καὶ μιᾷ πίστει τῷδε ἀρχούμενος, οὐ βαρβάρους ἐπίθεν εἶναι τοὺς οἰκιστὰς τῆς Ῥώμης, ἀλλ' ἐκ πολλῶν τόπων συνηλυδίτας Ἑλλήνας. Dionys. Halicarn. Antiq. Rom. lib.* VII. sub fine.

Ver. 425. *Κόψε δ' ἀνασχόμενος.*] *Dionysius*, loco jam allato, citat *Κόψε δ' ἀπαρχόμενος.* Ex versu (ut videtur) 422. Ipse autem alibi, ut rectè annotat *Sylburgius*, citat *Πλὴξεν ἀνασχόμενος. Περὶ Συνθέσεως, § 5.*

Ver. 426. —— *καὶ δ' ἔσφαξαν.*] Apud *Dionysium, καὶ δὴ σφάξαν.*

Ver. 427. —— *ὠμοθετεῖτο.*] *Ὠμῶν ὄντων τῶν κρεῶν, ἀπήρχετο τοῖς θεοῖς. Schol.*

Ver. 432. *Βάλλον δ' εἰν ἑλεοῖσιν.*] *Ἑλεὸς δ' ἐστὶν ἡ μαγειρικὴ τράπεζα. Athenaeus, lib.* IV. *cap.* 22.

Καὶ τὰ μὲν ἕπταχα πάντα διεμοιρᾶτο δαΐζων·
Τὴν μὲν ἴαν Νύμφῃσι καὶ Ἑρμῇ, Μαιάδος υἱῖ,
Θῆκεν ἐπευξάμενος, τὰς δ' ἄλλας νεῖμεν ἑκάστῳ.
Νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι γέραιρεν
Ἀργιόδοντος ὑός· κύδαινε δὲ θυμὸν ἄνακτος·
Καί μιν φωνήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Αἴθ' οὕτως, Εὔμαιε, φίλος Διῒ πατρὶ γένοιο,
Ὡς ἐμοί, ὅττι μὲ τοῖον ἐόντ' ἀγαθοῖσι γεραίρεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
Οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
Ὅ,τί κεν ᾧ θυμῷ ἐθέλῃ, δύναται γὰρ ἅπαντα.
Ἦ ῥα, καὶ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσι·
Σπείσας δ' αἴθοπα οἶνον, Ὀδυσσῆϊ πτολιπόρθῳ
Ἐν χείρεσσιν ἔθηκεν, ὁ δ' ἕζετο ᾗ παρὰ μοίρῃ.

Atque illa quidem septifariàm omnia partitus est dividens;
Partem quidem unam Nymphis et Mercurio, Maiae filio,
Posuit precatus; caeteras verò distribuit singulis:
Tergo autem Ulyssem perpetuo honorabat
Albis-dentibus suis; laetificabat verò animum domini:
Et ipsum compellans allocutus est prudens Ulysses:
" Utinam sic, Eumaee, dilectus Jovi patri fieres,
" Ut mihi; siquidem me, talis cùm-sim, bonis honoras."
Hunc autem respondens allocutus es, Eumaee subulce:
" Comede, eximie hospitum, et delectare hisce,
" Qualia adsunt; Deus autem hoc quidem dabit, illud verò sinet,
" Quodcunque suo animo voluerit; potest enim omnia.
Dixit, et primitias sacrificavit diis sempiternis;
Libatoque nigro vino, Ulyssi urbium-vastatori
In manibus posuit; hic autem sedebat suam juxta partem.

Ver. 434. —— διεμοιρᾶτο.] Pronuntiabatur fortè διεμμοιρᾶτο. Vide ad *Il. ά*, 4.

Ver. 435. —— Νύμφῃσι καὶ Ἑρμῇ.] Διαμοῖραι δὲ μοῖραν ὁ Εὔμαιος Νύμφαις μὲν, ἵνα γήθειν ἀναδιδοῖεν τροφὰς τοῖς ζώοις, ὡς ἱστοροῦσι πρόπολοι καὶ ἔλαιαι καὶ ἱερεῖς συναμοῖς, ὡς προδιδήλωται· [*Odyss. ν'*, 350.] Ἑρμῇ δὲ ὡς καὶ αὐτῷ νομίῳ, καὶ αἰξητικῷ τῶν θρεμμάτων. *Eustath.* Καὶ Σιμωνίδης δύτιν αὐτοὺς φησὶ Νύμφαις καὶ Μαιάδος τόκῳ· Οὗτοι γὰρ ἀνδρῶν αἷμ' ἔχουσι ποιμένων. *Schol.*

Ibid. υἱῖ.] *Al.* υἱεῖ.

Ver. 436. —— ἑκάστῳ.] *Al.* ἑκάστοις.

Ver. 437. Νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι.]

Vescitur Æneas ——
Perpetui tergo bovis, et lustralibus extis.
Æn. VIII, 182.

Ver. 443. —— δαιμόνιε.] Vide ad *Il. β'*, 190.

Ibid. —— τέρπεο τοῖσδε, Οἷα πάρεστι.]

Τέρπεο τῶνδ' ἐμῆς, οἷα δίδωσι θυσίας.
Diog. Laërt. lib. I. *in vitâ Periandri.*

Ver. 444. —— Θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει.] Sic *Iliad. π'*, 250.

Τῷ δ' ἴτιμον μὲν ἔδωκε πατὴρ, ἴτιμον δ' ἀνέτλης.

Similitèr et apud *Pindarum*:

—— τὸ μὲν δώσει, τὸ δ' οὔτω.
Pythior. Ode XII. *ver. ult.*

Cæterùm apud *Eustathium* legitur hîc, τὸ μὲν δώσει, τὸ δ' ἐάσει.

Ibid. —— ἐάσει.] Vide ad *Il. β'*, 42.

Ver. 445. —— ἐθέλῃ.] *Al.* ἐθέλῃ.

Ver. 446. —— ἄργματα.] Τὰς ἀπαρχάς. *Schol.* Ἀπάργματα, αἱ μυγάλαι ἀπαρχαὶ τῶν θυσιῶν τῶν τελείων· παρὰ τὸ ἄρχω, ἀπάρχω, ἄργμα καὶ ἀπάργμα, ὡς Ὅμηρος· " ἄργματα " θῦσε θεοῖς αἰειγενέτῃσι." *Etymolog. Magn.* in voce Ἀπάργματα.

Ibid. —— θῦσε.] Ἤγουν, κατὰ τοὺς παλαιοὺς, ἱδρύσατο εἰδέναι γὰρ, φασὶ, παρὰ τῷ ποιητῇ τὸ " θῦσαι," ἀντὶ τοῦ σφάξαι ἱερεῖον λέγεται. *Eustath.*

Ver. 447. ——Ὀδυσσῆϊ πτολιπόρθῳ.] Vide suprà ad *ά*, 2. et infrà ad *χ'*, 230.

Σῖτον δέ σφιν ἔνειμε Μεσαύλιος, ὃν ῥα συβώτης
Αὐτὸς κτήσατο οἷος, ἀποιχομένοιο ἄνακτος,
Νόσφιν δεσποίνης, καὶ Λαέρταο γέροντος·
Πὰρ δ' ἄρα μιν Ταφίων πρίατο κτεάτεσσιν ἑοῖσιν.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἔβαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Σῖτον μέν σφιν ἀφεῖλε Μεσαύλιος· οἱ δ' ἐπὶ κοῖτον,
Σίτου καὶ πρειῶν πεπορημένοι, ἐσσεύοντο.
Νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ σκοτομήνιος, ὗε δ' ἄρα Ζεὺς
Πάννυχος· αὐτὰρ ἅμ Ζέφυρος μέγας αἰὲν ἔφυδρος.
Τοῖς δ' Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
Εἴπως οἱ ἐνδὺς χλαῖναν πόροι, ἤ τιν' ἑταίρων
Ἄλλον ἐποτρύνειεν· ἐπεὶ ἔο κήδετο λίην·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι,
Εὐξάμενός τι ἔπος ἐρέω, οἶνος γὰρ ἀνώγει
Ἠλέος, ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀείσαι,

Panem autem ipsis distribuit Mesaulius, quem scilicet subulcus
Ipse *sibi*-comparaverat solus, absente domino,
Seorsùm à dominâ et Laërte sene:
Ipsum nempè à Taphiis emit possessionibus suis.
Hi autem ad cibos paratos appositos manus porrigebant.
At postquam potûs et cibi desiderium exemissent,
Panem quidem eis abstulit Mesaulius; illi autem ad cubitum,
Pane et carnibus saturati, properabant.
Nox verò deinde supervenit mala obscura; pluebat autem Jupiter
Totâ-nocte; at spirabat Zephyrus magnus semper aquosus.
Inter hos verò Ulysses locutus est subulcum tentans,
Si quo-pacto sibi exutam laenam praeberet, vel aliquem sociorum
Alium *dare*-hortaretur; siquidem ipsius curam-gerebat valdè:
" Audi nunc, Eumaee, et alii omnes socii,
" Gloriabundus aliquod verbum dicam; vinum enim jubet
" Stultum, quod utique impulit sapientem etiam valdè cantare,

Ver. 450. *Αὐτὸς κτήσατο οἷος.*] Nempè *συνάντησιν ἰοῖσιν*, ver. 452. Vide suprà ad ver. 8.

Ver. 456. —— *κοῖτον.*] *Al. κοίτην.*

Ver. 457. —— *δ' ἄρ'.*] *Al. γάρ.*

Ibid. —— *σκοτομήνιος.*] 'Ασέληνος, σκοτεινή· ἢ καθ' ἣν ἡ σελήνη ἀπεκρύπτεται τῇ πρὸς τὸν ἥλιον συνόδῳ· μήνη γάρ, ἡ σελήνη. *Schol.* Similiter *Eustathius*: Σκοτομήνιος δὲ νὺξ οὐχ ἁπλῶς ἡ ἀσέληνος, ἀλλὰ καθ' ἣν ἡ σελήνη ἀπεκρύπτετο, φασὶν, ἐγγίσασα ἡλίῳ πρὸς σύνοδον. Fortassè tamen rectiùs per Νὺξ σκοτομήνιος idem intelligas quod suprà depingitur:

Νύκτα δ' ἐφραίνην· οὐδὲ προὐφαίνετ' ἰδέσθαι.
Ἀλλ' ἦρ' ἐπὶ νηυσὶ βαθεῖ' ἦν, οὐδὲ σελήνη
Οὐρανόθεν προὔφαινε· κατίσχετο γὰρ νεφέεσσι.
Odyss. ι, 143.

Ver. 459. —— *συβώτεω.*] Vide ad *Il. ε*, 1.

Ver. 463. —— *οἶνος γὰρ ἀνώγει Ἠλιὸς, ὅς τ' ἐφέηκε, &c.*]

Οἶνος γὰρ καὶ ἐπὶ ἶσον ἰωχμήσειεν ἄνακτι,
Ἐσθλὸν, ἀλεξίκακον, πάσης συμοτηλὸν ἀνιῆς,
Ἐν μὲν γὰρ Θαλίης ἱερὸν μέθος, ἀγλαΐης τε,
Ἐν δὲ χορεωσύνης &c. ——
Panyasis, εἰς ἀκρασίαν, ver. 11.

Quid non ebrietas designat? operta recludit;
Spes jubet esse ratas; ad prælia trudit inermem;
Sollicitis animis onus eximit; &c.
Horat. Epist. lib. I. v. 16.

Ver. 464. —— *πολύφρονά περ μάλ' ἀείσαι, Καὶ θ' ἁπαλὸν γελάσαι.*] Τὸν γὰρ οἶνον "Ομηρος, οὐκ ἠλιθίων ἅπτεσθαι καλεῖ, καὶ μανιωδῶν· οὐδὲ πολλοὺς συμφωνεῖν ἴσασι, μήτε ᾄδοντας, μήτε γελῶντας, μήτ' ἐγκώμιον ποτε καὶ πρὸς

Καί Θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν, 465
Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤῥητον ἄμεινον.
Ἀλλ' ἐπεὶ οὖν τὸ πρῶτον ἀνέπραγον, οὐκ ἐπιπεύσω·
Εἶθ' ὡς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Ὡς ὅθ' ὑπὸ Τροίῃ λόχον ἤγομεν ἀρτύναντες· 470
Ἡγείσθην δ' Ὀδυσεύς τε, καὶ Ἀτρεΐδης Μενέλαος,
Τοῖσι δ' ἅμα τρίτος ἦρχον ἐγώ· αὐτοὶ γὰρ ἄνωγον.
Ἀλλ' ὅτε δὴ ῥ' ἱκόμεσθα ποτὶ πτόλιν, αἰπύ τε τεῖχος,
Ἡμεῖς μὲν περὶ ἄστυ κατὰ ῥωπήϊα πυκνὰ,

" Et ad mollitèr ridendum, et saltandum incitavit, 465
" Et aliquod verbum emisit, quod scilicet non-dictum melius.
" Sed postquam sanè primùm garrulus-esse-coepi, non celabo:
" Utinam sic pubescerem, viresque mihi integrae essent,
" Sicut quando sub Trojâ insidias duximus instructas:
" Duces autem erant Ulyssesque, et Atrides Menelaus; 470
" Cum his verò unà tertius dux-eram ego, ipsi enim jubebant.
" Sed quando jam venissemus ad urbem, altumque murum,
" Nos quidem circa urbem per virgulta densa,

ὄρχησιν τρισσύμενον· οὐχ οὕτως ἀγροῖκος οὐδ' ἀπαιδεύτευτος ἐστὶν ἀλλ' ἤδει τούτων ἑκάστου καὶ τοσούτους καὶ τοιούτους διαφορεύς. Ὅθεν οὐκ εἰκὸς ὡς ἄρα τὸν πολύφρονα ὁ οἶνος ποιεῖ ἄφρα, ἀλλὰ " μᾶλ' ἀΐσιμα," τουτέστιν ἀμέτρως καὶ ἐπὶ πλεῖον ἅπαντα προσεχλεῖν. Οὐδ' ἵνα γελάσαι, μὰ Δί', οὐδ' ὀρχήσασθαι πώποτ' ἐπ' ἀμφοτέροις λαβὼν τὸ " ἁπαλὸν," τὸν ἄπαιδον τῆς τοῦτο πράττουσιν ἑταιρισμὸν ἐζήλωκεν. " Καί Θ' ἁπαλὸν γελάσαι, καί " σ' ὀρχήσασθαι ἀνῆκεν." *Athenæus, lib.* IV. *cap.* 27.

Οἶνος καὶ φρονίοντας ἐς ἀφροσύνας ἀναβάλλει. *Sthenelus, Poeta, apud eundem Athenæum, lib.* X. *cap.* 7.

Ver. 465. Καί Θ' ἁπαλὸν γελάσαι.]

Cura fugit multo diluiturque mero:
Tunc veniunt risus ——————.
Ovid. Art. Amator. I, 238.

Cæterùm de voce γελάσαι, vide ad *Il. ά.* 67.

Ibid. —— καί τ' ὀρχήσασθαι ἀνῆκεν.] Sic apud *Athenæum*:

Οἶνος ἄνωγε γέροντα καὶ οὐκ ἐθέλοντα χορεύειν. *Lib.* X. *cap.* 7.

Et apud *Ovidium*:

Ebrius incinctis philyrâ conviva capillis
Saltat ——. *Fast. lib.* V. *ver.* 337.

Ver. 466. —— Καί τι ἔπος προέηκεν.] Τῆς δὲ μέθης αὐδὴ οὕτω καταγορεύει, ὡς τὸ περὶ τοὺς λόγους ἀκρατὲς καὶ ἀόριστον. " Οἶνος γάρ τ' ἐ- " φάνη ἕκ." (supra *ver.* 464.) Καί τοι τὸ διυόνασον, ὡς δὴ καὶ γέλως καὶ ὄρχησις αὐδὴν ἄκρι τούτων " Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤ- " ῥητον ἄμεινον." *Plutarch.* περὶ Ἀδολεσχίας.

Ὃς δ' ἂν ὑπερβάλλῃ πίσιος μέτρον, οὐκ ἔτι πεῖνος
Τῆς αὐτοῦ γλάσσης παρεπεὶς, αὐδὴ νόον
Μυθίεται δ' ἀπάλαμνα ——————.
Theogn. Gnom. ver. 479.

Ver. 467. —— πρῶτον ἀνέπραγον.] " Quæ- " dam *Præterita Media* (inquit *Phil. Labbe*) " ego notavi penultimam ancipitem habere " longam. Cujus rei rationem si quis à me " repetat, fatebor ingenuè hâc in parte in- " scitiam, aut ampliùs cogitandum pronun- " tiabo. En igitur ea verba, quæ primus, " quod sciam, observavi à reliquorum, quæ " ab *Aoristo Secundo* profecta ejus quantita- " tem referre solent, naturâ ac conditione " desciscere. Ἔβρυγα à βίγω, πίπραγα à " πράσσω, τετριγυῖαι à τρίζω, βίβρωθα à βρίθω, " μέμυκα à μύκω, (nam ἤμυκον penultimam " breviat, ut et ἔκριγον et similia;) κέκραγα " à κράζω, κέκυφα à κύφω." *Prosod. p.* 44. 45. Nempè non advertit vir eruditus *Præterita Media* non *unam* habere *omnia* formandi ra- tionem. Alia enim *Aoristi Secundi* sequun- tur analogiam; ut τύπτω, ἔτυπον, τέτυπα· λίγω, ἔλιγον, λέλογα. Alia autem aut ex *Aoristo Primo*, aut ex *Præsenti* retinent vel *diphthongum*, ut φαίνω, ἔφηνα, ἔφανον, πέφηνα· πτίθω, ἔπιθον, πέπιθα· vel *syllabam positione longam*, ut δέρκω, ἔδρακον, δέδορκα· πέφθα, ἐ- πράθθον, πέπρωθα· vel *vocalem longam*, ut τρέ- ζω, ἔτρεγον, τέτρεχα· βρίγω, ἔβρῑγον, ἐβρῑγα· πράσ- σω, ἔπρᾱγον, πέπρᾱγα· κράζω, ἔκρᾱγον, κέ- κρᾱγα, &c. Vide ad *Il.* β', 314.

Ver. 473. —— περὶ ἄστυ.] *Al.* ποτὶ ἄστυ, et παρὰ ἄστυ.

Ibid. —— κατὰ ῥωπήϊα πυκνά.]

Hîc inter densas corylos ——.
Virg. Ecl. I, 14.

Ἀνδόνακας καὶ ἕλος ὑπὸ τεύχεσι πεπτηῶτες
Κείμεθα· νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ, Βορέαο πεσόντος,
Πηγυλὶς, αὐτὰρ ὕπερθε χιὼν γένετ', ἠΰτε πάχνη,
Ψυχρὴ, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
Ἔνθ' ἄλλοι πάντες χλαίνας ἔχον, ἠδὲ χιτῶνας,
Εὗδον δ' εὔκηλοι, σάκεσιν εἰλυμένοι ὤμους·
Αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον
Ἀφραδίαις, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν ἔμπης·
Ἀλλ' ἑπόμην σάκος οἶον ἔχων καὶ ζῶμα φαεινόν.
Ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
Καὶ τότ' ἐγὼν Ὀδυσῆα προσηύδων ἐγγὺς ἐόντα,
Ἀγκῶνι νύξας· (ὁ δ' ἄρ' ἐμμαπέως ὑπάκουσε·)
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Οὔτι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
Δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ' ἤπαφε δαίμων,
Οἰοχίτων ἔμεναι· νῦν δ' οὐκ ἔτι φυκτὰ πέλονται.
Ὣς ἐφάμην· ὁ δ' ἔπειτα νόον σχέθε τόνδ' ἐνὶ θυμῷ,

" In arundinibus et palude sub armis prostrati,
" Jacebamus: nox autem supervenit mala, Boreâ orto,
" Glacialis; at super nix facta est, veluti pruina,
" Frigida, et scutis circum accrescebat glacies.
" Ibi alii omnes laenas habebant, et tunicas,
" Dormiebantque quieti, scutis cooperti humeros:
" At ego laenam quidem profectus sociis reliqueram
" Stultitiâ; quoniam non putabam *me* frigus valdè passurum:
" Sed sequebar, scutum solum habens, et cingulum nitidum.
" Sed quandò jam tertia pars noctis erat, astraque transierant;
" Utique tunc ego Ulyssem allocutus sum, propè existentem,
" Cubito pungens; (is verò promptè audivit;)
" Nobilissime Laërtiade, solers Ulysses,
" Nequaquàm ampliùs vivis inter-ero: sed me hyems
" Domat; non enim habeo laenam: decepit me deus,
" Solâ cum-tunicâ ut-essem; nunc verò non ampliùs effugium est.'
" Sic dixi: is autem deindè sententiam habebat hanc in animo,

Ver. 474. Ἀνδόνακας.] *Al.* Ἀν δόνακας.
Ibid. —— πεπτηῶτες.] Vide ad *Il.* β', 818. et ζ, 261.
Ver. 476. Πηγυλὶς.] Ἦγουν παγετὸς κατὰ τοὺς Παλαιοὺς, ἢ παγετώδης. *Eustath.* Cæterùm apud *Etymolog. Magn.* notante *Barnesio*, legitur Πηλυγὶς.
Ibid. —— ὕπερθε.] *Al.* ἵστατο.
Ver. 477. —— περιτρέφετο.] Πέριξ ἐκύλιετο, ἐκαγιστοῦτο, συνίστατο, ἐστερεοῦτο. —— Οὕτω δὲ καὶ γάλα Θρίψας Κύκλωψ [suprà ι, 246.] τυροποιῆσαι. *Eustath.* *Al.* περιστρέφετο. Vide ad *Il.* ι, 903.
Ibid. —— κρύσταλλος.] Τὸ στιπτὸς ὕδωρ. *Schol.*

Ver. 479. —— σάκεσιν εἰλυμένοι.] *Al.* σακέσσι' εἰλυμένοι.
Ver. 481. Ἀφραδίαις.] *Al.* Ἀφραδίῃς, et Ἀφραδίῃ.
Ver. 485. Ἀγκῶνι νύξας.] *Barnesius* legendum conjicit, Ἀγκῶν' ἀνύξας. Sed nihil opus. Vide ad *Il.* ι, 51.
Ver. 487. Οὔτι.] *Al.* Οὔτοι.
Ver. 489. —— ἔμεναι.] *Al.* ἴμμεν, ἴμεναι, et ἴεναι.
Ibid. —— φυκτὰ.] *Barnesius* scribendum contendit φευκτὰ. Rationibus haud satis idoneis. Vide ad *Il.* ζ, 488.
Ver. 490. —— νόον σχέθε τόνδ' ἐνὶ θυμῷ.] Τὸ δὲ " νόον σχέθε," ἀντὶ τοῦ, ἔκρυψε τὸν μο-

Οἷος ἐκεῖνος ἦην βουλευέμεν, ἠδὲ μάχεσθαι·
Φθεγξάμενος δ' ὀλίγῃ ὀπί με πρὸς μῦθον ἔειπε·
Σίγα νῦν, μήτις σεῦ Ἀχαιῶν ἄλλος ἀκούσῃ.
Ἦ, καὶ ἐπ' ἀγκῶνος κεφαλὴν σχέθεν, εἶπέ τε μῦθον·
Κλῦτε, φίλοι, θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος·
Λίην γὰρ νηῶν ἐκὰς ἤλθομεν· ἀλλά τις εἴη
Εἰπεῖν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
Εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα Θόας, Ἀνδραίμονος υἱός,
Καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν,
Βῆ δὲ θέειν ἐπὶ νῆας· ἐγὼ δ' ἐνὶ εἵματι κεῖνου
Κείμην ἀσπασίως· φάε δὲ χρυσόθρονος ἠώς.
Ὡς νῦν ἠβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,
Ἀμφότερον, φιλότητι καὶ αἰδοῖ φωτὸς ἑῆος·
Νῦν δέ μ' ἀτιμάζουσι, κακὰ χροῒ εἵματ' ἔχοντα.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας,

" Qualis ille erat ad-consultandum et pugnandum;
" Locutus autem summissâ voce, me sermone affabatur:
' Sile nunc, ne quis te Achivorum alius audiat.'
" Dixit; et in cubito caput tenuit, dixitque sermonem:
' Audite, amici, divinum mihi in somnis astitit somnium;
' Valdè enim à navibus longè venimus; sed aliquis eat
' Nunciatum Atridae Agamemnoni, pastori populorum,
' Si plures a navibus jusserit venire.'
" Sic dixit: surrexit autem deindè Thoas, Andraemonis filius,
" Confestim, laenamque deposuit purpuream,
" Perrexitque currere ad naves: ego verò in vestimento illius
" Jacui libentèr; illuxit autem aureo-folio aurora.
" Ita utinam nunc pubescerem, viresque mihi integrae essent;
" Daret aliquis laenam in stabulis subulcorum,
" Utrumque, amicitiâ ac reverentiâ viri boni;
" Nunc autem me despicatui-habent, mala corpore vestimenta habentem."
Hunc autem respondens, allocutus es, Eumace subulce;
" O senex, narratio quidem tibi bona, quam dixisti:

σεπτοῖσιν λόγοις κατὰ νοῦν. *Eustath.* Rectiùs, ut opinor, interpreteris; " *Cogitatum hoc* " *concipiebat in animo.*"

Ver. 491. Οἷος ἐκεῖνος ἦην βουλευέμεν.] Γράφεται δὲ καὶ, " Οἷος ἐκεῖνος ἦεν " τελέσαι ἔργον τε ἔπος τε." *Eustath.*

Ver. 494. —— σχέθεν.] *Al.* θέτο.

Ver. 496. Λίην γὰρ νηῶν ἐκὰς ἤλθομεν.] Vide *Strabonem, Geograph.* lib. XIII. *pag.* 894. *al.* 599.

Ver. 498. Εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνοι νέεσθαι.] Ἤγουν ἴσως πλείους στρατιώτας πέμψω ἐκεῖ. *Eustath.*

Ver. 500. —— θέτο.] *Al.* βάλε.

Ibid. —— φοινικόεσσαν.] Pronuntiabatur φοινικεύσσαν. Vide ad *Il.* β', 267. et κ', 133.

Ver. 501. Βῆ δὲ θέειν.] *Al.* Βῆ δ' ἰέναι.

Ver. 503. —— αἶνος μὲν τοι ἀμύμων.] Δῆλον δὲ ὅτι αἶνος παρὰ τοῖς Παλαιοῖς οὐ μόνον ἔπαινος, ἐξ οὗ πολύσημος Ὀδυσσεὺς, ὡς αἱ Συρέσιες [suprà μ', 184.] εἶπον, ἀλλὰ καὶ λόγος συμβολικὸς ἐκ μύθου ἢ ἱστορίας στρατιώτας ἔχων παραινετικήν. *Eustath.* Ita *Hesiodus* fabulam *Accipitris* et *Luscinicæ* αἶνον appellat; Ἔργ. καὶ Ἡμερ. I. 200.

Οὐδέ τί τῳ παρὰ μοῖραν ἔπος νημερδὲς ἔειπες·
Τῷ οὔτ' ἐσθῆτος δευήσεαι, οὔτε τευ ἄλλου,
Ὧν ἐπέοικ' ἱκέτῃν ταλαπείριον ἀντιάσαντα,
Νῦν· ἀτὰρ ἠῶθέν γε τὰ σὰ ῥάκεα δροπαλίξεις·
Οὐ γὰρ πολλαὶ χλαῖναι, ἐπημοιβοί τε χιτῶνες
Ἐνθάδε ἔννυσθαι, μία δ' οἴη φωτὶ ἑκάστῳ.
Αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱός,
Αὐτός τοι χλαῖνάν τε χιτῶνά τε, εἵματα δώσει,
Πέμψει δ', ὅππῃ σε κραδίη θυμός τε κελεύει.
Ὣς εἰπὼν ἀνόρουσε· τίθει δ' ἄρα οἱ πυρὸς ἐγγὺς
Εὐνήν, ἐν δ' οἰῶν τε καὶ αἰγῶν δέρματ' ἔβαλλεν.
Ἔνθ' Ὀδυσεὺς κατέλεκτ'· ἐπὶ δὲ χλαῖναν βάλεν αὐτῷ
Πυκνὴν καὶ μεγάλην, ἣ οἱ παρεχέσπετ' ἀμοιβὰς,
Ἔννυσθαι, ὅτε τις χειμὼν ἔκπαγλος ὄροιτο.
Ὣς ὁ μὲν ἔνθ' Ὀδυσεὺς κοιμήσατο, τοὶ δὲ παρ' αὐτὸν
Ἄνδρες κοιμήσαντο νεηνίαι· οὐδὲ συβώτῃ
Ἤνδανεν αὐτόθι κεῖτος, ὑῶν ἄπο κοιμηθῆναι.

" Neque quid adhuc praeter decorum verbum inutile locutus es:
" Ideò neque veste indigebis, neque ullâ aliâ-re,
" Quarum decet supplicem miserum compotem-factum-esse,
" Nunc; at manè quidem tuis te pannis amicies;
" Non enim multae laenae, mutatoriaeque tunicae
" Hìc ad-induendum; una autem sola viro cuique.
" At postquam venerit Ulyssis dilectus filius,
" Ipse tibi laenamque tunicamque, vestimenta dabit,
" Mittetque, quò te cor animusque jubet."
Sic locutus surrexit; ponebat autem ei prope ignem
Lectum, oviumque et caprarum pelles injiciebat.
Ibi Ulysses decubuit; injecit autem laenam ipsi
Densam et magnam, quae ei praebebat copiam-mutandi,
Ad-induendum, quandò aliqua hyems terribilis orta esset.
Sic ibi quidem tunc Ulysses decubuit; apud ipsum verò
Viri cubuerunt juvenes: non autem subulco
Placuit illic lectus, ut à suibus seorsùm cubaret;

Ver. 509. Οὐδέ τί τῳ παρὰ μοῖραν ἔπος νημερδὲς ἔειπες.] Οὐ γὰρ παρὰ τὸ πρωΐσιον τὰ πικρὰ ἠγόρευσας. *Porphyr. Quæst. Homeric.* 16.

Ibid. —— ἔειπες.] *Al.* ἔειπας· et ἔνεπες.

Ver. 511. —— ἀντιάσαντα.] Vide suprà ad ζ. 193. et ad *Il. á*, 67.

Ver. 512. —— τὰ σὰ ῥάκεα δροπαλίξεις.] Ἀντὶ τοῦ, διὰ χειρὸς ἕξεις, ἀμφίσῃ, συῤῥάψεις· ἢ περιτινάξεις, περιστρέψεις. *Etymolog. Magn.* in voce Δροπαλίζω.

Ver. 513. —— χλαῖναι, ἐπημοιβοί τε χιτῶνες.] Χλαῖναι, χλαμύδες, τὰ ἔξωθεν περιβλήματα ——. Χιτῶνες, τὰ ἔσωθεν ἐνδεῖα ἱμάτια. *Schol.*

Ver. 515. 516. 517. Αὐτὰρ ἐπὴν ἔλθῃσιν &c.] Desunt hi tres versus in MS. à *Tho. Bentleio* collato.

Ver. 517. —— θυμός τε κελεύει.] *Al.* καὶ θυμὸς ἀνώγει.

Ver. 521. —— μεγάλην.] *Al.* μαλακὴν.

Ibid. —— παρεχέσπετ' ἀμοιβὰς.] Παρεῖχε τὰς ἀμοιβὰς καὶ ἐναλλαγάς. *Schol.* Cæterùm *Barnesius* edidit, legendumque pronuntiat, παρεχέσπετ' ἀμοιβὰς, ut sit παρέπιπτε ἀμοιβαίη uti infrà φ', 41. Κίπτειν' ἐπὶ μεγάροις. verùm, ut opinor, auctoritate haud satis idoneâ. Porrò vir eruditus *Tho. Bentleius* in uno MS. scriptum reperit παρέχεσκεν ἀμοιβάς.

Ἀλλ' ὅγ' ἄρ' ἔξω ἰὼν ὡπλίζετο· χαῖρε δ' Ὀδυσσεὺς
Ὅττι ῥά οἱ βιότου περικήδετο, νόσφιν ἑόντος.
Πρῶτον μὲν ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ' ὤμοις,
Ἀμφὶ δὲ χλαῖναν εἴσατ' ἀλεξάνεμον, μάλα πυκνὴν,
Ἂν δὲ νάκην ἕλετ' αἰγὸς ἐϋτρεφέος μεγάλοιο· 530
Εἵλετο δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν
Βῆ δ' ἴμεναι πείων, ὅθι περ σύες ἀργιόδοντες
Πίτρῃ ὑπὸ γλαφυρῇ εὗδον, Βορέω ὑπ' ἰωγῇ.

Sed is extrà profectus armabat-se: gaudebat verò Ulysses,
Quòd scilicèt sibi facultatum curam-habebat, dum *ipse* abesset.
Primùm quidem ensem acutum circum fortes posuit humeros;
Laenam autem sibi circumdedit arcentem-ventos, valdè densam;
Ac pellem sumpsit caprae benè-nutritae magnae: 530
Sumpsitque acutum jaculum, canum propulsatorem et virorum.
Perrexit autem ire decubiturus, ubi scilicèt sues albis-dentibus
Rupe sub cavâ dormiebant, Boreae sub tegmine.

Ver. 527. —— *νόσφιν ἰόντος.*] *Al. νόσφιν ἰόντι.*

Ver. 528. —— *ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ' ὤμοις.*]

Tum lateri atque humeris Tegeaeum subligat ensem. *Æn.* VIII, 459.

Ver. 529. —— *χλαῖναν εἴσατ'.*] Vide suprà ad *I*, 296. *Al. χλαῖναν ἑ ἵσατ'.* Minùs rectè.

Ver. 530. —— *νάκην.*] *Δίεμα αἰγὸς δασύμαλλον. Schol.*

Ver. 533. —— *Βορέω ὑπ' ἰωγῇ.*] *Ἰωγὴ, ἡ σκέπη* —— *καὶ ὑπαγωγαὶ δὲ, αἱ ὑπαγωγαὶ καὶ σκέπαι. Etymolog. Magn. Κυρίως οὖν ἰωὴ τῆς στοᾶς οὔσης, καὶ τοῦ ἄγνυσθαι σημαίνοντος τὸ κλᾶσθαι, ἰωγὴ λοιπὸν ἡ τῆς στοᾶς ἂν εἴη κλάσις. Ἔφη οὖν στυ, "εὗδον Βορέω ὑπ' ἰωγῇ·" ὅτι ἀγνυται ἡ στοὰ Βορρᾶ στοή. Porphyr. Quæst. Homeric.* 29. *Al. ὑπ' ἰωγῆς.*

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ο'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ο'.

ΤΗΛΕΜΑΧΟΝ Ἀθηνᾶ ὄναρ ἐπιστᾶσα εἰς Ἰθάκην ἐπανελθεῖν προτρέπεται· ὃς δῶρα παρὰ Μενελάου λαβὼν πέμπεται· καὶ ἐμβαίνειν μέλλων εἰς τὴν ναῦν, Θεοκλύμενον τινὰ Ἀργεῖον μάντιν ἀναλαμβάνει ἐπὶ φόνῳ φεύγοντα· καὶ Εὔμαιος Ὀδυσσεῖ διηγεῖται, ὡς Φοίνικες αὐτὸν λῃσάμενοι ἐκ Συρίας νήσου, ἀπέδοντο Λαέρτῃ· καὶ ἡ Τηλεμάχου ναῦς κατάγεται εἰς Ἰθάκην, καὶ ταύτην εἰς ἄστυ ἀποπέμψας, αὐτὸς πρὸς Εὔμαιον ἔρχεται.

Ἐπιγραφαί.

Τηλεμάχου ἐπάνοδος· Μνηστήρων λόχος· Τηλεμάχου πρὸς Εὔμαιον ἄφιξις.

Ἄλλως.

Οὐ, ἐπίσω Ἰθάκης Λακεδαίμονος ἐξ Ὀδυσῆος.

Ἠδ' εἰς εὐρύχορον Λακεδαίμονα Παλλὰς Ἀθήνη
Ὤχετ', Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱὸν
Νόστου ὑπομνήσουσα, καὶ ὀτρυνέουσα νέεσθαι.

In spatiosam verò Lacedaemonem Pallas Minerva
Ibat, Ulyssis magnanimi illustrem filium
De-reditu submonitura, et hortatura ut-rediret.

Ver. 1. Ἠδ' εἰς εὐρύχορον Λακεδαίμονα.] Connectitur cum *Odyss.* ν', 439. 440.

Ibid. ——— εὐρύχορον Λακεδαίμονα.] Sic Oraculum apud *Homerum:*

——— Σπάρτης οἰκήτορες εὐρυχόρου.
Lib. VII. § 220.

Cæterùm nonnulli *Spartam* εὐρύχορον appellatam existimàrunt propter *Choreas* quarum meminit *Plutarchus* in libro *de institutis Laconicis.* Alii verò εὐρύχορον exponunt simplicitèr *latam*, Εὐρύχορον, φασὶ, λίγυ — γῆν, τὴν εὔχωρον καὶ μεγάλην. *Eustath.* ad *Odyss.* μ', 4. Quod et eo verisimilius videtur, quòd aliis terris idem epitheton sæpè tribuat Poeta. Vide suprà ad Υ, 635. ζ', 4. et λ', 255. Vir tamen eruditus *Isaacus Casaubonus* alteram sententiam amplectitur, reprehenditque *Athenæi* Latinum Interpretem, quòd εὐρύχορον "*agri spatiosi*" reddiderit. *Annotat. in Athenæum, lib.* IV. *cap.* 3.

Ver. 3. Νόστου ὑπομνήσουσα, καὶ ὀτρυνέουσα νίεσθαι.] Φησὶ γὰρ ὡς εἰκὸς ὁ Τηλέμαχος, ἐκ

Εὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν
Εὕδοντ' ἐν προδόμῳ Μενελάου κυδαλίμοιο·
Ἦτοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ·
Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκὺς, ἀλλ' ἐνὶ θυμῷ
Νύκτα δι' ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρεν.
Ἀγχοῦ δ' ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
Τηλέμαχ', οὐκ ἔτι καλὰ δόμων ἀπὸ δὴν ἀλάλησαι,
Κτήματά τε προλιπὼν, ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
Οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσι,
Κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
Ἀλλ' ὅτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον,
Πεμπέμεν, ὄφρ' ἔτι οἶκοι ἀμύμονα μητέρα τέτμῃς·
Ἤδη γάρ ῥα πατήρ τε καὶ σίγυνοί τε κέλονται
Εὐρυμάχῳ γήμασθαι· ὁ γὰρ περιβάλλει ἅπαντας

Invenit autem Telemachum et Nestoris inclytum filium
Cubantes in vestibulo domûs Menelai illustris;
Nestoridem quidem molli domitum somno:
Telemachum autem non somnus tenebat dulcis; sed *eum* in animo
Noctem per placidam curae de-patre excitabant.
Propè autem stans allocuta est caesia-oculis Minerva:
" Telemache, non ampliùs benè à *tuâ* domo diù aberras,
" Possessionibusque relictis, virisque in tuis aedibus,
" Ita superbis; *cave* nè tibi omnia comedant,
" Possessionibus divisis, tu autem inane iter feceris.
" Sed hortare citissimè bello strenuum Menelaum,
" Ut *te* dimittat; ut adhuc domi eximiam matrem invenias:
" Jam enim paterque fratresque jubent
" Eurymacho nubere; is enim superat omnes

τῆς κατ' αὐτὸν Ἀθηνᾶς, καιρὸν εἶναι ἤδη τοῦ ἐπανιέναι αὐτόν. *Eustath.*

Ἤδη γάρ μοι θυμὸς ἰάλλεται εἶπεν ἰόντα. Infrà *ver.* 66.

Vide ad *Il. ά*, 194.

Ibid. —— ἀτρυνέουσα.] Vide ad *Il. ά*, 338. et *κ'*, 55.

Ver. 5. Εὕδοντ' ἐν προδόμῳ.] Quoniam infrà *ver.* 7. legitur, Τηλέμαχον δ' οὐκ ὕπνος ἔχε γλυκύς· ideò vocem Εὕδοντ' hoc in loco non Εὕδοντες, (uti exponit *Scholiastes*,) sed Εὕδοντα intelligendam contendit *Barnesius*: scilicet ut ad *Pisistratum* solum referatur. Sed nihil opus. Primò enim vox Εὕδων de eo qui ad somnum captandum decubuerit, (ut opinor,) satìs rectè dici potest: Deinde istud Τηλέμαχον δ' οὐκ ὕπνος ἔχε γλυκὺς, *ver.* 7. non impedit quin paululùm dormierit *Telemachus*, etsi non (ut *Nestoris* filius) μαλακῷ δεδμημένος ὕπνῳ. Similitèr de Jove dicit Poeta, *Iliad. ά*, 611. Ἔνθα κάθευδ' ἀνιβάς· de eodem autem statim deinceps, *β'*, *ver.* 2. Δία δ' οὐκ ἔχε πάμπαν ὕπνος.

Ver. 8. —— μελεδήματα πατρὸς ἔγειρεν.] *Barnesius* aliique vertunt, " *curas de patre* " *excitabat.*" Sed ad vocis ἔγειρεν significationem rectiùs (ut opinor) interpretèris, " *curae de patre* eum è somno *excitant*:" sive, " *insomnem reddebant.*" Vide suprà ad *ζ'*, 48. et ad *Iliad. ψ'*, 234. *ώ*, 344.

Ver. 10. —— ἀπὸ δὴν ἀλάλησαι.] MS. à *Tho. Bentleio* collatus, ἀπὸ τῆλ' ἀλάλησαι. Atque ita in commentario citat *Eustathius*.

Ver. 13. Κτήματα.] *Al.* Χρήματα.

Ibid. — τηϋσίην.] Vide suprà ad *γ'*, 316.

Ver. 16. Ἤδη γάρ ῥα πατήρ τε.] Hinc *Ovidius*:

Me pater Icarius viduo discedere lecto
Cogit, et immensas increpat usque moras. *Heroid. Epist.* I, 81.

Vide *Strabonem*, *Geograph. lib.* X. *pag.* 708. *al.* 461.

Ibid. —— πατήρ.] Ἰκάριος ὁ Οἰδάλου. *Schol.*

Ver. 17. —— γήμασθαι.] Vide suprà ad *λ'*, 272.

Μνηστῆρας δώροισι, καὶ ἐξώφελλεν ἕεδνα·
Μή νύ τι, σεῦ ἀέκητι, δόμων ἐπ πτῆμα φέρηται.
Οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
Κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι,
Παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
Οὐκέτι μέμνηται τεθνηότος, οὐδὲ μεταλλᾷ·
Ἀλλὰ σύγ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
Δμωάων, ἥτις τοι ἀρίστη φαίνεται εἶναι,
Εἰσόκε τοι φήνωσι θεὰν πυδρὴν παράκοιτιν.
Ἄλλο δέ τοί γε ἔπος ἐρέω· σὺ δὲ σύνθεο θυμῷ·
Μνηστήρων σ' ἐπιτηδὲς ἀριστῆες λοχόωσιν
Ἐν πορθμῷ Ἰθάκης τε, Σάμοιό τε παιπαλόεσσης,
Ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Ἀλλὰ τά γ' οὐκ οἶω· πρὶν καί τινα γαῖα καθύξει
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.

" Procos donis, et exaugere-solet sponsalia:
" Nequod, te invito, ex aedibus bonum efferatur.
" Scis enim, qualis animus in pectoribus mulieris:
" Illius vult domum augere, qui duxerit;
" Filiorum autem priorum, et mariti-cui-virgo-nupserat dilecti,
" Non ampliùs recordatur mortui, neque inquirit.
" Sed tu ubi-veneris ipse committas singula
" Famularum *ei*, quaecunque tibi optima videatur esse,
" Donec tibi ostenderint dii illustrem uxorem.
" Aliud autem tibi verbum dicam; tu verò repone animo;
" Procorum tibi diligentèr optimates insidiantur
" In freto Ithacaeque, Samique asperae,
" Cupientes occidere, antequam in patriam terram veneris.
" Sed ea scilicet non *futura* puto: priùs etiam aliquem terra detinebit
" Virorum procorum, qui tibi victum devorant.

Ver. 18. —— ἕεδνα.] Ita *Barnesius*. Nempè ut ἅλως, ἠέλιος· ἕερση, εἴερση· ita ἵδνον, ἕεδνον. *Vulgg.* ἴεδνα.

Ver. 22. Παίδων δὲ προτέρων καὶ κουριδίου φίλου Οὐκέτι μέμνηται.]

Ἀπίστου· αὐτὴν, ἥτις ἄνδρα τὸν πάρος
Καινοῖς λίπτεσθαι ἀποζαλοῦσ' ἄλλον φιλεῖ.
Euripid. Troad. ver. 662.

Παλαιὰ καινῶν λείπεται κηδεμόνων.
In Medea, ver. 76.

Ubi *Scholiastes* hunc *Homeri* locum citat.

Ver. 23. —— τεθνηότος.] Vide ad *Il.* β', 318. *Al.* τεθνειότος.

Ver. 27. —— σὺ δὲ σύνθεο θυμῷ.]

—— tu condita mente teneto. *Æn.* III, 388.

Ver. 28. Μνηστήρων σ' ἐπιτηδὲς.] Vide suprà ad δ', 842. &c.

Ver. 29. Ἐν πορθμῷ Ἰθάκης.] Πορθμὸς ἐστὶ στενὴ θάλασσα ὑπὸ γῆς περιεχομένη· ἰσθμὸς δὲ στενὴ γῆ ὑπὸ θαλάσσης περιεχομένη. *Schol.*

Ibid. —— Σάμοιό τε παιπαλόεσσης.] Σάμον δὲ, τὴν νῦν Κεφαλληνίαν, ὡς καὶ ὅπου φησί. " Ἐν πορθμῷ σ' Ἰθάκης τε, Σάμοιό τε παιπαλόεσσης." Τῷ γὰρ ἰσθμίτῃ τὴν ἡμιπομίαν διίστασθαι, ὡς οὐκ ἐπὶ τῆς πόλεως, ἀλλ' ἐπὶ τῆς νήσου, τιθεῖς τοῦνομα. Τιγραπόλεως γὰρ οὔσης τῆς νήσου, μία τῶν τεττάρων ἐστὶ καὶ Σάμος καὶ Σάμη καλουμένη, καθ' ἑαυτὴν τοῦνομα ἡμωνυμοῦσα τῇ νήσῳ. *Strabo, Geograph. lib.* X. *pag.* 695. *al.* 453. *Apollodorus* autem, notante *Strabone, ibid.* insulam non Σάμην, sed Σάμον semper appellatam contendit. Vide suprà ad ά, 246. Cæterùm quod hìc ait *Scholiastes*, Τὴν Σάμην εἴρηκε Σάμον διὰ τὸ μέγεθος planè nihili est. Alibi enim occurrit vox Σάμου.

Μεσηγὺς δὴ Σάμου τε καὶ Ἰθάκου παιπαλοέσσης. *Iliad.* ω, 78.

Ubi facilè scribere potuisset Poeta Σάμης, si ita oportuisset.

Ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα,
Νυκτὶ δ' ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθεν
Ἀθανάτων, ὅς τις σε φυλάσσει τε ῥύεταί τε.
Αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν Ἰθάκης ἀφίκηαι,
Νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους·
Αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
Ὅς τοι ὑῶν ἐπίουρος· ὁμῶς δέ τοι ἤπια οἶδεν.
Ἔνθα δὲ νύκτ' ἀέσαι· τὸν δ' ὀτρῦναι πόλιν εἴσω
Ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
Οὕνεκά οἱ σῶς ἐσσὶ, καὶ ἐκ Πύλου εἰλήλουθας.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
Αὐτὰρ ὁ Νεστορίδην ἐξ ἡδέος ὕπνου ἔγειρεν,
Λὰξ ποδὶ κινήσας, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἔγρεο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
Ζεῦξον ὑφ' ἅρματ' ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο.
Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
Τηλέμαχ', οὔπως ἐστὶν, ἐπειγομένους περ ὁδοῖο,
Νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ' ἔσσεται Ἠώς.

" Sed longè ab insulis abstine benè-fabricatam navem,
" Cumque nocte simul naviga: mittet autem tibi ventum-secundum à-tergo
" Immortalium, quicunque te custoditque, tueturque.
" At ubi ad primum littus Ithacae perveneris,
" Navem quidem in urbem mitte et omnes socios:
" Ipse verò primùm subulcum adi,
" Qui tibi suûm custos est, simulque tibi benè-vult.
" Illic autem noctem perage; eum verò mitte in urbem
" Nuncium laturum prudenti Penelopae;
" Quòd ei salvus sis, et ex Pylo veneris."
Haec quidem sic locuta abiit ad magnum Olympum.
At hic Nestoridem ex dulci somno excitavit
Calcitrando pede motum; et ei verbum dixit:
" Surge, Nestoride Pisistrate, solidos-ungulis equos
" Junge currui subducens, ut conficiamus iter."
Hunc autem Nestorides Pisistratus contrà allocutus est:
" Telemache, nequaquàm licet, festinantes quamvis ad-iter,
" Noctem per tenebrosam aurigare; citò autem aderit Aurora.

Ver. 39. ——— ὁμῶς δέ τοι ἤπια οἶδεν.] Vide suprà ad ν', 405.

Ver. 43. Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη.]

——— Sic fatus, nocti se immiscuit atræ.
Æn. IV, 570.

Ver. 47. ——— πρήσσωμεν ὁδοῖο.] In vulgatis editum est πρήσομεν. Verùm cum in omnibus editionibus legatur πρήσσωμεν πρήσσειν. *Iliad.* ω, 264. *Odyss.* γ', 476. ε, 219. ubi idem ferè hemistichium occurrit; etiam hîc πρήσσωμεν edidi.

Ver. 50. Νύκτα διὰ δνοφερὴν ἐλάαν.] Conjicit Dna. *Dacier* hoc eâdem accidisse nocte quam suprà depingit Poeta:

Νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ σκοτομήνιος, ὄφρ' ἔτι, 457.

ideoque hoc in loco noctem δνοφερὴν appellatam existimat: scilicet ut dicat *Pisistratus*, " *nocte tam obscurâ et intempestâ iter nullo* " *modo instituendum esse.*" Sed malè. Neque enim Epitheton δνοφερὴ omninò noctem intempestam, aut solito obscuriorem denotat; sed omni nocti in universum tribuitur; neque, ut de eâdem ipsâ nocte hæc intelligantur, ulla videtur ratio. Reverà hoc dicit *Pisistratus*, " *noctem*, (*non istam utique*, " *sed* omnem,) *ad iter faciendum, tempus esse* " *omninò inidoneum.*"

Ἀλλὰ μέν', εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείη
Ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
Καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψῃ.
Τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
Ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ·
Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἦλυθεν Ἠώς.
Ἀγχίμολον δέ σφ' ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Ἀνστὰς ἐξ εὐνῆς, Ἑλένης παρὰ καλλικόμοιο.
Τὸν δ' ὡς οὖν ἐνόησεν Ὀδυσσῆος φίλος υἱός,
Σπερχόμενός ῥα χιτῶνα περὶ χροῒ σιγαλόεντα
Δῦνεν, καὶ μέγα φᾶρος ἐπὶ στιβαροῖς βάλετ' ὤμοις
Ἥρως· βῆ δὲ θύραζε, παριστάμενος δὲ προσηύδα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Ἀτρεΐδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Ἤδη νῦν μ' ἀπόπεμπε φίλην ἐς πατρίδα γαῖαν·
Ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ' ἱκέσθαι.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
Τηλέμαχ', οὔτι σ' ἔγωγε πολὺν χρόνον ἐνθάδ' ἐρύξω
Ἰέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλῳ

" Sed mane, dum dona ferens in-currum posuerit
" Heros Atrides, hastâ-inclytus Menelaus,
" Et verbis mitibus compellatum dimiserit.
" Etenim hospes recordatur dies omnes
" Viri hospitalis, qui amicitiam praebuerit."
Sic dixit: statim autem aureo-solio venit Aurora.
Propè autem ad eos venit bello strenuus Menelaus,
Ubi-surrexisset è lecto, Helenâ à comas-pulchrâ.
Hunc autem postquam animadvertit Ulyssis dilectus filius,
Festinans utique tunicam circum corpus splendidam
Induit, et magnum pallium fortibus injecit humeris
Heros: ivit autem foràs, astansque allocutus est
Telemachus, dilectus filius Ulyssis divini:
" Atride Menelaë Jovis-alumne, princeps populorum,
" Jam nunc me dimitte dilectam in patriam terram;
" Jam enim mihi animus cupit domum ire."
Huic autem respondit deinde bello strenuus Menelaus:
" Telemache, non te ego in multum tempus hìc detinebo
" Cupientem reditûs: succenseo autem et alii

Ver. 51. ——— ἐπιδίφρια.] Ἐπὶ τὸν δίφρον τιθέμενα, ἢ τὸ ἅρμα. *Schol.*

Ver. 60. Σπερχόμενός ῥα χιτῶνα.] Consurgit ——, tunicâque inducitur artus. *Æn.* VIII, 457.

Ver. 62. ——— παριστάμενος δὲ προσηύδα.] *Al.* παριστάμενος δ' ἔπος ηὔδα.

Ver. 63. Τηλέμαχος.] Deest hic versus in nonnullis Editionibus, itemque in MS. à *Tho. Bentleio* collato. " Ac certè," inquit *Henricus Stephanus*, " malim abesse, quòd " supervacaneus videatur."

Ver. 69. 70. — νεμεσσῶμαι δὲ καὶ ἄλλῳ Ἀνδρὶ &c.] Apud *Dionysium Halicarnassensem*, περὶ τῆς Ὁμήρου συνθέσεως, § 19. sub initio, contrahuntur hæc in unum versum, hoc modo:

Καὶ δ' ἄλλῳ νεμεσῶ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν.

Vide ad *ver.* 70.

Ἀνδρὶ ξεινοδόκῳ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν,
Ἔξοχα δ' ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα.
Ἰσόν τοι κακὸν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
Ξεῖνον ἀποτρύνῃ, καὶ ὃς ἐσσύμενον κατερύκῃ·
Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
Ἀλλὰ μέν', εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείω
Καλά, σὺ δ' ὀφθαλμοῖσιν ἴδῃς· εἶπω δὲ γυναιξίν,
Δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἄλις ἔνδον ἐόντων.
Ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη, καὶ ὄνησις,
Δειπνήσαντας ἴμεν πολλὴν ἐπ' ἀπείρονα γαῖαν.
Εἰ δ' ἐθέλεις τρεφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,
Ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
Ἄστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἡμέας

" Viro hospitali, qui immoderatè quidem diligat,
" Immoderatè autem oderit; meliora nempè aequabilia omnia.
" Aequale sanè malum est, qui et nolentem redire
" Hospitem impellat, et qui ire-festinantem detineat:
" Oportet hospitem praesentem amicè-tractare, volentem autem dimittere.
" Sed mane, dum dona ferens in-currum posuero
" Pulchra; tu autem oculis videris: dicam verò mulieribus,
" Jentaculum in aedibus ut-parent abundè ex intùs existentibus.
" Utrumque, gloriaque et splendor, et utilitas *est*,
" Pastos ire multam super immensam terram.
" Sin vis divertere in Hellada, et medium Argos;
" Ut te ipse sequar; subjungam autem tibi equos,
" Et ad urbes hominum ducam: neque quisquam nos

Ver. 70. —— ὅς κ' ἔξοχα μὲν φιλέῃσιν, Ἔξοχα δ' ἐχθαίρῃσιν.] Τῆς δὲ Ὁμήρου σοφίας πρέπουσα καταμαθεῖν ἐστὶ διάγραμμα, ὅτι καλὰ καὶ σοφὰ ἀνδρῶν ἀποφθέγματα σεμνηφάντως· οἷον τὸ —— Μηδὲν ἄγαν· " Καὶ δ' ἄλλῳ " τινὶ σοφῷ, ὅς κ' ἔξοχα, &c. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 19.

Χρὴ γὰρ μετρίας ἀλλήλους
Φιλίας ἔτητύς ἀναπίμπλασθαι,
Καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς.
Euripid. Hippolyt. ver 253.

Ibid. 71. —— ἀμείνω δ' αἴσιμα πάντα.] Ἐγγὺς ἐστὶ τοῦ εἰπεῖν, ὡς πάντων μέτρον ἄριστον. *Eustath.*

Ver. 73. —— ἀποτρύνῃ, —— κατερύκῃ.] *Al.* ἀποτρύνει, —— κατερύκει.

Ver. 74. Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.] Sic apud *Theocritum*:

Μηδὲ ξεινοδόκον κακὸν ἵμμεναι ἀλλὰ φερεσβᾷ
Μειλίξαντ' ἀποπέμψαι, ἐὰν ἐθέλοντι νέεσθαι.
Idyll. XVI, 27.

—— nè sit mora; mitte volentem.
Ovid. Fast. lib. IV. *ver.* 269.

Καὶ εἴ γε ἄνθρωποι ὑποδέχονται αὐτὸν [χειλ-δόνα] κατὰ τὸν τῆς Ὁμηρικῆς ξενίας θεσμὸν, ὃς μάλιστα καὶ φιλεῖν τὸν παρόντα, καὶ ἥκιστα βουλόμενον ἀποπέμπειν. *Ælian. de Animal. lib.* I. *cap.* 52.

Ver. 78. Ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη, καὶ ὄνησις, Δειπνήσαντας ἴμεν.] Τουτέστι τὸ τοὺς ξένους δειπνίσαντας ὑποχωρῆσαι εἰς ὁδὸν, ὄνησις μὲν τῷ ξενοδοχήσαντι διὰ τὸ φαγεῖν· —— κῦδος δὲ καὶ ἀγλαΐα τῷ ξενοδοχήσαντι. *Eustath.* Atqui utrumque videtur τῷ ξενοδοχήσαντι tribuendum. Cæterùm *Scholiastes* κῦδος hic exponit παράστημα ψυχῆς.

Ver. 79. Δειπνήσαντας.] Vide suprà ad γ', 535.

Ver. 80. —— ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος.] Ποιητικῶς δὲ σὺν σχήματι συγκαταλήγειν τὸ μέσον τῷ ὅλῳ φασὶ τὸν Ὅμηρον· ὡς τὸ " ἀν' " Ἑλλάδα καὶ μέσον Ἄργος." *Strabo, Geograph. lib.* VIII. *pag.* 524. *al.* 340. Vide autem suprà ad ά, 344. et ad *Il.* β', 528.

Ver. 81. Ὄφρα τοι αὐτὸς ἕπωμαι.] Τὸ δὲ " ὄφρα ἕπωμαι" ἀπὸ ποσοῦ ἔχει χρησιμωτάτως τὸ " μίνι τίσεις" [suprà *ver.* 75.] οἷον, Ἀλλὰ μίνι τίσεις δῶρα φέρω καλά· εἰ δ' ἀλίτοις, μίνι δηλαδὴ, ὄφρα τοι αὐτὸς ἕπωμαι. *Eustath.*

Αὖτως ἀποπέμψει, δώσει δέ τι ἴν γε φέρεσθαι,
Ἤ τινα τριπόδων ἰϋχάλκων, ἠὲ λεβήτων,
Ἠὲ δύ' ἡμιόνους, ἠὲ χρύσειον ἄλεισον.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Βούλομαι ἤδη νεῖσθαι ἐφ' ἡμέτερ'· (οὐ γὰρ ὄπισθεν
Οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσι·)
Μὴ πατέρ' ἀντίθεον διζήμενος, αὐτὸς ὄλωμαι,
Ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
Αὐτίκ' ἄρ' ἢ ἀλόχῳ ἠδὲ δμωῇσι κέλευσε,
Δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
Ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοίδης Ἐτεωνεὺς,
Ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ' αὐτοῦ·
Τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος,
Ὀπτῆσαί τε κρεῶν· ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.
Αὐτὸς δ' ἐς θάλαμον κατεβήσατο κηώεντα,

" Incassùm remittet; dabit autem aliquid unum saltem ferendum,
" Aut aliquem tripodum benè-acratorum, aut lebetum,
" Aut duos mulos, aut aureum poculum."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est:
" Atride Menelaë Jovis-alumne, princeps populorum,
" Volo jam redire ad nostra; (non enim ponè
" Custodem discedens reliqui apud possessiones meas:)
" Nè patrem deo-parem quærens, ipse peream,
" Aut aliquod mihi ex aedibus supellectile pereat."
At postquam hoc audisset bello strenuus Menelaus,
Statim suam uxorem et famulas jussit,
Jentaculum in aedibus parare abundè ex intùs existentibus:
Propè autem ad ipsum venit Boëthoedes Eteoneus,
Ubi-surrexisset è lecto; quippe non procul habitabat ab ipso:
Hunc ignem accendere jussit bello strenuus Menelaus,
Assareque carnes; is verò non inobsequens fuit, ubi audivisset.
Ipse autem in thalamum descendit odoratum,

Ver. 83. Αὖτως ἀποπέμψει.] Ita omnes. Quod tamen, ut opinor, ferri non potest. *Barnesius* quidem *Anapæstum* quovis in loco pro *Dactylo* adhiberi posse contendit. Verùm ejus rei exemplum alibi apud *Homerum* non occurrit. In versu enim isto quem hic citat vir eruditus, *Odyss.* β', 289. Ὀπλισσόν τ' ἦϊα καὶ ἄγγιστα ——, pes tertius, " ἴα καὶ" non est *Anapæstus*, sed *Dactylus*; quippè vox ἦϊα *mediam* naturâ producit. Et in aliis locis à *Barnesio* ibi (ad *Odyss.* β', 289.) citatis: Βερίης καὶ Ζίφυος —— *Iliad.* ι', 5. Νία μὶν ναυσὶ κατέλξι —— *Odyss.* ι', 283. Ἴξιονα δὲ σύας—ε', 181. pedes isti " Βερίης," " Νία μὶν," " Ἴξιον," non sunt *Anapæsti*, sed *Spondæi*: pronuntiando nimirùm, Βέρίης, Νᾶ μὶν, "Ιξιον. Ideóque hoc in loco errorem aliquem latere crediderim. Quænam autem vera demùm sit lectio, non liquet.

Ver. 85. Ἠὲ δύ' ἡμιόνους.] Ἐν δὲ τῷ, " δύ' " ἡμιόνους," δύο μὲν λίγυι διὰ τὴν ξυνωρίδα. Οὐ γὰρ ἰσαλλάττειν οἱ ἵπποι τόσα. *Eustath.* Atqui equos celetes tunc in usu fuisse liquet ex *Iliad.* ι', 679. &c.

Ver. 97. 98. Τὸν πῦρ κῆαι ἄνωγε —— Ὀπτῆσαί τε κρεῶν.] " Mallem hic," inquit *Barnesius*, " legere Ὀπτῆσαι κρειῶν, ut sensus sit, " *Ignem jussit accendere, Ad assandum car-* " *nes.*" Sed malè.

Ibid. —— κῆαι.] *Al.* καῖαι.

Οὐκ οἷος, ἅμα τῷγ' Ἑλένη κίε καὶ Μεγαπένθης.
Ἀλλ' ὅτε δή ῥ' ἵκανον, ὅθ' οἱ κειμήλια κεῖτο,
Ἀτρεΐδης μὲν ἔπειτα δέπας λάβεν ἀμφικύπελλον,
Υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε' ἄνωγεν
Ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
Ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, οὓς κάμεν αὐτή.
Τῶν ἕν' ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
Ὃς κάλλιστος ἔην ποικίλμασιν, ἠδὲ μέγιστος·
Ἀστὴρ δ' ὡς ἀπέλαμπεν, ἔκειτο δὲ νείατος ἄλλων.
Βὰν δ' ἰέναι προτέρω διὰ δώματος, ἔως ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος·
Τηλέμαχ', ἦτοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
Ὡς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
Δώρων δ', ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
Δώσω, ὃ κάλλιστον καὶ τιμιήστατόν ἐστί·
Δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ

Non solus; simul cum-ipso Helena ivit et Megapenthes.
Sed quando jam pervenissent, ubi ei bona-recondita jacebant,
Atrides quidem deinde poculum cepit rotundum,
Filium autem craterem portare Megapenthem jussit
Argenteum: Helena verò astitit arcis,
Ubi erant ei pepla omnigeno-artificio-varia, quae elaboraverat ipsa.
Horum unum sublatum Helena ferebat, praestantissima mulierum,
Quod pulcherrimum erat ornatu-versicolori, et maximum;
Stella autem veluti resplendebat; jacebat verò ultimum omnium.
Perrexerunt autem ire ulteriùs per domum, donec pervenissent
Ad Telemachum; hunc autem allocutus est flavus Menelaus:
" Telemache, sanè reditum, quemadmodum animo tuo cupis,
" Sic tibi Jupiter perficiat, altitonans maritus Junonis.
" Donorum autem, quotquot in meâ domo recondita jacent,
" Dabo, quod optimum et pretiosissimum est:
" Dabo tibi craterem elaboratum; argenteus autem

Ver. 101. —— ἵκανον, ὅθ' οἱ κειμήλια κεῖτο.] Ita edidit *Barnesius*. *Vulgg.* ὅτι οἱ. Quod versum perimit: nam ἵκανον *mediam* semper producit. Cæterùm MS. à *Tho. Bentleio* collatus habet ὅθι κειμήλια κεῖτο.

Ver. 102 et 120. —— ἀμφικύπελλον.] Κατὰ τὸν Δεινοσθένειον, [*Athenæum, lib.* XI. *cap.* 9.] ἀμφικύπελλον οὐδὲν ἄλλο σημαίνει, ἢ ὅτι ἦν ἀμφίκυρτον. Σιληνὸς δὲ, τὸ μὴ ἔχον ὦτα. *Eustath.* Ubi plures hujus vocis interpretationes affert. Vide et ad *Il.* ά, 584.

Ver. 104. —— φωριαμοῖσιν.] Τοῖς πίναξι. *Schol.*

Ver. 109. —— διὰ δώματος.] *Eustathius* videtur legisse διὰ δώματα.

Ibid. —— ἵως ἵκοντο.] " En," inquit *Barnesius*. " *Amphibrachyn* in *Sexto* loco." Minùs rectè. Pronuntiabatur enim ac si scriptum fuisset ὕστ ἵκοντο vel ὅς ἵκοντο. Vide ad *Il.* ί, 539. *Al.* ἵως ἵκοντο. Quod vix ullâ ratione ferri potest.

Ver. 115. Δώσω τοι κρητῆρα τετυγμένον.]

Ipsius Anchisæ longævi hoc munus habebis,
Cratera impressum signis, quem Thracius olim
Anchisæ genitori in magno munere Ciseus
Ferre sui dederat monimentum et pignus amoris. *Æn.* V, 535.

Ibid. —— κρητῆρα τετυγμένον.] Quoniam *Menelaus Telemacho* δίσκας ἀμφικύπελλον ipse tradere dicatur, infrà *ver.* 120. ideò per κρητῆρα τετυγμένον hoc in loco poculum istud intelligit Dna. *Dacier*. " Homére," inquit, " donne ici le même nom à la coupe " que Menelas met entre les mains de Te-

Ἐστὶν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα πεπράανται·
Ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
Κεῖσέ με νοστήσαντα· τεὶν δ' ἐθέλω τόδ' ὀπάσσαι.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον
Ἥρως Ἀτρεΐδης· ὁ δ' ἄρα κρητῆρα φαεινὸν
Θῆκ' αὐτοῦ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης
Ἀργύρεον· Ἑλένη δὲ παρίστατο καλλιπάρῃος,
Πέπλον ἔχουσ' ἐν χερσὶν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τοῦτο δίδωμι,
Μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,

" Est totus, auro verò labra munita sunt;
" Opus verò Vulcani: donavit autem illum *mihi* Phaedimus heros,
" Sidoniorum rex, quandò ejus domus suscepit
" Illic me in-reditu-profectum: tibi autem volo hoc præbere."
Sic locutus, in manibus ponebat poculum rotundum
Heros Atrides; craterem verò splendidum
Posuit ante ipsum ferens fortis Megapenthes
Argenteum: Helena autem astitit genas-pulchra,
Peplum habens in manibus, verbumque dixit, et compellabat;
" Donum tibi et ego, fili dilecte, hoc do,
" Monumentum Helenae manuum, optabilium in nuptiarum tempus,

" lemaque, et à l'urne que Megapenthes
" met à ses pieds; car il appelle l'une et
" l'autre κρητῆρα." Quod nullo modo ferri potest. Apertissimè enim apud Poetam distinguitur Poculum à Cratere permultis in locis, præsertim autem hìc *ver.* 102. 103. et *ver.* 120. 121.

Ibid. —— στυγερμένον.] Vide ad *Il.* ζ', 488.

Ver. 117. —— Ἔργον δ' Ἡφαίστοιο.] Δεῖ δὲ δέξασθαι πρὸς ὑπερβολὴν εἰρημένον τὸ, " Ἡφαίστου ἔργον," ὡς λέγεται Ἀθηνᾶς ἔργα, τὰ καλὰ, καὶ Χαρίτων, καὶ Μουσῶν· ἐπεὶ ὅτι γε οἱ ἄνδρες [Σιδόνιοι] ἦσαν καλλίτεχνοι, δηλοῖ τὸν κρατῆρα ἐπαινῶν δὲ ὁ Εὔστιος ἴδιόν τινα Ανυσάονος· φησὶ γὰρ, [*Il.* ψ', 742.] " —— κάλλει " ἐνίκα πάσας ἐπ' αἶαν Πολλὰς, ἐπεὶ Σιδόνες " πολυδαίδαλοι ἔσκον." *Strabo, Geograph. lib.* I. *pag.* 70. *al.* 41.

Ibid. —— πόρεν δέ ἑ Φαίδιμος ἥρως, Σιδονίων βασιλεύς.] Vide suprà ad δ', 617.

Ver. 119. Κεῖσέ με νοστήσαντα.] *Barnesius* vocem νοστήσαντα hoc in loco non " reversum," sed " profectum," vertendam contendit. Νοστῆσαι, ἐπὶ τοῦ οἴκαδε ἐπανελθεῖν εἰρῆσθαι· παῦται δὲ πας' Ὁμήρῳ καὶ ἀντὶ τοῦ ἀκλῶς ἐλθεῖν " Κεῖσέ με νοστήσαντα." *Phavorinus* à *Barnesio citatus.* Idque ex eo porrò confirmari existimat *Barnesius*, quòd cum voculâ κεῖσε conjuncta sit. Verùm cùm νοστέω isto sensu nusquam alibi apud *Homerum* occurrat, rectiùs fortassè *Eustathius*: "Ἴσως δὲ (inquit) καὶ αὐτὸ [νοστήσαι] ἀντὶ τοῦ οἴκαδε ἐπανελθεῖν εἴρηται. Εἰ γὰρ καὶ μὴ εἰς Σιδόνα ἐνόστησεν ὁ Μενέλαος, ἀλλ' ἐν τῷ οἴκαδε πλανηθῆναι ἐπανῆλθε δηπου. Quin et alibi occurrit vox νοστήσαντα etiam cum voculâ κεῖσε conjuncta, ubi sensu vulgato planè usurpatur:

Κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν.
Iliad. ψ', 145.

Ver. 120. —— χερσί.] *Al.* χειρί.

Ver. 123. —— Ἑλένη δὲ παρίστατο καλλιπάρῃος, Πέπλον ἔχουσ'.]

Nec minùs Andromache, digressu mœsta supremo,
Fert picturatas auri subtemine vestes
Et Phrygiam Ascanio chlamydem ——.
Æn. III, 482.

Ver. 124. —— ἐν χερσὶν.] *Al.* ἐν χειρί.

Ver. 125. Δῶρόν τοι καὶ ἐγὼ, —— Μνῆμ' Ἑλένης χειρῶν.] *Al.* Δῶρόν τι καὶ ἐγώ.

Accipe et hæc, manuum tibi quæ monumenta mearum
Sint, puer, et longum Andromachæ testentur amorem. *Æn.* III, 486.

Ibid. —— τέκνον φίλε.] Vide suprà ad λ', 90. 91.

Ver. 126. —— πολυηράτου ἐς γάμου ὥρην.] Τὸ δὲ, πολυηράτου, ἀμφιβολίαν ἔχει. Ἁπλοῦν γὰρ εἶναι πολυηράτου Ἑλένης ῥητέον, εἶναι γάμου πολυηράτου. *Eustath.* Verùm prior ista accipiendi ratio ad vocis πολυηράτου significa-

Σῇ ἀλόχῳ φορέειν· τείως δὲ φίλῃ παρὰ μητρὶ
Κεισθω ἐνὶ μεγάρῳ· σὺ δέ μοι χαίρων ἀφίκοιο
Οἶκον ἐϋκτίμενον, καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς εἰποῦσ' ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων.
Καὶ τὰ μὲν ἐς πείρινθα τίθει Πεισίστρατος ἥρως
Δεξάμενος, καὶ πάντα ἑῷ θηήσατο θυμῷ.
Τοὺς δ' ἦγε πρὸς δῶμα πάρη ξανθὸς Μενέλαος·
Ἑζέσθην δ' ἄρ' ἔπειτα κατὰ κλισμούς τε, θρόνους τε.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Πὰρ δὲ Βοηθοίδης κρέα δαίστο, καὶ νέμε μοίρας·
Οἰνοχόει δ' υἱὸς Μενελάου κυδαλίμοιο·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

" Tuae uxori gestandum; interim verò dilectam apud matrem
" Jaceat in domo: tu autem mihi gaudens perveneris
" Domum ad benè-aedificatam, et tuam in patriam terram."
Sìc locuta in manibus posuit, hic autem accepit gaudens.
Et haec quidem in capsam posuit Pisistratus heros
Accepta; et omnia suo admiratus est animo.
Hos autem duxit ad domum capite flavus Menelaus:
Sederunt verò deinde in sedibusque, soliisque,
Aquam autem famula gutturnio infudit ferens
Pulchro, aureo, super argenteo lebete,
Ad-lavandum: juxtaque politam extendit mensam,
Panem verò veneranda proma apposuit ferens,
Ferculis multis impositis, gratificans de praesentibus,
Juxta autem Boëthoedes carnes dividebat, et distribuebat portiones;
Vinum verò fundebat filius Menelai inclyti:
Hi autem ad cibos paratos appositos manus extendebant.

---

tionem multò minùs apta; ad sententiam, cùm de se ipsa loquatur *Helena*, planè absurda. Vide infrà ad *ver.* 365. et ψ', 354. Cæterùm deducta vox στολίσασθαι non ex ἱέμαι, (penultimam enim tum necessariò produceret;) sed ex ἵεμαι. Vide ad *Il.* ά. 67.

Ver. 127. Σῇ ἀλόχῳ φορέειν.] Non, uti malè reddit *Barnesius*, " *Ut tuae uxori gestandum*," sed, ut rectè versio *Wetsteniana*, *Tuae uxori gestandum.*" Aptiùs nimirùm congruit haec interpretatio et cum reliquâ sententiâ, et cum ipsius vocis φορέειν significatione: Eodem enim sensu alibi apud Poetam usurpatur haec vox:

——— τὰ μὲν οἵτε κατακτειῶσι λοιπὴν
Ἀνδράσιν φορέουσι ———. *Iliad.* σ', 440.

——— τίσει δὲ Ζεὺς Ἕκτορι δῶκεν
Ἥ κεφαλὴ φορέειν ———. σ', 799.

Ver. 128. Κείσθω.] *Al.* Κείσθαι.

Ver. 130. —— χαίρων.] *Al.* χαιρέ.

Ver. 131. —— πείρινθα.] Κέκτηται τῇ ἀμάξῃ. *Schol.*

Ver. 139. Εἴδατα πόλλ' ἐπιθεῖσα.] Deest hic versus in MSS. duobus à *Tho. Bentleio* collatis.

Ver. 140. —— πρία δαίστο.] Συστέλλει δὲ τὸ πρία τὴν λήγουσαν ἐκτείνας, ὡς ἀποκοπὴν ποιῶν ἐκ τοῦ πρίατα. *Eustath.*

Ver. 141. Οἰνοχόει δ' υἱὸς Μενελάου.] Οἰνοχόουν παρὰ τοῖς ἀρχαίοις οἱ ἰσχνίσκους παῖδας, ὡς ὁ τοῦ Μενελάου υἱός· " Οἰνοχόει δ' υἱὸς Μενε-" λάου κυδαλίμοιο." Καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν ταῖς ἡνιοχάταις. *Athenaus, lib.* X. *cap.* 6.

Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἵντο,
Καὶ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς
Ἵππους τε ζεύγνυντ' ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἠχήεντος.
Τοὺς δ' μέτ', Ἀτρεΐδης ἕκιε ξανθὸς Μενέλαος,
Οἶνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῇφι,
Χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε πιοίτην.
Στῆ δ' ἵππων προπάροιθε· δεδισπόμενος δὲ προσηύδα·
Χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
Εἰπεῖν· ἦ γὰρ ἔμοιγε, πατὴρ ὡς, ἤπιος ἦεν,
Εἴως ἐν Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν.
Τὸν δ' αὖ Τηλέμαχος στεπτυμένος ἀντίον ηὔδα·
Καὶ λίην κείνῳγε, διοτρεφὲς, ὡς ἀγορεύεις,
Πάντα τάδ' ἐλθόντες καταλέξομεν· αἴ γὰρ ἐγὼν ὡς
Νοστήσας, Ἰθάκηνδε κιὼν, Ὀδυσῆι ἐνὶ οἴκῳ
Εἴποιμ', ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἀπάσης
Ἔρχομαι, αὐτὰρ ἄγω πειμήλια πολλὰ καὶ ἐσθλά.

At postquam potûs et cibi desiderium exemissent,
Utique tunc Telemachus et Nestoris illustris filius
Equosque junxerunt, currusque variegatos conscenderunt:
Exegerunt autem è vestibulo et porticu sonorâ.
Cum his verò Atrides ivit flavus Menelaus,
Vinum habens in manu dulce dextrâ,
Aureo in poculo, ut ubi-libâssent proficiscerentur.
Stetit autem equos ante; propinansque allocutus est:
" Valete, ô juvenes, et Nestori pastori populorum
" Dicite *salutem*; certè enim mihi, pater tanquam, mitis erat,
" Quamdiù in Trojâ pugnabamus filii Achivorum."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est:
" Et omninò illi, Jovis-alumne, sicut dicis,
" Omnia haec profecti narrabimus: utinam enim ego sic
" Reversus, in-Ithacam ubi-venero, Ulyssi in domo
" Dixero, ut à te potitus amicae-tractationis omnigenae
" Veniam, afferam autem supellectilia multa et bona."

Ver. 144. Καὶ τότε.] *Al.* Δὴ τότε.

Ver. 146. —— αἰθούσης ἠχήεντος.] Ita ex Editt. Vett. rectè restituit *Barnesius*; ita enim in omnibus legitur *Iliad.* ά, 323. *Odyss.* γ', 399. 493. quin et ita hîc habet MS. à *Tho. Bentleio* collatus. *Vulgg.* ἠχηεντος. Quod versum perimit.

Ver. 149. Χρυσέῳ ἐν δέπαϊ, ὄφρα.] Nullâ analogiâ produci potest ultima vocis δέπαϊ. Vide ad *Il.* ά, 342. et ώ, 285. Cæterùm fortasse legendum Ἐν δέπαϊ χρυσέῳ, ὄφρα &c. scilicet ut χρυσέῳ (uti sæpe fit) pronuntietur χρυσῷ. Ita certe alibi Poeta:

—— ἐν δ' οἶνον ἔχευεν
Ἐν δέπαϊ χρυσέῳ ——. *Odyss.* ά. 260.

Καὶ δέπαϊ χρυσέῳ διδόσκετο, —— σ', 120.

Ver. 151. —— καὶ Νέστορι ποιμένι λαῶν Εἰπεῖν.] Nempè Εἰπεῖν, χαίρειν.

Ver. 152. —— πατὴρ ὡς, ἤπιος ἦεν.] Vide suprà ad β', 47 et 234.

Ver. 153. Εἴως ἐν Τροίῃ.] *Al.* Ἕως ἐνὶ Τροίῃ. Vide suprà ad *ver.* 109.

Ver. 157. —— κιὼν, Ὀδυσῆι ἐνὶ οἴκῳ.] *Al.* κιχὼν Ὀδυσῆ ἐνὶ οἴκῳ. Cæterùm MS. à *Tho. Bentleio* collatus habet Ὀδυσῆϊ.

Ὣς ἄρα οἱ εἰπόντι ἐπέπταto δεξιὸς ὄρνις,
Αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,
Ἥμερον ἐξ αὐλῆς· οἱ δ' ἰύζοντες ἕποντο
Ἀνέρες ἠδὲ γυναῖκες· ὁ δέ σφισιν ἐγγύθεν ἐλθὼν
Δεξιὸς ἦϊξε πρόσθ' ἵππων, οἱ δὲ ἰδόντες
Γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
Τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
Φράζεο δὴ, Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Εἰ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας, ἦέ σοι αὐτῷ.
Ὣς φάτο· μερμήριξε δ' ἀρηΐφιλος Μενέλαος,
Ὅππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας.
Τὸν δ' Ἑλένη ταναύπεπλος ὑποφθαμένη φάτο μῦθον·
Κλῦτέ μευ, αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω.
Ὡς ὅδε χῆν' ἥρπαξ', ἀτιταλλομένην ἐνὶ οἴκῳ,
Ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε, τόκος τε·
Ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν, καὶ πόλλ' ἀλαλητὸς,
Οἴκαδε νοστήσει, καὶ τίσεται· ἦέ καὶ ἤδη

Sic ei locuto supervolavit dextera avis,
Aquila album anserem ferens unguibus magnum,
Mansuetum è chorte; clamantes autem sequebantur
Viri et mulieres: haec verò ipsos propè cum-venisset
Dextera emicuit ante equos: hi autem conspicati
Gavisi-sunt; et omnibus in mentibus animus laetatus est.
His autem Nestorides Pisistratus exordiebatur sermonem:
" Considera jam, Menelaë Jovis-alumne, princeps populorum,
" An nobis hoc ostenderit deus portentum, an tibi ipsi."
Sic dixit; cogitabat autem bellicosus Menelaus,
Quomodò ei ritè responderet meditatus.
Hunc autem Helena stolata praeveniens dixit verbum:
" Audite me; at ego vaticinabor, sicut in animo
" Immortales suggerunt, et sicut perfectum-iri puto.
" Sicut haec anserem rapuit, nutritum in domo,
" Profecta ex monte, ubi ei genusque, partusque;
" Sic Ulysses mala multa passus, et multùm vagatus,
" Domum redibit, et ulciscetur; aut etiam jam

Ver. 160. —— ἐπέπταto δεξιὸς ὄρνις, Αἰετὸς ἀργὴν χῆνα φέρων.]

Namque volans rubrâ fulvus Jovis ales in æthrâ. ——
Cycnum excellentem pedibus rapit improbus uncis. *Æn.* XII, 247. 249.

Ver. 162. —— ἰύζοντες.] Vide suprà ad *ι*, 394. et ad *Il.* δ', 455.

Ver. 163. —— ὁ δέ σφισιν ἐγγύθεν ἐλθών.] Ita ex Editt. Vett. et ex *Eustathio* rectè restituit *Barnesius*: Atque ita habet MS. à *Tho. Bentleio* collatus. *Al.* ὁ δὲ σφιν ἐγγύθεν ἐλθών.

Ver. 164. —— οἱ δὲ ἰδόντες ἐγήθησαν.]

Tum verò augurium Rutuli clamore salutant. *Æn.* XII, 257.

Ver. 168. Εἰ νῶϊν.] *Al.* Ἦ νῶϊν.

Ver. 170. —— ὑποκρίναιτο.] Vide ad *Il.* ά, 309. 338.

Ver. 171. Τὸν δ'.] *Al.* Τὸν γ'.

Ibid. —— ὑποφθαμένη.] Vide ad *Il.* β', 43.

Οἶκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Οὕτω νῦν Ζεὺς Ζεὶη, ἐρίγδουπος πόσις Ἥρης,
Τῷ κέν τοι καὶ κεῖθι, θεῷ ὣς, εὐχετοώμην.
Ἦ, καὶ ἐφ' ἵπποιιν μάστιν βάλεν· οἱ δὲ μάλ' ὦκα
Ἤιξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες.
Οἱ δὲ παημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Ἐς Φηρὰς δ' ἵκοντο, Διοκλῆος ποτὶ δῶμα,
Υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
Ἔνθα δὲ νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ἵππους τε ζεύγνυντ', ἀνὰ δ' ἅρματα ποικίλ' ἔβαινον·
Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
Μάστιξεν δ' ἔλασαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
Αἶψα δ' ἔπειθ' ἵκοντο Πύλου αἰπὺ πτολίεθρον·

" Domi *est* : quinetiam procis malum omnibus serit."
Hanc autem rursùs Telemachus prudens contrà allocutus est :
" Sic nunc Jupiter faciat, altitonans maritus Junonis ;
" Ita tibi et illic, deo tanquàm, vota-fecerim."
Dixit, et equis flagellum incussit : hi autem valdè celeriter
Ruerunt ad-campum per urbem prompti.
Ii verò toto-die quatiebant jugum utrinque habentes :
Occidit autem sol, obumbrabanturque omnes viæ.
Ad Pheras verò pervenerunt, Diocleï ad domum,
Filii Orsilochi, quem Alpheus genuit filium.
Illic verò noctem peregerunt : is verò eis hospitalia apposuit.
Quando verò manè-genita apparuit rosea-digitos Aurora,
Equosque junxerunt, currusque variegatos conscenderunt ;
Exegerunt autem è vestibulo et porticu sonorâ :
Flagellavit verò *Pisistratus*, ut inirent-cursum ; ii autem non inviti volàrunt.
Statim verò posteà venerunt ad Pyli altam urbem :

Ver. 178. —— *ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.*] Ita edidit *Barnesius* ex *Odyss. ε'*, 159. ubi in omnibus ita scriptum occurrit ; et ex *Eustathio*, qui in commentario hunc versum hoc modo citat ; *Οἶκοι ἐσνί, μνηστῆρσι κακὸν πάντεσσι φυτεύων.* Cum *Barnesio* porrò facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg. μνηστῆρσι κακὰ πάντεσσι φυτεύω.* Quod et ipsum ferri potest. Vide ad *Il. ά*, 51.

Ver. 182. —— *μάστιν.*] Vide ad *Il. ψ'*, 500.

Ver. 185. *Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.*]

Vertitur interea cœlum, et ruit Oceano nox,
Involvens umbrâ magnâ terramque polumque. *Æn.* II, 250.

Sol ruit interea, et montes umbrantur opaci. *Æn.* III, 508.

Cæterùm vulgati hîc habent *Δύσετό σ' ἠέλιος, &c. Barnesius* autem edidit *Δύσετο* rectè : *Primam* enim producit.

Ver. 186. *Ἐς Φηρὰς δ' ἵκοντο.*] *Al.* Ἐς δὲ Φερὰς ἵκοντο uti infrà *ver.* 296. Ἦ δὲ Φερὰς ἐπέβαλλεν.

Ver. 187. —— *Ὀρσιλόχοιο.*] MS. à *Tho. Bentleio* collatus, *Ὀρσιλόχιο.* Atque ita in pluribus Editionibus legitur suprà *γ'*, 488. et infrà *φ'*, 16.

Ver. 188. *Ἔνθα δὲ νύκτ' ἄεσαν.*] *Barnesius* sensum postulare existimat, ut scribatur Ἐνθάδε. Sed minùs rectè. Vide ad *Il. Ϡ'*, 160.

Ver. 191. —— *ἐριδούπου.*] *Al. ἐριγδούπου.* Vide suprà ad *ver.* 146.

Καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·
Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας
Μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ' εἶναι
Ἐκ πατέρων φιλότητος· ἀτὰρ καὶ ὁμήλικες ἐσμέν·
Ἦδε δ' ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
Μή με παρὲξ ἄγε νῆα, διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ,
Μή με γέρων ἀέκοντα κατάσχῃ ᾧ ἐνὶ οἴκῳ,
Ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼν θᾶσσον ἰκέσθαι.
Ὣς φάτο· Νεστορίδης δ' ἄρ' ἐῷ συμφράσσατο θυμῷ,
Ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν·
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Στρέψ' ἵππους ἐπὶ νῆα θοὴν, καὶ θῖνα θαλάσσης·
Νηῒ δ' ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα,
Ἐσθῆτα, χρυσόν τε, τά οἱ Μενέλαος ἔδωκε·
Καί μιν ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Σπουδῇ νῦν ἀνάβαινε, κέλευέ τε πάντας ἑταίρους,
Πρὶν ἐμὲ οἶκαδ' ἰκέσθαι, ἀπαγγεῖλαί τε γέροντι·

Et tunc Telemachus allocutus est Nestoris filium:
" Nestoride, quomodo mihi pollicitus perficeeris
" Verbum meum? hospites autem penitùs gloriamur esse
" Ex patrum amicitiâ; atqui et æquales-ætate sumus:
" Hoc autem iter magìs concordiâ *nos* conjunget.
" Nè me præter navem agas, ô Jovis-alumne, sed relinque illic:
" Nè me senex invitum detineat suâ in domo,
" Cupiens amantèr-tractare: mihi autem opus *est* citò *domum*-pervenire."
Sic dixit: Nestorides autem suo consultabat animo,
Quomodo ei ritè pollicitus perficeret:
Sic verò ei cogitanti visum est satius esse:
Vertit equos ad navem velocem, et littus maris:
Navis autem in puppi depromebat pulchra dona,
Vestes, aurumque, quæ ei Menelaus dederat:
Et ipsum hortans verbis alatis allocutus est:
" Festinantèr nunc conscende, jubeque omnes socios;
" Priusquam ego domum ivero, renuntiaveroque seni:

Ver. 197. 201. —— φιλότητος' —— φιλείειν.] Vide ad *Il.* ά, 338. et ύ, 304.

Ibid. —— ἐσμέν.] *Al.* εἰμέν.

Ver. 198. Ἦδε δ' ὁδός.] *Al.* Ἡ δὲ ὁδός.

Ver. 199. Μή με παρὲξ ἄγε νῆα.] Μή με παρὰ τὴν φίσουσαν ὁδὸν ἐπὶ τὴν ναῦν, ἐπ' ἄλλην ὁδὸν ἰσάγγε. *Schol.*

Ver. 200. Μή με γέρων.] *Al.* Μή μ' ὁ γέρων.

Ver. 201. —— ἐμὲ δὲ χρεὼν θᾶσσον ἰκέσθαι.] Vide ad *Il.* χ', 43. Cæterùm *Eustathius* in commentario citat χείω. Atque ita in pluribus codicibus scriptum reperit *Tho. Bentleius.* Quæ fortè et verior lectio; quia vox χειὼν alibi apud *Homerum* non occurrit.

Ver. 204. Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.]

Hæc alternanti potior sententia visa est.
Æn. IV, 287.

Ver. 205. Στρέψ' ἵππους ἐπὶ νῆα βοήν.] Vide *Strabonem, Geograph. lib.* VIII. *pag.* 538. 539. *al.* 350.

Ver. 206. —— ἐνί.] *Al.* ἐπί.

Ver. 209. —— ἀνάβαινε.] *Al.* ἄμβαινε· ut infrà *ver.* 219. Cæterùm *Eustathius* exponit ἀνάπλει. Minùs rectè; ut liquet ex *ver.* 219. 221.

Ibid. —— πέλευέ τε.] *Al.* πέλευε δέ.

Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Οἷος ἐκείνου θυμὸς ὑπερβίος· οὔ σε μεθήσει·
Ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται· οὐδέ σε φημὶ
Ἄψ ἰέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης.
Ὣς ἄρα φωνήσας ἔλασεν καλλίτριχας ἵππους
Ἄψ Πυλίων εἰς ἄστυ, θοῶς δ' ἄρα δώματ' ἵκανε.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων ἐκέλευσεν·
Ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηὶ μελαίνῃ·
Αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Αἶψα δ' ἄρ' εἰσβαίνον, καὶ ἐπὶ κληῖσι κάθιζον.
Ἦτοι ὁ μὲν τὰ πονεῖτο, καὶ εὔχετο· θῦε δ' Ἀθήνῃ
Νηὶ παρὰ πρύμνῃ· σχεδόθεν δέ οἱ ἦλυθεν ἀνὴρ
Τηλεδαμίδης, φεύγων ἐξ Ἄργεος, ἄνδρα κατακτάς,
Μάντις· ἀτὰρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν,
Ὅς πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἐνὶ, μητέρι μήλων,
Ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων·
Δὴ τότε γ' ἄλλον δῆμον ἀφίκετο, πατρίδα φεύγων,
Νηλέα τε μεγάθυμον, ἀγαυότατον ζωόντων,
Ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν

" Benè enim ego hoc novi in mente et in animo,
" Qualis illius animus vehemens: non te dimittet,
" Sed ipse invitaturus huc veniet; neque te puto
" Retrò iturum vacuum: valdè enim irascetur omninò."
Sic utique locutus impulit pulchros-jubis equos
Retrò Pyliorum in urbem, celeritérque domum pervenit.
Telemachus verò sociis hortans praecepit:
" Ordinate arma, socii, in nave nigrâ;
" Ipsique conscendamus, ut perficiamus iter."
Sic dixit: illi autem ei maximè quidem auscultârunt, et paruerunt.
Statim verò ingrediebantur, et in transtris sedebant.
Atque is quidem haec properabat, et supplicabat; sacraque faciebat Minervae
Navis ad puppim; propè autem ad eum venit vir
Longinquus, fugiens ex Argo, viro interfecto,
Vates; at genere Melampodis proles erat,
Qui anteà quidem quondam habitabat in Pylo, genetrice ovium,
Dives inter Pylos valdè egregias aedes habitans:
Tunc demùm alium ad populum pervenit, patriam fugiens,
Neleumque magnanimum, clarissimum viventium,
Qui ei opes multas integrum in annum

Ver. 213. —— εἰδέ σε φημί.] *Al.* εἰδέ τ' ἐφημί.
Ver. 215. —— ἵλασεν.] MS. unus à *Tho. Bentleio* collatus, ἵμασεν.
Ver. 218. —— τεύχ'.] Τὰ τῆς νεὼς ἐγκαλεῖ. *Schol.*
Ver. 221. —— εἰσβαίνον.] *Al.* ἴμβαινον.
Ver. 226. Ὅς πρὶν μέν.] *Melampus.*
Ver. 227. —— μέγ'.] *Al.* μέν'.
Ver. 228. —— ἄλλον δῆμον ἀφίκετο, πατρίδα φεύγων.] Τουτέστιν εἰς Ἄργος ἦλθε, τὸν Πύλου φυγών. *Eustath.* Cæterùm MS. a *Tho. Bentleio* collatus, hîc legit ἄλλων δῆμον uti infrà *ver.* 238.

Εἶχε βίη· ὁ δὲ τέως μὲν ἐνὶ μεγάροις Φυλάκοιο
Δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατερὴ δ' ἄλγεα πάσχων,
Εἵνεκα Νηλῆος κούρης, ἄτης τε βαρείης,
Τήν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ἐρινύς.
Ἀλλ' ὁ μὲν ἔκφυγε κῆρα, καὶ ἤλασε βοῦς ἐριμύκους
Ἐς Πύλον ἐκ Φυλάκης, καὶ ἐτίσατο ἔργον ἀεικὲς,
Ἀντίθεον Νηλῆα, κασιγνήτῳ τε γυναῖκα
Ἠγάγετο πρὸς δώματ'· ὁ δ' ἄλλων ἵκετο δῆμον,
Ἄργος ἐς ἱππόβοτον· τόθι γάρ νύ οἱ αἴσιμον ἦεν
Ναιέμεναι πολλοῖσιν ἀνάσσοντ' Ἀργείοισιν.
Ἔνθα δ' ἔγημε γυναῖκα, καὶ ὑψερεφὲς θέτο δῶμα,
Γείνατο δ' Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
Ἀντιφάτης μὲν ἔτικτεν Οἰκλῆα μεγάθυμον·
Αὐτὰρ Οἰκλείης λαοσσόον Ἀμφιάρηον,
Ὃν περὶ κῆρι φίλει Ζεύς τ' αἰγίοχος, καὶ Ἀπόλλων,

Tenebat vi: ille verò tamdiù quidem in aedibus Phylaci
Vinculo in gravi ligatus erat, duros dolores patiens,
Gratiâ Nelei filiae, noxaeque gravis,
Quam ei in mente posuit dea gravis Erinnys.
Sed is quidem effugit mortem, et abegit boves mugitibus-praestantes
In Pylum ex Phylace, et ultus est factum indignum,
Deo-parem Neleum, fratrique uxorem
Duxit ad domum: ipse verò aliorum venit ad populum
In Argos equis-pascendis-aptum: ibi enim ei fatale erat
Habitare multis imperantem Argivis:
Ibi autem duxit uxorem, et altam posuit domum,
Genuitque Antiphatem et Mantium, filios fortes.
Antiphates quidem genuit Oïcleum magnanimum:
At Oïcleus populi-concitatorem Amphiaraum,
Quem ex animo diligebat Jupiterque Aegiochus, et Apollo

Ver. 231. —— τίως μίν.] Ἕως τοῦ τελευτῆναι τὸν ἰνωπόν. *Schol.* Pronuntiabatur autem τῶς μίν.

Ver. 232. Δεσμῷ ἐν ἀργαλέῳ.] Vide suprà ad λ', 292.

Ver. 233. Εἵνεκα Νηλῆος κούρης.] Πηνελόπης. *Eustath.* Vide suprà ad λ', 286.

Ver. 234. —— δασπλῆτις Ἐρινύς.] Δυσπροσπάλακτος. *Schol.*

Ver. 236. —— καὶ ἐτίσατο ἔργον ἀεικὲς, Ἀντίθεον Νηλῆα.] Vox τίσασθαι apud Poetam, Voce *Mediâ*, sæpè de injuriâ, sæpè de injuriæ auctore *ulciscendo* usurpatur; vide *Iliad.* σ', 208. χ', 20. *Odyss.* γ', 306. ψ', 31. Hic autem videtur ἐτίσατο ad utrumque simul referri. Cæterùm *Scholiastes* sententiam ita exponit: Καὶ ἐτιμωρήσατο τὸν Νηλέα, ὑπομείνας ἔργον χαλεπόν.

Ver. 237. —— κασιγνήτῳ τε.] Τῷ βίαντι. *Schol.* ad λ', 289. suprà. Cæterùm MS. à *Tho. Bentleio* collatus hîc legit κασιγνήτῳ δέ.

Ver. 240. —— πολλοῖσιν ἀνάσσοντ'.] *Al.* πολλοῖσί τ' ἀνάσσων.

Ver. 241. —— ἔγημε.] Vide suprà ad λ', 272.

Ver. 242. —— Μάντιον.] *Al.* Φάντιον. Atqui ejusdem iterùm meminit Poeta infrà *ver.* 249. Μάντιος αὖ τέκετο, &c.

Ver. 245. Ὃν περὶ κῆρι φίλει Ζεύς τ' αἰγίοχος, καὶ Ἀπόλλων.] Τὸν δὲ Ἀμφιάραον φιλεῖν ὁ Ζεὺς μὲν λέγεται, ὡς βασιλικὸν ἄνδρα καὶ διὰ τοῦτο διογενῆ καὶ διοτρεφῆ. Ἀπόλλων δὲ, ὡς μάντιν. *Eustath.*

Παντοίην φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδόν,
Ἀλλ' ὄλετ' ἐν Θήβῃσι, γυναίων εἵνεκα δώρων.
Τοῦ δ' υἱεῖς ἐγένοντ' Ἀλκμαίων, Ἀμφίλοχός τε.
Μάντιος αὖ τέκετο Πολυφείδά τε, Κλεῖτόν τε·
Ἀλλ' ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠώς,
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων
Θῆκε βροτῶν ὄχ' ἄριστον, ἐπεὶ θάνεν Ἀμφιάρηος·
Ὃς ῥ' Ὑπερησίηνδ' ἀπενάσσατο, πατρὶ χολωθείς,
Ἔνθ' ὅγε ναιετάων μαντεύετο πᾶσι βροτοῖσι.
Τοῦ μὲν ἄρ' υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ' ὄνομ' ἦεν,
Ὃς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ' ἐκίχανε
Σπένδοντ', εὐχόμενόν τε, θοῇ παρὰ νηῒ μελαίνῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

Omnigeno amore: neque pervenit *is ad* senectutis limen;
Sed perilt Thebis, muliebrium gratiâ donorum.
Huic autem filii nati sunt Alcmaeon, Amphilochusque.
Mantius rursùm genuit Polyphidemque, Clitumque:
Sed sanè Clitum aureum-solium-habens rapuit Aurora,
Pulchritudinem ob ipsius; ut immortalibus interesset.
At magnanimum Polyphidem vatem Apollo
Reddidit hominum longè optimum, postquam mortuus est Amphiaraus:
Qui scilicèt in Hyperesiam migravit, patri iratus;
Ubi ille habitans vaticinabatur omnibus mortalibus.
Hujus quidem filius advenit, Theoclymenus autem nomen *ei* erat,
Qui tunc prope Telemachum stetit: hunc verò deprehendit
Libantem, supplicantemque, velocem apud navem nigram;
Et ipsum affatus verba alata dixit;

Ver. 246. Παντοίην φιλότητ'.] Apud *Platonem*, loco jam infrà citato, Παντοίῃ φιλότητ'.

Ibid. —— οὐδ' ἵκετο γήραος οὐδόν.] Θεὸς γὰρ σπερμολόγος οὐκ ἀνολύει, ζῶντι δὲ ἀγαθῶν αἴτιος γίνεται ἢ κατὰ τὸ Μενάνδρειον "Ὃν οἱ "θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος." *Schol.* Secundum posteriorem interpretationem *Plato* in *Axiocho*; Οἱ θεοὶ (inquit) τῶν ἀνθρωπίνων ἐσπουδάκασι, διὸ ἂν περὶ πλείστου ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. Ἀγαμήδης γοῦν καὶ Τροφώνιος οἱ δημιήσαντες τὸ Πυθοῖ τοῦ Θεοῦ τέμενος, εὐξάμενοι τὸ πρᾶγμα τοῦτο γενέσθαι, κοιμηθέντες οὐκέτ' ἀνέστησαν. — Τὸν δ' Ἀμφιάραον, — "Τὸν περὶ πᾶσι φίλει Ζεύς τ' αἰγίοχος "καὶ Ἀπόλλων, Παντοίῃ φιλότητ'· οὐδ' ἵκετο "γήραος οὐδόν." Et *Plutarchus*: Οὐχ ὁ μακρότατος βίος ἄριστος, ἀλλ' ὁ σπουδαιότατος· — τὸ γὰρ καλὸν οὐκ ἐν μήκει χρόνου θετέον, ἀλλ' ἐν ἀρετῇ καὶ τῇ περὶ αὐτὴν συμμετρίᾳ· τοῦτο γὰρ εὐδαίμονα καὶ θεοφιλῆ ἐποίει γενόμενον. Διὰ τοῦτο γοῦν τοὺς ὑπερεχοντάτους τῶν ἡρώων καὶ φύντας ἀπὸ θεῶν, πρὸ γήρως ἐκλιπόντας τὸν βίον οἱ ποιηταὶ παρίδεσαν ἡμῖν. "Ὥσπερ κρίνων, "Ὃν περὶ πᾶσι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀ- "πόλλων Παντοίην φιλότητ'· οὐδ' ἵκετο γή- "ραος οὐδόν." *De Consolat. ad Apollonium.* Mihi autem videtur istud "οὐδ' ἵκετο γήραος οὐδόν" minimè ab ipso Poëtâ felicitati tribui; sed ex historiâ scilicèt acceptum simplicitèr memorari. Uti exponit *Eustathius*: Τὸ δὲ "οὐδ' ἵκετο γήραος οὐδόν" ἁπλῶς οὕτω καὶ ἀφελῶς εἰκὸς δοκεῖ ὁ Ποιητὴς, —— αὐτὸ τὸ ὂν διηγούμενος.

Ver. 247. —— γυναίων εἵνεκα δώρων.] Τὸν ὅρκον ἐκ τῆς Ἀμφιαράου ἀκουστέον. *Schol.* Vide suprà ad λ', 326.

Ver. 251. —— οἷο.] *Al.* εἷο.

Ibid. —— ἀθανάτοισι.] Vide ad *Il. ά*, 398.

Ver. 254. —— Ὑπερησίηνδ'.] Ταυτέστιν εἰς Ὑπερησίαν, πόλιν Ἄργους. *Eustath.*

Ibid. —— πατρὶ.] *Mantio*, *ver.* 249.

Ver. 256. —— ἄρ'.] *Ut suprà dictum est* —— *ver.* 223.

Ὦ φίλ', ἐπεί σε θύοντα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
Λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
Σῆς τ' αὐτοῦ κεφαλῆς, καὶ ἑταίρων, οἵ τοι ἕπονται,
Εἰπέ μοι εἰρομένῳ νημερτέα, μηδ' ἐπικεύσῃς.
Τίς; πόθεν εἰς ἀνδρῶν; ποθί τοι πόλις, ἠδὲ τοκῆες;
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω·
Ἐξ Ἰθάκης γένος εἰμὶ, πατὴρ δέ μοι ἐστὶν Ὀδυσσεύς,
Εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.
Τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν,
Ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος, ἄνδρα κατακτὰς
Ἔμφυλον· πολλοὶ δὲ κασίγνητοί τε, ἔται τε,
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιοί·
Τῶν ὑπαλευάμενος θάνατον καὶ κῆρα μέλαιναν,
Φεύγω· ἐπεί νύ μοι αἶσα κατ' ἀνθρώπους ἀλάλησθαι.
Ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
Μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀΐω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

" O amice, quoniam te sacra-facientem deprehendo hoc in loco,
" Oro per sacra et deum, et deindè
" *Per* tuumque ipsius caput, et socios, qui te comitantur,
" Dic mihi interroganti vera, neque cele.
" Quis? undè es hominum? ubi tibi urbs, et parentes?"
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" Equidem tibi hospes, valdè accuratè dicam:
" Ex Ithacâ genere sum, pater autem mihi est Ulysses,
" Si quandò erat: nunc verò jamjam periit tristi morte.
" Propterea nunc sociisque assumptis et nave nigrâ,
" Veni interrogaturus de-patre diù absente."
Hunc autem rursùs allocutus est Theoclymenus deo-par;
" Sic tibi et ego ex patriâ, viro interfecto
" Tribule: multi autem fratresque sodalesque *sunt*,
" Argos per equis-pascendis-aptum; multùm autem pollent Achivi;
" Ab his elapsus mortem et fatum atrum,
" Fugio; quippe mihi fatale *est* inter homines vagari.
" Sed me navi impone, quia tibi fugâ-captâ supplicavi,
" Nè me interficiant: persequi enim *eos me* puto."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;

Ver. 261. —— αὐτὰρ ἔπειτα.] *Al.* ἠδὲ τοκήων.
Ver. 266. —— ἀγορεύσω.] *Al.* καταλέξω.
Ver. 268. —— Εἴ ποτ' ἔην.] Vide ad *Il.* γ', 180.
Ibid. —— λυγρῷ ὀλέθρῳ.] *Al.* λυγρὸν ὄλεθρον.
Ver. 272. Οὕτω τοι καὶ ἐγών.] Ὡς ἐμὲ φεύγω. *Schol.* Malè. Refertur enim istud Οὕτω ad id quod dixerat *Telemachus*, *ver.* 267. 270. nempè ex Ithacâ patriâ se illuc profectum: Ut hìc dicat *Theoclymenus*, " *Ita* se quoque è patriâ illuc venisse."
Ibid. Οὕτω τοι.] *Al.* Οὕτω μέ.
Ver. 274. —— Ἀχαιοί.] *Al.* Ἀχαιῶν.

Οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐΐσης·
Ἀλλ' ἴτεν· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν
Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος,
Καὶ τόδ' ἐπ' ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης·
Ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσατο ποντοπόροιο.
Ἐν πρύμνῃ δ' ἄρ' ἔπειτα καθέζετο· πὰρ δέ οἱ αὐτῷ
Εἵσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Ὅπλων ἅπτεσθαι· τοὶ δ' ἐσσυμένως ἐπίθοντο.
Ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
Στῆσαν ἀείραντες· κατὰ δὲ προτόνοισιν ἔδησαν·
Ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσι.
Τοῖσιν δ' ἵκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
Λάβρον ἐπαιγίζοντα δι' αἰθέρος, ὄφρα τάχιστα
Νηῦς ἀνύσειε θέουσα θαλάσσης ἅλμυρὸν ὕδωρ.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Ἡ δὲ Φερὰς ἐπέβαλλεν, ἐπειγομένη Διὸς οὔρῳ·

" Non quidem jam te *conscendere*-volentem depellam à navi aequali; 280
" Sed sequere: at illic amicè-excipieris *de talibus* qualia habemus."
Sic utique locutus, ab-eo accepit aeream hastam;
Et hanc super tabulata extendit navis remis-utrinque-agitatae:
Conscendit autem et ipse navem pontum-transeuntem.
In puppi verò deindè sedit; juxtaque seipsum 285
Sedere-fecit Theoclymenum: illi autem rudentes solverunt.
Telemachus verò socios hortatus jussit
Arma capessere: illi autem festinantèr obediverunt.
Malum autem abiegnum concavum intra receptaculum
Statuerunt erectum; funibusque colligârunt; 290
Traxeruntque vela alba benè-tortis loris.
His autem secundum ventum misit oculis-caesia Minerva
Vehementem, ingruentem per aërem; ut citissimè
Navis emetiretur currens maris salsam aquam.
Occiditque sol, obumbrabanturque omnes viae. 295
Illa autem Pheras appellebat, impulsa Jovis vento-secundo;

Ver. 280. —— ἰθέλοντα.] *Barnesius* sensum postulare existimat ut legatur ἀέκοντα. Sed nihil opus.

Ver. 283. —— τόδ'.] *Al.* τόγ'.

Ver. 284. —— ἐβήσατο.] *Al.* ἐβήσετο. Vide ad *Il.* β', 35 et *l*, 109.

Ver. 292. —— ἴα.] Vide ad *Il.* *ί*, 24. et π', 762.

Ver. 295. Δύσετό τ' ἠέλιος.] *Strabo, Geograph. lib.* VIII. *pag.* 539. *al.* 350. hunc locum citat, alio adjecto versu, quem inseruit *Barnesius.*

Βὰν δὲ παρὰ Κρουνούς καὶ Χαλκίδα καλλιρέεθρον
Δύσετό τ' ἠέλιος, &c.

Qui versus, uti ad *Strabonis* locum annotat *Casaubonus*, in Vulgatis nusquam reperitur; neque ejus omninò meminit *Eustathius.* Eundem autem iterùm citat *Strabo, lib.* X. *pag.* 687. *al.* 447. uni pro Χαλκίδα καλλιρέεθρον, legitur Χαλκίδα πιερήσσαν.

Ver. 296. Ἡ δὲ Φερὰς ἐπέβαλλεν, &c.] Vide *Strabonem, lib.* VIII. *pag.* 539. *al.* 350.

Ibid. Ἡ δὲ Φερὰς ἐπέβαλλεν.] *Al.* Ἡ Φερὰς δ' ἐπέβαλλεν. Cæterùm de voce ἐπέβαλλεν ita *Porphyrius*: Ἐπέβαλλεν (inquit) σημαίνει τὸν ἐπετυχῆ καὶ ἐγκρατῆ, ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν, ὃ σημαίνει τὸ συγχάνειν τοῦ σκοποῦ.— Λύσας ἐντεῦθεν, "Ἡ δὲ Φερὰς ἐπέβαλλεν, ἐπειγομένη Διὸς οὔρῳ·" μετῆκται γὰρ ἀπὸ τῶν πόρρω τῶν ἐπιβαλλόντων σκοπουμένων, ὥστε τυχεῖν. Ἡ ταῦς οὖν ἐπέβαλλεν ἐπεῖνο, ὥστε τυχεῖν τῶν

Ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν,
Ὀρμαίνων, ἦ κεν θάνατον φύγοι, ἦ κεν ἁλώῃ.
Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Δορπείτην· παρὰ δέ σφιν ἐδόρπεον ἄνέρες ἄλλοι.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
Τοῖς Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
Εἴ μιν ἔτ' ἐνδυκέως φιλέοι, μεῖναί τε κελεύοι
Αὐτοῦ ἐπὶ σταθμῷ, ἦ ὀτρύνειε πόλινδε·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι·
Ἠῶθεν προτὶ ἄστυ λιλαίομαι ἀπονέεσθαι
Πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους.
Ἀλλά μοι εὖ δ' ὑπόθυ, καὶ ἄμ' ἡγεμόν' ἐσθλὸν ὄπασσον,
Ὅς κέ με κεῖσ' ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
Πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.
Καί κ' ἐλθὼν πρὸς δώματ' Ὀδυσσῆος θείοιο,

Et apud Elida divinam, ubi dominantur Epei.
Hinc verò rursùs insulis immisit *eam* acutis,
Cogitans, an mortem fugeret, an caperetur.
Diversâ autem parte in casâ Ulysses et nobilis subulcus
Coenabant; apud verò ipsos coenabant viri alii.
At postquam potûs et cibi desiderium exemissent,
Inter hos Ulysses locutus est, subulcum tentans,
An ipsum ampliùs studiosè curaret, manereque juberet
Illic in stabulo, an hortaretur ad urbem *ire*;
" Audi nunc, Eumaee, aliique omnes socii;
" Manè ad urbem cupio discedere
" Mendicaturus, ut nè te atteram et socios.
" Sed me benè mone, et simul ductorem bonum praebe,
" Qui me illuc ducat: per autem urbem ipse ex-necessitate
" Vagabor, siquis fortè poculum et panem porrexerit.
" Et profectus ad aedes Ulyssis divini,

Φερῶν. *Quaest. Homeric.* 1. Eandemque explicationem affert *Scholiastes* ad β', 319. suprà.

Ibid. —— ἐκνεφομένη Διὸς οὔρῳ.] Apud *Strabonem*, loco suprà citato, ἀγαλλομένη Διὸς οὔρῳ.

Ver. 297. Ἠδὲ παρ' Ἤλιδα δῖαν.] Vide suprà ad ν', 275.

Ver. 298. —— νήσοισιν ἐκπροέηκε θοῇσιν.] Ταῖς λιγομέναις Ὀξείαις, μεταληπτικῶς ἐκ τοῦ κατὰ κίνησιν ὀξέως, ἐπὶ τὸ κατὰ σχῆμα. *Schol.* Θοὰς δὲ εἶρηκε τὰς Ὀξείας· τῶν Ἐχινάδων δ' εἰσὶν αὗται, πλησιάζουσαι τῇ ἀρχῇ τοῦ Κορινθιακοῦ κόλπου, καὶ ταῖς ἐκβολαῖς τοῦ Ἀχελῴου. *Strabo, lib.* VIII. *pag.* 539. *al.* 351. Similitèr exponit *Dionysius Halicarnassensis*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 7. itemque *Heraclides Ponticus.* Vide etiam *Strabonem, lib.* X. *pag.* 702. 703. *al.* 458. et suprà ad ι, 327.

Ver. 299. —— φύγοι.] *Al.* φύγῃ.

Ver. 300. Τὼ δ' αὖτ' ἐν κλισίῃ.] Redit Poëta undè digressus est suprà ξ', 533.

Ver. 303. Τοῖς Ὀδυσεὺς.] *Al.* Τοῖς δ' Ὀδυσεύς.

Ver. 306. —— νῦν, Εὔμαιε.] *Al.* νῦν μ', Εὔμαιε.

Ver. 307. —— ἀπονέεσθαι.] Vide ad *Il.* ά, 398.

Ver. 309. —— καὶ ἄμ' ἡγεμόν'.] *Al.* καί μ' ἡγεμόν'.

Ver. 311. —— κοτύλην.] Ἐκπώματος, ἤτοι ποτηρίου εἴδος τοιοῦτου, καὶ μέτρου. *Schol.*

Ibid. —— πύρνον.] Πέρνην ἄρτον. *Schol.*

Ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ·
Καί κεν μνηστῆρσσιν ὑπερφιάλοισι μιγείην,
Εἴ μοι δεῖπνον δοῖεν, ὀνείατα μυρί' ἔχοντες.
Αἶψά κεν εὖ δρώοιμι μετὰ σφίσιν, ὅττι θέλοιεν·
Ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Ἑρμείαο ἕκητι διακτόρου, ὅς ῥά τε πάντων
Ἀνθρώπων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει,
Δρηστοσύνη οὐκ ἄν μοι ἐρίσσειεν βροτὸς ἄλλος,
Πῦρ τ' εὖ νῆσαι, διά τε ξύλα δανὰ κεάσσαι,
Δαιτρεῦσαί τε, καὶ ὀπτῆσαι, καὶ οἰνοχοῆσαι·
Οἷά τε τοῖς ἀγαθοῖσι παραδρώωσι χέρηες.

" Nuncium dixero prudenti Penelopae,
" Et procis superbis me immiscuero,
" Si mihi fortè coenam dederint, cibum copiosum habentes,
" Statim benè perfecero inter ipsos, quicquid voluerint:
" Etenim tibi dicam, tu autem attende, et me audi;
" Mercurii voluntate internuncii, (qui utique omnium
" Hominum operibus gratiam et gloriam praebet,)
" Officio-servili non mihi contenderit mortalis alius,
" Ad ignemque benè cumulandum, lignaque sicca diffindenda,
" Adque-carnes-dividendas, et ad-assandum, et ad-vinum-fundendum;
" Qualia scilicet optimis praestant inferiores."

Ver. 314. 315. 316. Καί κεν μνηστήρσσιν,— Εἴ μοι δεῖπνον δοῖεν.— Αἶψά κεν &c.] " Ma-" lim," inquit *Henricus Stephanus*, " hunc " locum ita interpungere; Καί κεν μνηστή-" ρσσιν ὑπερφιάλοισι μιγείην. Εἴ μοι δεῖπνον " δοῖεν, ὀνείατα μυρί' ἔχοντες, Αἶψά κεν εὖ " δρώοιμι &c. —— quia non est rationi con-" sentaneum, ut ille dicat se tum demùm " coetum procorum aditurum, si illi coe-" nam porrigant; sed necesse est, ut eos ad-" eat antequam ab iis quicquam accipiat." Ita ille. At rectè se habet vulgata inter-punctio. Sensus enim istius Εἴ μοι δεῖπνον δοῖεν hoc in loco hujusmodi est: " *Ut videam, ut* " *experiar, an mihi coenam dent:*" Vel, " *Eâ* " *spe, ut mihi coenam dent.*" Quod et ipse deinde addit vir eruditus: " Sed potest, inquit, " sequendo alteram interpunctio-" nem, ita exponi εἰ, ut subauditum habeat " participium ἰών, vel aliquod hujus-" modi." Atque ita alibi saepè Poeta:

Ἦλθον, εἴ τινά μοι πληδόνα ταρὸς ἰνίσσοις.
Suprà ν', 317.

Et superiùs paulò *ver.* 310. hujus libri:

—— κατὰ δὴ πτόλιν αὖτὸς ἐνίσσω
Πλάγξομαι, αἴ κέν τις πατρίδιν καὶ κύρτον ἐρύξῃ.

Vide et suprà ι', 229.

Ver. 316. —— ὅ,τινι θέλοιεν.] " Hinc qui-" dem," inquit *Barnesius*, " apparet, Vete-" rum observationem de *Homero*, quòd nus-" piam utatur voce θέλω, falsam esse, nec " satis firmo niti fundamento." Atqui MS. à *Tho. Bentleio* collatus hìc habet ὅττ' ἐθέλοιεν. Quin et ipse *Barnesius* suprà θ', 336. et infrà ρ', 19. restituit, δαιτρεῦ ἐθέλοις, et ὅς κ' ἐθέλῃσιν quum in vulgatis editum erat, δαιτρεῦσαι θέλω· ὅς κε θέλῃσι. Vide et ad *Il.* ά, 277.

Ver. 318. Ἑρμείαο ἕκητι.] Ἐνταῦθα πάνυ καὶ παρὰ τοῖς ἄλλοις πάντας, οἱ ταῦτα ὑπομνηματίσαντες. *Schol.*

Ibid. —— διακτόρου.] Vide suprà ad θ', 338.

Ibid. —— ὅς ῥά τε.] *Qui utique.* —— *Qui scilicet.* ——

Ver. 320. Δρηστοσύνη.] Τῇ ἐν τῇ διακονίᾳ ὑπηρεσίᾳ. *Schol. Al.* Δρησμοσύνῃ.

Ibid. —— ἐρίσσειεν.] Ità rectè *Barnesius*: atque ita MS. à *Tho. Bentleio* collatus. *Al.* ἐρίσειεν. Quod antepenultimam corripit.

Ver. 321. Πῦρ τ' εὖ νῆσαι.] Ὕλα συμφῶσαι, ἵνιπτον τοῦ πῦρ ποιῆσαι. *Schol. Al.* Πῦρ τι καὶ εὖ νῆσαι. Τινὲς δὲ " πῦρ ἐνῆσαι" γράφουσιν ἤτοι φυλάξαι, πατινάσαι, ζωπυρῆσαι ἐν σωλῆνι. *Eustath.*

Ibid. —— ξύλα δανά.] Παρὰ τὸ δᾶν, τὸ ἐπὶ πολὺν χρόνον, γίνεται δανὰ, τὰ διὰ τὸν χρόνον ξηρά· ἢ παρὰ τὸ δαίω, τὸ καίω, τὰ εἰς καῦσιν ἑτοιμάσια, ὑπαυστα, διαμά. *Etymolog. Magn.* ad vocem δανά. Cæterùm legitur et ξύλα σκλὰ, notante *Eustathio.*

Ver. 223. —— παραδρώωσι.] *Al.* παρὰ δρώσι.

Τὸν δὲ μέγ' ὀχθήσας προσέφης, Εὔμαιε συβῶτα·
Ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα
Ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
Εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
Τῶν ὕβρις τε, βίη τε, σιδήρεον οὐρανὸν ἵκει.
Οὔ τοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
Ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι, ἠδὲ χιτῶνας,
Αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
Οἵ σφιν ὑποδρώωσιν· εὔξεστοι δὲ τράπεζαι
Σίτου καὶ κρειῶν, ἠδ' οἴνου βεβρίθασιν.
Ἀλλὰ μέν· οὐ γάρ τίς τοι ἀνιᾶται παρεόντι,
Οὔτ' ἐγὼ, οὔτε τις ἄλλος ἑταίρων, οἵ μοι ἔασιν.
Αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱὸς,
Κεῖνός σε χλαῖνάν τε χιτῶνά τε, εἵματα ἐσσεῖ,
Πέμψει δ', ὅππη σε κραδίη, θυμός τε κελεύει.
Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας, δῖος Ὀδυσσεύς.
Αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο,
Ὡς ἐμοὶ, ὅττι μ' ἔπαυσας ἄλης καὶ οἰζύος αἰνῆς·

Hunc autem valdè indignatus allocutus es, Eumaee subulce:
" Hei mihi, hospes, cur tibi in mente hoc cogitatum
" Fuit? certè omninò cupis illic perire,
" Si reverà procorum vis ingredi coetum,
" Quorum injuriaque, violentiaque, ad ferreum coelum pervenit.
" Nequaquam tales sunt ministri illorum;
" Sed juvenes, laenas benè-induti, et tunicas,
" Semperque nitidi capitibus et pulchris vultibus.
" Qui ipsis subministrant: benè-politae autem mensae
" Pane, et carnibus, et vino, oneratae sunt.
" Sed mane; non enim quisquam te molestatur praesente,
" Neque ego, neque quisquam alius sociorum, qui mihi sunt.
" At postquam venerit Ulyssis dilectus filius,
" Ille te laenâque tunicâque, vestimentis induet;
" Mittetque, quò te cor, animusque jubet."
Huic autem respondit deinde patiens nobilis Ulysses:
" Utinam sic, Eumaee, dilectus Jovi patri fieres,
" Ut mihi, quòd me cessare-fecisti ab errore et aerumnâ gravi:

Ver. 328. Τῶν ὕβρις τε, βίη τε, σιδήρεον οὐρανὸν ἵκει.] Dna. *Dacier* ita explicat: " Dont la violence et l'insolence sont si " grandes, qu'elles ne respectent pas les " Dieux, et qu'elles attaquent le Ciel " même." Malè: Hoc enim dicere vult Poeta; nempe, " *Tantam fuisse Procorum* " *superbiam, totque indigna facinora; ut eo-* " *rum fama ad omnium aures pervenisset.*" " *Quorum* (uti reddit *Spondanus*) *tanta sit* " *protervia, et injurias aliis inferendi con-* " *suetudo, ut ejus fama etiam ad cœlum us-* " *que pervenerit.*" Sic *Iliad.* Υ', 192.

Ἀσπίδα Νεστορέην, τῆς νὺν κλέος οὐρανὸν ἵκει.

Ver. 331. Αἴθ' ὡς λιπαροί.] " Pro ὡς," inquit *Barnesius*, " potiùs δὴ legendum, vide- " tur." Minùs rectè.

Ver. 332. —— τράπεζαι Σίτου καὶ κρειῶν, ἠδ' οἴνου βεβρίθασιν.]

—— dapes, et plenæ pocula mensæ.
Æn. XI, 738.

Ver. 333. —— βεβρίθασιν.] Vide ad *Il.* β', 314.

Ver. 334. —— ἀνιᾶται.] Vide ad *Il.* ά, 24.

Πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν·
Ἀλλ' ἕνεκ' οὐλομένης γαστρὸς κακὰ πήδε' ἔχουσιν
Ἀνέρες, οὗ κεν ἵκηται ἄλη, καὶ πῆμα, καὶ ἄλγος.
Νῦν δ' ἐπεὶ ἰσχανάας, μεῖναί τέ με κεῖνον ἄνωγας,
Εἶτ' ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος θείοιο,
Πατρός θ', ὃν κατέλειπεν ἰὼν ἐπὶ γήραος οὐδῷ,
Εἴπου ἔτι ζώουσιν ὑπ' αὐγὰς ἠελίοιο,
Ἦ ἤδη τεθνᾶσι, καὶ εἰν ἀΐδαο δόμοισι.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω·
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ' εὔχεται αἰεί,
Θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν μεγάροισιν·
Ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται οἰχομένοιο,
Κουριδίης τ' ἀλόχοιο δαΐφρονος, ἥ ἑ μάλιστα
Ἧκαχ' ἀποφθιμένη, καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.

" Errore enim non est pejus aliud hominibus:
" Sed propter perditum ventrem malas curas habent
" Viri, quemcunque invaserit vagatio, casusque et dolor.
" Nunc verò quoniam detines manereque me illum jubes;
" Dic age mihi de matre Ulyssis divini,
" Patreque, quem reliquit profectus, in senectutis limine,
" An alicubi adhuc vivant sub splendore Solis,
" An jamjam mortui sint, et in Plutonis aedibus."
Hunc autem rursùs allocutus est subulcus, princeps virorum:
" Equidem tibi, hospes, valdè accuratè narrabo:
" Laërtes quidem adhuc vivit, Jovi autem supplicat semper,
" Ut anima *sibi* à membris pereat suis in aedibus:
" Vehementèr enim de-filio dolet absente,
" Deque uxore quam-virginem-duxerat, prudente; quae ipsum maximè
" Tristitiâ-affecit mortua, et in crudâ senectute posuit.

Ver. 342. Πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον.]

——— Μόχθων
Δ' οὐκ ἄλλος ὄνειδος,
Ἢ γῆς πατρίας στέρεσθαι.
Euripid. Medea, ver. 651.

Ver. 343. Ἀλλ' ἕνεκ' οὐλομένης γαστρός.] Νικᾷ δὲ χρεία μ', ἡ παλαίτερός τι μοῦ
Γαστήρ ——— *Diphilus, Fragm.* I. *ver.* 2.

Ibid. ——— κακὰ πήδ' ἔχουσιν.] *Al.* κακὰ μήδ' ἔχουσιν.

Ver. 344. ——— ὃν κεν ἵκηται.] *Al.* ἂν τιν' ἵκηται.

Ibid. ——— ἄλη, καὶ πῆμα, καὶ ἄλγος.] Vide suprà ad λ', 611.

Ver. 345. ——— μεῖναί τέ με κεῖνον ἄνωγας.] *Barnesius* vertit, " *Meque manere, talem* " quem vides, *jubes.*" Sed potiùs vertendum crediderim, " *Manereque me illum* (nempè " *Telemachum*) *jubes.*" Vide suprà ad *ver.* 334. 336. 337. item ad *Iliad.* ά, 535. Υ', 561. φ', 609.

Ver. 346. Εἶτ' ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος.] Περὶ τοῦ πατρὸς βουλόμενος μαθεῖν ὑποκρίνεται τὸν μὴ εἰδότα τὰ περὶ Ἀντικλείας. *Schol.*

Ver. 350. ——— ὄρχαμος ἀνδρῶν.] Vide suprà ad ξ, 3 et 22.

Ver. 353. ——— φθίσθαι.] *Al.* φθίσθαι.

Ver. 356. ——— καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.] Περὶ ὥρας γηρᾶσαι λεγόντων, διὰ τὴν ἐν αὐτῇ λύπην. *Schol.* Cæterùm *Eustathius* in commentario citat, καὶ ὠμῷ γήρᾳ δῶκεν.

Ἡ δ' ἄχεϊ οὖ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
Λευγαλέῳ θανάτῳ· ὣς μὴ θάνοι, ὅς τις ἔμοιγε
Ἐνθάδε ναιετάων φίλος εἴη, καὶ φίλα ἕρδοι.
Ὄφρα μὲν οὖν δὴ κείνη ἦεν, ἀχέουσά περ ἔμπης,
Τόφρα τί μοι φίλον ἦσπε μεταλλῆσαι καὶ ἐρέσθαι,
Οὕνεκά μ' αὐτὴ θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ,
Θυγατέρ' ἰφθίμῃ, τὴν ὁπλοτάτην τέκε παίδων·
Τῇ ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ' ἧσσον ἐτίμα.
Αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω,
Τὴν μὲν ἔπειτα Σάμηνδ' ἔδοσαν, καὶ μυρί' ἔλοντο.
Αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε, εἵματ' ἐπείνη
Καλὰ μάλ' ἀμφιέσασα, ποσὶν δ' ὑποδήματα δοῦσα,
Ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
Νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ
Ἔργον ἀέξουσιν μάκαρες θεοί, ᾧ ἐπιμίμνω·
Τῶν ἔφαγόν τ' ἔπιόν τε, καὶ αἰδοίοισιν ἔδωκα.

" Illa autem dolore de suo filio periit glorioso,
" Tristi morte: sic nè moriatur, quicunque mihi
" Hic habitans amicus sit, et amica faciat.
" Quamdiù quidem igitur illa erat, dolens quantumvis licèt,
" Tamdiù aliquid mihi dilectum erat sciscitari et interrogare,
" Quoniam me ipsa nutrivit, unà cum Ctimenâ stolatâ,
" Filiâ eximiâ, quam minimam-natu peperit liberorum:
" Cum hâc simul nutriebar; paulò autem me minùs honorabat.
" At postquam *ad* pubertatem optabilem pervenissemus ambo,
" Hanc quidem posteà in-Samum nuptum-dederunt, et infinita acceperunt:
" At me laenâque tunicâque, vestimentis illa
" Pulchris valdè ubi-induisset, pedibusque calceamenta dedisset,
" Ad-agrum emisit; diligebat autem me corde magis.
" Nunc verò jam his indigeo; sed mihi ipsi
" Opus incremento-augent beati Dii, in quo versor:
" Ex-his comedique, bibique, et venerandis-*hospitibus* dedi.

Ver. 357. 358. Ἡ δ' ἄχεϊ οὖ παιδὸς ἀπέφθιτο, —— Λευγαλέῳ θανάτῳ.] Λύση γὰρ ταπείνωσιν παρθάνη κατὰ τύχας. Ἕτεροι δέ, ὡς καὶ περιῤῥήθη, ἀγχίνοιαν φασὶν αὐτὴν μεταλλάξαι τὸν βίον. Διὸ καὶ τὸν Εὔμαιον ἀπευξασθαι τὸν τοιοῦτον θάνατον. *Eustath.* Vide suprà ad λ', 202.

Ibid. —— ἄχεϊ οὖ.] Vide ad *Il.* ά, 51.

Ver. 358. —— ὣς μὴ θάνοι.] Ita edidit *Barnesius*, quòd vocula ὣς hoc in loco "non "sit *Optantis*, verùm ad τὸ θάνοι pertineat." Quo modo et accipit *Eustathius* loco suprà citato. *Al.* ὃς μὴ θάνοι.

Ver. 362. Οὕνεκά μ' αὐτὴ θρέψεν.] *Al.* Οὕνεκ' ἄρ' αὐτὴ θρέψεν.

Ibid. —— Κτιμένῃ.] Κυρίως ἡ Ὀδυσσέως ἀδελφή. *Schol.*

Ver. 363. —— παίδων.] Apud *Eustathium* in commentario, παίδα.

Ver. 365. —— πολυήρατον.] Vide suprà ad λ', 274.

Ver. 366. —— καὶ μυρί' ἔλοντο.] Ἔδοσαν δηλαδή. *Eustath.*

Ver. 370. Νῦν δ' ἤδη τούτων ἐπιδεύομαι.] Ὧν ἡ Ἀντίκλεια χαρίζεται, τούτων ἐνδεὴς εἶμι. *Schol.* Porrò MSS. duo à *Tho. Bentleio* collati hîc habent τούτων ἔτι δεύομαι.

Ver. 372. Τῶν ἔφαγον.] *Al.* Τῶνδ' ἔφαγον.

Ibid. —— καὶ αἰδοίοισιν ἔδωκα.] Ἀντὶ τοῦ ἀνδρᾶσιν αἰδοῦς ἀξίοις· ξένοις δηλαδὴ, καὶ ἱκέταις. *Eustath.* Sic suprà ή, 165 et 181.

—— ἦε δ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. Et ί, 271.

—— ἦε ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

Cæterùm nonnulli (notantibus *Barnesio* et *Eustathio*) vocem αἰδοίοισιν hîc ad senten-

Ἐκ δ' ἄρα δεσποίνης οὐ μείλιχόν ἐστιν ἀκοῦσαι
Οὔτ' ἔπος, οὔτε τι ἔργον· ἐπεὶ κακὸν ἔμπεσεν οἴκῳ,
Ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες κατίουσιν ·
Ἀντία δεσποίνης φάσθαι, καὶ ἕκαστα πυθέσθαι·
Καὶ φαγέμεν, πίέμεν τε· ἔπειτα δὲ καί τι φέρεσθαι
Ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ πόποι, ὡς ἄρα τυτθὸς ἐὼν, Εὔμαιε συβῶτα,
Πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
Ἦ ἐνὶ ναιετάασκε πατὴρ καὶ πότνια μήτηρ·
Ἦ σέ γε μουνωθέντα παρ' οἰέσσιν, ἢ παρὰ βουσὶν,
Ἄνδρες δυσμενέες νησὶν λάβον, ἠδ' ἐπέρασσαν
Τοῦδ' ἀνδρὸς πρὸς δῶμαθ', ὁ δ' ἄξιον ὧνον ἔδωκεν.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·

" Ex dominâ autem haud dulce licet audire,
" Neque verbum, neque quod opus; quoniam malum incidit domui,
" Viri superbi: valdè verò famuli indigent
" Coram dominâ loqui, et singula interrogare;
" Et comedere, bibereque; deindè autem et aliquid portare
" Ad-agrum, qualia utique animum semper famulis laetificant."
Hunc autem respondens allocutus est prudens Ulysses;
" Papae! ut parvulus existens, Eumaee subulce,
" Multùm jactatus-es-seorsùm à tuâ patriâ et parentibus.
" Sed age mihi hoc dic et accuratè narra,
" An vastata sit urbs virorum viis-spatiosa,
" In quâ habitabat pater et veneranda mater;
" An te solum-relictum apud oves, vel apud boves,
" Viri hostiles navibus ceperint, et vendiderint
" Hujusce viri ad aedes; hic autem dignum pretium dederit."
Hunc autem rursùs allocutus est subulcus, princeps virorum;

---

tiam minùs honestam detorserunt. In eandemque sententiam concessisse videtur *Conradus Ritterhusius, de interpretatione quorundam locorum Oppiani; ad Cyneg. ver.* 36. Quod *Eumæo* (qualem eum depingit Poëta) omninò indignum; cúmque de se ipse loquatur, planè absurdum.

Ver. 373. — οὐ μείλιχόν ἐστιν ἀκοῦσαι Οὔτ' ἔπος, οὔτε τι ἔργον.] Dna *Dacier* ita exponit; *Ce n'est pas une douceur pour moi: Non dulce est.* " Car (inquit) il ne faut pas joindre " μείλιχον avec les mots ἔπος et ἔργον du " vers suivant." Quam explicandi rationem in versione secutus est *Barnesius*. *Eustathius* autem aliter; Ἐν δὲ τῷ " οὔτ' ἔπος " ἀκοῦσαι, οὔτε τι ἔργον," προσυπακουστέον τῷ ἔργῳ τὸ ἰδίῳ, ἢ τὸ τοιοῦτον ἵνα λέγῃ, ὡς οὔτε ἐστὶν ἀκοῦσαι μείλιχον, οὔτε τὶ ἔργον ἰδίῳ ἢ μαθεῖν ἢ γνῶναι μείλιχον. Quæ sententia et cum sequentibus, et cum ipsius vocis μείλιχον significatione aptiùs congruere videtur.

Ver. 376. —— φάσθαι.] *Barnesius* edidit φᾶσθαι· sed minùs rectè. Vide ad *Il.* ξ', 471.

Ver. 380. — ἄρα.] Non hic vocat istud ἄρα, sed vim habet in connectendâ sententiâ cum eo quod præcessit *ver.* 362. Οἴκαδέ μ' αὖτε θεὸς ἀγάγοι ἠδὲ σαώσαι &c.

Ver. 386. —— ἐπέρασσαν.] Ità rectè edidit *Barnesius* ex *Il.* φ', 78. 102. ubi in Vulgatis ita legitur. Cumque *Barnesio* facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* hoc in loco ἐπίρασσαν Quod penultimam corripit, quippè ex περάσσαν, non ex πιράω, deductum. Vide ad *Il.* ά, 67.

—— πίρασαν δέ μι δοῦρ' ἀγαγόντες.
Infrà *ver.* 427.

Ἄλφοι, ὅτε πιράσητε ——. *ver.* 452.

Ξεῖν', ἐπεὶ ἆρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Σιγῇ νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον
Ἥμενος· αἴδε δὲ νύκτες ἀθέσφατοι· ἐστὶ μὲν εὕδειν,
Ἐστὶ δὲ τερπομένοισιν ἀκουέμεν· οὐδέ τί σε χρὴ,
Πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
Τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
Εὐδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένῃφι
Δειπνήσας, ἅμ' ὕεσσιν ἀναπτορίῃσιν ἑπέσθω.
Νῶϊ δ' ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε,
Κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισι,
Μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ,

" Hospes, quoniam jam haec me percontaris et interrogas,
" Silentio nunc attende et delectare, bibeque vinum
" Sedens; hae autem noctes immensae; licet quidem dormire,
" Licet etiam sese-oblectantibus audire; neque omninò te oportet,
" Ante horam, cubitum ire: nocumentum *est* et multus somnus.
" Caeterorum autem quemcunque cor et animus jubet,
" Decubet egressus: simul autem atque aurora illuxerit,
" Pastus, simul sues heriles sequatur.
" Nos autem in casâ bibentesque comedentesque,
" Doloribus alter-alterius delectemur tristibus,
" Recordantes; etenim etiam doloribus delectatur vir,

Ver. 391. —— αἴδε δὲ νύκτες ἀθέσφατοι.] Τουτέστιν πάνυ μακραί. *Eustath.* Ita suprà λ', 372.

Νὺξ δ' ἤδε μάλα μακρὴ, ἀθέσφατος ——.

Ibid. —— εὕδειν.] MS. unus à *Tho. Bentleio* collatus, ἄδειν.

Ver. 393. —— καταλέχθαι.] Vide ad *Il.* β', 515.

Ibid. —— ἀνίη καὶ πολὺς ὕπνος.] Τὸ τέρπειν καθεύδειν τοῦ τερπόντος, τοῖς τεθνηκόσι μᾶλλον ἅπασι τοῖς ζῶσιν ἀρμόδιον, *Æschines apud Stobæum, Serm.* 69. *de Somno.* "Ὕπνος γὰρ δὴ πολὺς οὔτι τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν, οὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα, ἀρμόττων ἐστὶ κατὰ φύσιν· καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος, οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος. Ἀλλ' ἐστὶς τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστα ἐστὶ κηδεμὼν, ἐγρήγορος χρῆναι ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτοῦ μέτριον φυλάττων χρόνον. *Plato, de Legibus, lib.* VII.

Ibid. —— ἀνίη.] Vide ad *Il.* ν', 103. et ε', 4.

Ver. 394. —— ὅτινα κραδίη.] *Al.* ὅ τι κραδίη.

Ver. 396. Δειπνήσας.] Vide suprà ad δ', 535.

Ibid. —— ἀναπτορίῃσιν.] Ταῖς δισσοστιχαῖς, ἢ βασιλικαῖς ὑπηρεσίαις· ὁ δὲ Ἡλιόδωρος, ταῖς ὑπὸ ἀναπτορίας· " Δειπνήσας ἅμ' ὕεσσιν ἀναπτορίῃσιν ἑπέσθω." *Hesychius* in voce ἀναπτορίῃσιν. Ἀναπτορίας δὲ ὕας Ἀρίσταρχος μὲν τὰς δισσοστιχὰς φησίν· Ἀριστοφάνης δὲ, ὧν ἕνεκεν βόσκων ἀνάσσει, ὁ ἐστὶν ἄεχτι. *Eustath.*

Ver. 399. —— μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ.] *Al.* μετὰ γὰρ καὶ ἐν ἄλγεσι.

—— Quæ fuit durum pati,
Meminisse dulce est ——.
Seneca, Hercules Furens, ver. 656.

" Habet enim præteriti doloris secura re-
" cordatio delectationem." *Cicero ad Familiares, lib.* V. *Epist.* 12. Τὰ μὲν οὖν μνημονευτὰ ἡδέα ἐστὶν, οὐ μόνον ὅτε ἐν τῷ παρόντι, ὅτι παρῆν, ἡδέα ἦν, ἀλλ' ἴσως καὶ οὐκ ἀδέα, ἂν ᾖ ὕστερον καλῶν καὶ ἀγαθῶν τὸ μετὰ τοῦτο. Ὅθεν καὶ τοῦτ' εἴρηται· " Ἀλλ' ἡδύ τοι καὶέοντα μεμ-
" νῆσθαι πόνων" καὶ, " —— μετὰ γάρ τε καὶ
" ἄλγεσι τέρπεται ἀνήρ." Τουτοῦτο δ' αἴτιον, ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν τὸ κακόν. *Aristot. Rhetoric. lib.* I. *cap.* 11. " Quid si etiam jucunda
" memoria est præteritorum malorum?—
" Vulgò enim dicitur, *Jucundi acti labores.*
" Nec malè Euripides —— *Suavis laborum*
" *est præteritorum memoria.*" *Cicero, De finibus, lib.* II. § 32. Similitèr et *Macro-*
" *bius*; " Pericula quoque præterita, vel æ-
" rumnas penitùs absolutas qui evasit, ut
" referat gratissimè provocatur." — Id adeò Euripides expressit;

" Ὡς ἡδύ τοι καθέντα μεμνῆσθαι πόνων.

" adjecit enim *καθέντα*, ut ostenderet, post
" finem malorum gratiam relationis inci-

Ὅστις δὴ μάλα πολλὰ πάθῃ, καὶ πόλλ' ἐπαληθῇ.
Τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Νῆσός τις Συρίη κικλήσκεται, (εἶπον ἀκούεις,)
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
Οὔτι περιπληθὴς λίην τόσον· ἀλλ' ἀγαθὴ μὲν,
Εὔβοτος, εὔμηλος, οἰνοπληθὴς, πολύπυρος·
Πείνη δ' οὔποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη

" Quicunque scilicet valdè multa passus fuerit, et multùm erraverit :
" Hoc autem tibi dicam, quod me percontaris et interrogas.
" Insula quaedam Syria vocatur, (sicubi audis,)
" Ortygiam supra ; ubi conversiones Solis,
" Non ita valdè magna ; sed bona quidem,
" Fertilis-boüm, fertilis-oviüm, vino-abundans, tritici-ferax :
" Fames verò nunquam populum invadit, neque ullus alius

" pere. Et poeta vester [*Virgil. Æn.* I. " 207.] adjiciendo, *olim*, quid nisi post e- " mensa infortunia futuro tempore juvare " dicit memoriam sedati laboris ?

" *Forsan et hæc olim meminisse juvabit.*" *Saturnal. lib.* VII. *cap.* 2.

Vide et *Gatakeri Annotationes in Antonium, lib.* VIII. § 36.

Ver. 400. Ὅστις δὴ μάλα πολλὰ πάθῃ, καὶ πόλλ' ἐπαληθῇ.] *Aristoteles*, loco jam suprà adducto, versum hunc citat isto modo :

Μνήμενος ὅστις πολλὰ πάθῃ, καὶ πολλὰ ἰάχῃ.

Ver. 402. Νῆσός τις Συρίη κικλήσκεται.] *Μία τῶν Κυκλάδων νήσων καλεῖται. Schol.* Σύρος δ' ἐστὶ μεσόυσα τὴν τροπὴν συλλαβοῦσα, ἐξ ἧς Φερεκύδης ὁ Βάττος ἦν πώτερος δ' ἐστὶ ὁ 'Αθηναῖος ἱκάνου. Ταύτης δοκεῖ μνημονεύειν ὁ Ποιητὴς, Συρίην καλῶν " Νῆσός τις Συρίη κικλήσκεται, ἴσασι ἀκούσας, 'Ορτυγίης καθύπερθε." *Strabo, Geograph. lib.* X. *pag.* 746. *al.* 487. Porrò corripitur (notante *Casaubono* ad hunc locum *Strabonis*) *prima* vocis Σύριος in *Anthologiâ, lib.* V. *Epigr.* 62.

Καὶ Σύριος σιλάγιζι σαφροσύνῃ Φερεκύδης.

Cæterum apud nonnullos hæc insula vocatur Σύρα. Vide *Menagium, Annotat. in Diogenem Laërtium. lib.* I. *haud longè à fine.*

Ver. 403. —— ὅθι τροπαὶ ἠελίοιο.] Fuerunt qui *Homerum* hîc *Geographiæ* omninò ignarum arguerint, quòd hanc insulam sub *Tropico* locârit. " Ce porcher [*Eumée*] dans un " recit qu'il fait, parle d'une isle nommée " Syrie, qu'il dit être sous le Tropique ; " cependant cette isle est dans la mer Me- " diterranée, et par consequent éloignée du " Tropique de plus de trois cent lieuës.— " Je ne doute point —— qu' Homére n'ait " ignoré la veritable situation de l'isle dont " il parle." *Perrault, Parallele des Anciens et des Modernes, tom.* II. *pag.* 62. 65. Scilicet per τροπαὶ ἠελίοιο *Tropicum solstitialem* intellexit Vir eruditus. *Eustathius* autem " τροπαὶ ἠελίοιο" *Occasum* denotare arbitratur : Τὸ δὲ " ὅθι τροπαὶ ἠελίοιο," (inquit) *ἀντὶ τοῦ, πιμέτη πρὸς τροπὰς ἡλίου, ἤτοι πρὸς τὰ δυτικὰ μέρη τῆς Ὀρτυγίας. Scholiastes* aliter exponit : *Ἐνθα φησὶν εἶναι τὸ ἡλίου στάλαιον, δι' οὗ σημειοῦνται τὰς ἡλίου τροπάς.* Quam in sententiam *Huëtium* concessisse testatur *Menagius* in Annotationibus ad *Laërtium* : " Ἡλιοτρόπιον (inquit) fuit parapegma, quo " solstitia et æquinoctia et siderum orienti- " um occidentiumque significationes per a- " liquot annorum ambitum designabantur. " Cæterùm P. Huëtius, vir ingenio præ- " stans et doctrinâ, suspicabatur ἡλιοτρόπιον " illud in insulâ Syro constructum, non " Pherecyde solùm, sed et ipso Homero " fuisse antiquius ; idque ex his versibus " *Odyss.* ι, colligebat :

" Νῆσός τις Συρίη κικλήσκεται, ἴσασι ἀκούεις,
" 'Ορτυγίης καθύπερθε, ὅθι τροπαὶ ἠελίοιο.—

Ver. 102. —— *ἀπ' ἐμεῖο κάρη τάμοι.*] Non, *κάρη τάμοι ἀπ' ἐμεῖο* sed *κάρη ἐμεῖο ἀποτάμοι.*

Ver. 105. —— *πληθύϊ δαμασαίατο.*] Pronuntiabatur *πληθῦ*, sive *πληθυῖ* duabus syllabis.

Ver. 106. —— *κ' ἴν.*] *Al. κέν'* minùs rectè.

Ver. 110. Καὶ *οἶνον διαφυσσόμενον.*] Vide suprà ad γ', 359. Porrò cùm voces *ἀφυσσόμενος* et *ἀφυσσάμενος* semper alibi apud Poetam sensu *activo* usurpatur; (vide ad *Il.* α', 579. π', 230. ψ', 220.) legendum hîc crediderim *διαφυσσομένους* quod et cum præcedente Ῥυστάζοντας, et cum sequente ἔδοντας, multò aptiùs congruet. Sed expectandi codices.

Οὔτε τί μοι πᾶς δῆμος ἀπιχθόμενος χαλεπαίνει,
Οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ
Μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται·
Ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
Μοῦνον Λαέρτην Ἀρκεισίος υἱὸν ἔτικτε,
Μοῦνον δ' αὖ Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
Μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν λίπεν, οὐδ' ἀπόνητο·
Τῷ νῦν δυσμενέες μάλα μυρίοι εἰσὶ ἐνὶ οἴκῳ.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κατανειραίουσιν,
Τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.

" Neque omninò mihi omnis populus invisus irascitur,
" Neque de-fratribus queror; quibus scilicèt vir
" Pugnantibus confidit, etiam si magna contentio orta-sit:
" Ita enim nostrum genus solitarium-fecit Jupiter;
" Solum Laërtem Arcesius filium genuit;
" Solum autem rursùs Ulyssem pater genuit: at Ulysses
" Solum me in aedibus genitum liquit, neque fruitus est:
" Ideò nunc inimici valdè multi sunt in domo.
" Quotquot enim insulis dominantur optimi,
" Dulichioque, Samaeque, et nemorosae Zacyntho:
" Et quot in asperâ Ithacâ dominantur,
" Tot matrem meam ambiunt, atteruntque domum.

Ver. 114. —— *ἀπιχθόμενος χαλεπαίνει.*] *Barnesius* vocem *ἀπιχθόμενος* hic reddit, " *odio habens:*" Alii vertunt " *iratus,*" et " *infensus:*" cui interpretationi favet quidem quod occurrit suprà *ver.* 95. 96. ubi *Ulysses Telemachum* interrogat, "—— *ἦ σέ γε* " *λαοὶ Ἐχθαίρουσ' ἀνὰ δῆμον* ——;" Verùm cùm voces *ἀπιχθόμενος, ἀπίχθεται,* &c. nusquam apud Poetam isto sensu usurpantur, sed semper passivè " *odio habitus, odio ha-*" *beri,*" significant; etiam hîc *ἀπιχθόμενος* " *invisus*" reddidi. Vide *Iliad. φ'*, 83. *Odyss. κ'*, 74. 75. *σ'*, 164.

Ver. 115. *Οὔτε κασιγνήτοις ἐπιμέμφομαι.*] Vide suprà ad *ver.* 97.

Ver. 116. —— *δρηται.*] *Al. ὀρώρῃ.* Ut suprà *ver.* 98.

Ver. 117. —— *ἡμετέρην γενεὴν μούνωσε Κρονίων.*] Χρηστὰ δὲ καὶ δίκαια παιδὸς οὐ μόνον διὰ τοὺς γονεῖς ἀγαπήσουσι μᾶλλον ἀλλήλους, ἀλλὰ καὶ τοὺς γονεῖς δι' ἀλλήλους· οὕτως ἀὶ καὶ φρονοῦντες καὶ λέγοντες, ὅτι τοῖς γονεῦσιν ἀντὶ πολλῶν χάρις ὀφείλεται, μάλιστα διὰ τοὺς ἀδελφοὺς ὀφείλουσιν· ὡς τοῦτο δὴ πτήματον ἁπάντων τιμιώτατον καὶ ἥδιστον ἔχοντες παρ' αὐτῶν. Εὖ γέ τοι καὶ Ὅμηρος πεποίηκε Τηλέμαχον ἐν συμφορᾷ τὸ ἀναδίλφον σέβεσθαι, "Ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων." *Plutarch. de Fraterno amore.*

Ver. 119. — *αὖ* Ὀδυσῆα.] *Al. αὖτ'* Ὀδυσῆα.

Ver. 120.—— *οὐδ' ἀπόνητο.*] *Τοιοῦτον οὐδὲν ἐξ ἐμοῦ ὠφελήθη. Eustath.*

Ver. 121. Τῷ *νῦν δυσμενέες μάλα μυρίοι.*] Ita restituit *Barnesius* ex *Eustathii* Editione *Basileensi*, et ex ipsius commentario, ubi hoc modo explicatur; Διὰ, *τουτέστι διὰ τὸν τοιοῦτον μόνωσιν, δυσμενεῖς μάλα μυρίοι εἰσὶν ἐν οἴκῳ.* Cum *Barnesio* porrò facit MS. à *Tho. Bentleio* collatus. *Vulgg.* Τῶν *νῦν δυσμενέες* &c.

Ibid. et *ver.* 127.—— *μάλα μυρίοι εἶσ' ἐνὶ οἴκῳ* —— *τοὶ δὲ φθινύθουσιν* &c.]

Ὡς δ' ὁπόθ' ἁφαπτοῦσι μιν' ἠΐθεοι μάλ' ἀγεῖραι
Οὔτε συαφροσύνῃσι μιμηλότεροι ἦλπεις ἄλλοι
Ἐλπετοὶ σ' αὐτόμολοί τε πατήμεναι ἠγερέθοντας,
Κτῆσιν ἀὶ πίειρωτε ἀσημάντου δάμοιο.
Oppian. Halieutic. lib. III. *ver.* 358.

Ver. 122. Ὅσσοι γὰρ νήσοισι &c.] Imitatus est hunc locum *Ovidius* in Epistolâ *Penelopes* ad *Ulyssem*:

Dulichii, Samiique, et quos tulit alta Zacynthos,
Turba ruunt in me luxuriosa, proci;
Inque tuâ regnant, nullis prohibentibus, aulâ. *Heroïd.* I, 87.

Ver. 124.—— *κατανειραίουσιν.*] *Al. κατὰ πειρατέουσιν.*

Ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
Ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
Οἶκον ἐμόν· τάχα δή με διαῤῥαίσουσι καὶ αὐτόν.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
Ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ
Εἴφ', ὅτι οἱ σῶς εἰμὶ, καὶ ἐκ Πύλου εἰλήλουθα.
Αὐτὰρ ἐγὼν αὐτοῦ μενέω· σὺ δὲ δεῦρο νίεσθαι,
Οἴῃ ἀπαγγείλας· τῶν δ' ἄλλων μή τις Ἀχαιῶν
Πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανόωνται.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Γιγνώσκω, φρονέω, τά γε δὴ νοέοντι πελεύεις.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἰ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
Δυσμόρῳ· ὃς τείως μὲν Ὀδυσσῆος μέγ' ἀχεύων,
Ἔργα τ' ἐποπτεύεσκε, μετὰ δμώων τ' ἐνὶ οἴκῳ
Πῖνε καὶ ἤσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
Αὐτὰρ νῦν, ἐξ οὗ σύ γε ὤχεο νηῒ Πύλονδε,
Οὕτω μιν φασὶν φαγέμεν καὶ πιέμεν αὔτως,

" Illa autem neque abnegat odiosas nuptias, neque finem
" Facere potest; hi autem consumunt comedentes
" Domum meam: citò utique me perdent et ipsum.
" Sed sanè haec quidem deorum in genibus posita-sunt.
" Pater, tu verò vade ocyùs, prudenti Penelopae
" Dic, quòd ei salvus sum, et ex Pylo veni.
" At ego hìc manebo; tu autem huc redi,
" Soli ubi-nunciàris; aliorum verò nullus Achivorum
" Audiat: multi enim mihi mala moliuntur."
Huic autem respondens, allocutus es, Eumaee subulce;
" Cognosco, sapio; haec sanè intelligenti imperas.
" Sed age mihi hoc dic et accuratè narra;
" An et Laërti eàdem viâ nuncius eam
" Infelici; qui eousquè quidem ob-Ulyssem valdè dolens,
" Operaque inspectabat, et cum famulis in domo
" Bibebat et comedebat, quandò animus in pectoribus juberet;
" At nunc, ex quo tu utique ivisti navi ad-Pylum,
" Nondum ipsum dicunt comedisse et bibisse solito-modo,

Ver. 129. Ἀλλ' ἤτοι μὶν ταῦτα θεῶν ἐν γούνασι κεῖται.]

Ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἰέναι. *Euripid. Phœniss. ver.* 712.

Exitus in Diis est ——————.
Ovid. Heroïd. Epist. XX. *ver.* 44.

Ver. 130. Ἄττα, σὺ δ' ἔρχεο θᾶσσον.] Ὅτι στέλλει Τηλέμαχος τὸν Εὔμαιον ἀγγελοῦντα τῇ Πηνελόπῃ ὅτι σῶς ἐστὶ καὶ ἐν Πύλῳ ἦλθεν.—Ὀμφαιτὴς δὲ καὶ τοῦτο διὰτυπώσεως οἰκονομία· ἵνα, λείψαντος καὶ τοῦ Εὐμαίου, σχολὴ χώραν πάντως δῷ τοῦ πατρὸς ἀναγνωρισμὸς ἐν ἀδείᾳ γενέσθαι. *Eustath.* Vide infrà ad *ver.* 168. Cæterùm de voce Ἄττα, vide suprà ad *ver.* 31.

Ver. 131. Εἴφ', ὅτι οἱ σῶς εἰμί.] *Al.* Εἶπε, ὅτι σῶς εἰμι.

Ver. 138. Εἰ καὶ.] *Al.* Ἦ ἄρα.

Ver. 141. —— ὅτε θυμὸς.] *Al.* ὅτι θυμὸς.

Ver. 142. —— σύ γε ὤχεο.] *Al.* σύ γ' ἀνῴχεο.

Ver. 143. —— φαγέμεν καὶ πιέμεν.] Ita Vulgati. *Barnesius* autem, nullis allatis codicibus, de *suo* edidit φαγίμεν καὶ πινίμεν. " Πινίμεν," inquit, " hìc omninò legendum, " ut suprà *ver.* 141. Πῖνε καὶ ἤσθε. *Prior*

Οὐδ' ἐπὶ ἔργα ἰδεῖν· ἀλλὰ στοναχῇ τε γόῳ τε
Ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστέοφιν χρώς.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄλγιον, ἀλλ' ἔμπης μιν ἐάσομεν, ἀχνύμενόν περ.
Εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
Πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
Ἀλλὰ σύ γ' ἀγγείλας ὀπίσω πίε, μηδὲ κατ' ἀγροὺς
Πλάζεσθαι μετ' ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν,
Ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
Κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.
Ἦ ῥα, καὶ ὦρσε συφορβόν· ὁ δ' εἵλετο χερσὶ πέδιλα·
Δησάμενος δ' ὑπὸ ποσσὶ πόλινδ' ἴεν· οὐδ' ἄρ' Ἀθήνην
Λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος ὑφορβός·
Ἀλλ' ἦγε σχεδὸν ἦλθε· δέμας δ' ἤϊκτο γυναικὶ
Καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ.
Στῆ δὲ κατ' ἀντίθυρον πλισίης Ὀδυσῆϊ φανεῖσα·

" Neque opera inspexisse ; sed suspirioque luctuque
" Sedet lamentans ; tabescit autem circum ossa corpus."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est ;
" Tristius est : sed omninò ipsum sinemus, dolentem licèt.
" Si enim ullo-pacto essent proprii-arbitrii omnia mortalibus,
" Primùm patris eligeremus reditùs diem.
" Sed tu, ubi-nunciaveris, revertere ; neque per agros
" Vagare ad illum : at matri dic,
" Ut famulam oeconomam *ire*-jubeat quàm citissimè
" Clàm ; illa etenim nunciaverit seni."
Dixit utique, et excitavit subulcum : ille autem cepit manibus calceos ;
Ligatisque *iis* sub pedibus ad urbem ibat : neque sanè Minervam
Latebat à stabulo profectus Eumaeus subulcus :
Sed ea propè venit : corpore verò assimilata est mulieri
Pulchraeque, magnaeque, et splendida opera doctae.
Stetit autem è-regione-ostii casae Ulyssi apparens :

" enim τοῦ πίμπλη corripitur, ut ἁ, *ver.* 377.
" Καὶ φαγίμεν πίμπλη τε· ἴστατα δὲ καί τι
" φέρεσθαι. Πίνω verò *priorem* semper pro-
" ducit." Ita ille : Sed tamen mutato nihil opus. Nam et πίμπλη (id quod nec virum ipsum eruditum ex toto fugit) *priorem* naturà longam habet ; etsi *eandem* nonnunquam propter sequentem vocalem corripiat. Πίεμαι δὲ (inquit *Athenaeus*) —— λεπτέον, ἐπιτείνοντα δὲ τὸ "ι." Οὕτω γὰρ ἔχει καὶ τὸ Ὁμηρικὸν [*Iliad.* ν', 493.] " Πίεμεν' ἐν βυτάνῃσι." *Lib.* X, *cap.* 13. Similitèr *Iliad.* π', 825.

—— ἰδίλουσι δὲ πίεμεν ἄμφω.

Vide et suprà ad α', 160. et infrà ad σ', 3. item ad *Il.* ἑ, 24.

Ver. 147. —— ἐάσομεν.] *Barnesius* edidit legendumque contendit ἐάσεμεν. " Cum
" simplici enim σ', (inquit) corripi debet,
" ut *Odyss.* φ', *ver.* 233. Οὐκ ἐάσουσιν ἰμεὸ
" δύμεναι βιὸν ἠὲ φαρέτρην." Sed vide ad *Il.* Υ, 42.

Ibid. — ἀχνύμενόν περ.] *Al.* ἀχνύμενοί περ.

Ver. 151. —— μητέρα.] *Al.* μητέρες.

Ver. 155. Δησάμενος.] Vide suprà ad ζ, 296.

Ver. 156. Λῆθεν.] Vide suprà ad λ', 101.

Ver. 157. —— ἦγε σχεδὸν ἦλθε.] Vide infrà ad *ver.* 166. 168.

Ver. 159. —— κατ' ἀντίθυρον.] Ἀντικρὺ τῆς θύρας. *Schol.*

Ibid. —— Ὀδυσῆϊ φανεῖσα· Οὐδ' ἄρα Τηλέμαχος ἔδυ. Sic *Iliad.* ε, 197.

Στῆ δ' ἐπιδὼν, ξανθῆς δὲ κόμης ἅλις Παλλὰς Ἀθήνη,
Οἵη φασμίνῃ, τῶν δ' ἄλλων εἶδος ἐρύκει.

Οὐδ' ἄρα Τηλέμαχος ἴδεν ἀντίον, οὐδ' ἐνόησεν·
(Οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς·)
Ἀλλ' Ὀδυσεύς τε, κύνες τε ἴδον, καί ῥ' οὐχ ὑλάοντο,
Κυζηθμῷ δ' ἐτέρωσε διὰ σταθμοῖο φόβηθεν.
Ἡ δ' ἄρ' ἐπ' ὀφρύσι νεῦσε· νόησε δὲ δῖος Ὀδυσσεύς·
Ἐκ δ' ἦλθεν μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
Στῆ δὲ πάροιθ' αὐτῆς· τὸν δὲ προσέειπεν Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἤδη νῦν σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
Ὡς ἂν μνηστῆρσιν θάνατον καὶ κῆρ' ἀραρόντε
Ἔρχησθον προτὶ ἄστυ περικλυτόν· οὐδ' ἐγὼ αὐτὴ
Δηρὸν ἀπὸ σφῶϊν ἔσομαι, μεμαυῖα μάχεσθαι.
Ἦ, καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·
Φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,
Θῆκ' ἀμφὶ στήθεσσι· δέμας δ' ὤφελλε καὶ ἥβην.
Αὖ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν·
Κυάνεαι δ' ἐγένοντο ἐθειράδες ἀμφὶ γένειον.

Neque Telemachus vidit coràm, neque advertit:
(Nequaquam enim omnibus dii apparent manifesti:)
Sed Ulyssesque, canesque viderunt, et proindè non latrârunt,
Cum-gannitu autem aliorsùm per stabulum trepidaverunt.
Illa autem superciliis innuit; animadvertit verò nobilis Ulysses:
Exivit autem domo extra magnum murum chortis,
Stetitque ante ipsam: illum verò allocuta est Minerva:
" Generose Laërtiade, solers Ulysses,
" Jam nunc tuo filio verbum dic, neque cela:
" Ut procis mortem et fatum moliti
" Eatis ad urbem inclytam; neque ego ipsa
" Diù à vobis abero, prompta ad pugnandum."
Dixit, et aureâ virgâ tetigit *eum* Minerva:
Vestem quidem ei primùm benè-lotam et tunicam,
Posuit circum pectora; corpusque auxit et vigorem.
Rursùs autem nigro-colore factus-est, genae verò distentae-sunt:
Caeruleique facti-sunt pili circa mentum.

Ver. 163. Κυζηθμῷ.] Ἤτοι ποσταυμῷ, ἢ μετὰ πλαυθμοῦ ποιῷ ἦχον τῶν κυνῶν. *Schol.* Vide *Duportum, Prælect. in Theophrasti Characteres, cap.* 4.

Ver. 165. —— παρὲκ.] *Al.* παρὰ.

Ibid. —— τειχίον.] *Al.* θριγκίον.

Ver. 166. 168. —— τὸν δὲ προσέειπεν Ἀθήνη——Ἤδη νῦν σῷ παιδὶ ἔπος φάο.] Τούτους δὲ πεισθεὶς χρὴ ἱστορῆσαι τὸν δίννεα· ὧν πάντων σαφέως ὁ Ἔμβριων τοῦ Ὀδυσσέως λόγος καὶ ἡ σύνεσις Ἀθηνᾶ, ἣν πλάττει Ὅμηρος ὑποτιθεμένην τὰ πρωτεῖα τῷ Ὀδυσσεῖ. *Eustath.* Sic infrà *ver.* 282.

Θαρσύνει καὶ παλίσσυλος ἐὼν φρεσὶ θήσει Ἀθήνη,
Νίσσεσθαι μίν τοι ἐγὼ, φησὶ, κέλομαι.

Vide ad *Il. ά*, 194.

Ver. 172. —— ἐπεμάσσατ'.] *Barnesius* edidit ἐπεμάσσετ'. Rationibus (ut opinor) haud satis idoneis. Vide ad *Il. ε'*, 594.

Ver. 175. Αὖ δὲ μελαγχροιὴς γένετο.] Sic apud *Ovidium:*

—— barba comaeque
Canitie posità nigrum rapuere colorem;
Pulsa fugit macies; abeunt pallorque situsque.

Metam. lib. VII. *ver.* 288.

Ver. 176. Κυάνεαι δ' ἐγένοντο ἐθειράδες.] Ita Vulgati. *Barnesius* autem ex *Isaaco Casaubono*, et ex *Eustathio* edidit ἐγένοντο γενειάδες. Quo modo et in nonnullis codicibus scriptum reperit *Tho. Bentleius.*

Ibid. —— ἀμφὶ γένειον.] *Al.* ἀμφὶ γένυς.

Ἦ μὲν ἄρ' ὣς ἔρξασα, πάλιν κίεν· αὐτὰρ Ὀδυσσεὺς
Ἤιεν ἐς κλισίην· θάμβησε δέ μιν φίλος υἱός·
Ταρβήσας δ' ἐτέρωσε βάλ' ὄμματα, μὴ θεὸς εἴη,
Καί μιν φωνήσας ἔπτερα πτερόεντα προσηύδα·
Ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον, ἠὲ πάροιθεν,
Ἄλλα δὲ εἵματ' ἔχεις, καί τοι χρὼς οὐκ ἔθ' ὁμοῖος.
Ἦ μάλα τις θεὸς ἐσσί, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
Ἀλλ' ἴληθ', ἵνα τοι κεχαρισμένα δώσομεν ἱρὰ,
Ἠδὲ χρύσεα δῶρα τετυγμένα· φείδεο δ' ἡμέων.
Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Οὔ τίς τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις;
Ἀλλὰ πατὴρ τεὸς εἰμὶ, τοῦ εἵνεκα σὺ στεναχίζων
Πάσχεις ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν.
Ὣς ἄρα φωνήσας υἱὸν κύσε, κὰδ' δὲ παρειῶν
Ἄκρυον ἧκε χαμᾶζε· πάρος δ' ἔχε νωλεμὲς αἰεί.
Τηλέμαχος δ', (οὐ γάρ πω ἐπείθετο ὃν πατέρ' εἶναι,)

Illa quidem, ita cùm-fecisset, abiit: at Ulysses
Ivit in casam: stupuit verò ipsum dilectus filius;
Territusque aliorsùm vertit oculos, nè deus esset,
Et ipsum affatus verba alata dixit:
" Alius mihi, hospes, appares recèns, quàm antè,
" Alia autem vestimenta habes; et tibi corpus haud ampliùs simile:
" Certè omninò aliquis deorum es, qui coelum latum habitant:
" Sed propitius esto; ut tibi grata demus sacra,
" Et aurea dona arte-elaborata: parce verò nobis."
Huic autem respondit postèa patiens nobilis Ulysses:
" Neutiquam aliquis deus sum; cur me diis assimilas?
" Sed pater tuus sum, cujus gratiâ tu suspirans
" Pateris dolores multos, injurias sustinens virorum."
Sic utique locutus, filium osculatus est; perque genas
Lachrymam mittebat humi: antè autem continuerat-se indesinenter semper.
Telemachus verò, (nondum enim persuadebatur suum patrem esse,)

Ver. 181. Ἀλλοῖός μοι, ξεῖνε, φάνης.] Versum hunc ad Adulatoris levitatem transfert *Plutarchus*: Τὰς δὲ τοῦ Κόλακος ὥσπερ πολύποδος τροπὰς ῥᾴστα φωράσειεν ἂν τις. ——— Ὄψεται γὰρ αὐτὸν εὐθυμοῦν βίζιον, οὐδ' ἴδιον, οὐδ' ἀεὶ τὰ αὐτὰ φιλοῦντα καὶ μισοῦντα καὶ χαίροντα καὶ λυπούμενον, ἀλλὰ δίκην κατόπτρου, παθῶν ἀλλοίων καὶ βίων καὶ πραγμάτων εἰκόνας ἀναδεχόμενον ———. Εἰδὼς οὖν λέγειν χρὴ πρὸς τὸν τοιοῦτον, " Ἀλλοῖός μοι, ξεῖνε, ἰφάνης νέον ἠὲ πάροιθεν." *De Adulatoris et Amici discrimine.*

Ver. 184. Ἀλλ' ἴληθ', ἵνα τοι κεχαρισμένα δώσομεν ἱρὰ.]

Sis felix, nostrumque leves quæcunque laborem: ———
Multa tibi ante aras nostrâ cadet hostia dextrâ. *Æn.* I, 330. 334.

Ibid. —— δώσομεν.] *Eustathius* in commentario citat δώσειν. Atque ita habent MSS. duo à *Tho. Bentleio* collati. Quæ fortè et verior lectio. Vide ad *Il.* ά, 299 et 351.

Ver. 185.—τετυγμένα.] Vide ad *Il.* ζ', 488.

Ver. 187. Οὔ τίς τοι Διός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις;] Πρὸς δὲ τοὺς μισρίους οὐκ ἄτοπον ἐστὶ λέγεσθαι καὶ παῖς ἐφανερώσατο τῶν ἐπαίνων.——Καὶ τοιοῦτον αὖ πάλιν, ὑπερφυῶν τινων λεγομένων ἐπαίνων (εἰς πολλοὺς καλπάζοντες ἐπιφέρουσι λίγουσιν) εἴποιν, " Οὔτις τοι Διὸς " εἰμί· τί μ' ἀθανάτοισιν ἴεσαι." *Plutarch. de Sui Laude.*

Ver. 191. —— πάρος δ' ἔχε νωλεμὲς αἰεί.] Τοιοῦτόν τι καὶ ἐπὶ τοῦ ἐπιτίχου αὐτοῦ. *Eustath.* Ita infrà σ', 212.

——— δάκρυα δ' ὄγε θάμβησε πεσόντα.

Ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
Οὐ σύ γ' Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμός· ἀλλά με δαίμων
Θέλγει, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω·
Οὐ γάρ πως ἄν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
Ὤ αὐτοῦ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθών,
Ῥηϊδίως ἐθέλων θείη νέον, ἠδὲ γέροντα.
Ἦ γάρ τοι νέον ἧσθα γέρων, καὶ ἀεικέα ἕσσο,
Νῦν δὲ θεοῖσιν ἔοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.
Τὸν δ' ἀταμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Τηλέμαχ', οὔ σε ἔοικε φίλον πατέρ' ἔνδον ἐόντα
Οὔτε τι θαυμάζειν περιώσιον, οὔτ' ἀγάασθαι.
Οὐ μὲν γάρ τοι ἔτ' ἄλλος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς·
Ἀλλ' ὅδ' ἐγὼ τοῖόσδε, παθὼν κακὰ, πολλά τ' ἀνατλὰς,
Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης,
Ἣ τέ με τοῖον ἔθηκεν, ὅπως ἐθέλει· (δύναται γάρ·)
Ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον, ἄλλοτε δ' αὖτε
Ἀνδρὶ νέῳ, καὶ καλὰ περὶ χροῒ εἵματ' ἔχοντι.

Rursùs ipsum verbis respondens allocutus est:
" Haud tu Ulysses es, pater meus, sed me deus
" Decipit; ut adhuc magis lugens suspirem:
" Nequaquam enim mortalis vir haec machinatus esset
" Suo ipsius scilicet animo; nisi quandò deus ipse aggressus,
" Facilè volens faceret juvenem et senem.
" Certè enim modò eras senex, et turpitèr indutus eras:
" Nunc verò diis similis es, qui coelum latum habitant."
Hunc autem respondens allocutus est solers Ulysses:
" Telemache, non te decet dilectum patrem, intus cùm-sit,
" Neque mirari suprà-modum neque stupere:
" Nequaquam enim adhuc alius veniet huc Ulysses:
" Sed ille ego talis, passus mala, multisque toleratis,
" Veni vigesimo anno in patriam terram.
" Verùm tibi hoc opus est Minervae praedatricis,
" Quae me talem fecit, uti vult (potest enim:)
" Aliàs quidem mendico similem, alias autem rursùs
" Viro juveni, pulchraque circum corpus vestimenta habenti.

Ver. 195. —— στεναχίζω. *Al.* στοναχίζω.
Ver. 197. Ὤ.] *Al.* Οἳ.
Ver. 203. — περιώσιον.] Περισσὸν παρὰ τὸ περοῦσθαι· παρὰ τὸ ἴσιον, γίνεται περιώσιον, ἐκτάσει τοῦ "ο" εἰς "ω." *Schol.* Vide ad *Il.* β', 359.
Ver. 204. —— γάρ τω.] *Al.* γάρ τι.
Ver. 205. —— πολλά τ' ἀνατλὰς.] *Al.* πολλὰ δ' ἀληθείς.
Ver. 206. —— ἔτεϊ ἑῷ.] Nullâ analogiâ produci hîc potest ultima vocis ἔτεϊ, sequenti neque Consonanti, neque Vocali Aspiratâ: Neque in his solet esse licentia. Ita tamen in omnibus legitur et hic et infrà τ', 484. φ', 208, ψ', 102. ώ, 321. ubi idem versus repetitur. Undè mirum videtur hujus versûs non meminisse *Athenæum* inter eos quos λαγαρεῖς appellat, sive ἐν μίσῃ χαλάσσοντα ἔχοντας. *Lib.* XIV. *cap.* 8. Vide ad *Il.* ά, 342. et ψ', 2.
Ver. 208. —— ἵλαν.] *Al.* ἵλη.

Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἡμὲν κυδῆναι θνητὸν βροτὸν, ἠδὲ κακῶσαι.
Ὣς ἄρα φωνήσας, κατ' ἄρ' ἕζετο· Τηλέμαχος δὲ
Ἀμφιχυθεὶς πατρὶ ἑσθλὸν ὀδύρετο, δάκρυα λείβων.
Ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὄρτο γόοιο·
Κλαῖον δὲ λιγέως, ἀδινώτερον ἢ τ' οἰωνοὶ
Φῆναι, ἢ αἰγυπιοὶ γαμψώνυχες, οἵσί τε τέκνα
Ἀγρόται ἐξείλοντο, πάρος πετεεινὰ γενέσθαι·
Ὣς ἄρα τοί γ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον.
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
Εἰ μὴ Τηλέμαχος προσφώνεεν ὃν πατέρ' αἶψα·
Ποίη γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω·

" Facile nempè diis, qui coelum latum habitant,
" Et illustrem facere mortalem hominem, et vilem reddere."
Sic utique locutus sedit: Telemachus verò
Circumfusus patrem bonum lugebat, lachrymas fundens.
Ambobus autem ipsis desiderium subortum est luctûs:
Flebant verò stridulè, abundantiùs quàm et aves
Aquilae, vel vultures unguibus-aduncis, quibus scilicet pullos
Rustici abstulerint, antequam volatiles facti sint:
Sic utique illi miserabilitèr sub superciliis lachrymam fundebant.
Et sanè lugentibus occidisset lumen solis,
Nisi Telemachus allocutus fuisset suum patrem statim:
" Quali enim jam huc, pater, navi te nautae
" Duxerunt in Ithacam? quosnam *se* esse profitebantur?
" Nequaquam enim te peditem puto huc venisse."
Hunc autem rursùs allocutus est patiens nobilis Ulysses:
" Equidem tibi, fili, veritatem enarrabo:

Ver. 211. 212. Ῥηΐδιον δὲ θεοῖσι, —— Ἡμὲν κυδῆναι, *&c.*] Ita apud *Hesiodum*:

Ῥεῖα μὲν γὰρ βριάει, ῥεῖα δὲ βριάοντα χαλίπτει.
Ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει—
Ζεὺς ὑψιβρεμέτης—. *Ἔργ. καὶ Ἡμερ.* I, 5. 6. 8.

Ver. 215. —— ὑφ' ἵμερος ὄρτο γόοιο·] Vide ad *Il.* ψ', 108.

Ver. 216. —— ἀδινώτερον, ἢ τ' οἰωνοί.]

Qualis populeâ mœrens Philomela sub umbrâ
Amissos queritur fœtus, quos durus arator
Observans nido implumes detraxit; at illa
Flet noctem, ramoque sedens miserabile carmen
Integrat, et mœstis latè loca questibus implet. *Virg. Georg.* IV, 511.

Ver. 217. —— οἵσί τε.] *Quibus scilicet* —.

Ver. 218. —— πετεεινὰ.] *Al.* πτερόεντα.

Ver. 219. —— ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον.] Τὸ δὲ " ἐλεεινὸν" ἀναμεμιχέναι δηλοῖ καὶ τῷ καθ' ἡδονὴν δακρύειν ἐλέου τινὰ, οἷα δὴ ἀνέμνησιν προϋπαρξάντων κακῶν. *Eustath.* Vide suprà ad ὁ. 399.

Ver. 220. Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο.]

Et fors omne datum traherent per talia tempus. *Æn.* VI, 537.

Vide et ad *Il.* ψ', 154.

Ver. 225. —— ὑχετόωντο.] *Al.* εὐχετόωντο.

Ver. 226. —— ἀληθείην.] Vide suprà ad ά, 297.

Φαίηκές μ' ἄγαγον ναυσίκλυτοι, οἵ τε καὶ ἄλλους
Ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται·
Καί μ' εὕδοντ' ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
Κάτθεσαν εἰς Ἰθάκην· ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
Χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν·
Καὶ τὰ μὲν ἐν σπῆεσσι θεῶν ἰότητι κέανται.
Νῦν δ' αὖ δεῦρ' ἰκόμην, ὑποθημοσύνῃσιν Ἀθήνης,
Ὄφρα κε δυσμενέεσσι φόνου περὶ βουλεύσωμεν.
Ἀλλ' ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
Ὄφρ' εἰδέω, ὅσσοι τε καὶ οἵτινες ἀνέρες εἰσί·
Καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίζας,
Φράσσομαι, εἴπεν νῶϊ δυνησόμεθ' ἀντιφέρεσθαι,
Μούνω ἄνευθ' ἄλλων, ἢ καὶ διζησόμεθ' ἄλλους.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὦ πάτερ, ἦτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
Χεῖράς τ' αἰχμητὴν ἔμεναι, καὶ ἐπίφρονα βουλήν·
Ἀλλὰ λίην μέγα εἶπες, ἄγη μ' ἔχει· οὐδέ κεν εἴη
Ἀνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μαχέσθαι.

" Phaeaces me duxerunt re-nauticâ-inclyti, qui utique et alios
" Homines deducunt, quicunque ipsis advenerit:
" Et me dormientem navi veloci super pontum vehentes
" Deposuerunt in Ithacam: dederunt autem mihi splendida dona,
" Aesque aurumque abundè, vestimentaque texta:
" Et haec quidem in speluncis deorum consilio jacent.
" Nunc autem demùm huc veni admonitionibus Minervae,
" Ut inimicorum de caede consultemus.
" Sed age mihi procos enumeratos recense,
" Ut sciam, quotque et quinam viri sint:
" Et meo in animo eximio habitâ-deliberatione,
" Considerem; an nos possimus adversari,
" Soli sine aliis, an et conquiremus alios."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" O pater, sanè tuam magnam gloriam semper audiebam,
" Manibusque *te* bellicosum esse, et prudentem consilio:
" Sed valdè magnum dixisti; stupor me tenet; neque esset-possibile,
" Viros duos cum multis et fortibus pugnare.

Ver. 228 et 475. —— *σφέας.*] Pronuntiabatur *σφᾶς*. Ultima enim vocis *σφέας* necessariò producitur. Similitèr infrà *ver.* 236. pronuntiabatur *εἰδῶ*. Vide ad Il. *β'*, 811.

Ver. 229. Καί *μ' εὕδοντ' ἐν νηΐ.*] Vide suprà ad *ν'*, 119.

Ver. 231. —— *ἐσθῆτά θ' ὑφαντήν.*] Sic apud *Virgilium*:

Textilibusque onerat donis ——.
Æn. III, 485.

Ver. 232. Καὶ τὰ μὲν *ἐν σπήεσσι.*] Vide suprà ad *ν'*, 367.

Ver. 233. —— *ὑποθημοσύνῃσιν Ἀθήνης.*] Vide suprà ad *ver.* 166. et *ν'*, 404.

Ver. 241. —— *σεῖο μέγα κλέος αἰὲν ἄκουον.*] Indicat Tempus istud *Imperfectum* "ἄκουον" famam atque laudes *Ulyssis perpetuò* celebrari solitas. Similitèr apud *Sophoclem* de *Achille* dicitur,

—— ἴσ', μετὰ ξώντων θ' ὡς θανὼν,
Ἥκω' ἄκουστα ——.
Philoctet. ver. 1305.

Vide ad *Ξ.* 4, 37. et *ν'*, 84.

Μνηστήρων δ' οὔτ' ἄρ δεκὰς ἀτρεκὴς, οὐδὲ δύ' οἷαι,
Ἀλλὰ πολὺ πλείονες· τάχα δ' εἴσαι ἐνθάδ' ἀριθμόν.
Ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
Κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
Ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι κοῦροι ἵασιν·
Ἐκ δὲ Ζακύνθου ἅσιν εἰκοσι φῶτες Ἀχαιῶν·
Ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
Καί σφιν ἅμ' ἐστὶ Μέδων κήρυξ, καὶ θεῖος ἀοιδὸς,
Καὶ δοιὼ θεράποντε δαήμονε δαιτροσυνάων.
Τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
Μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσαι ἐλθών.
Ἀλλὰ σύ γ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι,
Φράζευ· ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῷ.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Καὶ φράσαι, εἰ καὶ νῶϊν Ἀθήνη, σὺν Διῒ πατρὶ,

" Procorum autem neque sanè decas una, neque duae solae,
" Sed multò plures; citò autem scies hic numerum.
" Ex quidem Dulichio duo et quinquaginta
" Juvenes selecti, sex verò eos famuli comitantur;
" Ex Samo autem quatuorque et viginti juvenes sunt;
" Porrò ex Zacyntho sunt viginti viri Achivorum;
" Ex ipsâ verò Ithacâ duodecim omnes optimi;
" Et cum ipsis simul est Medon praeco, et divinus cantor,
" Et duo servi periti epulas-instruendi.
" His si omnibus nos-offeramus intùs existentibus,
" Vereor, nè perquàm-amarè et gravitèr eorum injurias ulciscaris reversus.
" Sed tu, si possis aliquem adjutorem excogitare,
" Considera, qui nobis auxilietur prompto animo."
Hunc autem rursùs allocutus est patiens nobilis Ulysses;
" Equidem tibi dicam; tu autem attende, et me audi,
" Et considera, an et nobis Minerva cum Jove patre

Ver. 245. —— οὐδὲ.] *Al.* οὔτε.

Ver. 247. Ἐκ μὲν Δουλιχίοιο &c.] Centum hîc et octo procos enumerat Poëta, cum Famulis octo, praeter Praeconem et Cantorem. Undè totus omnium numerus (uti notavit *Barnesius*) centum atque octodecim.

Ver. 249. 250. —— κοῦροι ἵανται, —— φῶτες Ἀχαιῶν.] MS. à *Tho. Bentleio* collatus, φῶτες ἵανται, —— κοῦροι Ἀχαιῶν. Quæ et verior videtur lectio. Nam "κοῦροι Ἀχαιῶν" saepè alibi apud Poëtam occurrit; "φῶτες Ἀχαιῶν" nè *semel* quidem.

Ver. 253. Καὶ δοιὼ θεράποντε δαήμονε δαιτροσυνάων.]

—— totidemque pares ætate ministri,
Qui dapibus mensas onerent, et pocula ponant. Æn. I, 705.

Ibid. —— δαιτροσυνάων.] Μαγειρικῶν ἔργων. *Schol.*

Ver. 255. Μὴ πολύπικρα καὶ αἰνὰ.] Πολὺ πικρὰς καὶ δεινὰς· λείπει δὲ, δείδω, ἢ τοιοῦτό τι. *Schol.* Similitèr *Eustathius*; "Ὁρᾷ δὲ τὸν Ἰλλικὸν ἐν τῷ, "Μὴ πολύπικρα" καὶ ἑξῆς. Λείπει γὰρ τὸ, "φοβοῦμαι," ἢ "φείσεται," ἢ "δέδοικα" καὶ," ἢ τὶ τοιοῦτον. Ita infrà σ', 333.

Μὴ τίς τοι τάχα Ἶφον ἀμείνων ἄλλος ἀνανεῖ.

Et *Iliad.* Σ', 95.

Μάτερ τοι φιόγγοντι ματαρξίνῳ ἐν δίφρῳ πάξῃ.

Vide et infrà ad *ver.* 381.

Ver. 260. —— εἰ καὶ νῶϊν.] Apud *Eustathium* in commentario εἴ κεν νῶϊν. Atque ita in pluribus codicibus reperit *Tho. Bentleius*. Quæ et proba lectio. Vide suprà *ver.* 238.

Ἀρκέσει, ἤ τιν' ἄλλον ἀμύντορα μερμηρίξω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἐσθλώ τοι τούτω γ' ἐπαμύντορε, τοὺς ἀγορεύεις,
Ὑψι περ ἐν νεφέεσσι καθημένω· ὥτε καὶ ἄλλοις
Ἀνδράσι τε κρατέουσι, καὶ ἀθανάτοισι θεοῖσι.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
Φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν
Ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
Ἀλλὰ σὺ μὲν νῦν ἔρχευ, ἅμ' ἠοῖ φαινομένηφιν,
Οἴκαδε, καὶ μνηστῆσιν ὑπερφιάλοισιν ὁμίλει·
Αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι.
Εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
Τετλάτω ἐν στήθεσσι, κακῶς πάσχοντος ἐμεῖο·
Ἤν περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε,
Ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι·

" Sufficiat, an aliquem alium adjutorem dispiciam."
Hunc autem rursùs Telemachus prudens contra allocutus est;
" Boni sanè isti sunt adjutores, quos memoras,
" Altè licèt in nubibus sedentes; qui utique et in alios
" Homines dominantur, et immortales deos."
Hunc autem rursùs allocutus est patiens nobilis Ulysses;
" Haud quidem illi multo tempore seorsùm aberunt
" A-pugnâ forti, quandò procis et nobis
" In aedibus meis robur decernatur Martis.
" Sed tu quidem nunc vade, simul atque aurora illuxerit,
" Domum, et cum procis superbis versare:
" At me ad urbem subulcus posteà ducet,
" Mendico miserò similem, et seni.
" Si autem me ignominiâ-afficiant in domo, tuum tamen charum cor
" Toleret in pectoribus, malè patiente me:
" Etiamsi vel per domum pedibus trahant foràs,
" Vel telis percutiant; tu tamen inspiciens, tolera;

Ver. 263. —— ἐπαμύντορε.] *Al.* ἐπ' ἀμύντορι.

Ver. 267. —— κείνω.] *Eustathius* in commentario citat κείνοι. Quod et ferri potest. Vide ad *Il. ά*, 566.

Ver. 269. —— κρίνηται.] Vide ad *Il. ά*, 309. 338.

Ver. 270. —— ἔρχευ.] *Al.* ἔρχου.

Ver. 273. —— γέροντι.] *Al.* γέροντα. Minùs rectè.

Ver. 274. —— σὸν δὲ φίλον κῆρ Τετλάτω.] Ὁ δὲ Ὀδυσσεὺς οὐ μόνον ἑαυτὸν ἀνέχει θυμούμενον, ἀλλὰ καὶ τὸν Τηλέμαχον ἐκ τοῦ λόγου σπεύδειν χαλινὸν ὄντα καὶ μισοπόνηρον, ἀμβλύνει καὶ παρασκευάζει κῴββωδον ἡσυχίαν ἄγειν, καὶ ἀνέχεσθαι πλείονα· " Εἰ δέ μ' ἀτιμήσουσι δόμον κατὰ, " σὸν δὲ φίλον κῆρ Τετλάτω &c." Ὥσπερ γὰρ τοὺς ἵππους οὐκ ἐν τοῖς δρόμοις χαλινοῦσιν, ἀλλὰ πρὸ τῶν δρόμων· οὕτω τοὺς δυσπαθήτους πρὸς τὰ δεινὰ καὶ θυμοειδεῖς προκαταλαμβάνοντες τοῖς λογισμοῖς καὶ προκαταστέλλοντες, ἐπὶ τοὺς ἀγῶνας ἄγουσιν. *Plutarch. de audiendis Poëtis.*

Ver. 276. —— ποδῶν ἕλκωσι.] Sic apud *Ciceronem*: " Per me ista *pedibus trahan-* " *tur.*" *Ad Atticum, lib.* IV. *Epist.* 16. Et *ad Familiares, lib.* VII. *Epist.* 32. " Tra- " *hantur* per me *pedibus* omnes rei."

Ἀλλ' ἦτοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
Μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὐχὶ
Πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Ὁππότε κεν πολύβουλος ἐνὶ φρεσὶ θήσει Ἀθήνη,
Νεύσω μέν τοι ἐγὼ κεφαλῇ· σὺ δ' ἔπειτα νοήσας,
Ὅσσα τοι ἐν μεγάροισιν ἀρήϊα τεύχεα κεῖται,
Ἐς μυχὸν ὑψηλοῦ θαλάμου καταθεῖναι ἀείρας
Πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
Παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
Ἔκ καπνοῦ κατέθηκ'· ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,
Οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
Ἀλλὰ κατηκίσται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
Πρὸς δ' ἔτι μοι τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
Μήπως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,

" At sanè cessare jube ab insipientia,
" Lenibus verbis compellans: illi verò tibi non
" Parebunt; jam enim ipsis adest fatalis dies.
" Aliud autem tibi dicam, tu verò in animo repone tuo:
" Quando abundans-consiliis in mente *mihi* ponat Minerva,
" Innuam quidem tibi ego capite; tu autem deindè cùm-intellexeris,
" Quaecunque tibi in aedibus martia arma jacent,
" In secessum alti thalami depone sublata
" Omnia prorsùs: at procos blandis verbis
" Palpare, quandò te percontentur *arma* desiderantes;
" *Dicens*, Ex fumo deposui; quoniam non ampliùs illis similia sunt,
" Qualia quondam ad Trojam proficiscens reliquit Ulysses;
" Sed foedata sunt, quantum ignis attigit vapor.
" Insuper autem mihi hoc majus in mente posuit Saturnius,
" Nè fortè vino-gravati, contentione concitatâ inter vos,

Ver. 279. ——— οὐχὶ.] *Al.* οὔτι.
Ver. 280. —— δὴ γάρ σφι.] *Al.* ἦ γάρ σφι.
Ver. 282. Ὁσσάτι κεν] *Al.* Ὁσσάτι ἄν.
Ibid. —— πολύβουλος ἐνὶ φρεσὶ θήσει Ἀθήνη.] Τὸ δὲ " πολύβουλος ἐνὶ Ἀθήνη" πάνυ συντελεῖ πρὸς τὸ ἀλληγορικῶς Ἀθηνᾶν τὴν φρόνησιν λέγεσθαι. *Eustath.* Vide suprà ad *ver.* 166.
Ver. 284. Ὅσσα τοι ἐν μεγάροισιν ἀρήϊα τεύχεα κεῖται &c.] Cùm consilium hoc repetat *Ulysses* infrà σ', 4. &c. Veteres, notante *Eustathio*, hoc in loco versus octodecim à *ver.* 281. ad *ver.* 299. repudiarunt. Ἰστέον δὲ καὶ ὅτι ἡ περὶ τῶν ὅπλων ἐνταῦθα παραγγελία τῇ τῆς τ' μάλιστα μᾳψῳδίᾳ φαίνεται κατὰ τοὺς Παλαιούς. Ἀθ. γάρ, ὀβελίζονται, φασί, τὰ τοιαῦτα ἔπη, μετὰ καὶ ἄλλοι Ὀδυσσεὺς τὰ ὅπλα. Νῦν γάρ, φασὶν, ἐν ἄγροις ὢν, πῶς εἶδέν ἔνι περίκειμενα κεῖνται ὅπλα ἐν τῇ οἰκίᾳ; *Eustath. Barnesius* autem in annotationibus ad σ', 4. (quocum facit et Dna. *Dacier*,) versus hosce hoc in loco aequè necessarios contendit: " Non " enim *Ulysses*," inquit, " ex praesentibus " tantùm prudens erat, sed longè antè pro- " spexit futura; et absens etiam sciebat, " quae Arma in suâ essent domo, et ubi- " nam. Quare utrinque *Asterisci* debent " appingi sine Obelo: utrobique enim non " sine singulari Artificio à Poëtâ consum- " matissimo ponuntur." Ita ille. Attamen neque consilio huic de Procorum caede, quod ultimum erat *Ulyssi* opus exequendum, adhuc videtur tempus; neque in ipsâ actione observata memorantur haec omnia praecepta. Vide infrà ad *ver.* 295.
Ver. 287. ——— ὅτι κέν σε μεταλλῶσιν.] *Eustathius* in commentario videtur legisse ὅπως σε μεταλλῶσιν.
Ver. 291. Πρὸς δ' ἔτι μοι τόδε μεῖζον.] *Al.* Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον. Ut infrà σ', 10.
Ver. 292. Μήπως οἰνοθέντες, ἔριν στήσαντες.] Sic apud *Anacreontem*:

Ἄγε δῶτε μηκέτ' οὕτω
Πατάγῳ τε κἀλαλητῷ

Ἀλλήλους τρώσητε, καταισχύνητέ τε δαῖτα,
Καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Νῶϊν δ' οἷοισιν δύο φάσγανα καὶ δύο δοῦρε
Καλλιπέειν, καὶ δοιὰ βοάγρια χερσὶν ἑλίσθαι·
Ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ' ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξει καὶ μητίετα Ζεύς.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Εἰ ἐτεόν γ' ἐμὸς ἐσσί, καὶ αἵματος ἡμετέροιο,
Μή τις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος,

" Vos invicem vulneretis, foedetisque convivium,
" Et nuptiarum-ambitum: ipsum enim allicit virum ferrum.
" Nobis verò solis duos enses, et duas hastas
" Relinque, et duo scuta manibus sumenda;
" Ut impetu-facto capiamus: illos autem posteà
" Pallas Minerva debilitabit, et providus Jupiter.
" Aliud autem tibi dicam, tu verò in mente repone tuâ;
" Si verè utique meus es, et sanguinis nostri,
" Nè quis posteà Ulyssem audiat intùs esse,

Σκυθικὴν τέρψιν παρ' ἄλην
Μαιώτιδα ——. *Od.* LVII. *ver.* 921.

Et apud *Horatium;*

Natis in usum lætitiæ scyphis
Pugnare, Thracum est. Tollite barbarum
Morem, verecundumque Bacchum
Sanguineis prohibete rixis.
Carm. lib. I. *Od.* xxvii. *ver.* 1.

Ver. 294. —— Αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.] Πρόχυσίς γὰρ ἀπὸ τρυὸς φόνου, παραπλησίως σιδήρου. *Schol.* Ἵνα ὥσπερ σίδηρον ὁ μαγνῆτις, οὕτως αὐτὸς ἐπάγηται τὸν θυμούμενον· καὶ ἀληθῶς, ὅπλοις ἀχθησόμενον θυμῷ, κατὰ τὸν εἰπόντα, πᾶν τὸ παραπτυχόν. *Eustath.* Ita apud *Tacitum:* " Et visa inter temulentos " Arma cupidinem sui movere." *Histor. lib.* I. § 80. Τὸ δὲ ἐπιφώνημα καλούμενον δεῖξαι ἂν τις, λέξιν ἐπικοσμοῦσαν. Ἔστι δὲ τὸ μεγαλοφρονέστατον ἐν τοῖς λόγοις. —— Οἷον· " Ἐκ παντὸς πατάξω" &c." Εἶτα ἐπιφωνεῖ, Αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος." *Demetr. Phaler.* περὶ Ἑρμηνείας, § 106. 107. Porrò hinc apud *Erasmum*, Proverbium, " *Ferrum* " *virum attrahit.*" *Adag. Select. de Illecebris malis.*

Ver. 295. 296. Νῶϊν δ' οἷοιν δύο φάσγανα &c.] Οὐ γὰρ συνῆδει Ὀδυσεὺς τῶν εἰ καὶ ἄλλων ὅπλων ἀνήκοντα ἐπίκοινα τῶν δύο φασγάνων καὶ δύο δοράτων καὶ δύο βοαγρίων, Ὅτι αὐτῷ τε προσπαγήσονται καὶ οἱ δύο δοῦλοι ἐπαμύνοντες, τότε δυσὶν ἐπιθοῖντο ἐπιφορήσουσι καὶ ἑτέρων ὅπλων ὡς τὸ σῶμα δίδωσι. *Eustath.* Notandum tamen, infrà σ', 4. &c. ubi eandem orationem repetit *Ulysses*, versus hosce quatuor non itidem occurrere. Neque, cùm consilium hoc de armis auferendis exequantur *Ulysses* et *Telemachus*, (*ver.* 31. ejusdem libri); ulla relinquunt. Quin et infrà χ', 109. non duobus adjutoribus solummodò, sed sibi ipsi etiam patrique, omnibus simul, arma è thalamo asportàsse memoratur *Telemachus.* Undè probabilior videtur eorum conjectura, qui totum hunc locum repudiârunt. Vide suprà ad *ver.* 284.

Ver. 297. Ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα.] Versio *Wetsteniana* pessimè hoc reddit, " *Ut* " *factâ re diviná sumamus.*" Nec meliùs Dna *Dacier;* " *Dont nous nous servirons,* " *quand nous voudrons les immoler.*" Et in annotationibus: " Au lieu de ἐπιθύσαντες," inquit, " je crois qu' Homére avoit écrit " ἐπιθύσοντες· car il me semble que le sens " demande un futur; à moins qu'on expli- " que cet ἐπιθύσαντες, *quand la fureur se se-* " *ra emparée de notre esprit.*" Mirè admodùm: Nam vox ἐπιθύω alibi apud *Homerum*, " *Impetum facere;*" sive, " *Impetu dato ir-* " *ruere,*" significat:

Οἱ δὲ ἐφέσαντας περὶ Ἴλιον ἠγερέθοντο
Τεῦκροι ἐπιθύοντι ——. *Iliad.* σ', 174.

Ubi ipsa Versio *Wetsteniana* rectè interpretatur, " *Trojani rectà irruunt.*" Porrò composita (ut opinor) vox ἐπιθύω, non ex ἐπὶ et θύω, sed ex ἐπὶ et ἰθύω. Quâ ratione etiam ex analogiâ antepenultimam rectissimè producet. Vide *Iliad.* ί, 281. 353. 661.

Ver. 300. —— καὶ αἵματος ἡμετέροιο.] Apud *Dionysium Halicarnassensem*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 18. ἐμοὶ δὲ σὺ γένοιο μάτης· Notante *Barnesio.*

Μήτ' οὖν Λάερτης ἵστω τόγε, μήτε συβώτης,
Μήτε τις οἰκήων, μήτ' αὐτὴ Πηνελόπεια·
Ἀλλ' οἷοι σύ τ', ἐγώ τε, γυναικῶν γνώομεν ἰθύν·
Καί κε τέο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
Ἠμὲν ὅπου τις νὼ τίει καὶ δείδιε θυμῷ,
Ἠδ' ὅτις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾷ τοῖον ἐόντα.
Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός·
Ὦ πάτερ, ἦτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ' ὀΐω
Γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ' ἔχουσιν·
Ἀλλ' οὗτοι τόδε κέρδος ἐγὼν ἔσσεσθαι ὀΐω
Ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
Δηθὰ γὰρ αὖτως εἶσῃ ἑκάστου πειρητίζων,
Ἔργα μετερχόμενος· τοὶ δ' ἐν μεγάροισιν ἔκηλοι
Χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔτι φειδώ.
Ἀλλ' ἦτοί σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
Αἵ τέ σ' ἀτιμάζουσι, καὶ αἵ νηλητεῖς εἰσιν·
Ἀνδρῶν δ' οὐκ ἂν ἔγωγε κατὰ σταθμοὺς ἐθέλοιμι

" Nè quidem Laërtes sciat hoc, neque subulcus,
" Neque quisquam domesticorum, neque ipsa Penelope:
" Sed soli tuque, egoque, mulierum cognoscamus ingenium:
" Et aliquem famulorum virorum etiam tentemus;
" Tam ubi aliquis nos honoret et timeat animo,
" Quàm qui non curet, teque parùm-honoret talem existentem."
Hunc autem respondens allocutus est illustris filius;
" O pater, sanè meum animum et posteà puto
" Cognosces; nequaquam enim animi-remissio me tenet:
" Sed neutiquam hoc emolumento ego fore puto
" Nobis ambobus; te verò considerare jubeo.
" Diù enim incassùm vagaberis unumquemque tentans,
" Opera adiens; illi autem in aedibus quieti
" Opes devorant praeter-modum, neque superest parsimonia.
" Sed sanè te mulieres ego explorare hortor.
" Quaeque te parùm-honorent, et quae inculpatae sint:
" Viros autem non ego per stabula vellem

Ver. 302. Μήτ' οὖν Λαέρτης ἵστω τόγε.] Apud *Dionysium*, *ibid.* Μήτε τι Λαέρτης ἵστω τόδε.

Ver. 305. —— πειρηθεῖμεν.] *Al.* πειρηθῶμεν, et πειρηθῆμεν.

Ver. 306. —— τίει.] Vide ad *Il.* ν', 103. et ὁ, 24.

Ver. 310. —— γέ μ' ἔχουσιν.] Apud *Eustathium* in commentario, με ἔχουσιν. *Al.* μέ σ' ἔχουσιν.

Ver. 313. Δηθὰ γὰρ αὖτως εἶσῃ.] Ἀκριβῶς λεγὲ τὸ πειρᾶσθαί σε τῶν ἀνδρῶν, ὧν οἱ πλείονες ἔξω τῆς νόσου περὶ τὴν ἥττωσιν. Ἐν ὅσῳ γὰρ αὐτὸς μετέρχῃ τὰ ἐκείνου ἔργα, ἐν τοσούτῳ οἱ μνηστῆρες τὰ σὰ' οἶκον ἀπανώσουσι. *Eustath.*

Ver. 315. —— οὐδ' ἔτι φειδώ.] *Al.* οὐδέ τι φειδώ· et οὐδ' ἔτι φειδώ.

Ver. 317. Αἵ τέ σ' ἀτιμάζουσι.] *Al.* Αἵ σέ σ' ἀτιμάζουσι. Minùs rectè.

Ibid. —— νηλητεῖς.] Σημαίνει τοὺς [fortè τοὺς οὐχ] ἁμαρτωλούς· —— γίνεται δὲ παρὰ τοῦ "νη" στερητικοῦ μορίου, καὶ τοῦ ἀλιτεῖν, ὃ σημαίνει τὸ ἁμαρτεῖν. Καὶ διὰ τοῦτο τοῦ ἀλιτεῖν διὰ τοῦ "ι" γραφομένου, τὸ νηλητὴς γράφεται διὰ τοῦ "η" ὅτι οἱ Αἰολεῖς ἔτρεπον τὸ "ι" εἰς "η." *Schol.* Atque hinc edidit *Barnesius* νηλητεῖς, cùm Vulgati habeant νηλητεῖς· quam vox ex analogiâ *mediam* debet corripere. Vide supra ad ὁ', 378. ad ἑ, 108. et ad *Il.* ἑ, 375.

Ἡμίας πειράζειν, ἀλλ' ὕστερα ταῦτα τίνεσθαι,
Εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας Αἰγιόχοιο.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἡ δ' ἄρ' ἔπειτ' Ἰθάκηνδε κατήγετο νηῦς ἐυεργὴς,
Ἣ φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους·
Οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,
Τεύχεα δέ σφ' ἀπέπεινα ὑπέρθυμοι θεράποντες·
Αὐτίκα δ' εἰς Κλυτίοιο φέρον περικαλλέα δῶρα.
Αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσῆος,
Ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
Οὕνεκα Τηλέμαχος μὲν ἐπ' ἀγροῦ, νῆα δ' ἀνώγει
Ἄστυδ' ἀποπλείειν· ἵνα μὴ δείσασ' ἐνὶ θυμῷ
Ἰφθίμη βασίλεια τέρεν κατὰ δάκρυον εἴβοι.
Τὼ δὲ συναντήτην κήρυξ καὶ δῖος ὑφορβὸς,
Τῆς αὐτῆς ἕνεκ' ἀγγελίης, ἐρέοντε γυναικί.
Ἀλλ' ὅτε δή ῥ' ἵκοντο δόμον θείου βασιλῆος,
Κήρυξ μέν ῥα μέσῃσι μετὰ δμωῇσιν ἔειπεν·
Ἤδη τοι, βασίλεια, φίλος πάϊς εἰλήλουθε.
Πηνελοπείη δ' εἶπε συβώτης ἄγχι παραστὰς

" Nos explorare, sed postèà haec curare,
" Si modò verè aliquod nòsti Jovis signum Aegiochi."
Sic hi quidem talia inter se loquebantur.
Ast deindè in Ithacam deducebatur navis benè-fabricata,
Quae tulerat Telemachum à-Pylo, et omnes socios:
Hi verò quandò jam portum valdè-profundum intràssent,
Navem quidem ii nigram in terram traxerunt;
Arma autem ipsis avexerunt magnanimi servi:
Statimque ad Clytii *domum* ferebant perpulchra dona.
At praeconem praemiserunt domum ad Ulyssis,
Nuncium dicturum prudenti Penelopae,
Quòd Telemachus quidem in agro, navem autem jusserat
Ad-urbem indè-navigare; ut nè verita in animo
Potens regina teneras lachrymas funderet.
Occurrerunt autem sibi-invicem praeco et nobilis subulcus,
Ejusdem gratiâ nuncii, dicturi mulieri.
Sed quandò jam pervenissent *in* domum divini regis,
Praeco quidem mediis in ancillis dixit;
" Jam tibi, regina, dilectus filius venit."
Penelopae autem dixit subulcus propè astans

Ver. 320. Εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας.] Ἐξ οὗ δηλαδὴ ἐρωώμενος ἔφης ἀφίντερα τὸν Δία ἡμῖν ἔσεσθαι, *Eustath.*

Ibid. —— Αἰγιόχοιο.] Vide ad *Il.* ά, 202.

Ver. 322. —— ἄρ'.] *Ut suprà dictum est* ——, ά, 552.

Ver. 325. et 359. —— ἐπ' ἠπείροιο ἔρυσσαν.] Vide suprà ad ά, 496.

Ver. 332. —— εἶπε.] *Al.* εἶπεν.

Ver. 337. —— φίλος πάϊς εἰλήλουθε.] *Al.* φίλος πάϊς ἐκ Πύλου ἦλθεν.

Ibid. et *ver.* 346. —— εἰλήλουθε —— στείλασκε.] Vide ad *Il.* ά, 37. Cæterùm *Barnesius* inter Varias lectiones retulit εἰληλούθει. Sed præstat hìc εἰλήλουθε.

Πάνθ', ὅσα οἱ φίλος υἱὸς ἀνώγει μυθήσασθαι.
Αὐτὰρ ἐπειδὴ πᾶσαν ἐφημοσύνην ἀπέειπε,
Βῆ ῥ' ἴμεναι μετ' ὄας, λίπε δ' ἕρκεά τε, μέγαρόν τε.
Μνηστῆρες δ' ἀπάχοντο, κατήφησάν τ' ἐνὶ θυμῷ·
Ἐκ δ' ἦλθον μέγαροιο παρὲκ μέγα τειχίον αὐλῆς,
Αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο·
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν·
Ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται
Τηλεμάχῳ, ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
Ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν, ἥτις ἀρίστη·
Ἐς δ' ἐρέτας ἁλιῆας ἀγειρόμεν, οἵ κε τάχιστα
Κείνοις ἀγγείλωσι θοῶς οἰκόνδε νέεσθαι.
Οὔπω πᾶν εἰρηθ', ὅτ' ἄρ' Ἀμφίνομος ἴδε νῆα,
Στρεφθεὶς ἐκ χώρης, λιμένος πολυζείνοιο ἐντός,
Ἱστία τε στέλλοντας, ἐρετμά τε χερσὶν ἔχοντας.
Ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεεν οἷς ἑτάροισι·
Μή τίν' ἔτ' ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον·
Ἦ τίς σφιν τόδ' ἔειπε θεῶν, ἢ εἶσιδον αὐτοὶ
Νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχῆναι.

Omnia, quaecunque ei dilectus filius *ipsum* jusserat loqui.
At postquam omne praeceptum renunciâsset,
Perrexit ire ad sues; liquit autem septaque, domumque.
Proci verò tristati sunt, doluerunt que in animo;
Exiverunt autem domo præter magnum murum atrii,
Et illic ante januas sedebant:
His verò Eurymachus, Polybi filius, incipiebat loqui;
" O amici, certè magnum opus superbè perfectum est
" Telemacho, iter hoc: putabamus autem ei non perfectum iri.
" Sed agite, navem nigram trahamus, quaecunque optima;
" Inque *eam* remiges marinos congregemus, qui citissimè
" Illis nuncient ocyùs ut domum redeant."
Nondum totum dictum erat, quandò Amphinomus vidit navem,
Versus ex loco, portum profundum intrà,
Velaque contrahentes, remosque manibus tenentes.
Suavitèr autem ridens locutus est inter suos socios;
" Nè quem nuncium jubeamus *ire*; hi enim intus:
" Vel aliquis eis hoc dixit deorum, vel viderunt ipsi
" Navem praeternavigantem, eam autem non potuerunt assequi."

Ver. 346. —— τετέλεσται.] *Al.* τετέλεσθαι. Uti et in omnibus legitur suprà ν', 663. ubi idem ferè versus occurrit.

Ver. 347. —— φάμεν δέ οἱ οὐ τελέεσθαι.] Ita Editio *Florentina* et *Henricus Stephanus*, eosque secutus *Barnesius*. Rectè: Ita enim in omnibus legitur suprà ν'. 664. ubi idem versus occurrit. Editionum veterum nonnullæ hîc legunt φαμὲν δέ μιν μὴ τελέεσθαι· Pessimè: non modò ad prosodiam, sed et ad sententiam; nam vox τελέεσθαι semper apud Poëtam sensu passivo usurpatur. Vide *Iliad.* β', 36. *Odyss.* ά, 201. γ', 226. χ', 215.

Ver. 354. —— μετεφώνεεν οἷς ἑτάροισι.] *Al.* προσεφώνεεν οἷς ἑτάροισι. *Al.* μετεφώνει μετοπίσσω.

Ver. 357. κιχῆναι.] *Al.* κιχῆσαι.

Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν ἐπὶ δῖνα θαλάσσης·
Αἶψα δὲ νῆα μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,
Τεύχεα δέ σφ' ἀπίνεικαν ὑπερθύμοι θεράποντες.
Αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, οὐδέ τιν' ἄλλων
Εἴων, οὔτε νέων μεταΐζειν, οὔτε γερόντων.
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Ὤ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν·
Ἤματα μὲν σκοποὶ ἧζον ἐπ' ἄκρειας ἠεμοίσσας
Αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίῳ καταδύντι,
Οὔποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἐνὶ πόντῳ
Νηῒ θοῇ πλείοντες ἰμείρομεν ἠῶ δῖαν,
Τηλέμαχον λοχόωντες, ἵνα φθίσωμεν ἑλόντες
Αὐτόν· τὸν δ' ἄρα τίως μὲν ἀπήγαγεν οἴκαδε δαίμων·
Ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον
Τηλεμάχῳ· μηδ' ἡμᾶς ὑπεκφύγοι· οὐ γὰρ ὀΐω,
Τούτου γε ζώοντος, ἀνύσσεσθαι τάδε ἔργα.
Αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῇ τε νόῳ τε·

Sic dixit: illi autem ubi-surrexissent, iverunt ad littus maris:
Statim verò navem nigram in terram traxerunt:
Arma autem ipsis avexerunt magnanimi servi.
Ipsi verò in concilium iverunt conferti, neque quenquam aliorum
Sinebant, neque juvenum unà-considere, neque senum,
Inter hos autem Antinöus locutus est Eupithei filius;
" Papae! ut hunc virum dii malo liberârunt!
" Die quidem speculatores sedebant in cacuminibus ventosis
" Semper post-alios-alii; simul autem cum sole occidente,
" Nunquam in terrâ noctem peregimus, sed in ponto
" Navi veloci navigantes, expectabamus auroram divinam,
" Telemacho insidiantes, ut interficeremus captum
" Ipsum: hunc autem tunc quidem abduxit domum deus;
" Nos verò hîc ei consultemus gravem mortem
" Telemacho, neque nos subterfugiat: non enim puto,
" Eo utique vivente, perfectum iri haec opera:
" Ipse etenim peritus consilioque menteque;

Ver. 361. —— *οἶδέ τιν' ἄλλων.*] MS. à *Tho. Bentleio* collatus, *οἶδέ τιν' ἄλλον.* Atque ita in commentario citat *Eustathius.*

Ver. 365. —— *ἐπ' ἄκρειας.*] Ἐπὶ τὰ ὑψηλότατα μέρη τῶν ἰερῶν. *Schol.*

Ver. 369. —— *φθίσωμεν.*] Vide ad *Il. ν*, 339.

Ver. 370. —— *τὸν δ' ἄρα τίως μὲν ἀπήγαγεν οἶκαδε δαίμων.*] Ὅτι Ἀντίνοος μηδὲν πανὸ Τηλεμάχου ἀνύσας τῷ λοχᾷν, καὶ ὅμως ἐκεῖνον σπουδῶν ὡς οὐ φαύλως λοχαγήσαντα εἰ καὶ ἐντυχῶς ἀπέλαβεν ὁ Τηλέμαχος,—δημηγορεῖ πρὸς τοὺς μνηστῆρας, ὡς "τίως μὲν ἀπήγαγεν αὐτὸν "οἶκαδε θεός." *Eustath.* Porrò MS. à *Tho. Bentleio* collatus hîc legit *τίως ἀπήγαγεν*, omissâ voculâ *μὲν.* Quod et ferri posset: Eâdem scilicèt ratione ac ἴσῃ ἴσῃσι, suprà *ι*, 233. ἴσος ἴσοισι, *ι*, 109. *&c.*

Ver. 372. —— *μηδ' ἡμᾶς ὑπεκφύγοι.*] Ita edidit *Barnesius*; nè syllaba videlicèt circumflexa corripiatur. " Mutari accentum," inquit *Henricus Stephanus* in annotationibus ad hunc locum, " necesse est, quum *a* cor- " ripiatur, et legere ἡμὰς, vel potiùs ἡμασ- " ut infrà habes ἧμιν, [*β'*, 376.] — ἢ οὐχ " ἅλις ἧμιν ἀλάλησθαι ἔνθ' καὶ ἄλλοι;" Vide suprà ad *γ'*, 569. et infrà ad *ο*, 272. Vulgati hîc habent ἡμᾶς.

Λαοὶ δ' οὐκ ἔτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
Ἀλλ' ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς,
Εἰς ἀγορήν· οὐ γάρ τι μεθησέμεναί μιν ὀΐω,
Ἀλλ' ἀπομηνίσει, ἐρέει δ' ἐν πᾶσιν ἀναστὰς,
Οὕνεκα οἱ φόνον αἰτὺν ἐράπτομεν, οὐδ' ἐπίχημεν·
Οἱ δ' οὐκ αἰνήσουσιν ἀπούοντες κακὰ ἔργα·
Μή τι κακὸν ῥέξωσι, καὶ ἡμέας ἐξελάσωσι
Γαίης ἡμετέρης, ἄλλοι δ' ἀφιχώμεθα δῆμον.
Ἀλλὰ φθέωμεν ἐλόντες ἐπ' ἀγροῦ νόσφι πόληος,
Ἢ ἐν ὁδῷ· βίοτον δ' αὐτοὶ καὶ κτήματ' ἔχωμεν,
Δασσάμενοι κατὰ μοῖραν ἐφ' ἡμέας, οἰκία δ' αὖτε
Κείνου μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅς τις ὀτυίοι.
Εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βούλεσθε
Αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα,
Μή οἱ χρήματ' ἔπειτα ἄλις θυμηδὲ' ἔδωμεν

" Populi autem non ampliùs omninò nobis favent.
" Sed agite, antequam ille congregârit Achivos
" In concionem; nequaquam enim remissè-acturum ipsum puto,
" Sed irascetur, dicetque inter omnes, cùm-surrexerit,
" Quòd ei caedem gravem struebamus, neque assecuti-sumus:
" Illi autem non laudabunt audientes mala opera:
" Metuendum, Nè quod malum faciant, et nos expellant
" Terrâ nostrâ, alium autem adeamus populum.
" Verùm praevertamus interficiendo in agro procul ab urbe,
" Vel in via; victum autem ipsi, et possessiones habeamus,
" Ubi-diviserimus aequalitèr inter nos: aedes autem demùm
" Illius matri dederimus habendas, et *ei* quicumque *eam* duxerit uxorem.
" Sin vobis hic sermo non placet, sed mavultis
" Ipsumque vivere et habere paterna omnia,
" Nè ei deinceps opes affatim animo-gratas comedamus

Ver. 375. —— ἐφ' ἡμῖν ἦρα φέρουσιν.] Vide suprà ad γ', 164.

Ver. 376. Ἀλλ' ἄγιτε, πρὶν κεῖνον.] Vide infrà ad *ver.* 381.

Ibid. —— ὁμηγυρίσασθαι.] Vide ad *Il.* ά, 140.

Ver. 378. —— ἀπομηνίσει.] *Barnesius* aliique vertunt, " *ad iracundiam excitabit.*" Sed rectiùs interpretatur *Scholiastes*, ἐργισθήσεται· ut liquet ex aliis locis ubi eadem vox occurrit. Vide *Iliad.* β', 772. ά, 230. ί, 426. σ', 62.

Ver. 381. Μή τι κακὸν ῥέξωσι.] Τὸ δὲ " μήτι κακὸν ῥέξωσι" ἰλλιτιστικῶς ἔχει λείπει γὰρ τὸ " δὸ δίδοικα" ἢ ἄλλο τι ὅμοιον. Θυμοῦ δὲ σχῆμα τοῦ παλαιοῦ μὴ ἰόντος ἐπὶ τῶν ἀντλαττόντων. Ὅπερ τὶ καὶ τὸ, [suprà *ver.* 376.] " Ἀλλ' " ἄγιτε, πρὶν κεῖνον ὁμηγυρίσασθαι τὶς ἀγορὴν " Ἀχαιούς." Ἐν γὰρ τῷ, " ἄγιτε," λείπει βῆμα πλεονασμόν· οἷον τὸ " ἀλαθεύσωμεν" ἢ " δείλαμεν" ἢ ἐντελῶν τὸ τοιοῦτον. *Eustath.* Vide suprà ad *ver.* 255.

Ver. 382. —— ἄλλοι.] Apud *Eustathium* in commentario, ἄλλοι.

Ver. 387. Εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βούλεσθε.] Ita Editi omnes. Quod tamen nullâ ratione excusari potest. Nam ut hujusmodi syllabæ *naturâ longæ* corripiantur, licentia (ut opinor) nec Comœdis concessa. *Barnesius* pro βούλεσθε, Veteres βόλεσθε scripsisse contendit: et indè, ab obsoleto βούλω pro βούλομαι, fieri βόλω, undè *Latinum* Volo. Nullâ tamen allatâ auctoritate. At vir eruditus *Tho. Bentleius* in uno MS. βόλιεθε, in duobus βόλεσθαι scriptum reperit. Vide et *Athenæum*, *lib.* XI. *cap.* 5. ipso initio. Notandum porrò vocem ἀλλὰ hoc in loco non rectè se habere. Nam, uti observat *Eustathius*, Τὸ " Εἰ δ' ὑμῖν ὅδε μῦθος " ἀφανδάνει, ἀλλὰ βούλεσθε Αὐτόν ζῆν" ἄρσεως τινὸς λείπεται· οἷον, εἰ δὲ ἀφανδάνει, καὶ οὐ δοκεῖ καλὸν ὁ φόνος, ἀλλὰ βούλεσθε αὐτὸν ζῆν. Undè magis verisimile mendosi hic aliquid latere.

Ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ἐπ μεγάροιο ἕκαστος
Μνάσθω ἐεδνοισιν διζήμενος· ἡ δ' ἂν ἔπειτα
Γήμαιθ', ὅς κεν πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν·
Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·
Ὃς ῥ' ἐκ Δουλιχίου πολυπύρου, ποιήεντος,
Ἡγεῖτο μνηστῆρσι· μάλιστα δὲ Πηνελοπείῃ
Ἥνδανε μύθοισι· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν·
Ὃς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ὦ φίλοι, οὐκ ἂν ἔγωγε καταπτείνειν ἐθέλοιμι
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλήϊόν ἐστί
Κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς·
Εἰ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο Θέμιστες,

" Hìc congregati, sed ex domo unusquisque
" Ambiat *eam* sponsaliis petens; illa verò deindè
" Nupserit ei, qui plurima dederit, et fatalis venerit."
Sic dixit: hi autem omnes muti facti sunt silentio.
His verò Amphinomus concionatus est et dixit;
Nisi illustris filius, Aretiadae regis,
Qui scilicèt ex Dulichio tritici-feraci, herboso,
Dux-erat procis: maximè autem Penelopae
Placebat verbis; mente enim utebatur bonâ:
Qui ipsis prudens concionatus est, et dixit;
" O amici, non ego interficere vellem
" Telemachum; grave enim genus regium est
Undique rotundum; frigida autem defluebat aqua
Altè ex petrâ: ara autem suprà facta erat
Nympharum, ubi omnes sacra-faciebant viatores:
Illic in ipsos incidit filius Dolii Melantheus,
Capras agens, quæ omnibus antecellebant gregibus,
Coenam procis; duo autem unà sequebantur pastores.
Illos autem conspicatus increpuit, verbumque dixit et compellavit
Vehementèr et indignè; (commovebat autem cor Ulyssis:)
" Nunc quidem omninò malus malum ducit:
" Adeò semper similem ducit deus ad similem.

Ver. 206. —— καλλίρροον.] *Al.* καλλίῤῥοον. Quæ si vera lectio, pronuntiandum καλλίῤῥοον· uti et notavit *Barnesius.*

Ver. 207. —— "Ἰθακος, καὶ Νήριτος.] Πτερελάου παῖδες, "Ἰθακος καὶ Νήριτος, ἀπὸ Διὸς ἔχοντες τὸ γένος, ἔφυον τὴν Κεφαλληνίαν ἀρέσαν δὲ αὐτοῖς τοῦτο, καταλιπόντες τὰ σφέτερα ἤθη, παραγίνονται εἰς τὴν Ἰθάκην· καὶ τότε βουλόμενοι τὸ ψυχικὸν εἰς συνοικισμὸν, διὰ τὸ τῶν παραστιδίων ὑψηλότερον εἶναι, καὶ κατοικήσαντες διῆρε, τὴν Ἰθάκην ἔκτισαν· καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος ἐκαλέσθη Ἰθάκη· τὸ δὲ παρασιμώνιον ἔχει ἐκ τοῦ Νηρίτου Νήριτον. Ἡ δὲ ἱστορία παρὰ Ἀλεξιλάῳ. *Schol.*

Ver. 208. —— αἰγείρων ὑδατοτρεφέων.]

Populus in fluviis ——.
Virgil. Eclog. VII, 66.

Ibid. —— ἦν.] *Al.* ἦεν.

Ver. 210. —— ἐφύτερθε.] *Al.* ἐφ' ὕπερθε.

Ver. 211. —— ἐπιῤῥέζεσκον.] *Al.* ἐπιῤῥίζεσκον et ἐπὶ ῥίζεσκον. Quæ omnia eodem modo pronuntianda. Vide et ad *Il.* β', 221.

Ver. 212. —— σφέας.] *Al.* σφᾶς.

Ver. 218. Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.] Πέντων γὰρ ἐστὶν ἡ φιλία ἐν τοῖς ὁμοίοις, ὥσπερ δοκεῖ καὶ λέγεται· Καὶ γὰρ πολοὶς, φασὶ, παρὰ πολοὺς ἵζανε· καὶ, " Αἰεί τοι τὸν " ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον." *Aristot. Ethic. Magn. lib.* II. *cap.* 11. Et *Rhetoric. lib.* I. *cap.* 8. Καὶ ἐστὶ τὸ κατὰ φύσιν ἡδὺ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστὶν, ὥστε τὰ συγγενῆ καὶ ὅμοια ἡδέα, ὡς ἐπιστολή —— ὅθεν καὶ αἱ παροιμίαι εἰρηνται, ὡς " ἥλιξ ἥλικα " τέρπει" καὶ, " αἰεὶ τὸν ὅμοιον." [*Al.* " ὡς " αἰεὶ τῷ ὁμοίῳ φίλον τὸ ὅμοιον."] Vide et *Eundem, Ethic. Nicom. lib.* VIII. *cap.* 2. et *Ethic. Eudem. lib.* VII. *cap.* 1. item *Platonem in Lyside:* ubi notandum, quod jam legimus Ὡς αἰεὶ τὸν ὁμοῖον &c. legisse *Pla-*

Πῆ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμίγαρτε συβῶτα,
Πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα;
Ὃς πολλῆσι φλιῇσι παραστὰς φλίψιτα ὤμους,
Αἰτίζων ἀπόλους, οὐκ ἄορτας, οὐδὲ λέβητας·
Τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι,
Σηκοκόρον τ' ἔμεναι, θαλλόν τ' ἐρίφοισι φορῆναι,
Καί κεν ὀρὸν πίνων, μεγάλην ἐπιγουνίδα ἔλτο.
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει

" Quonàm jam hunc voracem ducis, immanis subulce,
" Mendicum molestum, conviviorum contaminatorem?
" Qui multis postibus astans atteret humeros,
" Petens frusta, non tripodes, neque lebetes:
" Hunc si mihi dares stabulorum custodem fieri,
" Chortisque-curatorem ut-sit, frondemque hoedis ferat;
" Etiam serum bibens, magnum *sibi* femur efficeret.
" Sed quandoquidem sanè opera mala didicit, non volet

tonem aut memoritèr citâsse, Αλλ' ου τον ὅμοιον &c. Quo modo et citat *Aristoteles Ethic. Magn. lib.* II. *cap.* 11.

Ibid. —— ὡς τὸν ὁμοῖον.] Ἤγουν εἰς τὸν ὅμοιον. *Eustath.* Eodem modo usurpari videtur vocula ὡς apud *Euripidem*;

Καὶ δὴ σέ γ' ὡς σὶ πρυφίως ἐξήνυε μολεῖν.
Hecuba, ver. 993.

Et apud *Aristophanem*;

Ἐπιχεσόμενος οὖν ᾠχόμην ὡς τὸν Διόν.
Plutus, ver. 32.

Apud *Homerum* tamen, ut opinor, nusquam alibi reperitur hujusmodi exemplum. Cæterùm *Aristoteles, Ethic. Eudem. lib.* VII. *cap.* I. citat, εἰς τὸν ὅμοιον.

Ver. 219. —— ἀμίγαρτε συβῶτα.] Ἢ ἐν τῷ βαστῖν ἀβίωτε, ὃ δηλοῖ τὸ κακῶς φερόντων ἢ ἐξ οὗ ἐν τοῖς φορτίοις τοῦ συβωτεῖν οἷον, ἄξιε τοῦ συφορεῖν. *Schol.* Easdemque ferè interpretationes affert *Eustathius*. Atqui vox ἀμίγαρτος alibi apud Poëtam "*gravis*" aut "*ingratus*," denotare videtur;

—— πόσιν δ' ἀμίγαρτον ἄφιλλα.
Iliad. β'. 420.

Ὀρσας ἀργαλέον ἀνίμον ἀμίγαρτον ἀϋτμήν.
Odyss. λ'. 399.

Ver. 220. —— ἀνιηρὸν.] Similitèrque infrà *ver.* 377. ἀνιηρεί· Vide ad *Il.* ά, 24.

Ibid. —— δαιτῶν ἀπολυμαντῆρα.] Λυμαίνα τῶν ἰσύχων ἢ, τὸν τὰ παθήματα ἀπωφελούμενον [Ita *Barnesius* pro vulgato εἰ τὰ παθήματα προσφιλούμενοι] τῶν ἰσύχων. *Schol.*

Ver. 221. —— φλιῇσι.] Ταῖς παραστάσεσι τῆς θύρας. *Schol.*

Ibid. —— φλιῇσι —— φλίψιτα ὤμους.] Ὃς οὐκ ἰαζήσεται τῶν φλιῶν. *Schol.*

Ver. 222. Αἰτίζων ἀπόλους.] Ὁ μὲν γὰρ Ὀδυσσεὺς παναγιλᾶσαι παρὰ τοῖς μνηστῆρσιν, " Αἰτίζων ἀπόλους, οὐκ ἄορας, οὐδὲ λέβητας." Μεγαλοψυχίας γὰρ ἄγῶνα σαρκῶν, ὡς τὸ λοιδορεῖσθαι τοῖς μεγάλοις, καὶ τὸ αἰτεῖν. *Plutarch. de Auditione.* Perrò hinc apud *Callimachum*;

Αἰτίζων ἀπόλους τε καὶ ἰκέλια λύματα δαιτός.
Hymn. in Cererem, ver. 115.

Ibid. —— οὐκ ἄορας.] Οἱ μὲν χαρίεν θεῖον "σ," τὰ ξίφη, παρὰ τὸ ἄορ· οἱ δὲ μετὰ τοῦ "σ," τρίποδας ἄορας· οἱ μὲν τὰς ἀπὸ τῶν ἀγώνων λαμπάδας ἀθλα γυναίκας· λέγει γάρ που, [*Il.* χ', 164.] "Ἢ τρίπος, ἢ γυνή." ἢ ἄορας, οἱ δὲ τοὺς τρίποδας τοὺς ὅτα ἔχοντας ἐξ οὗ αἴρεσθαι δύνανται. *Schol.*

Ver. 223. Τόν κ' εἴ μοι δοίης.] Malè hîc *Spondanus*; " Conatur," inquit, " eum si-" bi in stabulorum custodem comparare, " prætexens (*ver.* 230.) quantas sit passu-" rus à procis molestias, si se ipsis obtule-" rit." Quasi scilicèt hoc *reverâ* peteret *Melanthius*.

Ibid. —— γενέσθαι.] *Al.* λιτέσθαι.

Ver. 224. —— θαλλόν τ' ἐρίφοισι φορῆναι.] Πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται· ὑπὸ τῶν Ἀττικῶν δὲ, μόνος ὁ τῆς ἐλαίας. *Schol.*

Ver. 225. —— ὀρὸν.] Ἀντὶ τοῦ ὑδρὸν, τὴν ὑδατώδη καὶ ἰφθαρμένην ὑποστάθμην τοῦ γαλακτος· ἢ τὸ ἄπηκτον γάλα, τὸ ὑγρολιπάρμενον ὑδατώδες. *Schol.*

Ibid. —— ἐπιγουνίδα.] Τὴν τοῦ σώματος ἰσχίαν· ἀπὸ μέρους, τοῦ κατὰ τὸ γόνυ δίχματος, τὸ ὑπὲρ ἡμεῖναι· ἢ τὸ ὑπερέρεισμα τοῦ γόνατος. *Schol.* Vide infrà ad σ', 73.

Ver. 226. —— ἔργα κάκ' ἔμμαθεν.] Τὸ δὲ " ἔργα κάκ' ἔμαθε," διπλάζει τὸ μῦ ἐν τῷ ἔμμαθε, κατὰ τοὺς Παλαιούς. *Eustath.* Eadem scilicèt ratione ac ἴλλαζε, ἰλλιτάσιους, &c.

Ibid. —— οὐκ ἐθελήσει· Ἔργον ἐποίχεσθαι.] Καθὸ ὁ ἀγαθὸς οὐ ῥᾴδιον ἀλλοιοῦται, ἐπὶ μᾶλλον ἔμμενει ἐοῦλός· οὕτως αὐδὶ ὁ φαῦλος, ἐπὶ ἔργα κάκ' ἔμαθε. Δυσανάζλητος γάρ, ἐστὶ δ' ὅτι καὶ ἀνανάζλητος, ὥσπερ αἱ ἀγαθαὶ ἕξεις, οὕτω δὲ καὶ αἱ φαῦλαι. *Eustath.*

Ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
Βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
Ἀλλ' ἔκ τοι ἐρέω, τόδε καὶ τετελεσμένον ἔσται,
Αἴ κ' ἔλθῃ πρὸς δῶματ' Ὀδυσσῆος θείοιο,
Πολλά οἱ ἀμφὶ κάρῃ σφέλα ἀνδρῶν ἐκ παλαμάων
Πλευραὶ ἀποτρίψουσι δόμον κατὰ βαλλομένοιο.
Ὣς φάτο· καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
Ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
Ἀλλ' ἔμεν' ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς,
Ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
Ἦ πρὸς γῆν ἐλάσειε κάρη, ἀμφ' οὖδας ἀείρας.
Ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο· τὸν δὲ συβώτης
Νείκεσεν ἄντα ἰδών· μέγα δ' εὔξατο, χεῖρας ἀνασχών·
Νύμφαι κρηναῖαι, κοῦραι Διὸς, εἴποτ' Ὀδυσσεὺς

" Opus obire, sed mendicans per populum
" Mavult petendo pascere suum ventrem insatiabilem.
" Verùm tibi edico, quod et perfectum erit;
" Si iverit ad aedes Ulyssis divini,
" Multa ei circum caput scabella virorum ex manibus
" Latera deterent per domum percussi."
Sic dixit; et accedens *ei* calce insultavit per-insipientiam
In-coxam, neque ipsum extra viam dimovit,
Sed *is* manebat firmè: deliberabat autem Ulysses,
Utrùm irruens baculo animum *ei* eriperet,
An ad terram dejiceret caput, circa solum ubi-sustulerat:
Sed pertulit, animoque cohibuit-se; illum verò subulcus
Increpuit contrà intuitus; valdèque precatus est, manibus sublatis;
" Nymphae fontanae, filiae Jovis, si unquam Ulysses

Ver. 228. —— ἄναλτον.] Ἀκλήρωτον. *Schol.*

Ver. 231. 232. Πολλά οἱ —— βαλλομένου.] Vide ad *Il.* ξ', 141. et ad *Odyss. i*, 256.

Ibid. —— ἀμφὶ κάρῃ σφέλα ἀνδρῶν ἐκ παλαμάων Πλευραὶ ἀποτρίψουσι.] Φασὶ [οἱ Παλαιοὶ] τὸ "πολλὰ οἱ ἀμφὶ κάρῃ σφέλα &c." δηλοῦν ὅτι πολλὰ σφέλα κατὰ σκοτὸν μὲν ἀμφὶ τὸ τοῦ Ὀδυσσέως κάρη πεμπόμενα, τῇ δὲ τοῦ Ὀδυσσέως παρεκκλίσει ἐνεκπίπτοντα ταῖς αὐτοῦ πλευραῖς, ἀποτρίψουσιν αἱ οὕτω πληττόμεναι πλευραί. —— Ἔστι δὲ καὶ ἄλλως ἐρμηνεύουσιν ὅτι πολλὰ σφέλα, τουτέστιν ὑποσόδια, ἢ καὶ ἁπλῶς βίλα τὰ δι' ὑστῶν, ἢ ξύλων, ἢ τοιούτων τινῶν, ἀμφὶ κάρη αἰρόμενα, τὸ τῶν βαλλόντων δηλοῖ, ἀποτρίψουσιν αἱ τοῦ ξένου πλευραί· —— Ἕτεροι δὲ ἀμφικαρῆ γράφουσιν ἐν ἓνὶ μέρει λόγου καὶ στιγμωμένως· ἵνα ἡ σφῖλα, τουτέστιν ὑποσόδια, ἀμφικαρῆ, τὰ ἀμφικέφαλα, ὡς οἷον κεφαλὰς ἀμφοτέρωθεν ἔχοντα τὰς ἐν αὐτοῖς ἐχούσας καὶ λαβάς. *Eustath.* Cæterùm nonnulli, notante ibidem *Eustathio*, hic legunt Πλευρὰς ἀποτρίψουσι· Quam lectionem et in Editionibus nonnullis reperit *Barnesius*: sed hoc (ut opinor) ferri non potest. Quamvis enim, uti rectè notavit *Barnesius*, apud Scriptores *Doricos* hujusmodi Accusativi plurales [αὐτάς, βουλάς, τροπάς, &c.] ultimam corripiant; apud *Homerum* tamen hoc nunquam fit. Vide ad *Il.* ά, 51. et β', 43.

Ver. 237. —— ἀμφ' οὖδας ἀείρας.] Apud *Eustathium* legitur et ἀμφουδὶς ἀείρας. Ἐξουλιύσατο (inquit) Ὀδυσσεὺς ἢ ἀύλαι τὸν κακὸν, ἢ ἀείρας ἀμφουδὶς, τουτέστιν ἐκ γῆς, πρὸς γῆν αὖθις ἐλάσεια τὴν ἐκείνου κεφαλήν· ἢ καὶ ἄλλως, ἀείρας βάλη τὴν κεφαλὴν πρὸς γῆν ἀμφουδίς. Porrò *Scholiastes* (quocum facit et MS. à *Tho. Bentleio* collatus), hìc legit ἀμφ' οὖδας ἰεμένας.

Ver. 239. Νείκεσεν ἄντα ἰδών.] *Al.* Νείκεσ' ἰς ἄντα ἰδών.

Ibid. —— μέγα δ' εὔξατο, χεῖρας ἀνασχών.]

Et duplices cum voce manus ad sidera
teudit. *Æn.* X, 667.

Ver. 240. Νύμφαι κρηναῖαι.] Ταύταις προσεύχεται, ἤτοι καθ' ὃ ἀγχοικός ἐστιν· ἢ ὅτι τοῦτ' ἦν πρήνην προσῆμι. *Schol.*

Ὕμμ' ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
Ἀρνῶν, ἠδ' ἐρίφων, τόδε μοι κρηήνατ' ἐέλδωρ,
Ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων·
Τῷ κε τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
Τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰὲν
Ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Ὦ πόποι, οἷον ἔειπε κύων, ὀλοφώϊα εἰδώς;
Τόν ποτ' ἐγὼν ἐπὶ νηὸς εὐσσέλμοιο μελαίνης
Ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
Αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
Σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
Ὡς Ὀδυσῆϊ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ·
Ὣς εἰπὼν, τοὺς μὲν λίπεν αὐτόθι, ἦκα κιόντας,

" Vobis femora combussit, coöperta pingui adipe,
" Agnorum et hoedorum, hoc mihi perficite votum,
" Ut veniat quidem ille vir, ducatque ipsum deus:
" Ita tibi fastus utique dissiparet omnes,
" Quos nunc contumeliosus fers, vagans semper
" Per urbem: at pecudes mali perdunt pastores."
Hunc autem rursùs allocutus est Melanthius, custos caprarum:
" Papae! quale dixit canis, astutias callens?
" Quem aliquandò ego in navi bonis-transtris-instructâ nigrâ
" Agam longè ab-Ithacâ, ut mihi victum multum inveniat.
" Utinam enim Telemachum interficeret argenteum-arcum-gerens Apollo
" Hodiè in aedibus, vel à procis domaretur,
" Sicut Ulyssi quidem procul periit reditûs dies."
Sic locutus, hos quidem liquit illic, lentè euntes:

Ibid. —— εἶπεν Ὀδυσεὺς Ὕμμ' ἐπὶ μηρί' ἔκηε.]

Si qua tuis unquam pro me pater Hyrtacus aris
Dona tulit ——. *Æn.* IX, 406.
—— colui vestros si semper honores.
Æn. XII, 778.

Ver. 246. — μῆλα κακοὶ φθείρουσι νομῆες.] Πρόσεστον μὲν, ὡς ἱστοτοκὸν, ἣν κακῶς ἔχῃ, τὸν νομέα αἰτιώμεθα. *Socrates apud Xenophontem, Oeconom. λόγ.*

Ibid. —— μῆλα] Τουτέστι τὰ ὑπὸ σὶ θρέμματα, τὰς αἶγας δηλαδή. *Eustath.*

Ver. 248. —— ὀλοφώϊα εἰδὼς.] " Le mot " ὀλοφώϊα (inquit Dna. *Dacier*) signifie *des* " *finesses, des ruses*; mais il signifie aussi " *des sentimens profonds, des moralitez, des* " *sentences*, διὰ βουλεύματα· et je l'ai pris " ici dans ce dernier sens." Minùs rectè. Semper enim apud Poetam priori in sensu usurpatur hæc vox. Vide suprà ad ϑ, 410. 460. et κ', 289.

Ver. 250. Ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.] Locum hunc ita reddit Dna. *Dacier*: " *Je l'envoyerai bientôt sur un vais-* " *seau loin d' Ithaque, trafiquer pour moi.*" Et in annotationibus: " *Il faut lui donner un* " *vaisseau, et l'envoyer trafiquer; car avec* " *l'esprit qu'il a, il amassera de grandes rich-* " *esses.*" At rectiùs *Spondanus*: " Eumaeo," inquit, " minatur — se eum longè ab Ithacâ " abducturum, ut eum vendat, et indè lu- " crum ingens faciat." Ita suprà ά, 451.

—— ὁ δ' ὑμῖν μουνίον ἄνυν
Ἄλφοι, ὅπη περάσητε πρὸς ἀλληθέους ἀνθρώπους.

Et infrà ύ, 383.

Ἐς Σικέλους πέμψωμεν, ὅθεν περ τοι ἄξιον ἄλφοι.

Atque ita hîc accipit *Eustathius*: Τὸ δὲ " βίο- " τον πολὺν ἄλφοι," ταὐτὸν ἐστὶ τῷ " ὄνον μυ- " ρίον ἄλφοι" ὃ περὶ ὀλίγων ἐρρέθη, διὰ τὸν μικρὸν Εὔμαιον.

Ver. 251. Αἲ γὰρ Τηλέμαχον.] " Optat " *Telemacho* mortem subitaneam; vel ut à " Procis propediem occidatur." Ut rectè *Barnesius*. Vide suprà ad ό, 409.

Ver. 252. —— μεγάροις.] *Al.* μεγάρῳ.

Ver. 254. —— αὐτόθι.] *Al.* αὐτοῦ.

Αὐτὰρ ὁ βῆ· μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
Αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν,
Ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.
Τῷ παρὰ μὲν κρειῶν μοῖραν θέσαν, οἳ τ' ποκέοντο.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Ἔδμεναι· ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Στήτην ἐρχομένω· περὶ δὲ σφέας ἦλυθ' ἰωὴ
Φόρμιγγος γλαφυρῆς· ἀνὰ γὰρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Εὖμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,
Ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
Ἕξ ἑτέρων ἕτερ' ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ
Τοίχῳ καὶ ξριγκοῖσι, θύραι δ' εὐεργέες εἰσὶ
Δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
Γιγνώσκω δ', ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
Ἄνδρες· ἐπεὶ κνίσση μὲν ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ

At ipse ivit; valdè autem celeritèr ad aedes parvenit domini.
Statim autem introivit, et inter procos sedebat,
Ex-adverso Eurymachi; hunc enim diligebat maximè.
Ei quidem carnium partem apposuerunt *ii*, qui administrabant:
Panem verò veneranda proma apposuit ferens,
Ad-comedendum: propè autem Ulysses et nobilis subulcus
Steterunt venientes: circum autem ipsos venit sonus
Citharae cavae; illis enim incipiebat çanere
Phemius: at ille manu prehensum allocutus est subulcum:
" Eumaee, certè omninò utique hae aedes pulchrae Ulyssis:
" Facilè autem sunt dignoscendae etiam inter multas visu.
" Ex aliis aliae sunt: ornata est autem ei aula
" Muro et septis; janua verò fabrefactae sunt
" Bifores: haud quisquam eam vir insultaverit.
" Cognosco autem, quòd multi in ipsâ convivia celebrant
" Viri; quoniam nidor quidem ascendit, cithara autem

Ver. 262. —— *ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν.*] Vide suprà ad *ά*, 155. *Al. ἀνὰ δὲ σφισι.*

Ver. 266. 'Ἕξ ἑτέρων ἕτερ' ἐστίν.] *Διὰ τούτων βούλεται δηλοῦν, ὡς οὐ μονοτρόπων τῶν βασιλείων ὄντων, ἀλλὰ πολυτρόπων. Schol.* Σχεδὸν γὰρ οὕτω ἔοικε — οὐδὲν μᾶλλον ὁ ποιητὴς αὐτὸς [Ὁμηρος] λέγων· ἀλλὰ καὶ σκολὴν, καὶ εὐκτὴν, καὶ δίκτυα πρὸς τὸ τῶν ἀνθρώπων ἦθος πολλάκις ἀποκλίζειν. — Μενέλαος δὲ πολλῇ ἀξιοῦνην δῆλος ἐρέπων, [vide suprà ad *δ*', 45.] τοῦ Ταντάλιδῶν ἐξ αἵματος ὤν. Οὐ μὴν τήν γε τοῦ Ὀδυσσέως οἴκησιν οὐδαμοῦ τούτοις ὁμοίαν, ἀλλ' ὡς ἂν ἀσφαλοῦς ἀνδρὸς πεποίηκε, πρὸς αὐτὸ παρεσκευασμένου. Λέγει γὰρ οὕτως· " 'Ἕξ ἑτέρων " ἕτερ' ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ Τοίχῳ, &c." *Dio, Orat.* II.

Ver. 267. —— *ἰυιεγέες.*] Apud *Dionem* loco suprà citato *ἰυιερκέες.* Quo modo legit et MS. à *Tho. Bentleio* collatus.

Ver. 268. —— *οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.*] *Ἤτοι ὑπερῳφανήσαι, ἢ ὑβρίσαι ὑπερκύψαντα. Schol.*

Ver. 269. — *ἐν αὐτῷ.*] *Dio, Orat.* XXXIII. videtur legisse *ἐν αὐτῇ.* " Patitur tamen," inquit *Fredericus Morellus* in annotationibus ad locum *Dionis*, " *Attica* ἐναλλαγὴ, dici *ἐν* " *αὐτῷ.* nempè *δώματι*, quamvis praeeat " *δώματα.*"

Ibid. —— *δαῖτα τίθενται.*] *Al. δαῖτα πίνονται.*

Ver. 270. — *μὲν ἀνήνοθεν.*] *Al. μὲν ἐνήνοθεν.* Minùs rectè. Huic enim lectioni minùs aptè ex adverso respondit sequens *ἐν δέ τε.*

Ἠπύει, ἦν ἄρα δαιτὶ θοὶ ποίησαν ἑταίρην.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ῥεῖ ἔγνως· ἐπεὶ οὐδὲ τά τ' ἄλλα κερ ἔσσ' ἀνόημων.
Ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα.
Ἦ σὺ πρῶτος ἴσελθε δόμους εὖ ναιετάοντας,
Δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
Εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθε·
Μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκτοσθε νοήσας
Ἢ βάλῃ, ἢ ἐλάσῃ· τάδε σε φράζεσθαι ἄνωγα.
Τὸν δ' ἠμείβεθ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις·
Ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ.
Οὐ γάρ τι πληγέων ἀδαήμων, οὐδὲ βολάων·
Τολμήεις μοι θυμός, ἐπεὶ πολλὰ πέπονθα
Κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.

"Sonat, quam utique convivio dii fecerunt sociam."
Hunc autem respondens allocutus es, Eumaee subulce;
"Facilè nosti; quippè neque in aliis rebus quidem es stultus.
"Sed age jam consultemus, quomodo sint haec opera.
"Vel tu primus ingredere aedes habitantibus-commodas,
"Inferque te procis; ego autem relinquar hîc:
"Sive vis, mane; ego verò ibo prae:
"Neque tu morare, nè quis te extrà conspicatus
"Vel percutiat, vel pellat; haec te considerare jubeo."
Huic autem respondit deinde patiens nobilis Ulysses:
"Cognosco, sapio; haec jam intelligenti praecipis:
"Sed i prae, ego autem relinquar hîc,
"Non enim omninò plagarum inscius sum, neque ictuum,
"Patiens mihi animus, quoniam mala multa passus sum
"Undis et bello; cum illis et hoc quoque fiat.

Ver. 271. —— ἦν ἄρα δαιτὶ θοὶ ποίησαν ἑταίρην.] Ita suprà Σ', 99.

Φέρμιγγός Σ', ἣ δαιτὶ συνήορός ἐστι θαλείᾳ.

Et infrà φ', 430,

Μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός.

Ἔστι καὶ Ὁμήρου διαστρῶν τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν, λέγειν· "Φέρμιγγός Σ', "ἣν δαιτὶ θοὶ ποίησαν ἑταίρην." Ὡς καὶ τοῖς ἰδιωτεύουσι χρησίμως εἶναι τῆς τέχνης ταύτης. Ἦν δ', ὡς δοκεῖ, τοῦτο νενομισμένον· πρῶτον μὲν ὅπως ἕκαστος τῶν εἰς μέθην καὶ πλήρωσιν ἑρμηνεύειν ἐπιτηδείων λαμβάνῃ τῆς ὕβρεως καὶ τῆς ἀκοσμίας, τὴν Μουσικήν· εἶθ' ὅτι τὴν αὐθάδειαν πραΰνει. Περιαιρουμένη γὰρ τὴν συνηγόντα, ποιεῖ πραότητα καὶ χαρὰν ἱλαυτέραν. *Athenaeus, lib.* XIV. *cap.* 6. Ubi notandum, *Athenaeum* hîc legisse, *Φέρμιγγός Σ', ἣν δαιτὶ, &c.* Quo modo citat et *Scholiastes in Pindar. Nemeor. Od.* IX. *ver.* 18. ex Σ', ut videtur, suprà 99. Vide et infrà ad *ver.* 385. item suprà ad ε', 152.

Ver. 276. Δύσεο.] Vide ad *Il.* ι' 109.

Ver. 279. "Ἢ βάλῃ, ἢ ἐλάσῃ.] Τὸ δὲ, "ἢ "βάλῃ, ἢ ἐλάσῃ," συνείσειν ἐγγὺς τύψῃ, διὰ "φορᾶς συνήθη δηλοῦσι." *Eustath.* Vide ad *Il.* ε', 86.

Ver. 281. —— τά γε δὴ νοέοντι κελεύεις.] Ita restituit *Barnesius* ex *Eustathii* commentario, et ex *Odyss.* α', 136. et ε', 193. ubi Vulgati hoc modo legunt. Cumque *Barnesio* facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* hîc, τά γε δὴ φρονέοντι κελεύεις. Quod propter precedentem φρονέω minùs placet. Porrò apud *Eustathium* legitur τάδε δή.

Ver. 283. Οὐ γάρ τι πληγέων ἀδαήμων.] Vide ad *Il.* ν', 344. et ι', 11.

Ver. 284. Τολμήεις μοι Θυμὸς, ἐπεὶ πολλὰ πέπονθα.] Δοκεῖ δὲ καὶ ἡ ἰμαντικὴ ἡ περὶ ἕκαστα, ἀνδρία τις εἶναι. *Aristot. Ethic. Nicom. lib.* III. *cap.* 11.

Ver. 285. —— μετὰ καὶ.] *Al.* μετὰ δὲ.

Γαστέρα δ' οὔπως ἐστὶν ἀποκρύψαι μεμαυῖαν,
Οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι·
Τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίσσονται
Πόντον ἐπ' ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν.
Ἄργος Ὀδυσσῆος ταλασίφρονος, ὃν ῥά ποτ' αὐτὸς
Θρέψε μέν, οὐδ' ἀπόνητο· πάρος δ' εἰς Ἴλιον ἱρὴν
Ὤχετο· τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
Αἶγας ἐπ' ἀγροτέρας, ἠδὲ πρόκας, ἠδὲ λαγωούς.
Δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος,
Ἐν πολλῇ κόπρῳ, ἣ οἱ προπάροιθε θυράων,
Ἡμιόνων τε, βοῶν τε, ἅλις κέχυτ'· ὄφρ' ἂν ἄγοιεν
Δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες·
Ἔνθα κύων κεῖτ' Ἄργος, ἐνίπλειος κυνοραιστέων.
Δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,

" Ventrem autem haudquaquam licet abscondere avidum,
" Perditum, qui multa mala hominibus dat:
" Cujus gratiâ et naves bonis-transtris-instructæ armantur,
" Pontum super infructuosum, mala inimicis ferentes."
Sic hi quidem talia inter se dicebant:
Canis autem caputque et aures jacens erexit
Argus Ulyssis malorum-patientis, quem scilicèt quondam ipse
Nutrivit quidem, non verò eo fruitus est; priùs nempè in Ilium sacrum
Ivit: hunc autem anteà ducere-solebant juvenes viri
Capras in sylvestres, et cervos, et lepores.
Tunc demùm jacebat neglectus, absente domino,
In multo stercore, quod ei ante fores
Mulorumque, boumque, abundè fusum erat; donec auferrent
Servi Ulyssis prædium magnum stercoraturi:
Illic canis jacebat Argus, plenus ricinorum.
Tunc demùm, ut agnovit Ulyssem propè exlstantem,

Ver. 286. Γαστέρα δ' οὔπως ἐστὶν ἀποκρύψαι.] Ὁμήρου λέγοντος· " Γαστέρα δ' οὔπως ἐστὶν ἀπο-" κλῆσαι μεμαυῖαν, Οὐλομένην, &c." Εὐριπίδης φησὶ·

" Νικᾷ δὲ χρεία μὲν κακῶς σ' ὀλουμένη
" Γαστὴρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά."
Clemens Alexandr. Strom. VI.

Ubi notandum pro ἀποκρύψαι, citâsse *Clementem*, ἀποκλῆσαι. Ita suprà ἡ, 216.

Οὐ γάρ τι στυγιερὴ ἰκὶ γαστέρι κύντερον ἄλλο
Ἔπλετο, ἣ τ' ἰκίλιστον ἔις μνήσασθαι ἀνάγκη.

Porrò haud dissimilitèr *Seneca*; " Cum ven-" tre humano tibi negotium est: nec rati-" onem patitur, nec æquitate mitigatur, nec " ullâ prece flectitur populus esuriens." *De Brevitate Vitæ*, § 18. Ubi hunc *Homeri* locum citat *Lipsius*.

Ver. 288. —— ἰκλίσσετο.] MS. a *Pio. Bentleio* collatus legit ἰκλίζοντα. Quæ et potior videtur lectio.

Ver. 292. —— ἦν ῥά.] *Quem scilicèt* ——.

Ver. 293. Θρέψε μὲν, οὐδ' ἀπόνητο.] Vide infrà ad ver. 313.

Ver. 296. —— ἀποιχομένοιο ἄνακτος.] *Al.* ἀποιχομένου Ὀδυσῆος.

Ver. 299. —— κοπρήσοντες.] Apud *Etymol. Mag.* notante *Barnesio*, κοπρίσαντες. Quod ex analogiâ antepenultimam corripere debet. Vide ad *Il.* ά, 140.

Ver. 300. — ἐνίπλειος κυνοραιστέων.] Κυνοραίστας δὲ — οἱ τοὺς κύνας βαίοντες· ἐξ οὗ κατὰ διάλυσιν καὶ παραγωγὴν τὸ βαΐζειν γίνεται· ἀφ' οὗ καὶ Θυμοραϊστὴς, ἀναλόγως τῷ κυνοραιστής. Λέγονται δὲ οὕτως καὶ πρίστωνες παρὰ τοῖς Ὀνειρο-κρίταις. *Eustath.* Cæterùm Vulgati hic habent κυνοραιστέων. *Barnesius* autem edi-

Οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω·
Ἆσσον δ' οὐκ ἔτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
Ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
Ῥεῖα λαθὼν Εὔμαιον· ἄφαρ δ' ἐρεείνετο μύθῳ·
Εὔμαι', ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ,
Καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
Εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
Ἦ αὔτως, οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
Γίγνοντ', ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
Εἰ τοῖόσδ' εἴη ἠμὲν δέμας, ἠδὲ καὶ ἔργα,
Οἷόν μιν Τραίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
Αἶψά κε θηήσαιο, ἰδὼν ταχυτῆτα καὶ ἀλκήν·
Οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
Κνώδαλον, ὅττι ἴδοιτο· καὶ ἴχνεσι γὰρ περιῄδη·

Caudâ quidem iste adulatus est, et aures dejecit ambas:
Prope autem non ampliùs tum potuit suum dominum
Venire: at ille seorsùm conspicatus abstersit lachrymam,
Facilè latens Eumaeum; statim autem interrogabat sermone;
" Eumaee, certè omninò miraculum, canis hic jacet in fimo;
" Pulcher quidem corpore est, at hoc non certò novi,
" An utique et velox fuerit ad-currendum, cum formâ hâc,
" An nullîus-pretii, quales scilicèt mensales canes virorum
" Sunt; deliciarum verò gratiâ nutriunt domini."
Hunc autem respondens allocutus es, Eumaee subulce;
" Et sanè viri canis hic *est* procul mortui.
" Si talis esset *nunc* et corpore, atque etiam operibus,
" Qualem ipsum ad Trojam profectus reliquit Ulysses,
" Statim admirareris, conspicatus velocitatem et robur:
" Nequaquam enim effugiebat densae in profunditatibus sylvae
" Fera, quamcunque vidisset; et vestigiis enim perquàm-sciebat:

Ver. 302. —— ῥ'.] *Ut solent canes.* ——

Ver. 304. —— αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ.] Εὖ δὲ καὶ ὁ Πισιστὴς, οἷόν ἐστι τὸ παρὰ προσδοκίαν, ἰδιδάξιν. Ὁ γὰρ Ὀδυσσεὺς τοῦ μὲν κυνὸς θανόντος ἐξιδέκρυσε, τῇ δὲ γυναικὶ πλαισίου παρακαθήμενος [infrà σ', 209. 211.] οὐδὲν ἴσχυε τοιοῦτον· ἐνταῦθα μὲν γὰρ ἀφίκτο τὸ λογισμῷ τὸ πάθος ὑποχείριον ἔχων καὶ προκατειλημμένον εἰς δὲ ἐκεῖνον, μὴ προσδοκήσας, ἀλλ' ἐξαίφνης διὰ τὸ παράδοξον ἐνίκησε. *Plutarch. de Animi Tranquillitate.*

Ver. 305. —— μύθῳ.] *Al.* μῦθον.

Ver. 308. Εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε.] Sic infrà *ver.* 454.

—— οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

Ver. 313. Εἰ τοῖόσδ' εἴη.] " Cùm talis," inquit *Spondanus*, " jam esset tunc canis iste, " cur antèa dixit Poeta Ulyssem eo non " fuisse usum? quod ego ad inhabilitatem " canis puto referendum: ait enim [suprà " *ver.* 293.] Θείψε μιν, οὐδ' ἀπόνητο." Atqui non indicat istud " οὐδ' ἀπόνητο." *Ulyssem* cane nunquam omninò fuisse usum, sed parùm fruitum; quippe quì, simul primùm ut canis corporis istam speciem cursúsquè velocitatem attigisset, ad bellum Trojanum digressus est. Ita suprà σ', 120.

Μοῦνον ἰμ' ἐν μεγάροισι τιταὼν λίπεν, οὐδ' ἀπόνητο.

Ver. 317. Κνώδαλον.] Κυρίως μὲν τὸ θαλάσσιον θηρίον, τὸ κῆτος· νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον. *Schol.*

Ibid. —— ὅττι ἴδοιτο.] Τὸ δὲ " ὅ,τι ἴδοιτο" κρεῖττον φασὶ γράφειν, " ὅτοιτο," ἵνα λίγῃ ὡς οὐκ ἐξέφυγεν αὐτὸν θηρίον, ὅτις ἂν διώκοι· τοῦτέστι διώκοι·—Τὸ γὰρ, " ἴδοιτο" στερισεῖ κυνὸς

Νῦν δ' ἔχεται κακότητι· ἄναξ δέ οἱ ἄλλοθι πάτρης
Ὄλλυτο· τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.
Δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
Οὐκ ἔτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
Ἥμισυ γάρ τ' ἀρετῆς ἀπoαίνυται εὐρύοπα Ζεὺς
Ἀνέρος, εὖτ' ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.
Ὣς εἰκὼν, εἰσῆλθε δόμους εὖ ναιετάοντας·
Βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς.
Ἆρχον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν μέλανος θανάτοιο,
Αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἐείκοστῷ ἐνιαυτῷ.
Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς
Ἐρχόμενον κατὰ δῶμα συβώτην· ὦκα δ' ἔπειτα
Νεῦσ' ἐπί οἱ καλέσας· ὁ δὲ, παπτήνας, ἕλε δίφρον
Κείμενον, ἔνθάδε δαιτρὸς ἐφίζεσκεν, κρέα πολλὰ

" Nunc autem tenetur malo: dominus nempè ejus seorsùm à patriâ
" Periit; hunc verò mulieres negligentes non curant.
" Servi nempè, quandò non amplius imperant domini,
" Non diutiùs posteà volunt justa operari:
" Dimidium enim virtutis aufert latè-sonans Jupiter
" Viro, quandò ipsum servilis dies corripuerit."
Sic locutus, intravit aedes habitantibus-commodas:
Ivit autem rectà per-domum ad procos illustres.
Argum verò deindè fatum occupavit atrae mortis,
Statim ut-viderat Ulyssem vigesimo anno.
Longè autem primus vidit Telemachus deo-par
Venientem per domum subuleum; celeriterque deindè
Innuit ad se vocans: ille autem, ubi-circumspexisset, cepit sedem
Jacentem, ubi coquus insidere-solebat, carnes multas

τὴν ἰχνυιαὴν (φασὶν) αἴσθησιν. *Eustath.* Atque istâ ratione aptiùs cohaerebit sequens, καὶ ἴχνια γὰρ στείβει.

Ver. 320. —— εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες.] Sic apud *Terentium*:

—— foràs simul omnes proruunt se,
Abeunt lavatum, perstrepunt; ita ut fit,
domini ubi absunt.

Eunuch. Act. III. *Scen.* V. *ver.* 51.

Ver. 322. Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται.] Οὐ γὰρ ὑγιὲς οὐδὲν ψυχῆς δούλης· οὐ δεῖ γὰρ οὐδὲν ὑγιὲς πιστεύειν αὐτοῖς τὸν νοῦν κεκτημένον. Ὁ δὲ σοφώτατος τῶν ποιητῶν φησίν· " Ἥμισυ " γάρ τε νόου ἀπαμείρεται εὐρύοπα Ζεὺς Ἀν- " δρῶν, οὓς ἂν δὴ κατὰ δούλιον ἦμαρ ἕλῃσι." *Athenaeus, lib.* VI. *cap.* 18. Ubi notandum quod jam legimus Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται, legisse *Athenaeum*, Ἥμισυ γάρ τε νόου ἀπαμείρεται· quo modo citat et *Plato de Legibus, lib.* VI.

Οὐκοῦν δουλίᾳ κεφαλῇ οὐδεὶς πίστις,
Ἀλλ' αἰὲν σκολιὴ, ——

Theogn. Comm. ver. 525.

Ibid. —— ἀρετῆς.] Τῆς ἰκανότητος πρὸς τὰ ἔργα ἐρεῖς. *Schol.*

Ver. 323. Ἀνέρος, εὖτ' ἂν μιν.] Apud *Athenaeum* et *Platonem*, locis suprà citatis, Ἀνδρῶν, οὓς ἂν δὴ.

Ver. 326. Ἆρχον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν.] Φασὶ δὲ οἱ Παλαιοὶ ὡς τάχιστα οὕτω ταχὺ ὁ Ἄρχος ὑφ' ἡδονῆς τῆς ἐπὶ τῷ ἀναγνωρισμῷ. *Eustath.*

Ver. 327. —— ἰδόντ' Ὀδυσῆα ἐείκοστῷ ἐνιαυτῷ.] Ζῇ δὲ τῶν Λακωνικῶν κυνῶν ὁ μὲν ἄρρην ἔτη δέκα· ἡ δὲ θήλεια σπὲρ ἔτη δώδεκα. Τῶν δὲ ἄλλων κυνῶν αἱ πλείστας σπὲρ ἔτη τεσσαρακοντάδιμα, ἢ τετταρακαιδεκα· ἔνιαι δὲ καὶ πλείους. Διὸ καὶ Ὅμηρον τοὺς οἴκοθεν ἔχοντας τοσοῦτον ἔτη ἀποδαίνοντα τὸν κύνα τοῦ Ὀδυσσέως. *Aristot. de Hist. Animal. lib.* VI. *cap.* 20. Apud *Aelianum* autem Canes ultra annos quatuordecim vivere negantur. Κυνὶ βίος φασὶ μάκιστος εἴκοσιν καὶ δέκα τὰ ἔτη· Ἄρχος δὲ ὁ Ὀδυσσέως, καὶ ἡ περὶ αὐτὸν ἱστορία ἔνιοι σαφῆ Ὁμήρου εἶναι. *De Animal. lib.* VI. *cap.* 40.

Ver. 331. —— ἰκτίδα.] Ita edidit *Barnesius*. Rectè, ut opinor, *Vulgg.* ἰκτὶν δὲ. Cu-

Δαιόμενος μνηστῆρσι, δόμον κάτα δεινυμένοισι·
Τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
Ἀντίον· ἔνθα δ' ἄρ' αὐτὸς ἐφίζετο· τῷ δ' ἄρα κήρυξ
Μοῖραν ἐλὼν ἐτίθει, κανέου τ' ἐκ σῖτον ἀείρας.
Ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεὺς,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιος, ἠδὲ γέροντι,
Σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῖ εἵματα ἕστο·
Ἷζε δ' ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
Κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
Ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνε.
Τηλέμαχος δ' ἐπί οἱ καλέσας προσέειπε συβώτην,
Ἄρτον τ' οὖλον ἐλὼν περικαλλέος ἐκ κανέοιο,
Καὶ κρέα, ὅσσ οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
Δὸς τῷ ξείνῳ ταῦτα φέρων· αὐτόν τε κέλευε,
Αἰτίζειν μάλα πάντας ἐπαιχόμενον μνηστῆρας·
Αἰδὼς δ' οὐκ ἀγαθὴ πεινῶντι πέλεται ἀνδρὶ προΐκτῃ.

Dividens procis, in domo convivantibus:
Hanc deposuit ferens ad Telemachi mensam
Ex-adverso; ibi utique ipse sedit; ei autem deindè praeco
Partem sumptam apposuit, ex canistroque panem sublatum.
Propè autem post illum ingressum-ibat aedes Ulysses,
Mendico misero similis, et seni,
Baculo innitens; turpia autem circum corpus vestimenta indutus erat:
Sedebat autem super fraxineum limen intra fores,
Acclinatus posti Cyparissino, quem quondam faber
Poliverat scitè, et ad perpendiculum exegerat.
Telemachus verò ad se vocatum allocutus est subuleum,
Panemque totum ubi-sumsisset perpulchro ex canistro,
Et carnes, quantum ei manus capiebant comprehendenti;
"Da hospiti haec ferens, ipsumque jube
"Mendicare penitùs omnes adeuntem procos:
"Pudor autem non est bonus indigenti viro mendico."

---

terùm infrà *ver.* 334. rectiùs videtur ἔνθα δέ. Quanquam et ibi edidit *Barnesius*, legendumque omninò contendit, ἐνθά'.

Ver. 334. —— ἔνθα δ' ἄρ'.] *Al.* ἔνθα τιμ.

Ibid. —— ἐφίζετο.] *Al.* ἐφίζετο.

Ver. 335. —— κήρυξ.] *Scholiastes* legit πρεσβύς.

Ver. 336. —— ἰδύσετο.] *Al.* ἰδύσετο, et ἰδύσσετο.

Ver. 339. —— ἐπὶ μελίνου οὐδοῦ.] Ἀφιλείας δὲ ἡρωϊκῆς ἡ ἐκ μελίας οὖδος, καὶ ὁ Κυπαρίσσινος σταθμός· τὰ δὲ γε τῶν Μιτυλέων, [suprà δ', 46.] διὰ τὴν Ἑλένην, ἴζει Φρυγίας γυφῆς. *Eustath.* Vide suprà ad *ver.* 266.

Ver. 343. Ἄρτον τ' οὖλον ἐλών.] Ita ex Veterum Exemplarium nonnullis et ex utràque *Eustathii* editione restituit *Barnesius*; ut vocula scilicet "τι" ad sequentem "Καὶ κρέα" referatur. Atque hoc modo legit MS. à *Tho. Benlleio* collatus. *Henricus Stephanus* autem edidit "Ἄρτον δ' οὖλον ἐλών· itàque videtur accepisse, ac si hæ voces *Telemachi* orationem inchoarent: Quod, ut rectè notavit *Barnesius*, ferri omninò nequit.

Ver. 344. Καὶ κρέα.] *Al.* Καὶ κρέας.

Ibid. —— ἀμφιβαλόντι.] *Al.* ἀμφιβαλόντα.

Ver. 347. Αἰδὼς δ' οὐκ ἀγαθὴ πεινῶντι πέλεται ἀνδρὶ προΐκτῃ.] Sic infrà *ver.* 578.

—— πάλιν δ' αἰδὼς ἀλίτης.

Similitèr apud *Livium*; "*Pessimus quidem* "*pudor est* —— *paupertatis.*" *lib.* XXXIV. § 4. Τί οὖν, Ὁμήρῳ οὐ πιστεύω παλῶς λέγειν, λέγοντι ὅτι, "Αἰδὼς δ' οὐκ ἀγαθὴ πεινῶντι "ἀνδρὶ προΐκτῃ;" Ἔγωγ', ἔφη. Ἔστιν ἄρα, ὡς ἔοικεν, αἰδὼς οὐκ ἀγαθὸν, καὶ ἀγαθόν. *Plato in Charmide.*

Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν,
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει
Αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
Αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
Καί οἱ πάντα γένοιθ', ὅσσα φρεσὶν ἦσι μενοινᾷ.
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο, καὶ κατέθηκεν
Αὖθι, ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης.
Ἤσθιε δ', ὡς ὅτ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν,
Εὖθ' ὅδ' ἐδειπνήκει, ὁ δ' ἐπαύσατο θεῖος ἀοιδός.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'· αὐτὰρ Ἀθήνη,
Ἄγχι παρισταμένη, Λαερτιάδην Ὀδυσῆα
Ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
Γνοίη θ', οἵ τινές εἰσιν ἐναίσιμοι, οἵ τ' ἀθέμιστοι·

Sic dixit: ivit autem subulcus, postquam sermonem audivisset,
Et propè stans verbis alatis allocutus est;
" Telemachus tibi, hospes, dat haec, et te jubet
" Mendicare, penitùs omnes adeuntem procos:
" Pudorem autem non bonum dicit esse viro mendico,"
Hunc autem respondens allocutus est solers Ulysses;
" Jupiter rex, *fac* Telemachum mihi inter viros beatum esse:
" Et ei omnia fiant, quaecunque mente suâ agitat."
Dixit, et ambabus accepit, et deposuit
Ibidem, pedes ante, turpi super perâ.
Comedebat autem, quamdiù cantor in aedibus canebat;
Quandò ille coenaverat, tum cessavit divinus cantor.
Proci verò tumultuati sunt per aedes: at Minerva,
Propè astans, Laërtiadem Ulyssem
Concitavit, ut panes à procis colligeret,
Cognosceretque, quinam essent justi, quique injusti:

Αἰδὼς δ' οὐκ ἀγαθὴ πεχρημένον ἀνδρα κομίζει·
Αἰδὼς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.
Hesiod. Ἔργ. καὶ Ἡμερ. I. 315.

Vide ad *Il.* ω, 45.

Ibid. et *ver.* 352. —— προΐκτῃ.] Μισαίτῃ, παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. *Schol.* Porrò *Plato*, loco jam suprà citato, pro προΐκτῃ, hic legit παρεῖναι. Quo modo et in pluribus Codicibus scriptum reperit *Tho. Bentleius*. Verisimilior tamen ideò videtur vulgata Lectio, quia, ubi repetitur haec *Telemachi* oratio infrà *ver.* 352. iterùm legitur προΐκτῃ, nec mutandi ullus est locus:

Αἰδῶ δ' οὐκ ἀγαθὴν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.

Ver. 358. —— ὡς ὅτ'.] Μίχρις οὗ. *Schol.* Τὸ δὲ "ὡς ὅτ' ἀοιδὸς ἄειδεν" ἀντὶ τοῦ, ἕως ὅτου. *Eustath.* Cæterùm MS. à *Tho. Bentleio* collatus habet ἕως

Ver. 359. —— ἐπαύσατο.] *Al.* ἐπαύστο.

Ver. 360. Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'.]

Fit strepitus tectis. —— *Æn.* I, 729.

Porrò *Eustathius* hæc cum versu præcedenti connectit: Ὡς δὲ ὁ θεῖος ἀοιδὸς ἐπαύσατο, τότε δὴ ὁμάδησαν μὲν οἱ μνηστῆρες. Et paulò inferiùs: Παυσαμένου δὲ τοῦ ἀοιδοῦ, ὁ συνέδης βεβαιοῖ ὅμαδος. Sed, ut opinor, minùs rectè; quia iisdem verbis novam periodum sæpiùs alibi inchoat Poeta: Vide suprà ad ά, 365. ϑ', 768. et infrà ad σ', 398.

Ibid. —— αὐτὰρ Ἀθήνη.] Ἰσσίον δὲ ὡς καὶ νῦν Ἀθηνᾶ ἡ τὸν Ὀδυσσέα ὀτρύνασα ἐπαινεῖν, ἢ παρ' αὐτῷ ἐστὶ φρόνησις· ἢ, στοχασαμένη καιρὸν εἶναι ἄρτι τοῦ τοιούτου ἔργου, ἐγχειρεῖ τῇ πράξει. *Eustath.*

Ver. 362. — πύρνα.] Πύρνα σιτία. *Schol.*

Αλλ' οὐδ' ὥς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
Βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
Πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
Οἱ δ' ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν·
Ἀλλήλους τ' εἴροντο, τίς εἴη, καὶ πόθεν ἦλθοι.
Τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Ἦτοι μὲν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
Αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.
Ὣς ἔφατ'· Ἀντίνοος δ' ἔπεσιν νείκεσσε συβώτην·
Ὦ ῥίγιστε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
Ἤγαγες; ἦ οὐχ ἅλις ἡμιν ἀλήμονές εἰσι καὶ ἄλλοι
Πτωχοὶ ἀνιηροὶ, δαιτῶν ἀπολυμαντῆρες;
Ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
Ἐνθάδ' ἀγειρόμενοι; σὺ δὲ καί ποθι τόνδ' ἐκάλεσσας;

Sed neque sic quenquam exemptura erat malo.
Perrexit autem *is* ire petiturus dextrorsùm à viro quoque, 365
Undique manum porrigens, tanquam si mendicus olim fuisset.
Hi verò miserantes dabant, et admirabantur ipsum;
Aliique alios interrogabant, quisnam esset, et undè venisset.
Inter hos autem et locutus est Melanthius, custos caprarum:
" Audite me, proci inclytae reginae, 370
" De hoc hospite; profectò enim anteà ipsum vidi.
" Profectò quidem ei huc subulcus dux erat.
" Ipsum autem non apertè scio, undè *se* genere profiteatur esse."
Sic dixit: Antinous autem verbis objurgavit subulcum:
" O notissime subulce, cur verò tu hunc in-urbem 375
" Duxisti? an non satis nobis errones sunt et alii
" Mendici molesti, conviviorum contaminatores?
" An parvi-pendis, quòd tibi victum comedant domini
" Hîc congregati? tu autem etiam alicundè hunc vocasti?"

Ver. 365. ——— *ἴμεν.*] *Al. ἴμεν'.*
Ibid. —— ἐνδέξια.] Ἀντὶ τοῦ δεξιοῦ μέρους. *Schol.* Ἢ ἀντὶ τοῦ ἰσιδίξιος· οὗ πρὸς σαφήνειαν ἐπῆκται τὸ "ὡς εἴτι πτωχὸς πάλαι εἴη." *Eustath.* Priorem veriorem esse explicationem liquet ex aliis locis ubi hanc vocem usurpat Poeta. Vide ad *Il. δ*, 597. et *ή*, 184.
Ver. 366. ——— *ὡς εἰ.*] Ita *Henricus Stephanus* et *Barnesius*. *Al. ὡσεί.*
Ver. 375. Ὦ *ῥίγιστε συβῶτα.*] *Al.* Ὦ *ἀρίγνωτε.*
Ver. 376. —— *ἦ οὐχ ἅλις.*] Voculæ *ἦ οὐχ* hîc, uti rectè notavit *Barnesius*, in unam syllabam coalescunt. Pronunciabatur scilicèt *ἦνχ ἅλις*. Vide ad *Il. ί*, 349. et *ί*, 533.
Ibid. —— *ἡμιν ἀλήμονες.*] Τοῦ δὲ "ἡμιν" συστέλλει μὲν τὴν λήγουσαν, πλεοναζῇ δὲ τὴν ἔχουσαν λόγῳ ἐγκλιτικῇ, καθά που καὶ ἀλλαχοῦ ἐποίησε. *Eustath.* Vide suprà ad *Φ*, 569. et *π'*, 372.
Ver. 378. Ἦ *ὄνοσαι, ὅτι τοι βίοτον &c.*] Ὀνοσαι, νῦν ἀντὶ τοῦ ἀφιλῇ. *Schol. Eustathius* aliter: Τὸ δὲ "Ἦ ὄνοσαι" ἀσυνίσως ἔφη, ἀντὶ τοῦ, ἦ μέμφῃ, ἡμῶν δηλαδὴ, ἢ τοῦς ἄλλους, ὡς μὴ βοσεῖς οὖσι, μηδὲ δαπανᾷν τὸ δυναμένους τὰ τοῦ οἴκου τῶν σῶν δεσποτῶν; καὶ διὰ τοῦτο καὶ ἱκέσευε ἄγειν τοὺς ἀξιολογώτερον καταφαγομένους ἱκετῶν; Καὶ ἐστὶν ἴνοσα ὁμοία πρὸς τὸ [suprà *ί*, 379.] "Ἀλλ' οὐδ' ὥς σε ἔολπα ὑπότροπον ἔμμεναι οἴκου." Ita illi. Rectiùs autem (ut opinor) cum *Barnesio* interpretèris, "*An parvi pendis?*" vel, "*An pro nihilo ducis, domini tui bona absumi &c.?*" Vide suprà ad *ί*, 379. *Φ*, 239. item *Iliad. δ'*, 539. *ί*, 164. *ώ*, 439.
Ibid. ——— *κατέδουσιν.*] *Al. κατέδωσιν.*
Ver. 379. ——— *τόνδ'.*] *Al. πρετί.*

Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις·
Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
Ἄλλον γ', εἰ μὴ τῶν, οἳ δημιοεργοὶ ἔασιν;
Μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
Ἢ καὶ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπησιν ἀείδων;
Οὗτοι γὰρ πλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
Πτωχὸν δ' οὐκ ἄν τις καλέοι τρύξοντά γ' αὐτόν.
Ἀλλ' αἰεὶ χαλεπὸς πέρι πάντων εἶς μνηστήρων
Δμωσὶν Ὀδυσσῆος, πέρι δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε
Οὐκ ἀλέγω, εἴως μοι ἐχέφρων Πηνελόπεια
Ζώει ἐνὶ μεγάροις, καὶ Τηλέμαχος θεοειδής.
Τὸν δ' αὖ Τηλέμαχος τετιημένος ἀντίον ηὔδα·
Σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐτέεσσιν·

Hunc autem respondens allocutus es, Eumaee subulce: 380
" Antinoë, non quidem bona, etiamsi eximius-sis, dicis:
" Quis enim demùm hospitem vocat aliundè ipse ubi-aderit,
" Alium scilicèt, nisi eorum *aliquem*, qui publici-operarii sunt?
" Vatem, vel medicum malorum, vel fabrum lignorum,
" Vel etiam divinum cantorem, qui delectet canens? 385
" Hi enim vocati utique hominum in immensâ terrâ:
" Mendicum autem nemo vocaret attriturum seipsum.
" Sed semper difficilis super omnes es procos
" Servis Ulyssis, præcipuè verò mihi: at ego
" Non curo, quamdiù mihi prudens Penelope 390
" Vivit in ædibus, et Telemachus deo-par."
Illum autem rursùs Telemachus prudens contrà allocutus est:
" Tace, nè mihi hunc vicissim-compella multùm verbis:

Ver. 382. Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθών.] *Aristoteles de Republ. lib.* VIII. *cap.* 3. versum hunc (notante *Barnesio*) legit, aut fortè memoritèr citat, hoc modo:

Ἀλλ' οἷον μὲν γ' ἐσθλὸν καλεῖν ἐπὶ δαῖτα θαλίην.

Vide infrà ad *ver.* 385.

Ver. 384. Μάντιν, ἢ ἰητῆρα κακῶν, —— Ἢ καὶ θέσπιν ἀοιδόν.] Similitùr ferè *Empedocles* apud *Clementem Alexandrinum*, *Strom.* IV.

Εἰς ἁλς, μάντις τε καὶ ὑμνοπόλοις καὶ ἰητροῖ,
Καὶ πεφυκὼς ἀνδράσιν ἐσχατόωσιν ἑταίροις.

Cæterùm MS. à *Tho. Bentleio* collatus hìc legit, Μάντιν γ', ἢ ἰητῆρα κακῶν. *Al.* Μάντιν, ἢ ἰητῆρα νόσων.

Ver. 385. Ἢ καὶ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπησιν.] Καὶ τὴν μουσικὴν οἱ πρότερον εἰς παιδίαν ἔταξαν, οὐχ ὡς ἀναγκαῖον· οὐδὲν γὰρ ἔχει τοιοῦτον· οὐδ' ὡς χρήσιμον, ὥσπερ τὰ γράμματα πρὸς χρηματισμὸν, καὶ πρὸς οἰκονομίαν, καὶ πρὸς μάθησιν, καὶ πρὸς πολιτικὰς πράξεις πολλάς· —— οὐδ' αὖ παιδιᾶς ἡ γυμναστικὴ, πρὸς ὑγίειαν καὶ ἀλκὴν· εὐλόγως γὰρ ταύτων ἐρῶμεν γιγνόμενην τῆς μουσικῆς. Λείπεται τοίνυν πρὸς τὴν ἐν τῇ σχολῇ διαγωγήν· εἰς ὅπερ καὶ φαίνονται παράγοντες αὐτήν. Ἦν γὰρ οἴονται διαγωγὴν εἶναι τῶν ἐλευθέρων, ἐν ταύτῃ τάττουσι. Διόπερ Ὅμηρος οὕτως ἐποίησεν· " Ἀλλ' οἷον μὲν γ' ἐσθλὸν καλεῖν ἐπὶ δαῖτα θαλίην." Καὶ οὕτω πρεπωδὸν, ἱππέων τινὰς, " Οἱ καλέουσιν ἀοιδὸν (φησὶν) " ὅ κεν τέρπησιν ἅπαντας." *Aristot. de Republ. lib.* VIII. *cap.* 3.

Ibid. —— ὅ κεν τέρπησιν.] *Al.* ὃς ἂν τέρψαιμι.

Ibid. —— τέρπησιν ἀείδων.] Apud *Aristotelem*, loco jam suprà citato, τέρψειεν ἅπαντας.

Ver. 387. —— καλέει.] *Al.* καλέει.

Ibid. —— τρύζοντά ἑ αὐτόν.] Ita edidit *Barnesius* ex *Apollonio* περὶ Συντάξεως, *lib.* 2. Rectè, ut videtur. *Vulgg.* ἑαυτόν. Vide ad *Il.* ρ', 551. *Al.* τρύζοντα ὀν οἶκον.

Ver. 389. Δμωσὶ δ'.] *Al.* Δμωσὶ δ'.

Ver. 393. Σίγα, μή μοι &c.] Legitur, notante *Eustathio*, et Ἅττα, μή μοι. " Malè " tamen," inquit *Barnesius*, " Quandoquidem Ultima τοῦ Ἅττα brevis est." Sed et quâ ratione etiam extra Cæsuram producì

Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
Μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους.
Ἦ ῥα, καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
Ἀντίνοε, ἦ μεν καλὰ, πατὴρ ὥς κήδεαι υἱος·
Ὅς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
Μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.
Δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε·
Μήτ' οὖν μητέρ' ἐμὴν ἄζευ τόγε, μήτε τιν' ἄλλον
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
Αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι, ἢ δόμεν ἄλλῳ.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέειπε·
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες;
Εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
Καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζῃ

" Antinous autem consuevit malè irritare semper
" Verbis asperis, incitatque etiam alios."
Dixit, et Antinoum verbis alatis allocutus est:
" Antinoë, profectò me benè curas, pater uti filium,
" Qui hospitem jubes à domo pellere
" Verbo violento: nè istud deus perfecerit.
" Da ei *aliquid* sumptum; non tibi invideo; jubeo enim ego:
" Neque itaque matrem meam verere hâc-*in*-re, neque quenquam alium
" Servorum, qui in aedibus *sunt* Ulyssis divini.
" Sed non tibi tale in pectoribus cogitatum:
" Ipse enim comedere multò mavis, quàm dare alii."
Illum autem rursùs Antinous respondens allocutus est:
" Telemache altiloque, animo indomite, quale dixisti?
" Si ei tantum omnes praebercnt procî,
" Etiam ipsum tres menses procul hinc domus detineret."
Sic utique dixit: et scabellum prehensum ostendit subter mensam

---

posset, vide ad *Il.* ά, 51. Porrò et in uno MS. Ἄσσα scriptum reperit *Tho. Bentleius.*

Ver. 394. 398 et 416. — ἴσθι — ἄνωγας — ἴσασι.] Vide ad *Il.* ά, 37. et Σ', 322.

Ver. 395. —— ἐποτρύνει.] *Eustathius* videtur legisse ἐποτρύνω.

Ver. 397. Ἀντίνοε, ἦ μεν καλά.] Ἔφη καὶ Εἰρωνίᾳ παρ' αὐτῷ, [Ὁμήρῳ,] λόγος διὰ τοῦ ἐναντίου δηλῶν τὸ ἐναντίον, μετὰ τινὸς ἠθικῆς ὑποκρίσεως· οἷον —— ὅταν τις ἄλλως ἐκπαιδεύῃ προσποιῆται, τῇ ἀληθείᾳ ψέγων. Καὶ τοῦτό ἐστι παρ' Ὁμήρῳ λεγόμενον ὑπὸ Τηλεμάχου· " Ἀντίνοε, ἦ μεν καλὰ, πατὴρ ὡς κήδεαι υἱος." Τῷ γὰρ ἐχθρῷ λέγει, ὅτι ὡς πατὴρ υἱὸν προφέρεται. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7.

Ibid. —— υἱος.] *Al.* υἱοῦ.

Ver. 398. —— ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι.] Sic apud *Euripidem*:

—— τάμὰ δ' οὐκ ἐπίστασαι
Μὴ λαθεῖν ἀπεῖσιν, οὐδ' ἀνιμᾶζειν ξένους.
Alcest. ver. 566.

Ibid. —— ἀπὸ μεγάροιο δίεσθαι.] *Barnesius*, Versionesque vulgatæ, reddunt " *à domo* " *exire.*" Sed rectiùs (ut opinor) interpretêris " *à domo pellere;*" ut infrà ά, 343.

Αἰδόμαι δ' ἀλεγεινὸν ἀπὸ μεγάροιο δίεσθαι
Μύθῳ ἀναγκαίῳ.

Ver. 401. Μήτ' οὖν.] *Al.* Μήτε τι.

Ver. 408. —— τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.] Οὐκ ἂν ἐπὶ τρεῖς μῆνας προείλοτο αἰτήσων. *Schol.*

Ver. 409. —— ὑπέφηνε.] *Al.* ὑπ' ἔφηνε.

Ibid. —— τραπέζῃ.] MSS. duo à *Tho. Bentleio* collati, τραπέζης.

Κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων,
Οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
Σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς,
Αὖτις ἐπ' οὐδὸν ἰὼν, πρόποσις γεύσεσθαι Ἀχαιῶν·
Στῆ δὲ παρ' Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπεν·
Δὸς, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
Ἔμμεναι, ἀλλ' ἄριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
Τῷ σε χρὴ δόμεναι καὶ λώϊον, ἠέ περ ἄλλοι,
Σίτου· ἐγὼ δ' ἄν σε κλείω κατ' ἀτείρονα γαῖαν.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
Ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
Τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
Ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἵσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων, (ἤθελε γάρ που,)
Ὅς μ' ἅμα λῃστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν
Αἴγυπτόνδ' ἰέναι δολιχὴν ὁδὸν, ὄφρ' ἀπολοίμην·
Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας·

Jacens, cui scilicèt imponebat nitidos pedes epulans. 410
Caeteri autem omnes dabant, impleverunt que proindè peram
Pane et carnibus: citò sanè et erat Ulysses,
Rursùs ad limen profectus, gratis gustaturus Achivos:
Stetit autem juxta Antinoum, et ipsum sermone allocutus est:
" Da, amice; haud quidem mihi videris pessimus Achivorum 415
" Esse, sed optimus; quoniam regi similis es.
" Ideò te oportet dare et meliùs, quàm etiam alii,
" De-pane; ego autem te laudarem per immensam terram.
" Etenim ego aliquandò domum inter homines habitabam
" Beatus divitem, et saepè dabam erroni 420
" Tali, qualiscunque esset, et cujuscunque-rei indigens venisset:
" Erant autem *mihi* servi valdè multi, aliaque multa,
" Quibus utique benè vivunt *homines*, et divites vocantur:
" Sed Jupiter pessundedit Saturnius, (voluit enim aliquâ-de-causâ;)
" Qui me cum latronibus multivagis impulit 425
" In-Aegyptum ire, longum iter, ut perirem:
" Statui verò in Aegypto fluvio naves remis-utrinque-agitatas:

Ver. 413. —— πρόποσις.] Τῆς δωρεᾶς δόσεως. *Schol.*

Ibid. —— γεύσεσθαι.] *Al.* γεύσασθαι.

Ver. 415. —— οὐ μέν μοι δοκέεις ὁ κάκιστος.] Vide ad *Il.* ν', 344. et ὁ, 11. Cæterùm *Eustathius* citat, οὐ μέν τοι δοκέεις.

Ver. 416. —— ἐπεὶ βασιλῆϊ ἔοικας. Τῷ σε χρὴ δόμεναι καὶ λώϊον.] Θεασύλλου δὲ τοῦ Κυνικοῦ δεηζαμένου αὐτὸν, [Ἀντίγονον·] φησὶν "Ἀλλ' οὐ βασιλικόν" εἶπε "τὸ δόμεν." *Plutarch. Apophthegm.* "Regem armis, quàm "munificentiâ, vinci, minùs flagitiosum." *Bocchus, apud Sallust. Bell. Jugurth.* § 118.

Ver. 418. —— ἐγὼ δ' ἄν σε κλείω κατ' ἀτείρονα γαῖαν.] *Al.* ἐγὼ δέ κέ σε κλείω.

Ver. 423. Οἵσίν τ' εὖ ζώουσι.] Quibus videlicèt ——. *Al.* οἵσί τ' εὖ ζώουσι.

Ver. 425. —— ἅμα λῃστῆρσι πολυπλάγκτοισιν.] Vide suprà ad γ', 73.

Ver. 426. 427. Αἴγυπτόνδ' ἰέναι, —— Αἰγύπτῳ ποταμῷ.] Αἴγυπτος μὲν ἁπλῶς ἡ χώρα, ἣ καὶ ἡ πόλις εἶτα· ὁ δὲ μετὰ προσθήκης Αἴγυπτος ποτάμιος, τὸν Νεῖλον δηλοῖ. *Eustath.* ad ver. 448. infrà. Vide suprà ad ξ, 257. 258. item ad δ', 581. et λ', 638.

Ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἑρίηρας ἑταίρους
Αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι,
Ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
Οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
Αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
Πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,
Αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.
Οἱ δὲ, βοῆς ἀΐοντες, ἅμ' ἠοῖ φαινομένῃφιν,
Ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε, καὶ ἵππων,
Χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
Φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν· οὐδέ τις ἔτλη
Στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
Ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Αὐτὰρ ἔμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·
Ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω, πήματα πάσχων.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο, φώνησέν τε·
Τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
Στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,

" Tunc quidem ego hortabar dilectos socios
" Illic apud naves manere, et naves tueri;
" Speculatores autem ad speculas jussi ire:
" Hi verò insolentiae cedentes, sequentes impetum suum,
" Citò admodùm Aegyptiorum virorum perpulchros agros
" Populabantur; mulieresque abducebant et infantes liberos,
" Ipsosque interficiebant: citò verò in urbem pervenit strepitus.
" Illi autem clamorem audientes, simul-cum aurorâ apparente
" Venerunt; impletus autem est totus campus peditibusque et equis,
" Aerisque fulgore: Jupiter autem gaudens-fulmine
" Fugam meis sociis malam immisit; neque quisquam sustinuit
" Consistere contrà; circum enim mala undique stabant.
" Ibi nostrûm multos quidem interfecerunt acuto aere;
" Alios verò abduxerunt vivos sibi operaturos ex-necessitate:
" At me in Cyprum hospiti dederunt obviàm-facto
" Dmetori Jasidae, qui Cypro fortitèr imperabat:
" Indè demùm nunc huc venio, damna patiens."
Huic autem rursùs Antinöus respondit, dixitque;
" Quis deus hanc pestem adduxit, convivii molestiam?
" Sta sic in medium *profectus*, meâ procul à mensâ,

Ver. 431. —— μίνῃ σφῷ.] *Al.* μίνῃ ᾧ. Quod et præfert *Barnesius*. Vide ad *Il.* ά, 51.

Ver. 432. —— Αἰγυπτίων.] Vide suprà ad ϑ', 83. et ad *Il.* β', 537.

Ver. 436. —— πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε, καὶ ἵππων, Χαλκοῦ τε στεροπῆς.] Vide suprà ad ξ', 267. et ad *Il.* ν', 539.

Ver. 441. —— ἄναγον.] MS. unus à *Tho. Bentleio* collatus, ἄγαγον. Quo modo et Vulgati habent suprà ξ', 272. ubi occurrit hic locus.

Μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἴδηαι·
Ὡς τις θαρσαλέος καὶ ἀναιδὴς ἔσσι προΐκτης.
Ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσι
Μαψιδίως· ἐπεὶ οὔτις ἐπίσχεσις, οὐδ' ἐλεητύς
Ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ.
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ πόποι· οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
Οὐ σύ γ' ἂν ἐξ οἴκου σῷ ἱκνεύμενος ἔνδον ἐόντι
Ὅς νῦν ἀλλοτρίοισι παρήμενος, οὔτι μοι ἔτλης

" Nè citò amaram Aegyptum et Cyprum videas:
" Adeò quidam audax et impudens es mendicus.
" Ordine omnibus astas: hi autem dant
" Temerè; quia nulla *est* parsimonia, neque miseratio
" Quin de-alienis largiantur; quoniam adsunt multa cuique."
Hunc autem retrogressus allocutus est solers Ulysses:
" Papae! haud ergò tibi cum formâ etiam mens erat:
" Non tu utique ex domo tuo supplici vel salem dares:
" Qui nunc alienis assidens, haud quicquam mihi sustinuisti

Ver. 448. Μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἴδηαι.] Dna *Dacier* hunc versum reddit hoc modo: "*De peur que je ne te fasse re-*" *voir cette triste terre d'Egypte, ou Cypre.*" Et in annotationibus: " C'est à dire," inquit, " de peur que je ne te vende à des " corsaires, qui te meneront encore en E-" gypte; ou qui iront te vendre dans l'isle " de Cypre." Rectiùs autem (ut opinor) *Eustathius*: Αὐτὸ δὲ τὸ, " Μὴ τάχα πικρὴν " Αἴγυπτον, &c. Θυμικῶς ἐφθη, οὐκ ἐνδεικνύντου αὐτῷ ἁπλῶς οὕτως ἐοικὸς· δηλοῖ δὲ, ὡς ἐπὶ πακῷ τοῦ ξένου ἔσται τὸ περὶ Αἰγύπτου καὶ Κύπρου ἀφηγεῖσθαι ὡς ἴκοιτο ἐκεῖ, καὶ εἴδε τὰ ἐκεῖ.

Ibid. —— ἴδηαι.] *Al.* ἴδηαι.

Ver. 451. —— ἐπεὶ οὔτις ἐπίσχεσις, &c.] *Al.* ἐπεὶ οὔτις ἐπὶ σχίσει. Cæterùm aptissima hæc personæ Antinöi superbæ et iniquæ; qui, cùm ipse bonorum Ulyssis diripiendorum reliquis procis dux et auctor sit, simul tamen ac illos pauperi nonnihil largientes videat, profusionis statim incusat, suæque ipsius inclementiæ æquitatis speciem prætexit.

Ibid. —— οὐδ' ἐλεητύς, Ἀλλοτρίων χαρίσασθαι.] " Bona aliena largiri, *liberalitas* — " vocatur." *Cato apud Sallust. Bell. Catilin.* § 55. " Quid est aliud nisi aliis sua eripe-" re, allis dare aliena?" *Cic. de Offic. lib.* II. § 23.


Ver. 90. Ἢ ἐλάσει'.] Ita edidit *Barnesius* ex versu sequente Ἠέ μιν ἦπ' ἐλάσειε. Rectè ut videtur. *Vulgg.* Ἢ ἐλάσει. *Al.* Ἢ ἐλάσῃ.

Ver. 91. —— ταναύσσειεν.] Ita iterùm rectè *Barnesius:* Quocum facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* ταναύσειεν. Quod antepenultimam corripit. Vide ad *Il.* ε', 58.

Ver. 93. —— ἵνα μή μιν ἐπιφρασσαίατ' Ἀχαιοί.] Τιμωρήσωνται δηλαδὴ τὸν ἄνδρα ἐν τῇ αὐτῷ βιαιρᾷ ἐλάσαντα. *Eustath.*

Ibid. —— Ἀχαιοί.] Οἱ μνηστῆρες· Ut rectè *Barnesius.* Vide suprà ad ε', 513.

Ver. 94. Δὴ τότ' ἀνασχομένω, ὁ μέν.] De hujusmodi Syntaxi, vide suprà ad μ', 73.

Ver. 95. —— ἤλασεν ὑπ' οὔατος, ὀστέα δ' εἴσω Ἔθλασεν *&c.*] Pulcherrimè *rem* depingunt et quasi ob oculos ponunt hæc verba.

Ver. 96. —— ἦλθεν ἀνὰ στόμα.] *Al.* ἦλθε κατὰ στόμα.

Ver. 99. Χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον.] Ὡσαύτως δὲ καὶ λυσιῳδοῦντα ἐπιφέρεται, [Ὅμηρος,] καὶ ἡδομένων ἅμα· ὥστε ὁ μὲν Ὀδυσσεὺς ἀπηγόρευεν, ἴφι, [suprà ι, 413.] " — ἰμὸν δ' " ἰγέλασσε φίλον κῆρ·" οἱ δὲ μνηστῆρες στείνεσθαι τὸν σπουδὸν ἰδόντες, " Χεῖρας, ἀνασχόμενοι γέ- " λῳ ἔκθανον." *Dionys. Halicarn.* περὶ τῶν Ὁμήρου σχημάτων. § 16.

Ibid. —— γέλῳ.] Ἐν δὲ τῷ, " γέλῳ ἔθα- " νον," ἔδηλον —— εἴτε κατὰ ἰσοπαλίλυσιν κλίσιν ἡ δευτλαλίαν τῷ γέλῳ, εἴτε καὶ κατὰ ἀντωνυμίαν ἐκ τοῦ γέλωνι, ὅτι οὐδ' ἂν ἔχοι τὸ ἑῶσα περιγεγραμμένον. *Eustath.* Ὁ χρὼς, τοῦ χρῶ, Ἀττικῶς, ὁ γέλως, γέλω. Οἱ δὲ ἀπὸ τοῦ χρὼς, χρωτὶ, ἀποκοπῇ τῆς " τι" συλλαβῆς. *Suidas,* ad voces Ἐν χρῷ κινημένος. Sed et γέλῳ *Dativus* simpliciter esse potest ex γέλως, quæ vox apud Poetam occurrit infrà υ, 346.

Ἄσβεστον γέλῳ ὄρσει ——

Nisi ibi fortè vera sit lectio quam habet MS. à *Tho. Bentleio* collatus, Ἄσβεστον γέλω ὄρσει ——. Vide infrà ad *ver.* 211.

Εἶσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἔνταυθοῖ νῦν ἧσο, κύνας τε σύας τ' ἀπερύκων,
Μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι,
Λυγρὸς ἐών· μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ', ἄρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω
Ἡδὺ γελώοντες, καί ἑ δειπανόωντ' ἐπέεσσιν·
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὅττι μάλιστ' ἐθέλεις, καί σοι φίλον ἔπλετο θυμῷ,
Ὅς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας
Ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν Ἠπειρόνδε
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.
Ὣς ἄρ' ἔφαν· χαῖρεν δὲ κλεηδόνι θεῖος Ὀδυσσεύς·
Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν
Ἐμπλείην κνίσσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
Ἄρτους ἐκ πανέοιο δύω παρέθηκεν ἀείρας,
Καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε·

Statuit reclinatum; baculum autem ei injecit manu,
Et ipsum affatus verba alata dixit:
" Hic nunc sede, canesque, suesque abarcens;
" Neque tu sanè hospitum et mendicorum dominus esto,
" Vilis cùm-sis; necubi aliquod malum etiam majus accipias."
Dixit utique; et circum humeros sibi turpem jaciebat peram,
Crebris locis laceram; tortile verò inerat lorum.
Retrò autem ipse ad limen profectus desidebat; illi autem iverunt intrò
Suavitèr ridentes, et eum blandè-compellabant verbis:
" Jupiter tibi det, hospes, et immortales dii alii,
" Quodcunque maximè vis, et tibi gratum est animo;
" Qui hunc insatiabilem à mendicando cessare-fecisti
" In populo: citò enim ipsum ducemus in-Epirum,
" Ad Echetum regem, hominum multatorem omnium."
Sic utique dixerunt; gaudebat autem omine nobilis Ulysses;
Antinous verò ei magnum ventrem opposuit
Plenum pinguedineque et sanguine: Amphinomus verò
Panes ex canistro duos apposuit sublatos,
Et poculo aureo propinabat, dixitque:

Ver. 104. —— *κύνας τε σύας τ'.*] Ita rectè *Barnesius* ex Editionibus quamplurimis. *Henricus Stephanus* malè, *κύνας σύας τ'*. Cæterùm MS. à *Tho. Bentleio* collatus hìc habet *σύας τε κύνας τ'* quo modo et citat in commentario *Eustathius*.

Ver. 106. —— *ἰκαύεις.*] *Al. ἰκαύεις.*

Ver. 107. —— *ἀμφ' ὤμοισιν —— βάλλετο.*] " *Humeris sibi circumjiciebat.*" Hæc nimirùm propria verbi *βάλλετο* in *Voce Mediâ* significatio. Vide suprà ad *ί*, 491. et *ί*, 296.

Ver. 110. —— *γελώοντες.*] *Al. γελάοντες.*

Ibid. —— *καί ἑ δειπανόωντ'.*] *Al. καὶ δειπανίουσ'.*

Ver. 115. *Εἰς Ἔχετον βασιλῆα.*] Vide suprà ad *ver.* 84.

Ver. 116. —— *θεῖος.*] *Al. δῖος.*

Ver. 117. —— *ἄρα.*] *Ut pollicitus erat.* — suprà *ver.* 46.

Ibid. —— *παρά.*] *Al. πρός.*

Χαῖρε, πάτερ, ὦ ξεῖνε· γένοιτό τοι ἔσπερ ὀπίσσω
Ὄλβος, ἀτὰρ μὲν νῦν γε πανοῖς ἔχεαι πολέεσσι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·
Τοιούτου γὰρ πατρὸς· ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἄμεν, αἰχμητήν τε·
Τοῦ σ' ἐκ φασὶ γενέσθαι· ἐπητῆ δ' ἀνδρὶ ἐοικας.
Τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
Πάντων, ὅσσα τε γαῖαν ἐπὶ πνείει τε καὶ ἕρπει.
Οὐ μὲν γάρ ποτε φησὶ κακὸν πείσεσθαι ὀπίσσω,

" Salve, pater, ô hospes, adsit tibi in posterum saltem
" Felicitas; at nunc quidem malis teneris multis."
Hunc autem respondens allocutus est solers Ulysses:
" Amphinome, certè valdè mihi videris prudens esse;
" Tali enim patre *es*; quippè famam bonam audiebam,
" Nisum Dulichiensem bonumque esse, divitemque:
" Ex hoc te dicunt natum esse: ingenioso autem viro similis-es.
" Propterea tibi dicam, tu autem attende, et me audi:
" Nihil imbecillius terra nutrit homine
" Omnium, quotquot super terram spirant et serpunt.
" Etenim nunquam putat malum passurum esse se in posterum,

Ver. 121. Χαῖρε, πάτερ, ὦ ξεῖν.] *Barnesius* edidit πατὴρ, quòd ea sit "tutior" lectio. Sed nihil opus. Vide ad *Il. ά*, 51.

Ibid. ——— ἕσπερ ὀπίσσω.] Editiones nonnullæ hîc habent ὅσπερ ὀπίσσω. Καὶ ἴχει καὶ τοῦτο (inquit *Eustathius*) τὴν αὐτὴν ἔννοιαν, ὡς ἰσοδυναμούντος τοῦ "ὡς" τῇ "ἧς" προθέσει. Vide suprà ad φ, 218. MS. etiam à *Tho. Bentleio* collatus hîc legit ἕσπερ.

Ver. 125. Τοιούτου γὰρ πατρός.] MS. à *Tho. Bentleio* collatus, Τοίου γὰρ καὶ πατρός. Quæ est proba lectio.

Ver. 126. Νῖσον Δουλιχιῆα.] Τὸν ἀπὸ Δουλιχίου. *Schol.* Vide suprà ad σ', 395. 396.

Ver. 129. Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.] *Al.* Οὐδὲν ἀκιδνότερον.

Οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς,
Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.
Iliad. ρ', 446.

Ὦ πόπα ἦ δειλὸν θνητῶν γένος. ———
Empedocles apud Clem. Alex. Strom. III.

ubi citatur et hic *Homeri* versus. Καινὸν ἀνευρὼν οὐδὲν ἀνθρώπῳ, ἀλλὰ πάντες ταυτὸ πεπόνθαμεν. "Ἀσπερος γὰρ ἡ τύχη, (φησὶ δὲ Θεόφραστος,) καὶ δικὴ παιδιόθεν τὰ πρωτοτυπήματα, καὶ μεταβάλλει τὴν δοκοῦσαν εὐημερίαν, οὐδένα καιρὸν ἔχουσα ταυτόν. Ταῦτα δὲ καὶ ἄλλα τοιαῦτα, καὶ καθ' ἑαυτὴν ἑκάστην λογίσασθαι ῥᾴδιον, καὶ ἄλλων ἀκοῦσαι παλαιῶν καὶ σοφῶν ἀνδρῶν ὧν πρώτος μὲν ἐστὶν ὁ θεῖος Ὅμηρος, εἰπὼν, "Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώπου, &c." *Plutarch. de Consolat. ad Apollonium.*

Ver. 130. Πάντων, ὅσσα τε γαῖαν ἐπὶ πνείει καὶ ἕρπει. Apud *Plutarchum*, loco jam suprà adducto, citantur versus huic præcedens, sexque proximè sequentes, omisso hoc versu. Quin et verisimile videtur versum hunc hujus loci proprium non esse, sed ex *Iliad. ξ*, 447. huc irrepsisse. Nam præcedente γαῖα τρέφει, parùm aptè sequitur γαῖαν ἐπὶ πνείει.

Ibid. —— ἐπὶ πνείει.] Ita ex *Barnesii* ut vocula ἐπὶ "æquè referri [illegible]" πνείει, et ἕρπει." *Vulgg.* ἐπιπνείει.

Ver. 131. Οὐ μὲν γάρ ποτε φησὶ κακὸν πείσεσθαι.] Οἷα τῆς ἀγαθῆς ἐλπίδος ἐστὶν ἡ αὐτὴ. *Eustath.* Similiter *Æschylus*

Ὅταν δ' ὁ δαίμων εὐμενὴς πνεύσῃ τινὰ
Τὸν αὐτὸν αἰεὶ δαίμον' εὐροῦν τύχοις.
Persæ, ver. 603.

ubi *Scholiastes* hunc *Homeri* locum adducit. Similiter et *Simonides*:

Οἶδ', ὑγιὴς ἔναι ἦ, φρονεῖν ἔχει παμάταν.
Fragm. ἐκ τῶν Θνητῶν βίων, ver. 10.

Nescia mens hominum fati sortisque futuræ,
Et servare modum, rebus sublata secundis!
Æn. X, 501.

Ὄφρ' ἀρετὴν παρέχωσι θεοί, καὶ γούνατ' ὀρώρῃ·
Ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάπαρες τελέσωσι,
Καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
Οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.

" Quamdiù felicitatem praebent dii, et genua vigent:
" Sed quandò demùm et mala dii hosti perficiunt,
" Et haec fert nolens reluctanti animo.
" Talis enim mens est terrestrium hominum,
" Qualem diem adducat pater hominumque deûmque.

Ver. 132. Ὄφρ' ἀρετὴν παρέχωσι θεοί.] Nῦν, τοῖς ἀγαθοῖς παρέχουσιν εὐθυμονίαν ἡμῖν τῷ [infrà σ', 114.] " ἀρετῶσι δὲ λαοί." *Schol.* Similiter ferè *Eustathius*: Ἀρετὴν δὲ τὴν εὐθυμονίαν λέγει καὶ εὐθηνίαν τοῦ βίου. *Stephanus* autem per ἀρετὴν hoc in loco, *vigorem corporis* potiùs, quàm *felicitatem*, intelligendum censet. *Thesaur. Ling. Græc.* ad vocem ἀρετή. Sed hoc, uti observat *Meric. Casaubonus, de nuperâ Homeri Edit. Dissertat.* II. cum sequentibus minùs congruit. Porrò *vigor* sequenti " γούνατ' ὀρώρῃ" denotatur.

Ibid. —— καὶ γούνατ' ὀρώρῃ.] Sim ter *Iliad.* λ', 477.

—— ὄφρ' αἷμα λιαρὸν, καὶ γούνατ' ἐρώρῃ.

Et apud *Theocritum*:

—— εἰς γόνυ χλωρόν. *Idyll.* XIV. *ver.* 70.

Ver. 133. —— τετλέωσι.] Apud *Plutarchum*, loco suprà ad *ver.* 129. citato, τελέσωσι. *Al.* τελέωσι.

Ver. 134. Καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.]

Τλητὸν γὰρ μοῖραν θυμὸν θέσαν ἀνθρώποισιν. *Iliad.* ω, 49.

" Quod autem," inquit *Mericus Casaubonus*, " τετληότι θυμῷ vertunt hîc *patienti animo*; " nihil à mente Poetæ, nisi commodâ ex- " positione leniatur, fingi potest alienius. " —— Nemo mala sua patienter ferentem " verè dicat miserum ——. Fatear apud " Homerum eam verbi notionem non ae- " mel occurrere; sed nihil obstat, quin, ut " nomen (ut Grammatici loquuntur) *sub-* " *stantivum* ελέημον, aliàs *patientem*, aliàs " *miserum* et *commiserandum* significat; ita et " *participium* τετληώς requirente id senten- " tiâ, eandem significationis latitudinem " admittat." *De nuperâ Homeri Editione, Dissertat.* II.

Ver. 135. Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων.]

Tales sunt hominum mentes, qualis [*al.* quali] pater ipse
Jupiter auctiferas [*al.* auctiferus] lustravit lumine terras.

Cicero, apud Augustin. de Civitate Dei, lib. V. *cap.* 8. *et Casaub. de nup. Homer. Edit. Dissertat.* II.

Τοῖος ἀνθρώπων νοῦς, ὃ Γλαῦκε καὶ Λυκόφρον, Γίνεται θνητοῖς, ὁποῖον Ζεὺς ἐφ' ἡμέρην ἄγει.

Archilochus à *Menagio* emendatus in annotationibus ad *Diog. Laërt. in Pyrrhone, lib.* IX.

Porrò haud dissimiliter *Euripides*:

Ὦ Ζεῦ, τί δῆτα τοὺς τελαμῶνας βροτοὺς Φρενῶν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα, Ἀρχηγὸν ὄντα σωτῆρ', ἢ 'ν ὑφ' ὑμνοῦμεν θέλαν. *Supplices, ver.* 734.

Et *Terentius*:

Omnibus nobis ut res dant sese, ita magni atque humiles sumus.
Hecyra, Act. III. *Scen.* iii. 20.

Virgilius denique:

Verturtur species animorum; et pectora motus
Nunc alios, alios dum nubila ventus agebat,
Concipiunt —— *Georg.* I, 420.

Ver. 136. Οἷον ἐπ' ἦμαρ ἄγησι πατήρ.] Οἱ μὲν φιλόσοφοι ἐαδίκασιν ὅτι οἷον ἄν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, τοιούτους καὶ τοὺς ἀνθρώπους διατελεῖν οἱ ἄνθρωποι. Ὁ δὲ Ποιητὴς λέγει, ὁποῖα ἂν ᾖ τὰ περιέχοντα, τοιούτους ἐξαπανίστησι. *Schol. Eustathius* priorem harum explicationum antiquiorem notat; ipse autem alteram sequitur: Ὁποῖα, inquit, ἂν ᾖ καὶ τὰ περιέχοντα, τοιοῦτός ἐστι καὶ ὁ τῶν ἐν ἐπιτυχίαις συνέχεσθαι· ἐν δὲ ταῖς ἀνάγκαις, ταπεινούμενος, Quod et optimè cum præcedentibus convenit. " Ut ἦμαρ autem," inquit *Casaubonus, de nup. Homer. Edit. Dissertat.* II. sub fin. " seu ἡμέρα, pro quocunque vitæ " statu, sive meliore sive deteriore, accipi- " atur; satis usitatum est. Et Homerus " ipse alibi in non dissimili sententiâ, δούλιον " ἦμαρ vocat *servitutem*:—"Ἡμισυ γάρ σ' ἀ- " ρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς Ἀνέρος, ὅτε' " ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι" [suprà ρ', 322.] Porrò alii, notante itidem *Casaubono*, vocem Οἷον non ad ἦμαρ, sed ad νόος referunt; ut sit Τοῖος νόος ἀνθρώπων, Οἷον [νόον scilicèt] ἐπ' ἦμαρ ἄγησι πατὴρ &c. Sed et hoc cum reliquâ sententiâ minùs aptè congruit. Vide *Menagium, Observat. in Laërtii Pyrrhonem, lib.* IX.

Καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
Πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, βίῃ καὶ κάρτεϊ εἴκων
Πατρί τ' ἐμῷ πίσυνος, καὶ ἐμοῖσι κασιγνήτοισι.
Τῷ μή τίς τοι πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
Ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅ, τι διδοῖεν·
Οἵ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
Κτήματα πείροντας, καὶ ἀτιμάζοντας ἄκοιτιν
Ἀνδρὸς, ὃν οὐκ ἔτι φημὶ φίλων καὶ πατρίδος αἴης
Δηρὸν ἀπίσσεσθαι· μάλα δὲ σχεδόν· ἀλλά σε δαίμων
Οἷπαδ' ὑπεξαγάγοι, μηδ' ἀντιάσειας ἐπείνῳ,
Ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
Οὐ γὰρ ἀναιμωτεί γε διακρινέεσθαι οἴω
Μνηστῆρας, κἀκεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθοι.
Ὣς φάτο· καὶ στείσας ἔπιεν μελιηδέα οἶνον·
Ἄψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
Αὐτὰρ ὁ βῆ κατὰ δῶμα, φίλον τετιημένος ἦτορ,
Νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμῷ.

" Etenim ego quondam consuescebam inter homines beatus esse;
" Multa autem injusta feci, viribus et robori obsequens,
" Patreque meo fretus, et meis fratribus.
" Quare nequis utique omninò vir injustus sit; 140
" Sed ille silentio dona deorum habeat, quodcunque dent:
" Qualia video procos injusta machinantes,
" Possessiones consumentes, et dedecorantes uxorem
" Viri, quem non ampliùs puto ab amicis et patriâ terrâ
" Diù abfuturum; valdè autem propè *esse*: sed te deus 145
" Domum subducat, neque occurras illi,
" Quandò redierit dilectam in patriam terram:
" Non enim sine-cruore utique diremptum ire puto
" Procos, et illum; postquam domum subierit."
Sic dixit; et libatione-factâ bibit dulce vinum; 150
Iterumque in manibus posuit poculum principi populorum.
Verùm is ivit per domum, charo afflictus corde,
Nutans capite; jam enim malum augurabatur animo.

Ver. 137. 140. Καὶ γὰρ ἐγώ ποτ' — Τῷ μή τις &c.] Haud dissimiliter *Euripides*:

Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεών,
Οὐδ' ἰσχυροῦντας τῷ δικεῖν πράξειν εὖ.
Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἰμ' ἔτι·
Τὸν πάντα δ' ὄλβον ἥμαρ ἓν μ' ἀφείλετο.
Hecub. ver. 282.

Ibid. —— ἔμελλον.] *Scholiastes* interpretatur, ἤμην, ἐνομιζόμην et *Eustathius* ἐώκειν. Vide suprà ad ά, 232.

Ver. 140. —— μή τίς τοι.] Apud *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 12. μή τίς ποτε. Atque ita habet MS. à *Tho. Bentleio* collatus.

Ver. 145. —— μάλα δὲ σχεδόν.] *Barnesius* edidit μάλα δὴ σχεδόν· "*ut magis huic loco* "*congruum.*" Sed minùs rectè.

Ver. 148. —— ἀναιμωτεί.] Ita edidit *Barnesius*; atque ita in Vulgatis scribitur hæc vox infrà ώ, 531. *Al.* ἀναιμωτί.

Ver. 149. —— κἀκεῖνον.] *Al.* καὶ κεῖνον.

Ibid. — ἐπεί κε μέλαθρον ὑπέλθοι.] Editiones nonnullæ, notante *Barnesio*, hic habent ἐπείλῃ· *Eustathius* autem et *Henricus Stephanus* legunt ὑπείλθοι. Quam lectionem et præfert *Barnesius*, quòd "*aptè clandestinum Ulys-*"*sis adventum significet.*" Attamen non videtur Poeta hoc in loco *adventum clandestinum* sed adventum simpliciter denotare voluisse.

Ver. 152. — κατὰ δῶμα.] *Al.* διὰ δῶμα.

Ver. 153. —— θυμῷ.] *Al.* θυμός.

Ἀλλ' οὐδ' ὣς φύγε κῆρα· πέδησε δὲ καὶ τὸν Ἀθήνη,
Τηλεμάχου ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι.
Ἄψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
Κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
Μνηστῆρεσσι φανῆναι, ὅπως πεπάσειε μάλιστα
Θυμὸν μνηστήρων, ἰδὲ τιμήεσσα γένοιτο
Μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος, ἢ πάρος ἦεν.
Ἀχρεῖον δ' ἐγέλασσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔτι πάρος γε,
Μνηστῆρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης·
Παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
Μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
Οἵτ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·

Sed neque sic fugit mortem: praepedivit nempè et hunc Minerva,
Telemachi sub manibus et hastâ fortitèr ut-domaretur. — 155
Iterùm verò resedit in sede, undè surrexerat.
Caeterùm in mentem posuit dea caesia-oculis Minerva
Filiae Icarii, prudenti Penelopae,
Procis se-ostendere, ut diffunderet maximè
Animum procorum, et honorata fieret 160
Magis viroque et filio, quàm anteà erat.
Effusè autem risit, verbumque fecit, compellabatque:
" Eurynome, animus mihi cupit, nequaquam anteà quidem,
" Procis me-ostendere, invisis licèt omninò:
" Filio autem dicam verbum, quod utilius fuerit, 165
" Ut non prorsùs procis cum superbis versetur,
" Qui scilicèt benè quidem loquuntur, malè autem ponè cogitant."
Hanc autem rursùs Eurynome oeconoma allocuta est:

Ver. 155. Τηλεμάχου ὑπὸ χερσί.] Infrà χ', 92.

Ver. 157. Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεά.]

Hìc mentem Æneæ genitrix pulcherrima misit. Æn. XII, 554.

Ver. 159. —— ὅπως στυγέοιτο μάλιστα Θυμὸν μνηστήρων.] Τουτέστιν, ἵνα καὶ τοὺς μνηστῆρας διαχὴν ἐλπιδοποιήσασα γάμου ὑποσχέσει. *Eustath.*

Ver. 160. —— ἰδὲ τιμήεσσα.] *Al.* καὶ τιμήσσα. Quod et præfert *Barnesius.*

Ver. 162. Ἀχρεῖον δ' ἐγέλασσεν.] Οἷον αὐτὰ ἐπ' σπουδῆς. *Schol.* Τὸ δὲ " ἀχρεῖον ἐγέλασεν" ἀντὶ τοῦ ἄκαιρον καὶ πρὸς οὐδεμίαν χρείαν. Ἀττικοὶ δὲ, φασὶ, τὴν λέξιν ταύτην προσαρεξύνουσιν, ἄχρειον λέγοντες. *Eustath.* Ita *Iliad.* β', 269.

Ἀλλήσας δ', ἀχρεῖον ἰδὼν ——————.

Et apud *Theocritum:*

Ἀχρεῖον κλάζοντι—. *Idyll.* XXV. *ver.* 72.

Atque hinc apud *Suidam,* Ἀχρειόγελως ἄνθρωπος, ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

Ver. 165. Παιδὶ δέ κεν εἴποιμι.] *Barnesius* edidit, Παῖδα δὲ κεν εἴποιμι. Rationibus, ut opinor, haud satis idoneis.

Ver. 166. Μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν.] Ita apud *Demosthenem:*

Ὅστις δ' ὁμιλῶν ἥδεται πανοῖς ἀνδρ,
Οὐ πώποτ' ἠρώτησα γιγνώσκων ὅτι
Τοιοῦτος ἐστὶν οἷς περ ἥδεται ξυνών.
Orat. de Falsâ Legatione.

Ver. 167. Οἵτ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν.]

Ὃς κ' εἴπῃ γλώσσῃ λώστα, φρονεῖ δ' ἕτερα.
Theogn. Gnom. ver. 96.

—— ἡδὺς τοῖς λόγοις φρονῶν πανοῦργος.
Euripid. Orest. ver. 906.

Vide suprà ad ε', 66.

Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἴθι, καὶ σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
Χρῶτ' ἀποψαμένη, καὶ ἐπιχρίσασα παρειάς·
Μηδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
Ἔρχευ· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
Ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
Ἡρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εὐρυνόμη, μὴ ταῦτα παραιφάσθω, κηδομένῃ περ,
Χρῶτ' ἀπονίπτεσθαι, καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
Ἀγλαΐην γὰρ ἔμοιγε θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν,
Ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη πολίης ἐνὶ νηυσίν.
Ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
Ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
Οἴη δ' οὐκ εἴσειμι μετ' ἀνέρας· αἰδόμομαι γάρ.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ δι' ἐκ μεγάροιο βεβήκει,

" Nae jam haec quidem omnia, filia, appositè dixisti.
" Sed i, et tuo filio verbum dic, neque cela,
" Corpus ubi-tibi-laveris, et unxeris genas:
" Neque sic lachrymis foedata circum faciem
" Vade; quoniam malum *est* lugere indiscriminatim semper.
" Etenim jam quidem tibi filius est tetus, quem tu maximè
" Supplicabas immortalibus barbatum videre."
Hanc autem rursùs allocuta est prudens Penelope:
" Eurynome, nè haec suadeas, sollicita licèt,
" Corpus ut-mihi-lavem, et me-ungam unguento:
" Pulchritudinem enim mihi dii, qui Olympum habitant,
" Perdiderunt, ex quo ille ivit cavis in navibus.
" Sed mihi Autonoënque et Hippodamiam jube
" Venire, ut mihi astent in aedibus;
" Sola verò non intrabo ad viros; verecundor enim."
Sic dixit: vetula autem è domo exivit

Ver. 169. —— ἴσατε.] *Al.* ἴστε.

Ver. 173. —— ἐπὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.] Ita supra Υ, 548.

Μηκέτι, Δαρδανίδη, σὺ, σεῦ χθόνα δενδρήεσσαν
οὕτω
Κλαῖ', ἐπεὶ οὔ τινα πῆμα νοήμονα πεύσεται ἄλλον.

" Nec sicci sint oculi, amisso amico, nec
" diuturnè lacrymandum est, non plorandum." *Seneca, Epist.* 63. sub initio.

Ibid. — ἄκριτον.] Vide ad *Il. ι*, 309. 344.

Ver. 174. "Ἤδη μὲν γάρ τοι παῖς τηλίκος.] Τοῦ δὲ "τηλίκος" ἐρωτικῶς εἰ, "γενειήσαντα "ἰδέσθαι," ἢ τελείους ἄνδρας καὶ ἡ χρησιμεύειν ἐν τοῖς μετὰ *Eustath.* " Docet," inquit *Spondanus*, " majorem esse laetitiae " quàm doloris causam Penelopae, quòd " jam tali frueretur filio, qualem illa maxi- " mè optaverat." Rectè. Dna. *Dacier* autem aliter exponit: " Eurynome," inquit, " ne cherche point à faire plaisir à Pene- " lope, en lui disant que son fils est en âge " de lui donner de la consolation; mais " elle veut lui faire voir le besoin qu'elle " a de recourir au secours de l'art pour " s'embellir; et elle lui en donne une rai- " son très forte, c'est que son fils est déjà " homme fait, et par consequent qu' une " femme, qui a un fils de vingt ans, a be- " soin de quelque secours." Mirè admodùm, nè dicam ineptè.

Ver. 182. —— ὄφρα κέ μοι.] *Al.* ὄφρ' ἄν μοι.

Ver. 183. — εἴσειμι.] *Al.* εἰσῆ' εἶμι.

Ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα ἰέσθαι. 185
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν.
Εὖδε δ' ἀναπλιγθεῖσα· λύθεν δέ οἱ ἄψεα πάντα
Αὐτοῦ ἐνὶ κλιντῆρι· τίως δ' ἄρα δῖα θεάων
Ἄμβροτα δῶρα δίδου, ἵνα μιν θηήσαιτ' Ἀχαιοί· 190
Κάλλεϊ μέν οἱ πρῶτα πρόσωπά τε καλὰ πέθηρεν
Ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
Χρίεται, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
Καί μιν μακροτέρην καὶ πάσσονα θῆκε ἰδέσθαι·
Λευκοτέρην δ' ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος. 195
Ἡ μὲν ἄρ' ὡς ἕξασ' ἀπεβήσατο δῖα θεάων.
Ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο,
Φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκε,
Καί ῥ' ἀπομόρξατο χερσὶ παρειὰς, φώνησέν τε·

Nunciatura mulieribus, et hortatura ad-eundum. 184
Tunc demùm aliud cogitavit dea caesia-oculis Minerva:
Filiae Icarii dulcem somnum infudit.
Dormiebat verò *ea* reclinata: solutae autem sunt ei compages omnes
Ibidem in lecto: interim verò praestantissima dearum
Immortalia dona dabat; ut ipsam admirarentur Achivi: 190
Pulchritudine quidem ei primùm vultusque pulchros purificavit
Divinâ, quali scilicèt pulchrè-coronata Venus,
Ungit-se, quandò adeat Gratiarum chorum amabilem;
Et ipsam proceriorem et crassiorem reddidit conspectu;
Candidioremque ipsam fecit secto ebore. 195
Sic quidem ubi-fecisset, abiit nobilissima dearum.
Venerunt autem famulae candidis-ulnis ex domo,
Cum-strepitu advenientes; hanc autem dulcis somnus dimisit;
Et *ea* abstersit-sibi manibus genas, et locuta est:

Ver. 188. —— λύθεν δέ οἱ ἄψεα πάντα.] Vide suprà ad γ, 794.

Ver. 190. —— Ἀχαιοί.] Vide suprà ad ε', 513.

Ver. 191. Κάλλεϊ μέν οἱ πρῶτα.] Νῦν τὰ μέρη. Κάλλει γὰρ τὸ τῆς Ἀφροδίτης μέρος. *Schol.* et *Hesych.* Cæterùm apud *Barnesium* legitur et Κάλλεϊ μέν οἱ πρῶτα. Sed nihil opus.

Ibid. —— πρόσωπά τε καλὰ πέθηρεν.] Ita editi omnes. *Henricus Stephanus* autem, (quamvis conjecturæ suæ contra exemplarium fidem indulgere non ait ausus,) "Non "dubitarem," inquit, "quin hìc legendum "esset πρόσωπα pro πρόσωπά τε.—Ita "*Iliad.* ϑ, scriptum habemus πρόσωπα pro "πρόσωπα, versu 212. Μελάνην βλεφάροιν "πρόσωπα." Et MS. à *Tho. Benthèio* collatus legit πρόσωπα. Atqui nusquam alibi apud *Homerum* occurrit hæc vox. Ideoque, pro πρῶτα, hoc in loco, legendum credidi-rim χρῶτα. Ita nimirùm aptè sequetur. πρόσωπά τε· firmaturque hæc conjectura tum. ex eo quòd vox πρῶτα sententiæ hìc parùm congruere videatur; tum ex ver. 171. suprà, ubi similis sententia occurrit:

Χρῶτ' ἀμβροσίῃσιν, καὶ ἐπ' ὀφρύσι καλὰ πεφύκει.

Vèrùm cùm conjecturæ huic nulla faveant Exemplaria, Textum non muto. Cæterùm *Eustathius* in commentario citat, πρόσωπα καλὰ πέθηρεν.

Ver. 193. —— εὖτ' ἂν ἴῃ.] *Al.* εὖτ' ἀείῃ.

Ibid. —— χορὸν ἱμερόεντα.] *Al.* χορὸν εἰς ἱμερόεντα.

Ver. 195. —— πριστοῦ ἐλέφαντος.]

—— sectoque elephanto. *Æn.* III. 464.

Πριστὸς ἢ ἐλέφας, (inquit *Eustathius,*) τὸ ἐλεφάντινον ἐννοῶν, περὶ διαστολὴν οὐ ζῶον. Vide autem ad *Il.* γ, 141.

Ver. 196. —— ἀπεβήσατο.] *Al.* ἀπεβήσετο.

Ἦ με μάλ' αἰνοπαθὴ μαλακὸν περὶ κῶμ' ἐπάλυψεν·
Αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
Αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
Αἰῶνα φθινύθω, τόσιος ποθέουσα φίλοιο
Παντοίην ἀρετήν· ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν.
Ὡς φαμένη, κατέβαιν' ὑπερῴϊα σιγαλόεντα,
Οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο.
Ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναῖκων,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ πιδὴν ἑκάτερθε παρίστη.
Τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν·

" Certè me valdè aerumnosam mollis somnus cooperuit.
" Utinam mihi sic mollem mortem daret Diana casta
" Statim nunc; ut nè amplius lugens in animo
" Aevum corrumpam, mariti desiderans dilecti
" Omnigenam virtutem; quoniam praestantissimus erat Achivorum."
Sic locuta, descendebat ex coenaculo splendido,
Non sola; simul hanc et famulae duae comitabantur.
At quandò demùm ad procos pervenisset nobilissima mulierum,
Stetit utique ad postes domûs fabrefactae,
Genis obtendens nitida redimicula:
Ancilla autem et honesta utrinque astitit.
Horum verò illic solvebantur genua; amore autem animo deliniti-sunt:

Ver. 202. —— *ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν, Αἰῶνα φθινύθω.*] Ita suprà *ι*, 152.

—— *κατείσατο δὲ γλυκὺς αἰὼν*
Νίσσετο δυομένῳ ——.

Et *ver.* 160. ejusdem libri:

Κάμμορε, μή μοι ἴσ' ἴνδα δύρεο, μηδέ σε αἰὼν
Φθινέτω ——.

Cæterùm *Barnesius* *Αἰῶνα φθινύθω* hoc in loco vertit, "*In longum tempus macerarer.*" Quo sensu vox *αἰὼν* nusquam apud *Homerum* usurpatur.

Ver. 203. —— *φθινύθω.*] Vide ad *Il. β'*, 43.

Ver. 211. *Τῶν δ' αὐτοῦ λύτο γούνατ'.*] *Καὶ Ὁμηρος δὲ παράγει τοὺς ἀρίστους οὔτε ἀγαπᾷ, οὔτε μὴν ἀφόβους, ἢ ἀλύπους παντελῶς· ἐν τῷ μὲν ἄγαν δὲ τοῖς πάθεσι κρατεῖσθαι, τῶν φαύλων διαφέροντας* ——. *Φαίνεται δὲ ἐν κατωτέροις ἡ τοῦ μυτρίου διαφορά· καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἰσονόου γυναικὸς ἱερῶν, καὶ κλαίουσαν ἐπ' αὐτῷ ἐρῶν, φησι· "Ὀφθαλμοὶ δ' αὐτῇ κέρα ἴσκανεν, ἠΰτε "εἴδηος." [infrà *σ'*, 211.] *τῶν δὲ μνηστήρων, τῆς αὐτῆς ἐρώντων, τῶν διαφόρων αὐτὸν,* "—— *λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελγε·* "Πάντες δ' ἠρήσαντο παρὰ λεχέεσσι κλιθῆ-"ναι." *Dionys. Halicarn. περὶ τῆς Ὁμήρου ποιήσεως*, § 16. Vide suprà ad *ver.* 99. Cæterùm *Meibomius* hìc, notante *Barnesio*, legendum vult, *Τῶν δ' αὖ λῦτο τὸ γούνατ'*. Vide ad *Il. ά*, 1. et ad *ver.* 237. hujus libri.

Ibid. —— *ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν.*] Ὁ *ἔρος*, inquit *Barnesius*, *ἀντὶ τοῦ ἔρωτος, ἵμερος*. Similitèr *Eustathius*: *Τὸ δὲ* "*ἔρῳ*" *δοκεῖ Αἰολικὸν εἶναι ἀπὸ εὐθείας τῆς, ὁ ἔρος*. Et occurrit ipsa vox *ἔρος* hoc in sensu apud *Homerum*, *Iliad*, *ξ*, 315.

Οὐ γὰρ πώποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς,
Θυμὸν ἐνὶ στήθεσσιν ἀμησεχόωσιν ἰάπτει,

Et apud *Hesiodum*:

Ἦ ῥ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
Δυσιμαλὴς πάντων τε θεῶν, πάντων τ' ἀνθρώ-
πων. *Theogonia*, ver. 120.

Et *Euripidem*:

Ἡ δ' ἐστὶν ἡ σωτήρι' ἐμοὶ καὶ δαίμων' ἔρως.
Hippolyt. ver. 449.

Ἐδύνατο δὲ [addit *Eustathius*] *καὶ ἐν τοῦ ἔρως, ἔρωτος, ἔρωτι, ἀποπεπτώφθαι, καθ' ἁμάρτυτα τοῦ "γίλως ἔκλασεν." Ἀλλ' ὦ δοκεῖ γνησιῶν Ὁμήρῳ εἶναι τὸ ἔρως, ἔρωτος.* Attamen occurrit vox *ἔρως Iliad. γ'*, 442.

Οὐ γὰρ πώποτέ μ' ὧδε ἔρως φρένας ἀμφεκά-
λυψεν.

Et *ξ'*, 294.

Ὡς δ' ἴδεν, ὡς μιν ἔρως πασιδὴς φρένας ἀμ-
φεκάλυψεν.

Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
Ἡ δ' αὖ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι, οὐδὲ νόημα·
Παῖς ἔτ' ἐὼν, καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
Νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ, καὶ ἥβης μέτρον ἱκάνεις,
Καί κέν τις φαίη, γόνον ἔμμεναι ὀλβίου ἀνδρὸς,
Ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φὼς,
Οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι, οὐδὲ νόημα.
Οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
Ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτω.
Πῶς νῦν; εἴτις ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
Ἥμενος, ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς,
Σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Μῆτερ ἐμὴ, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
Αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
Ἐσθλά τε, καὶ τὰ χέρηα· (πάρος δ' ἔτι νήπιος ἦα·)
Ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·

Omnes verò optabant apud *eam* in lectis recumbere.
Haec autem deindè Telemachum alloquebatur suum charum filium:
" Telemache, non ampliùs tibi mens integra, neque cogitatio:
" Puer adhuc cùm-esses, etiam magìs in mente prudentia versabas:
" Nunc autem, quandò jam magnus es, et pubertatis limitem attigisti,
" Et aliquis diceret filium te esse beati viri,
" Magnitudinem et pulchritudinem intuens, alienus vir;
" Non ampliùs tibi mens est justa, neque cogitatio,
" Quale jam hoc facinus in aedibus factum est,
" Qui hospitem sivisti indignè-tractari ita.
" Quomodo nunc? Si quis hospes in nostris aedibus
" Sedens, sic pateretur vexatione ex gravi,
" Tibi dedecus opprobriumque inter homines foret."
Hanc verò rursùs Telemachus prudens contrà allocutus est:
" Mater mea, id quidem non indignè-fero quod irasceris:
" At ego animo intelligo et novi singula,
" Bonaque, et pejora; (anteà autem adhuc infans eram:)
" Sed non possum prudentia omnia intelligere:

Vide suprà ad *ver.* 99. Cæterùm *Dionysius Halicarnassensis*, loco suprà citato, hic legit: ἴσως δ' ἄρα θυμὸν ἴθυνεν.

Ver. 216. —— ἥβης μέτρον ἱκάνεις.] Τὸ ἀκμαῖον τῆς ἡλικίας. *Schol.*

Ver. 217. 218. Καί κέν τις, &c.] *Henricus Stephanus* versus hosce duos parenthesi includi vult. Sed, ut opinor, nihil opus.

Ver. 221. "Ος τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι.] Vide infrà ad *ver.* 232.

Ver. 222. —— εἴτις ξεῖνος.] *Al.* εἴτι ξεῖνος.

Ibid. et *ver.* 235. —— ἡμετέροισι.] *Al.* ὑμετέροισι.

Ver. 227. —— νοέω καὶ οἶδα.] Vide ad *Il.* ά, 37. et σ', 736.

Ver. 228. —— χέρηα.] MS. à *Tho. Bentleio* collatus, χείρια. Atque ita in Vulgatis legitur infrà υ, 310. ubi repetitur hic versus.

Ibid. —— πάρος δ' ἔτι.] *Al.* πάρος δέ τι. Ut infrà υ, 310.

Ver. 229. —— οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι.]

Οἰδὲν δ' ἀνθρώπων αἰνὸν ἄπαντα σοφόν.
Theogn. Gnom. ver. 899.

Ἐκ γάρ με πλήσσουσι, παρήμενοι ἄλλοθεν ἄλλος,
Οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
Οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
Μνηστήρων ἰότητι· βίη δ' ὅγε φέρτερος ἦεν.
Αἴ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισι
Νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
Οἱ δ' ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου·
Ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείῃσι θύρῃσιν
Ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικὼς,
Οὐδ' ὀρθὸς δύναται στῆναι ποσὶν, οὐδὲ νέεσθαι
Οἴκαδ', ὅπῃ οἱ νόστος· ἐπεὶ φίλα γυῖα λέλυνται.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν·
Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,

" Nam me perterrent assidentes aliundè alius, 230
" Hi mala cogitantes: mihi autem non sunt auxiliatores.
" Nequaquam tamen hospitis et Iri pugna facta est
" Procorum consilio: viribus autem hic potentior fuit.
" Utinam enim, Jupiterque pater, et Minerva, et Apollo,
" Ita nunc proci in nostris sedibus, 235
" Nutarent capitibus domiti, alii quidem in aulâ,
" Alii autem intra domum; solutaque essent membra cujusque;
" Uti nunc Irus ille ad atrienses fores
" Sedet nutans capite, ebrio similis;
" Neque erectus potest stare pedibus, neque reverti 240
" Domum, quà ei reditus *est;* quoniam chara membra soluta sunt."
Sic hi quidem talia inter se loquebantur.
Eurymachus autem verbis allocutus est Penelopen:
" Filia Icarii, prudens Penelope,

Ver. 232. Οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη Μνηστήρων ἰότητι.] Καὶ σημείωσαι τὴν τοῦ Τηλεμάχου δεινότητα. Πεπλάσθη μὲν γὰρ [suprà *ver.* 221.] αἰκισθῆναι ἀληθῶς τὸν ξένον Ἶρον, ὅτι φίλας ἀφεῖς ὁ Ἀντίνοος ἔβαλεν αὐτόν· Τηλέμαχος δὲ προσποιεῖται λαθίσθαι, ταῖς τῆς μητρὸς λόγοις ἐπὶ τοῖς κατὰ τὸν Ἶρον, καὶ τὸν ξένον, ἵν' οἷς οὐκ ἔστιν αἰτία τοῦ ξένου. Ποιεῖ δὲ τοῦτο ἐφίστησι· ἵνα κακίαν τὸν Θέρσιτον, ὑπεισαγωγησάμενος μὴ αἰκισθῆναι τὸν ξένον. *Eustath.* Eodem modo accipiunt Dna. *Dacier* et *Spondanus.* Attamen nullum hic videtur *Telemachi* artificium. Nam quominùs et *Penelope* de *Ulyssis* et *Iri* certamine locuta intelligatur, nulla (ut opinor) satis idonea ratio.

Ver. 237. —— λελῦτο δὲ γυῖα ἑκάστου.] Vulgati habent λέλυνται. Τὸ δὲ " λέλυνται δὲ " γυῖα ἑκάστου," ταυτόν ἐστι τῷ λυθεῖεν, ἐφιστάνων μὲν ὅτι, τεθὲν δὲ ἀντὶ εὐκτικοῦ. *Eustath.* Quod tamen ferri non potest. Quippè istâ ratione vox λέλυνται *mediam* corripere omninò debuisset:

Τὼ δὲ βίη λέλυνται ——. *Iliad.* Σ'. 103.

Τίος μὲν δή τοι λέλυται ——. *ω.* 599.

Alii igitur (notante *Barnesio*) hîc λέλυνται legerunt. Sed rectius videtur quod addit *Eustathius:* Ἴσως δὲ καὶ ἀπὸ λελύσθαι συγκέπτωται. Ac proindè scribendum erit λελῦτο. Atque hoc, uti notavit *Barnesius*, cum præcedente Νεύοιεν optimè congruit. Simili ratione ex δαμόωντο fit δαμῶντο, *Il. ά*, 665. Vide et infrà ad *ver.* 247.

Ver. 238. —— ἐπ' αὐλείῃσι.] *Al.* ἐν' αὐλείῃσι.

Ver. 240. Οὐδ' ἐφὸς δύναται στῆναι.] *Al.* Οὐδ' ἐφὸς στῆναι δύναται.

Εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ, 245
Πλέονές κεν μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
Ἠῶθεν δαινύατ'· ἐπεὶ περίεσσι γυναικῶν,
Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας.
Τὸν δ' ἠμείβετ' ἔπειτα πεφιδρων Πηνελόπεια·
Εὐρύμαχ', ἦτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε, 250
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
Μείζων κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὔτω.
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων. 255
Ἦ μὲν δὴ ὅτε τ' ἤιε λιπὼν κατὰ πατρίδα γαῖαν,

" Si omnes te viderent per Iasum Argos Achivi, 245
" Plures proci in vestris aedibus
" A-manè convivarentur; quoniam praestas mulieribus,
" Formâque, staturâque, et mente intùs aequâ."
Huic autem respondit deindè prudens Penelope:
" Eurymache, profectò meam virtutem, formamque, corpusque, 250
" Perdiderunt immortales, quandò ad Ilium navigabant
" Argivi; cum iis autem meus maritus erat Ulysses.
" Si ille utique reversus meum statum gubernaret,
" Major gloria esset mea et melior ita.
" Nunc verò tristor: tot enim mihi immisit mala deus. 255
" Certè quidem, quandò demùm ibat relictâ patriâ terrâ,

Ver. 245. ——ἀν' Ἴασον Ἄργος.] Ἴασον Ἄργος, ἡ Πηλοσύνησος, ἀπὸ Ἴασου βασιλέως· καὶ ἡ Ἀχαΐα. *Hesych.* Τὴν γοῦν ὁμωνυμίαν τοῖς ἐπιθέτοις διασπάλλιται τὴν μὲν Θετταλίαν Πελασγικὴν Ἄργος καλῶν [*Il.* β', 681.] — Τὴν δὲ Πηλοσύνησον, " Εἰ δέ κεν Ἄργος ἱκοίμεθ' " Ἀχαϊκόν——" [*Il.* ί, 141.] σημαίνων ἐναντίως ὅτι καὶ Ἀχαιοὶ ἴδιως ὠνομάζοντο οἱ Πελοποννήσιοι κατ' ἄλλην σημασίαν. Ἴασόν τι Ἄργος τὴν Πηλοσύνησον λέγει· " Εἰ πάντες σε ἴδοιεν " ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ," τὴν Πηνελόπην· ἴσως πλείονες ἂν λάβοι μνηστῆρας· οὐ γὰρ τοὺς ἐξ ὅλης τῆς Ἑλλάδος εἰκός· ἀλλὰ τοὺς ἐγγύς. *Strabo, Geograph. lib.* VIII. *pag.* 568. *al.* 369.

Ver. 246. Πλέονες κεν μνηστῆρες.] " Vel " πλείονες (inquit *Barnesius*) hîc habendum " pro *Amphimacro* ut γ', *ver.* 485. Ταῦτα " μὲν δὴ οὕτω πλέω, γέρον, ὡς σὺ κελεύεις. " Vel certè, quamvis scribatur τριτυλλάβως, " in *Scansione* legendum πλείονες διευλλά- " βως.—— Vel denique πλέονες legendum, " ut sit *Anapæstus* in *Primâ* sede." Atqui neque *Amphimacer* neque *Anapæstus* (ut opinor) hujusmodi in Carmine ferri potest. Vide suprà ad γ', 485. et β', 289. Equidem legendum potiùs Πλείονες, et pro *Spondæo* habendum crediderim; pronunciando videlicèt Πλειῦνες, vel Πλοῦνες. Cúmque et MS. à *Tho. Bentleio* collatus Πλέονες hîc legit, banc lectionem Textui inserui.

Ibid.——ἐμνηστήρευσε.] Ita *Barnesius* ex pluribus Editionibus; atque ita MS. à *Tho. Bentleio* collatus. *Henricus Stephanus* aliique malè, ἐμνήστευσε.

Ver. 247. Ἠῶθεν δαινύατ'.] Quâ ratione ex δαινύοντο fit δαινῶτο, *Iliad.* ώ, 665. ita " hîc (inquit *Barnesius*) δαινύατ' *Ionicè* pro " δαίνυντο, [δαινῦντο,] quod per συγκοπὴν pro " δαινύοντο, quæ causa *Penultimam* produ- " cendi; ad Ἠῶθεν enim respicit, *ver.* 245." Atque ita sensisse videtur *Scholiastes*, qui exponit Εὐωχεῖτο. Vide suprà ad *ver.* 237.

Ibid.——στιφροὶ γυναικῶν, Εἶδός τε, μέγεθός τε.] Ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία, ἄσπερ καὶ τὸ κάλλος ἐν μεγάλῳ σώματι· οἱ μικροὶ δ', ἂν τύχωσι καὶ σύμμετροι, καλοὶ δ' οὔ. *Aristot. Ethic. lib.* IV. *cap.* 7. Θηλειῶν δὲ ἀρετὴ, σώματος μὲν, κάλλος καὶ μέγεθος· ψυχῆς δὲ, σωφροσύνη, &c. *Id. Rhetoric. lib.* I. *cap.* 5.

Ver. 252.—— ἦεν.] *Al.* ἦιεν. Vide infrà ad *ver.* 256.

Ver. 253.—— ἀμφιπολεύοι.] *Al.* ἀμφιτολεύοι, et ἀμφιτολεύη.

Ver. 254. Μείζων κε κλέος εἴη.] *Al.* γε κλέος. " Quod (inquit *Barnesius*) meliùs sonat " quàm κε." Sed ad sententiam rectior particula κε.

Ver. 256.—— ὅτε τ' ἤιε λιπών.] Pronunciabatur, uti notat *Barnesius*, ἤι. Quo modo et scribitur *Iliad.* μ', 371.

Δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
Ὦ γύναι, οὐ γὰρ οἴω ἐϋκνήμιδας Ἀχαιοὺς
Ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
Καὶ γὰρ Τρῶας φασὶ μαχητὰς ἔμμεναι ἄνδρας,
Ἠμὲν ἀκοντιστὰς, ἠδὲ ῥυτῆρας ὀϊστῶν,
Ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
Ἔκριναν μέγα νεῖκος ὁμοίου πτολέμοιο.
Τῷ οὐκ οἶδ', εἴ πέν μ' ἀνέσει θεὸς, ἦ κεν ἁλώω
Αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
Μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν,
Ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος.
Αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
Γήμασθ', ᾧ κ' ἐθέλῃσθα, τεὸν κατὰ δῶμα λιποῦσα.
Κεῖνός θ' ὡς ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται.
Νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει

" Dextrâ in carpo prehensâ me manu allocutus est:
' O mulier, non enim puto benè-ocreatos Achivos
' Ex Trojâ benè omnes incolumes redituros:
' Etenim Trojanos aiunt pugnaces esse viros,
' Et jaculatores, et tractores sagittarum,
' Equorumque velocium conscensores; qui citissimè
' Decreverint magnam contentionem gravis-aequè belli.
' Ideò nescio, an me remittat deus, an capiar
' Illic in Trojâ: tibi autem hîc omnia curæ-sint.
' Memor-sis patris et matris in aedibus,
' Sicut nunc, vel adhuc magis, me absente.
' At postquam jam filium barbatum videris,
' Nube, cui volueris, tuâ domo relictâ.'
" Ille utique sic dicebat; quae sanè nunc omnia perficientur.
" Nox autem erit, quandò demùm odiosae nuptiae obvenient

Ver. 257. Δεξιτερὴν ἐπὶ καρπῷ ἑλών.]

Tum pater Evandrus dextram complexus euntis
Hæret, inexpletùm lachrymans, atque ita fatur. Æn. VIII, 558.

Ver. 258. —— οὐ γὰρ οἴω.] *Al.* οὐ γάρ τ' οἴω. Porrò refertur istud γὰρ ad id quod elegantèr reticetur; " *Hæc tibi monenda ju-* " *dicavi; non* ENIM *&c.*"

Ver. 260. Καὶ γὰρ Τρῶας φασί.] Πάνυ ὡς ἱλαρύνεται τοὺς μνηστῆρας, ὅτι ἐν τοῖς ἄλλοις εἶναι ἀνηρῆσθαι αὐτόν. *Schol.*

Ver. 262. —— οἵ κε τάχιστα Ἔκριναν μέγα νεῖκος.] *Barnesius* hîc subaudiendum existimat ἄν, " ut sit pro κρίναιεν." Sed nihil opus. Quod enim quærit, id jam antè in manibus habet, nempè particulam κε, quæ voci ἔκριναν vim *Modi Potentialis* tribuit. Ita *Iliad.* Σ', 130.

Ἔνθα κε λαγὸς ἅλῳ, ——

Et ν', 723.

Ἔνθα κε λιυγαλίως πᾶν ἀπὸ καὶ κλισίων
Τρῶες ἰχώρησαν. ——

Cæterùm rectè deindè addit *Barnesius*, errare *Conradum Rittershusium*, qui hæc de priori bello *Trojano*, sub *Hercule* et *Laomedonte*, acceperit. Videtur nimirùm et is particulæ κε vim ignorâsse.

Ver. 268. Αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα.] Ἐν ᾧ περιρέπεται, ἵν' οὕτω ἀποτρίπτῃ γελᾶν γὰρ ἤδη ἤρξατο. *Schol.* Verùm hæc interpretatio subtilior videtur, et ab ipsius Poetæ mente prorsus aliena.

Ibid. —— γενειήσαντα.] Τοῦ δὲ, γενειήσαντα, οὐκ εὐθυλον εἶπε γενειῶν ἐστὶν ὁ ἱστὸς, εἶπε καὶ γενειάζω παρέγωγον. *Eustath.* Malè: Nam ex γενειάζω fieret γενειάσαντα, antepenultimâ correptâ. Vide ad *Il.* ά, 140.

Ver. 269. 288. Γήμασθ', —— γήμασθαι.] Vide suprà ad λ', 272.

Ver. 270. Κεῖνός θ' ὡς ἀγόρευε.] Apud *Aristarchum*, notante *Barnesio*, Κεῖνος τέως' ἀγόρευε.

Οὐλομένης ἐμέθεν, τῆς τε Ζεὺς ὄλβον ἀπηύρα.
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
Μνηστήρων οὐχ ἥδε δίκη τοπάροιθε τέτυκτο·
Οἵτ' ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
Μνηστεύειν ἐθέλωσι, καὶ ἀλλήλοις ἐρίσωσιν·
Αὐτοὶ τοί γ' ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
Κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν·
Ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς,
Οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
Μειλιχίοις ἐπέεσσι· νόος δέ οἱ ἄλλα μενοίνα.
Τὴν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι,

" Perditae mihi, cujus utique Jupiter felicitatem abstulit.
" Sed hic gravis dolor cor et animum occupat:
" Procorum non hic mos olim fuit;
" Qui scilicèt praestantemque mulierem et divitis filiam
" Ambire velint, et inter se contendant;
" Ii ipsi sanè adducunt boves et pingues oves,
" Puellae convivium amicis, et splendida dona dant:
" At non alienum victum impunè edunt."
Sic dixit: gavisus est autem multa-passus nobilis Ulysses,
Quòd eorum quidem dona attrahebat, mulcebat autem animum
Blandis verbis; mens verò ei alia agitabat.
Illam autem rursùs Antinous allocutus est, Eupitheï filius.
" Filia Icarii, prudens Penelope,
" Dona quidem quicunque voluerit Achivorum huc ferre,

Ver. 272. Οὐλομένης ἐμέθεν.] Ἀπολλυμένης μᾶλλον, ἢ προδούσης τὴν ποίνην τοῦ ἀνδρός. *Schol.* Malè. Nec meliùs *Eustathius*: Τὸ δὲ "οὐλο-"μένης" ἴσως μὲν ἐνεργητικῶς ἐρρέθη, ὡς καὶ ἐν Ἰλιάδι, ἡ οὐλομένη μῆνις· ἴσως καὶ νῦν αὖτη ἄλγεα τοῖς μνηστῆρσι δήσει. Rectè autem deinceps adjicit: "Ἴσως δὲ καὶ παθητικῶς ἀντὶ τοῦ, τῆς παθούσης ὀλέθρια, καὶ ὡς τίκτειν ἀνόλεθρον. Διὸ ἱερωπιῶν ἐπάγει "τῆς τε Ζεὺς ὄλβον ἀπηύρα·" ἄγουν ἦν ἀφῆκεν ἀνόλεθρον, ὅτου δυσδαίμονα.

Ibid. —— τῆς τε.] *Cujus videlicèt.* ——.

Ver. 274. —— οὐχ ἥδε δίκη.] Οὐχ οὕτως ἡ τρόπος. *Schol.*

Ver. 277. Αὐτοὶ τοί γ' ἀπάγουσι βόας.] Τὸ δὲ "ἀπάγουσι" ταυτὸν τῷ "ἄγουσι·" περιττὴ γὰρ ἡ προθεσις. *Eustath.* Nescio tamen annon eam hîc vim habeat præpositio ἀπὸ, ut dicantur Proci hi pecudes *de suis ipsorum stabulis depromptas afferre.*

Ver. 278. Κούρης δαῖτα φίλοισι.] *Al.* Κούρῃς δαῖτα φίλῃσιν.

Ibid. —— δῶρα.] MS. à *Tho. Bentleio* collatus, ἔργα.

Ver. 280. —— γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς, Οὕνεκα τῶν μὲν, &c.] Πάλιν τῆς Πηνελόπης τοῖς μνηστῆρσι προσδιαλεγομένης οὐκ ἀπαντῶσης, ἐπαινῶν δὲ αὐτὴν χαριζομένων ἐμάτια καὶ κόσμον ἄλλον, ἡδόμενος Ὀδυσσεὺς, "οὖ-"τινα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυ-"μὸν·" εἰ μὲν ἐπὶ τῇ δωροδοκίᾳ καὶ πλεονεξίᾳ χαίρει, τὸν παραφθειρόμενον ὑπερβάλλει μισητοτείᾳ Παλλαγών· —— εἰ δὲ μᾶλλον αἰδήμονος ὑποχωρίου ἔξιν διὰ τὴν ἐλπίδα, καὶ τὸ μέλλον οὐ προσδοκῶντας· λόγον ἴσχυ τὸ ἡδόμενον αὐτῷ καὶ θαῤῥοῦν. *Plutarch. de audiendis Poetis.* *Spondanus* alitèr accipit; scilicèt, "ut ex "eo gaudeat Ulysses, quòd licèt hæc dona "accipere Penelopen videat, tamen intelli-"gat nihilominùs, integrâ et constanti il-"lam esse mente."

Ver. 281. —— παρέλκετο.] *Al.* παρ' ἴλκετο.

Ver. 284. —— περίφρον.] *Al.* περίφρων.

Δέξασθ'· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε τι ἄλλη,
Πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν, ὅς τις ἄριστος.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος·
Δῶρα δ' ἄρ' οἱσίμειναι πρόεσαν κήρυκα ἕκαστος.
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον
Ποικίλον· ἐν δ' ἄρ' ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
Χρύσειαι, κληῖσιν ἐϋγνάμπτοις ἀραρυῖαι.
Ὦρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε,
Χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς.
Ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
Τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
Ἐκ δ' ἄρα Πεισάνδροιο, Πολυκτορίδαο ἄνακτος,
Ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.

" Accipe; non enim bonum recusare donationem est:
" Nos verò neque ad opera priùs ibimus, neque usquam aliò
" Quàm scilicèt tu ei nupseris Achivorum, quicunque optimus."
Sic dixit Antinous; illis autem placebat sermo:
Donaque proindè allaturum praemiserunt praeconem quisque.
Antinoo quidem tulit *Praeco* magnum perpulchrum peplum
Varium; inerant autem fibulae duodecim omnes
Aureae, acubus benè-inflexis aptatae.
Monile verò Eurymacho multâ-arte-elaboratum statim tulit,
Aureum, electris consertum, solem veluti.
Inaures autem Eurydamanti duo servi tulerunt,
Trinis-ocellis, exquisitas; gratia autem effulgebat multa.
A Pisandro vero, Polyctoride rege,
Collare tulit servus, perpulchrum ornamentum.

Ver. 286. —— *οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν.*] Ἡ γὰρ χάρις οὐχ ἥσσον δωμένη τοῦ λαμβάνοντος ἢ τοῦ διδόντος, ἐξ ἀμφοῖν τελειοῦται πρὸς τὸ καλόν· ὁ δὲ μὴ δεξάμενος, ὥσπερ σφαῖραν τὸ φερομένην παπταχυῇ ἀτιλῶ στεροῦσαν. *Plutarch. de Socratis Genio.* Vide et suprà ad δ', 651.

Ver. 287. Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα.] Τοῦτο δὶ Ὁμήρου προαναφώνησις, ὡς οὐδεὶς τῶν μνηστήρων ἐκβιναζόντων τὸν ἀλάστορα. *Eustath.* Atqui Poetam hoc voluisse vix crediderim. Vide suprà ad β'. 127.

Ver. 288. Πρίν γέ σε τῷ.] *Al.* Πρίν γέ σ' ᾧ, et Πρίν σί γε τῷ.

Ver. 290. —— ἄρ'.] *Proindè* ——.

Ver. 292. —— δυοκαίδεκα πᾶσαι.] *Haud minùs quàm duodecim* ——. Vide suprà ad ί, 244. et ad *Il.* σ', 373. 470.

Ver. 293. —— κληῖσιν ἐϋγνάμπτοις.] Καταπλείσιν, εἰς ἃς ἐκλείσαν τὰς στεφάνας. *Schol.*

Ver. 294. Ὦρμον.] Τὸν κατὰ τοῦ τραχήλου στεφανίσκιον χρυσοῦν κόσμον. *Schol.*

Ver. 296. Ἕρματα.] Δῶρα, τῶν ὄντων κόσμον· ὅ ἐστι τὰ ἐνώτια. *Schol. ex MS. à Barnesio* excerpt.

Ver. 297. Τρίγληνα.] Τρίτοκα κόσμια, ἐν ᾧ τὰ τριόφθαλμα τρίτοκα. *Schol.*

Ibid. —— μορόεντα.] Τὰ μετὰ στολλοῦ μόρου καὶ πανοπλίας κατεσκευασμένα. *Schol.* Aliter *Barnesius*: " Vocem autem *μορόεντα*," inquit, " hoc certè in loco, existimo non so-" lùm spectare ad Operis elegantiam ex-" quisitam, aut Opificis industrium et ela-" boratum ingenium; verùm etiam ad fa-" talem tandem earumdem gemmarum Re-" tributionem, quam nacti sunt ab *Ulyssis* " manibus hi Proci." Mirè admodùm: cùm occurrat eadem vox *μορόεντα Il.* ξ'. 183. ubi hujusmodi explicationi nullus omninò locus.

Ver. 299. Ἴσθμιον.] Περιστεφανίδιον· ἔνθεν καὶ περίσθμια· διάφορον δὲ τῷ ὅρμῳ· τὸ μὲν γὰρ περίσχισται τῷ τραχήλῳ, ὁ δὲ ὅρμος περέλασται. *Schol.*

Ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικεν.
Ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερῴια δῖα γυναικῶν·
Τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι φέρεον περικαλλέα δῶρα.
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
Τρεψάμενοι τέρποντο· μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν·
Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν.
Αὐτίκα λαμπτῆρας τρεῖς ἔστασαν ἐν μεγάροισιν
Ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα πάγκαρπα θῆκαν
Αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ·
Καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος· αὐτὰρ ὁ τῆσιν
Αὐτὸς διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
Δμωαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
Ἔρχεσθε πρὸς δώμαθ', ἵν' αἰδοίη βασίλεια·
Τῇ δὲ παρ' ἠλάκατα στρεφαλίζετε τέρπετε δ' αὐτὴν
Ἥμεναι ἐν μεγάρῳ, ἢ εἴριά πείκετε χερσίν.
Αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
Ἤντερ γάρ κ' ἐθέλωσιν ἐύθρονον ἠῶ μίμνειν,
Οὔτι με νικήσουσι· πολυτλήμων δὲ μάλ' εἰμί.

Aliud autem alius donum Achivorum pulchrum tulit.
Ipsa quidem deindè ascendebat in coenaculum nobilissima mulierum:
Cum eâ autem simul famulae ferebant perpulchra dona.
Illi verò in saltationem et desiderabilem cantum
Conversi delectabant-se; manebantque dum vesper adveniret:
Eis autem se-delectantibus niger vesper advenit.
Statim lampadas tres statuerunt in aedibus
Ut lucerent; circùm autem ligna arida posuerunt,
Sicca dudùm, praedura, recèns fissa aere;
Et faces miscuerunt: alternatim verò succendebant
Famulae Ulyssis multa-passi: at inter eas
Ipse generosus locutus est solers Ulysses:
" Famulae Ulysis, diù absentis regis,
" Ite ad aedes, ubi *est* veneranda regina:
" Apud eam verò pensa versate; et delectate ipsam
" Sedentes in domo; vel lanas carpite manibus.
" At ego his lumen omnibus praebebo.
" Etiamsi enim velint usque ad pulchro-solio auroram manere,
" Nequaquam me domabunt: multorum-patiens nempè valdè sum."

Ver. 300. —— ἔνεικεν.] *Al.* ἤνεικεν.
Ver. 302. Τῇ δ' ἄρ' ἅμ'.] *Al.* Τῇ δ' ἄρα.
Ver. 306. Αὐτίκα λαμπτῆρας.]

—— dependent lychni laquearibus aureis
Incensi. —————— *Æn.* I, 726.

Ibid. — λαμπτῆρας.] Ἐσχάρας μετιόντων· ἢ τῶν χυτροπόδων, ἐφ' ὧν ἔκαιον. *Schol.* Ἱστέον δὲ ὅτι λαμπτῆρας λέγει ἀς νῦν οἱ ἀγροικικοὶ λυχνίας φασίν· ἐφ' ὧν δαΐδες πίμπλανται κατὰ ὀίγων ἀνάπτοντες· ἢ ξύλα ξηρὰ διὰ τὸ ἄπαγον· ἢ καὶ ἄμφω ἀναμίξ. *Eustath.*

Ver. 315. —— εἴριον.] Τὸ δὲ, εἴριον, Ὅμηρος μὲν πρωτοπροσώπως, ἡμεῖς τῷ λείριον. Οἱ δὲ ὕστερον παρεξέκλιναν πρὸς ἀναλογίαν ἑτέρων παρεξενεγκόντων δεκατετάρτων λίξεων. *Eustath.* ad *Iliad.* γ', 388.

Ὣς ἔφαθ'· αἱ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
Τὸν δ' αἰσχρῶς ἐνένιπτε Μελανθὼ καλλιπάρηος,
Τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
Παῖδα δὲ ὣς ἀτίταλλε, δίδου δ' ἅρ' ἀθύρματα θυμῷ·
Ἀλλ' οὐδ' ὣς σχέθε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης·
Ἀλλ' ἤγ' Εὐρυμάχῳ μισγέσκετο, καὶ φιλέεσκεν·
Ἣ ῥ' Ὀδυσῆ ἐνένιπτεν ὀνειδείοις ἐπέεσσι·
Ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσὶ,
Οὐδ' ἐθέλεις εὕδειν, χαλκήϊον ἐς δόμον ἐλθὼν,
Ἠέ που ἐς λέσχην· ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις
Θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
Ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἦ νύ τοι αἰεὶ
Τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώλια βάζεις.
Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
Μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ,
Ὅς τίς σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι,

Sic dixit: hae autem riserunt, et se invicem intuebantur.
Eum autem turpiter objurgabat Melantho pulchra-genis,
Quam Dolius quidem genuit; curavit autem Penelope,
Filiamque velut enutriebat, dabatque oblectamenta animo:
Sed neque sic retinuit dolorem in animo Penelopes;
Sed ea cum-Eurymacho miscebatur, et *eum* amabat:
Quae utique Ulyssem objurgabat contumeliosis verbis:
" Hospes miser, tu sanè aliquis mente exturbatus es;
" Neque vis cubare, aeream in domum profectus;
" Vel aliquò in diversorium; sed hîc multa praedicas
" Confidentèr multos inter viros; neque quid animo
" Times: certè utique tibi vinum occupat mentem; vel sanè tibi semper
" Talis mens est; quare et vana loqueris.
" An exultas, quòd Irum vicisti erronem?
" *Cave*, nè quis tibi citò Iro melior alius insurgat.
" Qui te circum caput contusum manibus robustis

Ver. 320 et 325. —— ἐνίπτεν.] *Al.* ἐνίπτεν.

Ver. 323. —— σχίθε.] *Al.* ἴσχε.

Ver. 325. —— ἐνιπτείοις.] *Al.* ἐνιπλίοις. Vide autem ad *Il.* δ, 519.

Ver. 326. Μιῶν τάλαν.] Τὸ δὲ "ξεῖνε" ἴσως ἐπὶ ὕβρει φησὶν ὁ Μελανθώ. *Eustath.* Minùs rectè. Erat enim hoc epitheton commune, quo ab omnibus appellabatur.

Ver. 327. —— χαλκήϊον ἐς δόμον ἐλθών.] Χαλκήϊος δὲ δόμος τὸ τῶν χαλκίων ἐργασυήριον, ἔνθα εἰσιόντες ἀκαλύπτως οἱ πτωχοὶ, ἐκεκμήκοντο παρὰ τῷ πυρί. *Eustath.*

Ver. 328. Ἠέ που ἐς λέσχην.] Λέσχας ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί. *Suidas* in voce Λέσχη· ubi et hunc *Homeri* locum adducit. Vide et *Pausaniam, Phoc. lib.* X. *cap.* 25, sub initio. Porrò hinc *Hesiodus*:

Πὰρ δ' ἴθι χαλκίου θῶκον, καὶ ἐπ' ἀλίῃ λέσχην. Ἔργ. καὶ Ἡμερ. II, 111.

Et *ver.* 118.

Ἐλπὶς δ' οὔτ' ἀγαθὴ πεχρημένον ἄνδρα πανίζει, Ἥμενον ἐν λέσχῃ ——.

Ver. 329. Θαρσαλέως.] *Al.* Θαρσάλεος.

Ver. 330. —— ἦ ῥά σε οἶνος ἔχει φρένας.] Οἶνον σε πλῆθος πόλλ' ἀναγκάζει λαλεῖν. *Ephippus apud Athenæum, lib.* II. *cap.* 2.

Ver. 331. —— μεταμώλια.] Apud *Eustathium, μεταμώνια.*

Ver. 332. Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας.] Καὶ τῷ ἀλύειν ποτὲ μὲν ἀντὶ τοῦ βάκτεσθαι καὶ ἀποχρᾶσθαι λέχρηται· "Ὡς ἔφαθ'· ἡ δ' ἀλύουσ' ἀπιθήσατο, τέρπετο δ' αἰνῷ." [*Iliad.* ζ, 352.] ποτὲ δὲ ἀντὶ τοῦ γαυριᾶν καὶ χαίρειν· "Ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;" *Plutarch. de audiendis Poetis. Al.* ἀλύεις.

Δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ.
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις,
Κεῖσ' ἐλθών, ἵνα σ' αὖθι διαμελεϊστὶ τάμῃσιν.
Ὡς εἰπὼν, ἐπέεσσι διεπτοίησε γυναῖκας.
Βὰν δ' ἴμεναι διὰ δῶμα· λύθεν δ' ὑπὸ γυῖα ἑκάστης
Ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
Αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
Εἰστήκει ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
Ὥρμαινε φρεσὶν ἦσιν, ἃ ῥ' οὐκ ἀτέλεστα γένοντο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
Λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
Δύῃ ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν,
Κερτομέων Ὀδυσῆα· γέλων δ' ἑτάροισιν ἔτευξε·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
Οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσῆϊον ἐς δόμον ἵκει·

" Domo emittat, foedatum sanguine multo." 335
Hanc autem torvè intuitus allocutus est solers Ulysses:
" Certè citò Telemacho dicam, canis, qualia loqueris,
" Illuc profectus; ut te ibi membratim concidat."
Sic locutus, verbis perterruit mulieres.
Perrexerunt autem ire per domum; solutaque sunt subtùs membra cujusque
Timore: putabant enim ipsum vera dixisse. 341
At is apud lampades praelucens accensas
Stetit omnes intuens: alia verò ei cor
Agitabat mente suâ, quae utique non irrita facta sunt.
Procos autem non omninò eximios sinebat Minerva 345
Contumeliâ abstinere acerbâ; ut adhuc magis
Subiret dolor cor Laërtiadae Ulyssis.
His verò Eurymachus, Polybi filius, incipiebat loqui,
Incessens Ulyssem; risum verò sociis fecit
" Audite me, proci inclytae reginae, 350
" Ut dicam, quae me animus in pectoribus jubet:
" Non sine-deo hic vir Ulysseam in domum venit:

Ver. 338. —— διαμελιστί.] Vide suprà ad *i*, 291.

Ver. 339. Ὡς εἰπὼν, ἐπέεσσι διεπτοίησε γυναῖκας.] Ἀντὶ δὲ Ὀδυσεὺς τῶν τάν τι τῶν δουλῶν πτίρας, καὶ μάλιστα τὴν τῶν μνηστήρων· ἐπεὶ γὰρ αὐτοὶ ἀπῆλθον, γνώσεται καὶ εἰσέτι τὴν ἐκείνου ὄψιν ἐν αὐτῷ. Ἔστι γε μὴν ὁ Ποσειδὼν εἰσπλαστοτέρως οὕτω ποιήσει τῷ Ὀδυσσεῖ τὴν μόδυς ἰφθίμης ἐμιλίας, ὅτι κατὰ σχολὴν οὐ μόνον τῇ γυναικὶ ἐμιλήσει, ἀλλὰ καὶ τῇ Εὐρυμαχίᾳ, τὸ ἀναγκαιότατον· ἀρύψει δὲ καὶ τὰ ἕτερα μετ' αὐτῆς κατὰ πᾶσαν ἄδικον. Οὐδὲν γὰρ εἰκαίως ὁ Ποσειδὼν παρεμβάσεται, ἀλλὰ πρὸς μίσθωσιν αἰθαιότητος καὶ εἰκοσμίας τῶν ἰφθίμων. *Eustath.*

Ver. 342. —— αἰθομένοισιν.] Ita *Barnesius* ex utrâque *Eustathii* editione. Alii hic habent αἰθομένην.

Ver. 344. —— ἃ ῥ'.] *Quae utiquè* ——. *Quae, ut memorabitur* ——.

Ibid. —— γένοντο.] *Al.* γίνοντο.

Ver. 347. —— Λαερτιάδεω Ὀδυσῆος.] *Al.* Λαερτιάδην Ὀδυσῆα.

Ver. 349. —— ἴσχεσθαι.] *Al.* ἴσχειν.

Ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
Καὶ κεφαλῆς· ἐπεὶ οὔ οἱ ἔνι τρίχες οὐδ' ἠβαιαί.
Ἦ ῥ', ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον·
Ξεῖν', ἦ ἄρ κ' ἐθέλεις ϑητεύεμεν, εἴ σ' ἀνελοίμην,
Ἀγροῦ ἐπ' ἐσχατιῆς, (μισθὸς δέ τοι ἄρκιος ἔσται,)
Αἱμασιὰς τε λέγων, καὶ δένδρεα μακρὰ φυτεύων;
Ἔνθα δ' ἐγὼ σῖτον μὲν ἐπητανὸν παρέχοιμι,
Εἵματά τ' ἀμφιέσαιμι, ποσίν τ' ὑποδήματα δοίην.
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις
Ἔργον ἐποίχεσθαι· ἀλλὰ πτώσσειν κατὰ δῆμον
Βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ τέλονται,
Ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν ὐκαμπὲς ἔχοιμι,
Καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου

" Omninò mihi videtur facium splendor esse ipsius
" Et capitis; quoniam non ei sunt capilli nè pauci quidem."
Dixit utique; simulque allocutus-est Ulyssem urbium-vastatorem:
" Hospes, nunquid vis mercede-servire, si te suscipiam,
" Agri in extremitate, (merces autem tibi sufficiens erit,)
" Sepesque colligens, et arbores proceras plantans?
" Illic autem ego cibum quidem perennem præberem,
" Vestimentaque circùm-induerem, pedibusque calceamenta darem.
" Sed quandoquidem sanè opera mala didicisti, non voles
" Opus adire; sed mendicare per populum
" Mavis; ut possis pascere tuum ventrem insatiabilem."
Hunc autem respondens allocutus est solers Ulysses:
" Eurymache, si enim nobis contentio operis fieret
" Tempore in verno, quandò scilicèt dies longi sunt,
" In herbâ; falcem quidem ego bene-flexam haberem,
" Et tu quoque talem haberes, ut experiremur opus

Ver. 353. Ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ Καὶ κεφαλῆς.] Ἐπίσης μοι δοκεῖ τὸ φαινόμενον σέλας τῶν δαΐδων εἶναι, καὶ αὐτοῦ τῆς κεφαλῆς, ὡς ἰψιλαμπίης. *Eustath.* Minùs rectè, ut opinor. Quippè vocem ἔμπης istâ in significatione apud *Homerum* vix usquam reperias. Vide infrà ad σ', 37. ubi vox ἔμπης simili ferè in sensu occurrit.

Ver. 354. Καὶ κεφαλῆς.] *Al.* Κασιτεφαλῆς.

Ver. 356. —— ἰδίλιες.] *Al.* Ἰδίλοις. Quæ et potior videtur lectio.

Ver. 358. Αἱμασιάς.] Τοὺς στοιβίλους τῶν τοίχων, τοὺς χάλικας. *Schol.* Ὁ δὲ Θεμιστοκλῆς παραφρασθεὶς λίθους ἡμμένους τὰς αἱμασιὰς, ἴσως φρυγίους καὶ τοὺς λίθους ἰκλίγων. *Eustath.*

Ibid. —— λίγων.] Οἰκοδομῶν ἐκ συλλίνων λίθων. *Schol.*

Ver. 359. Ἔνθα δ' ἐγών.] Apud *Eustathium*, Ἔνθα κ' ἐγώ. Atque ita habet MS. à *Tho. Bentleio* collatus. Quæ et proba lectio.

Ver. 360. Εἵματά σ'.] *Al.* Εἵματα δ'.

Ver. 361. —— ἔμμαθες.] Vide suprà ad ρ', 226.

Ver. 365. —— εἰ γὰρ νῶϊν.] Refertur istud γὰρ ad id quod elegantèr reticetur: " Λὲ " *me tam ignavum operisve inscientem arbi-* " *treris; si* ENIM, *&c.*" Porrò reticetur et hujus sententiæ ἀνάδοσις· " *Si enim nobis*—; " *videres quantò ego tibi opere præstarem;*" aut aliquid simile. Cujusmodi de ἀνακολουθίαι, vide ad *Il.* ά, 135 et 340.

Ibid. —— ἔργοιο.] Τοῦ κατὰ γεωργίαν. *Eustath.*

Ver. 367. Ἐν ποίῃ.] Ὁ Δημητριακὸς χόρτος. *Schol.* Atqui vox ποίη alibi apud Poetam " *herba*" simplicitèr significare videtur. Vide *Iliad.* ξ', 347. *Odyss.* ί, 499.

Νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
Εἰ δ' αὖ καὶ βόες εἶεν ἑλαυνέμεν, οἵ περ ἄριστοι,
Αἴθωνες, μεγάλαι, ἄμφω κεκορηότε ποίης,
Ἥλικες, ἰσοφόρβοι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
Τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ,
Τῷ κέ μ' ἴδοις, εἰ ὦλπα διηνεκέα προταμοίμην.
Εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὀρμήσειε Κρονίων
Σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη, καὶ δύο δοῦρε,
Καὶ κυνέη πάγχαλκος ἐπὶ κροτάφοις ἀραρυῖα.
Τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
Οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.
Ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής·
Καί πού τις δοκέεις μέγας ἔμμεναι, ἠδὲ κραταιὸς,
Οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
Εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
Αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα,
Φεύγοντι στείνοιντο δι' ἐκ προθύροιο θύραζε.
Ὣς ἔφατ'· Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,

" Jejuni usque penitùs ad tenebras, herba autem adesset.
" Sive rursùs et boves essent agendi, qui utique optimi,
" Rutili, magni, ambo saturati herbâ,
" Aequales-aetate, pares-operi-sustinendo, quorum utique robur non imbecille,
" Arvum autem quatuor-jugerum esset, cederetque subtùs gleba aratro;
" Tunc me videres, an sulcum continuum proscinderem.
" Sive demùm et bellum alicundè moveret Saturnius
" Hodiè; at mihi scutum esset, et duae hastae,
" Et galea tota-aerea temporibus apta;
" Tunc me videres primis in pugnatoribus mixtum,
" Neque mihi ventrem exprobrans loquereris.
" Sed valdè contumeliosè-te-geris, et tibi animus est inclemens;
" Et quodammodo quidam videris magnus esse et fortis,
" Quoniam cum paucis et non bonis versaris.
" Sin Ulysses veniret, et accederet in patriam terram,
" Statim tibi portae, etiam latae licèt admodùm sint,
" Fugienti arctarentur per vestibulum foràs."
Sic dixit: Eurymachus verò iratus est ex-corde magìs,

Ver. 369. —— ἄχρι μάλα κνέφαος.] Ἥγουν ἄχρι βαθείας ἑσπέρας. *Eustath.*
Ver. 370. —— οἵ περ.] *Al.* ὅσσοι.
Ver. 373. Τετράγυον.] Τέσσαρας ἴχνη γύας· γύον δὲ μέτρον γῆς. *Schol.*
Ver. 374. —— ὦλπα διηνεκέα.] Τὴν ὑπὸ μιᾶς ὁρμῆς σχιζομένην. *Schol.*
Ibid. —— προταμοίμην.] *Scholiastes* exponit simplicitèr διακόψαιμι. *Eustathius* autem *Ulyssem* et hîc se *Eurymacho* præferre intelligit. Τὸ δὲ προταμοίμην, ἀντὶ τοῦ, πρὸ σοῦ ἀροτριάσαιμι καὶ ὡς ἄλλοι προκόψαιμι· καὶ τὰ πάντα ἴσως ἴσα, ὅμως προὐπαλείμηι τῇ ἀρετῇ. Potior (ut opinor) *Scholiastis* interpretatio; quia in hoc, ut et in sequenti exemplo, *ver.* 375. nullum inter se et *Eurymachum* certamen depingere videtur *Ulysses*, sed suas ipsius vires et animos solummodò exhibere.
Ver. 382. —— οὐκ ἀγαθοῖσιν.] *Al.* οὐνιδανοῖσιν.
Ver. 384. 385. Αἶψά κέ τοι τὰ θύρετρα —— Φεύγοντι στείνοιντο.] Οὕτως παρασύρονται διὰ τῶν θυρῶν φύγῃ, ὡς δοκεῖν στενοχωρεῖσθαι. *Schol.*
Ver. 385. — δι' ἐκ προθύροιο.] Apud *Eustathium* in commentario δι' ἐκ μεγάροιο.

Καὶ μιν ὑπόδρα ἰδὼν, ἔπεα πτερόεντα προσηύδα·
Ἆ δείλ', ἦ τάχα τοι τελέω κακὸν, οἷ' ἀγορεύεις
Θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν· οὐδέ τι θυμῷ
Ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἦ νύ τοι αἰεὶ
Τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώλια βάζεις.
Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
Ὣς ἄρα φωνήσας, σφέλας εἵλετο· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος,
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα
Δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα·
Αὐτὰρ ὅγ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσι.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
Ὧδε δέ τις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Αἴθ' ὄφελ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι,
Πρὶν ἐλθεῖν· τῷ κ' οὔτι τόσον κέλαδον μεθέηκεν.
Νῦν δὲ περὶ πτωχῷ ἐριδαίνομεν· οὐδέ τι δαιτὸς
Ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἰς Τηλεμάχοιο·
Δαιμόνιοι, μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ

Et ipsum torvè intuitus, verba alata dixit:
" Ah miser, certè citò tibi perficiam malum, qualia dicis
" Confidentèr multos inter viros, neque quid animo
" Times: certè utique vinum tibi mentem occupat; vel sanè tibi semper
" Talis mens est: quare et vana loqueris.
" An exultas, quòd Irum vicisti erronem ?"
Sic utique locutus, scabellum sumpsit: at Ulysses
Amphinomi ad genua desidebat Dulichiensis,
Eurymachum veritus: hic autem pocillatorem percussit ad-manum
Dextram; gutturnium verò humi sonuit lapsum:
At ille ejulatu-edito cecidit supinus in pulveribus.
Proci verò tumultuati sunt per aedes obscuras:
Sic verò aliquis dicebat intuitus in propinquum alium;
" Utinam hospes errans alibi periisset,
" Antequam venisset: ita neutiquam tantum tumultum intulisset.
" Nunc autem de mendico contendimus: neque ulla convivii
" Boni erit voluptas; quoniam pejora vincunt."
Inter hos autem et locuta est sacra vis Telemachi:
" Miseri, insanitis, et non ampliùs tenetis animo

Ver. 389. Θαρσαλίως.] *Al.* Θαρσάλεως.
Ver. 391. —— μεταμώλια.] *Al.* μεταμώνια.
Ver. 392. Ἦ ἀλύεις.] Vide suprà ad *ver.* 332.
Ver. 393. —— εἵλετο.] *Al.* ἕλλαβεν.
Ver. 396. —— βόμβησε.] Vide ad *Il.* γ, 125 et 455.
Ver. 401. Πρὶν ἐλθεῖν.] *Al.* Πρίν γ' ἐλθεῖν.
Ver. 402. —— περὶ πτωχῷ.] *Al.* περὶ πτωχῶν.
Ver. 403. —— ἐπεὶ τὰ χερείονα νικᾷ.]

Ὅσσον τὸ χεῖρόν γ' ἀγαθοῦ μεῖζον σθένει.
Sophocles, Philoctet. ver. 456. à *Barnesio* citatus.

Ver. 404. —— μετέιφ'.] *Al.* μετίφη.
Ver. 405. —— οὐκέτι κεύθετε θυμῷ Ξυνετὸν οὐδὲ νοερόν.] Ἰστέον δὲ ὅτι τὸ " οὐκέτι κεύθετε

Βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
Ἀλλ' εὖ δαισάμενοι καταπείετε οἶκαδ' ἰόντες,
Ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔτιν' ἔγωγε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν,
Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
Ἀντιβίοις ἐπέεσσι παθαπτόμενος χαλεπαίνοι·
Μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
Ὄφρα σπείσαντες καταπείομεν οἶκαδ' ἰόντες·
Τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἀδύτα μῦθον ἔειπε.
Τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,

" Cibum, neque potum : deorum certè aliquis vos concitat.
" Sed benè epulati decumbite domum profecti,
" Quandò animus jubet; pello verò neminem ego."
Sic dixit: illi autem omnes mordicùs labris compressis,
Telemachum admirabantur, quòd audactèr loquebatur.
Ipsis verò Amphinomus concionatus est, et dixit,
Nisi illustris filius, Aretiadae regis.
" O amici, haud jam quisquam super dicto aequo
" Contrariis verbis carpens saeviat:
" Neque omninò hospitem pulsate; neque quenquam alium
" Famulorum, qui in aedibus *sunt* Ulyssis divini.
" Sed agite, pocillator quidem incipiat poculis,
" Ut postquam-libaverimus, decumbamus domum profecti:
" Hospitem verò sinamus in aedibus Ulyssis
" Telemacho curae-esse: hujus enim dilectam venit ad domum."
Sic dixit: illis autem omnibus gratum sermonem dixit.
Ipsis verò craterem miscuit Mulius heros,

" Θυμῷ βρωτὺν οὐδὲ ποτῆτα," ἀστεῖως ἰρρίζη διὰ τὸ τοὺς μνηστῆρας μὴ κρύπτειν, ἀλλ' ἰκφαίνειν, ὡς οἱ ἐξεμοῦντες τὰ ἐντὸς, οὕτω καὶ αὐτοὺς ἔπειχε ἵνα ἴδωσι βούλημα, τὸ τὸν ξένον δηλαδὴ ὡς ἰρρίζη αὐτοῖς ἀλίσθαι. *Eustath.* Minùs rectè. Ideò enim, ut opinor, Procos reprehendit *Telemachus*, quòd non tranquilli et sine strepitu cibum et potum sumant.

Ver. 408. Ὁππότε.] *Al.* Εἴποτε.

Ibid. —— ἄνωγε.] Vide ad *Il.* Ψ, 322.

Ver. 409. —— ὀδὰξ ἐν χείλεσι φύντες.] Vide suprà ad ά, 381.

Ver. 413. 414. —— οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ —— χαλεπαίνοι.]

Τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.
Euripid, Bacch. ver. 672.

Ver. 415. Μήτε τι.] *Al.* Μήτ' ἴτι.

Ver. 417. —— ἐπαρξάσθω δεπάεσσιν.] Ἀπὸ τοῦ πρώτου ἀρξάσθω. *Schol.* Vide ad *Il.* ά, 471. et suprà ad ή, 183.

Ver. 419. —— ἐνὶ μεγάροις Ὀδυσῆος.] *Al.* ἐνὶ μεγάροισιν Ἰκήλου.

Ver. 420. Τηλεμάχῳ μελέμεν.] Ἐπιμελείας ἀξιοῦσθαι ὑπὸ Τηλεμάχου. *Schol.*

Ver. 422. —— Μούλιος ἥρως.] Ὅτι τὸν πήρυκα Μούλιον, ὃς Στράτιος ἦν Ἀμφινόμου, ἥρωα καλέσας ὁ Ποιητὴς, ἐμφαίνει ἀδιαφορίαν πρὸς ταῦτα τοῦ ἥρως ὀνόματος, ὡς μὴ μόνον ἐπὶ πάνυ μεγάλων ἀνδρῶν, ἀλλὰ καὶ Στρατίων τινῶν λεγομένων καθάπαν καὶ περίων ὁ Ἐτεωνὺς ἐλίχθη, [*Odyss.* Υ, 22.] καὶ ὄχαμος ἀνδρῶν ὁ Εὔμαιος. *Eustath.* Notandum autem *Praecones* apud Veteres

Κήρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·
Νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσι
Σπείσαντες μακάρεσσι, πίον μελιηδέα οἶνον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Βάν ῥ' ἴμεναι κείοντες ἐὰ πρὸς δώματ' ἕκαστος.

Praeco Dulichiensis; famulus autem erat Amphinomi:
Distribuit verò deindè omnibus astando: illi autem diis
Ubi-libâssent beatis, biberunt dulce vinum.
At postquam libâssent, bibissentque, quantum volebat animus,
Perrexerunt utique ire decubituri suas ad domos quisque.

magno semper in honore habitos. Vide et suprà ad ξ, 3. 22.

Ver. 425. Σπείσαντες.] *Al.* Διέψαντες.
Ver. 427. Βάν ῥ' ἴμεναι.] *Al.* Βὰν δ' ἴμεναι.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Τ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Τ'.

ΣΥΝ Τηλεμάχῳ ἔκθεσιν ποιεῖται τῶν ἅπλων Ὀδυσσεὺς, καὶ πρὸς Πηνελόπην ἐκ Κρήτης εἶναι ὑποκρίνεται· γίγνεται δὲ αὐτοῦ δι' αὐλῆς ἀναγνωρισμὸς πρὸς Εὐρύκλειαν, τοὺς πόδας αὐτοῦ νίπτουσαν· καὶ κατὰ παρέκβασιν ὁ ποιητὴς διηγεῖται, ὡς ἐν Παρνασσῷ ὑπὸ συὸς ἐπλήγη κυνηγῶν.

Ἐπιγραφαί.

Ὀδυσσέως καὶ Πηνελόπης ὁμιλία· καὶ ὑπὸ Εὐρυκλείας ἀναγνωρισμός.

Ἄλλως.

Ταῦ δ' ἀναγνωρίζει ἐξ αὐλῆς γρηῦς Ὀδυσῆα.

Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Μνηστῆρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων·
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχε, χρὴ τεύχε' ἀρήϊα κατθέμεν εἴσω
Πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
Παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
Ἐκ καπνοῦ κατέθηκ'· ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,

Ar in domo relinquebatur nobilis Ulysses,
Procis caedem cum Minervâ meditans:
Statim autem Telemachum verbis alatis allocutus est:
" Telemache, oportet arma martia deponere intùs
" Omnia prorsùs; at procos blandis verbis
" Palpare; quandò te percontentur *arma* desiderantes:
" *Dicentem*, Ex fumo deposui; quoniam non ampliùs illis similia sunt,

---

Ver. 4. ——— χρὴ τεύχε' ἀρήϊα κατθέμεν εἴσω.] Occurrunt versus huic proximè sequentes novem suprà π', 286. &c. verùm eos huic loco aptiùs convenire arbitrati sunt Veteres, notante *Eustathio*: Ἔνθα (inquit) καὶ κεῖται πρὸ ἐνὸς ἑκάστου στίχου ἀστερίσκος δίχα ὀβελοῦ· ὡς ἐνταῦθα τῶν τοιούτων στίχων ἄρτια πεμπόντων——· οὐ μὴν ἐκεῖ, [*Odyss.* π', 286.] ὡς ἐπεκρίνοντο οἱ Παλαιοί. Similitèr *Scholiastes*: Οἱ ἀστερίσκοι· ὅτι ἐνάδι καλῶς, ὅτι ἴσάκις τὰ ἄπλα. *Barnesius* autem et Dna. *Dacier* versus hosce utrobique aptissimè positos contendunt. Vide suprà ad π', 284.

Οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
Ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων,
Μήπως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Ἀλλήλους τρώσητε, καταισχύνητε δὲ δαῖτα,
Καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί·
Ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
Μαῖ', ἄγε δή μοι ἔρυζον ἐνὶ μεγάροισι γυναῖκας,
Ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
Καλὰ, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει,
Πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα·
Νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἵξετ' ἀϋτμή.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Αἴ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο,
Οἴκου κήδεσθαι, καὶ κτήματα πάντα φυλάσσειν.
Ἀλλ' ἄγε, τίς τοι ἕπειτα μετοιχομένη φάος οἴσει;
Δμωὰς δ' οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

" Qualia quondam ad Trojam proficiscens reliquit Ulysses;
" Sed foedata sunt, quantum ignis attigit vapor.
" Insuper autem et hoc majus in mentem injecit deus;
" Nè fortè vino-gravati, contentione concitatâ inter vos,
" Vos-invicem vulneretis, deturpetisque convivium,
" Et nuptiarum-ambitum; ipsum enim allicit virum ferrum."
Sic dixit: Telemachus verò dilecto obedivit patri;
Evocatamque allocutus est nutricem Eurycleam:
" Nutrix, age jam mihi contine in aedibus mulieres,
" Dum in thalamum deponam arma patris
" Pulchra, quae mihi in domo neglecta fumus corrumpit,
" Patre absente; ego nempè adhuc infans eram:
" Nunc autem volo deponere, ubi non ignis attinget vapor."
Hunc autem rursùs allocuta est dilecta nutrix Euryclea:
" Utinam enim jam tandem, fili, prudentiam susciperes,
" Domum ad-curandam, et possessiones omnes servandas.
" Sed age, quaenam tibi deindè comitans lumen portabit?
" Famulas nempè non sinebas praeire, quae praeluceant."
Hanc verò rursùs Telemachus prudens contrà allocutus est:

Ver. 10. —— ἐνὶ φρεσὶν ἔμβαλε δαίμων.] Vide ad *Il. ά*, 194.

Ver. 12. —— καταισχύνητε δὲ.] *Al.* καταισχύνητέ τε· ut suprà σ', 293.

Ver. 13. —— αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.] Vide suprà ad σ', 294.

Ver. 16. —— ἄγε δή μοι ἔρυζον ἐνὶ μεγάροισι γυναῖκας.] Ὅτι ἐς τοσοῦτον αἱ δμωαὶ τοῦ Ὀδυσσέως ἄπιστοι, ὥστε οὐκ ἴχνι ὁ Τηλέμαχος καταθέσθαι τὰ ὅπλα ἐν ἀσφαλεῖ, εἰ μὴ λάθοι αὐτὰς, πρὸς τὸ μὴ ἐξιστῶν δηλαδὴ τοῖς μνηστῆρσι. *Eustath.*

Ver. 20. —— ἵξετ'.] *Al.* ἵκετ'· Ut suprà *ver.* 9.

Ver. 22. —— ἐπιφροσύνας ἀνέλοιο.] Φρόνιμος γένη. *Schol.*

Ver. 25. —— εἴας.] *Al.* εἴᾳς.

Ibid. —— προβλωσκέμεν.] Προϊέναι, προέρχεσθαι. *Schol.*

Ξεῖνος ὅδ'· οὐ γὰρ ἀεργὸν ἀνίξομαι, ὅς κεν ἐμῆς γε
Χοίνικος ἄπτηται, καὶ τηλόθεν εἰληλουθώς.
"Ως ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Κλῆϊσσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
Τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
Ἐσφόρεον κόρυθάς τε, καὶ ἀσπίδας ὁμφαλοέσσας,
Ἔγχεά τ' ὀξύοντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
Χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.
Δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἔμπης μοι τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
Εἰλάτιναί τε δοκοὶ, καὶ κίονες ὑψόσ' ἔχοντες,
Φαίνοντ' ὀφθαλμοῖς, ὡσεὶ πυρὸς αἰθομένοιο.
Ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.

" Hospes hic; non enim otiosum tolerabo, qui meum sanè
" Modium attingat, etiam longè qui-venerit."
Sic utique dixit: huic verò pennarum-expers fuit verbum.
Clausit autem januas aedium habitantibus-commodarum.
Tum verò impetu-facto Ulysses et illustris filius
Intrò-ferebant galeasque et scuta umbonibus munita,
Hastasque acutas; antè autem Pallas Minerva,
Auream lucernam tenens, lumen perpulchrum faciebat.
Tunc demùm Telemachus alloquebatur suum patrem statim;
" O pater, profectò magnum miraculum hoc oculis video;
" Omninò mihi parietes aedium, pulchraque intercolumnia,
" Abiegnaeque trabes, et columnae in-altum erectae,
" Lucent oculis, tanquam igne ardente.
" Certè omninò aliquis deorum intùs, qui coelum latum habitant."

Ver. 27. —— ὅς κεν ἐμῆς γε Χοίνικος ἅπτηται.] Τροφὰς λαμβάνει· τό τι μετρεῖν καὶ τὸ μετρούμενον, χοῖνιξ. *Schol.* Eodem modo explicat *Eustathius*: Οὐδεὶς ἀργὸς τραφήσεται παρ' ἐμοί.— Χοῖνιξ δὲ οὖν, ἡ τροφὴ δίσημος γὰρ ἡ λίξις, ἴσή τι σταθμῷ τοῦ μετροῦντος, καὶ τοῦ μετρουμένου πράγματος. Οὕτω δὲ καὶ ὁ μέδιμνος, καὶ τὸ τάλαντον, καὶ ὁ ζυγός.—Ἰστέον δὲ ὅτι τὸ "ἐπὶ χοίνικος μὴ καθῆσθαι" τὸ Πυθαγόρειον, ἤγουν μὴ τρίβεσθαι ἀργὸν, ἐκ τοῦ ῥηθέντος Ὁμηρικοῦ χαρίεν ἅρμοται. Vide et *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7.

Ver. 29. —— τῇ δ' ἄπτερος ἔπλετο μῦθος.] Vide suprà ε', 57.

Ver. 30. Κλῆϊσσεν δέ.] Ita edidit *Barnesius* ex *Odyss.* ά, 165. infrà; ubi etiam in Vulgatis scriptum est ἐκλήϊσσεν. Rectè: Fit enim ex κληΐζω, cujusmodi verba Aoristos primos et Futura corripiunt. Vide ad *Il.* ά, 140. *Vulgg.* hìc Κλῆϊσεν δέ.

Ver. 32. Ἐσφόρεον.] *Barnesius* edidit Εἰσφόρεον.

Ver. 33. —— ὀξύοντα.] Vide ad *Il.* ί, 50.

Ibid. —— πάροιθε δὲ Παλλὰς Ἀθήνη, Χρύσεον λύχνον ἔχουσα.] Τὴν δᾷδα κυρίως· τῷ δὲ παρ' ἡμῖν καλουμένῳ λύχνῳ τοὺς ἥρωας χρωμένους ὁ Ποιητὴς οὐκ ἐοίκασε· καὶ οὔτε Ἡσίοδος μέμνηται. Ὀρθῶς δὲ στοιχᾷ τῶν Ἀθηνῶν, φρόνησιν οὖσαν, καθαρὸν αὐτῷ παρέχειν τὸ φῶς· καὶ οἰκείως, διὰ τὸν δεδιέναι Ἀθήνησι λύχνον. *Schol.* à *Barnesio* emendata. Vide *Pausan. Attic. lib.* I. *cap.* 26.

Ver. 34. Χρύσεον.] Pronunciabatur Χρύσιον.

Ver. 37. 39.—— οὐρανὸν μεγάρων.—— Φαίνοντ' ὀφθαλμοῖς.] Similitèr apud *Plautum*:

Ædes totæ confulgebant tuæ, quasi essent aureæ.
Amphitr. Act. V. *Scen.* i. *ver.* 44.

Ver. 37. —— μεσόδμαι.] Τὰ μεταξὺ τῶν κίονων διαφράγματα· οἱ νῦν ἄρας περὶ τοὺς τοίχους τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. *Schol.*

Ver. 38. —— ὑψόσ' ἔχοντες.] *Al.* ὕψος ἔχοντες.

Ver. 40. Ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.] Similitèr ferè *Hippolytus* apud *Euripidem*:

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε·
Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἱ Ὄλυμπον ἔχουσιν.
Ἀλλὰ σὺ μὲν κατάλεξαι· ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
Ὄφρα κ' ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω
Ἥ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα.
Ὣς φάτο· Τηλέμαχος δὲ δὶ ἐν μεγάροιο βεβήκει
Κείων ἐς θάλαμον, δαΐδων ὑπολαμπομενάων,
Ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι.
Ἔνθ' ἄρα καὶ τότ' ἴλεπτο, καὶ ἠῶ δῖαν ἔμιμνεν.
Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπολείπετο δῖος Ὀδυσσεὺς,
Μνηστῆρσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσῇ Ἀφροδίτῃ.

Hunc autem respondens allocutus est soleri Ulysses:
" Tace, et in tuâ mente retine, neque interroga:
" Hic sanè mos est deorum, qui Olympum habitant.
" Sed tu quidem cubitum-eas; ego verò relinquar hic,
" Ut adhuc-magìs famulas et matrem tuam provocem; 45
" Haec verò me lamentans interrogabit de singulis."
Sic dixit: Telemachus verò ex domo discessit
Cubiturus in cubiculum, facibus illucentibus,
Ubi anteà cubabat, quandò ipsum dulcis somnus opprimebat:
Ubi sanè et tunc cubuit, et auroram divinam expectabat. 50
At in domo relinquebatur nobilis Ulysses,
Procis caedem cum Minervâ meditans.
Egrediebatur autem è thalamo prudens Penelope,
Dianae similis, et aureae Veneri:

Ὦ θεῖον δῆμας ἀτῦμα. ———
Ἔστ' ἐν δόμοισι τοῖσδε γ' Ἄρτεμις θεά.
Eurip. Hippol. ver. 1391.

Ibid. —— τις θεός.] *Al.* τις θεῶν. Ut pronuncietur videlicèt θεῶν notante *Barnesio.* Vide ad *Il.* ά, 18.

Ver. 43. Αὕτη τοι δίκη ἐστὶ θεῶν.] Οὗτος ὁ τρόπος, τὰ οὐ βούλονται, φαίνεσθαι. *Schol.* Rectiùs, ut videtur, *Eustathius*: Αὕτη δίκη θεοῦ, ἐν τῷ ἐκφαίνεσθαι, πολλῶν οὖσα, καλὸν δηλοῦν βούλεται. Quod autem deinceps addit; Τοῖς δὲ γράφουσι, Αὕτή τοι δίκη ἐστὶ θεῶν, τοιοῦτόν τι ἄλλως τις ὁ ἔνδον ἐστὶ θεοῦ, ἢ αὕτη ἡ δίκη, ἐκφύγειν οὐκ ἀμῶν, ἢ καὶ οὕτω ἤθη· id verò, ut opinor, ferri non potest. Vide suprà λ', 217. et infrà ά, 254. ubi similis phrasis occurrit.

Ibid. —— οἱ Ὄλυμπον ἔχουσιν.] " Hoc," inquit *Spondanus*, " dici existimo ad differentiam Deorum *inferorum*, quibus non " est peculiare ut luceant." Verùm hoc in loco istiusmodi distinctio planè est importuna.

Ver. 48. ——— ὑπολαμπομενάων.] *Al.* ἐστὶ λαμπομενάων.

Ver. 55. Ἡ δ' ἴεν ἐκ θαλάμοιο.] Ὁ δὲ στοιχειώσας ἀπάντων τῶν στιχῶν Ὁμήρου, ὅταν μὲν ἔξω ἔρχωνται αἱ γυναῖκες, καὶ πάλιν ἔνδοθεν εἰσαγαγὼν ἐκδιδάξασθαι βούλεται, τῶν τε φαινόντων τοὺς προείποντας χρόνους, καὶ τῶν ἀμφίσων τοὺς μελλησόντας· καὶ οἱ παπαστικοὶ τοὺς ἀφίσους τῶν συλλαβῶν, οἷδε συχνάκις τοὺς ἔχοντας, παρανοοῦσι ἀλλήλοις τὰ ἐναίσιμα· ἔρχεται δὲ τινὰ στοιχεῖα τὸν ἀριθμὸν τῶν γραμμάτων, καὶ μίσσουσι ἀλλήλους διὰ τῆς ἀκοῆς· ὡς ἔχει φασί· " Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια, " Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ." *Dionys. Halicarn. περὶ συνθέσεως*, § 16.

Ver. 54. Ἀρτέμιδι ἰκέλη.] Vide suprà ad ε', 37.

Ibid. —— ἠὲ χρυσῇ Ἀφροδίτῃ.] MS. à *Tho. Bentleio* collatus, ἠὲ χρυσῇ Ἀφροδίτῃ. Atque ita legitur apud *Eustathium*, in commentario; et apud *Dionysium*, loco suprà citato. Quæ et potior videtur lectio. Vide suprà ad ε', 37.

Τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἔφιζε,
Δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἦν ποτε τέκτων
Ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκε
Προσφυὲς ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλετο πῶας.
Ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια.
Ἦλθον δὲ δμωαὶ λευκώλενοι ἐκ μεγάροιο
Αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ἦρον, ἠδὲ τραπέζας,
Καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον.
Πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις βάλον· ἄλλα δ' ἐπ' αὐτῶν
Νήησαν ξύλα πολλὰ, φόως ἔμεν, ἠδὲ θέρεσθαι.
Ἡ δ' Ὀδυσῆ' ἐνένιπτε Μελανθὼ δεύτερον αὖτις·
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα
Δινεύων κατὰ οἶκον; ὀπιπτεύσεις δὲ γυναῖκας;
Ἀλλ' ἔξελθε θύραζε, πάλαι, καὶ δαιτὸς ὄνησο·
Ἦ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε.
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεχοτημότι θυμῷ;
Ἦ ὅτι οὐ λιπόω; καπὰ δὲ χροῒ εἵματα εἶμαι;

Et juxta ignem quidem sedem deposuerunt, ubi utique insidere-solebat,
Circumcircà-ornatam ebore et argento; quam olim faber
Fecerat Icmalius, et subtùs scabellum pedibus posuerat
Aptum ex ipsâ; ubi magna injiciebatur pallia.
Illic desidebat deindè prudens Penelope.
Venerunt autem famulae candidae-ulnis ex domo;
Hae autem panem quidem multum auferebant, et mensas,
Et pocula, unde scilicèt viri superbientes bibebant.
Ignem verò à focilis ad terram jecerunt; aliaque super ipsos
Cumulârunt ligna multa, ut lumen esset, et calefactio.
At Ulyssem increpabat Melantho secundò rursùs:
" Hospes, adhuc et nunc hîc molestus-eris per noctem
" Versans in domo? observabisque mulieres?
" Sed exi foràs, miser, et convivio juvare:
" Aut citò et torre percussus ibis foràs."
Hanc autem torvè intuitus allocutus est solers Ulysses;
" Improba, cur in me sic invehis irato animo?
" An quòd non niteo? mala autem corpori vestimenta indutus sum?

Ibid. —— χροΐ.] *Barnesius* edidit χρωΐ. Quod eodem modo pronunciandum.

Ver. 55. — ἔνθ' ἄρ' ἔφιζε.] *Al.* ἔνθα δ' ἵζεν.

Ver. 58. Προσφυὲς ἐξ αὐτῆς.] Ἤγουν περιφυσίως καὶ ἁρμόσαν τῇ καλιᾷ. *Eustath.*

Ibid. —— ὅθ' ἐπὶ μέγα βάλλετο πῶας.] Οὐ λίαν διαδέλτιον ὑπεστρωμένον ἔχουσα, οὐδὲ τάπητα μαλακῶν ἱρίων, κατὰ τὴν περιφερῆν Ἑλένην, [suprà ὅ, 124.] πῶας δὲ μίγα· κατὰ ἠρεμαῖον καὶ τοῦτο ἑρίλλιον. *Eustath.* Vide suprà ad ὅ, 45. et ρ', 266.

Ver. 61. —— ἀπὸ μὲν σῖτον πολὺν ἦρον, ἠδὲ τραπέζας.]

Postquam prima quies epulis, mensaque remotæ. *Æn.* I, 723.

Ver. 62. — δέπα.] *Barnesius* edidit δέπα'. Atque ita habet MS. à *Tho. Bentleio* collatus, infrà υ, 153.

Ver. 66. —— ἀνιήσεις.] Vide ad Π. ν', 103. et ί, 24. Item infrà ad ύ, 178.

Ver. 67. —— δαιτυσίων.] *Al.* δαιτυμόνας et δαιτυμόνες.

Ver. 72. Ἦ ὅτι οὐ λιπόω;] Editiones nonnullæ, notante *Barnesio*, hoc in loco legunt, Ἦ ἦτοι οὐ μετόπω.

Πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
Τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
Ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
Τοίῳ, ὁποῖός ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι.
Ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἵσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ που.
Τῷ νῦν μή ποτε καὶ σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλίσσῃς
Ἀγλαΐην, τῇ νῦν γε μετὰ δμωῇσι πέπασσαι,
Μή πώς τοι δίστοινα κοτεσσαμένη χαλεπήνῃ,
Ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
Εἰ δ' ὁ μὲν ὥς ἀπόλωλε, καὶ οὐκέτι νόστιμός ἐστιν,

" Mendicoque per populum ? necessitas enim urget.
" Tales mendici et errones viri sunt.
" Etenim ego quondam domum inter homines habitabam
" Beatus divitem, et saepè dabam erroni
" Tali, qualis esset, et cujuscunque rei indigens veniset.
" Erant verò *mihi* servi valdè multi, aliaque multa,
" Quibus scilicèt benè vivunt *homines*, et divites vocantur :
" Sed Jupiter perdidit Saturnius ; voluit enim aliquâ-de-causâ.
" Ideò nunc *cave* nè aliquandò et tu, mulier, omnem amittas
" Pulchritudinem, quâ nunc sanè inter ancillas ornata es ;
" Nè fortè tibi domina irata saeviat,
" Vel Ulysses venerit ; adhuc enim et spei copia *est*.
" Sin ille quidem ita periit, et non ampliùs rediturus est,

Ver. 73. Πτωχεύω δ' ἀνὰ δῆμον.] Ἐν τῷ πένεσθαι δ' ἐστὶν ἡ τ' ἀδοξία, Κἀν ᾖ σοφός τις, ἡ τ' ἀνιμία βίου. *Euripid. Erectheus, ver.* 16.

Ibid. —— ἀναγκαίη γὰρ ἐπείγει.] Τὸ τῆς ἀνάγκης ἴσον' ἀδάμαστον φύσις. *Æschylus, Prometh. ver.* 105.

" *Necessitate, quæ ultimum et maximum te-*
" *lum est.*" *Liv. lib.* IV. § 28.

Ver. 75. 80. Καὶ γὰρ ἐγώ ποτε οἶκον —— Ἀλλὰ Ζεὺς ἀλάπαξε.] Similitèr *Euripides* :

Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἰμ' ἔτι·
Τὸν πάντα δ' ὄλεον ἥμαρ ἶν μ' ἀφείλετο.
Hecuba, ver. 284.

Et *Ovidius* :

Nos quoque floruimus, sed flos erat ille caduci.
Trist. lib. V. *Eleg.* VIII. *ver.* 19.

Ver. 76. — δίεσκον.] *Dare solebam.* ——
Ver. 77. — ὁποῖός ἔοι, καὶ.] *Al.* ἐπεὶ ἔοικεν.
Ver. 79. Οἵσίν τ'.] *Quibus videlicet.* ——
Ibid. — καὶ ἀφνειοὶ καλέονται.] *Dio Chrysostomus* hoc ita videtur accepisse, ac si Poeta divites, vulgari æstimatione tantùm, non reverà felices dicere voluerit. Πανυ̃ς, (inquit, *Orat.* 78. sub initio,) οὐχ αὑτῷ γνώμην ἀποφαινόμενος, ἀλλὰ τὴν τῶν ἀνθρώπων ἐξηγούμενος δόξαν, [φησὶν,] " Οἵοί [Οἵσιν] τ' εὖ " ζώουσι, καὶ ἀφνειὸὶ καλέονται·" ὡς μόνοι καλουμένων αὐτῶν ἀφνειῶν, ἀλλ' οὐκ ὄντων κατ' ἀλήθειαν. Quâ ratione dixit *Horatius* :

Non possidentem multa vocaveris
Rectè beatum. ——
Carm. lib. IV. *Od.* IX, 45.

Verùm istiusmodi explicatio huic loco minimè convenit.

Ver. 80. Ἀλλὰ Ζεὺς ἀλάπαξε.]

Ζεὺς γάρ τοι τὸ πάλαιτον ὑπερφίαλοι ἄλλοτε ἄλλῳ·
Ἄλλοτε μὲν πλουτοῦν, ἄλλοτε δ' οὐδὲν ἔχειν.
Theogn. Gnom. ver. 157.

Ver. 81. —— μή ποτε καὶ σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλίσσῃς.] Τὸ δὲ " μή ποτε πᾶσαν ὀλίσ- " σῃς ἀγλαΐαν" καὶ τὸ, " μὴ πώς τοι δίστοινα " χαλεπήνῃ," [*ver.* 83.] συνάδει ἔλλειψιν ἔχουσι τοῦ " ἕρα," ἢ " δείδιθι," ἢ τοιούτου τινός. *Eustath.* Vide suprà ad π', 381.

Ibid. —— πᾶσαν.] *Al.* πάμπαν.
Ver. 82. —— τῇ.] *Al.* τήν.
Ver. 84. —— ἶλθῃ.] *Al.* ἵλῃ.

Ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἔκητι
Τηλέμαχος· τὸν δ' οὔτις ἐνὶ μεγάροισι γυναικῶν
Λήθει ἀτασθάλλουσ'· ἐπεὶ οὐκέτι τηλίκος ἐστίν.
Ὣς φάτο· τοῦ δ' ἤκουσε περίφρων Πηνελόπεια·
Ἀμφίπολον δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Πάντως, Θαρσαλέη, κύον ἀδδεὲς, οὔτι με λήθεις
Ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις.
Πάντα γὰρ εὖ ἤδησθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,
Ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
Ἀμφὶ πόσει εἴρεσθαι· ἐπεὶ τυκινῶς ἀπάχημαι.
Ἦ ῥα, καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν·
Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
Ὄφρα καθεζόμενος εἴπῃ ἔπος, ἠδ' ἐπακούσῃ
Ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.
Ὣς ἔφαθ'· ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα
Δίφρον ἐΰξεστον, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
Ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.

" At jam filius talis Apollinis utique voluntate
" Telemachus; hunc autem nulla in aedibus mulierum
" Latet perperàm-agens; quoniam non ampliùs tantillae-aetatis est."
Sic dixit: eum verò audivit prudens Penelope;
Ancillam autem objurgabat, verbumque dixit, compellabatque:
" Omninò, audax, canis intrepida, non me lates
" Perpetrans magnum facinus, quod tuo capite perlues.
" Omnia enim benè nôsti, quoniam ex me audivisti ipsâ,
" Quòd hospitem eram in aedibus meis
" De marito interrogatura; quoniam multùm tristor."
Dixit, et Eurynomen oeconomam sermone allocuta est:
" Eurynome, affer jam sedem, et pellem super ipsam;
" Ut sedens dicat verbum, et audiat
" Hospes ex me; volo enim ipsum interrogare."
Sic dixit: illa verò valdè festinantèr deposuit ferens
Sedem benè-politam, et ei pellem injiciebat:
Illic sedebat deindè multa-passus nobilis Ulysses.

Ver. 86. —— Ἀπόλλωνός γε ἔκητι.] Κουρητόφος γὰρ ὁ Φοῖβος. *Schol.* Vide infrà ad ν, 71.

Ver. 88. 91. Λήθει —— λήθεις.] Vide suprà ad λ', 101.

Ver. 92. —— ἃ σῇ κεφαλῇ ἀναμάξεις.] Πάντως ἐαυτῇ προστρέψεις· ἢ ἀναλήψεις. *Schol.* Similitèr *Eustathius*: Τὸ δὲ "ἀναμάξεις" ἀντὶ τοῦ προστρέψεις· σαφέστερον δὲ ἀντὶ τοῦ προσκολληθήσαι ποιήσεις αὐτῇ τῇ σῇ κεφαλῇ. Καὶ ἔστιν εὑρεῖν τοιαύτην ἔννοιαν καὶ παρὰ τῷ Σοφοκλεῖ· ἔνθα φαίνεται ταῖς στιφουσμένων κεφαλαῖς ἐναπομάττεσθαι τὸ ἐν τοῖς ξίφεσιν αἷμα· ὡς εἰς κεφαλὴν δεῖν ἐπίνοιαν τρεπομένου τοῦ πάσχειν.

—— κἀπὶ λευγαίοισιν κάρα
Κηλῖδας ἐξίμαξεν ——.
Sophocl. Electr. ver. 447.

Eodem modo explicat et Dna. *Dacier.* Poeta autem (ut opinor) hâc phrasi idem simplicitèr denotare vult ac infrà χ', 217. " — σῇ δ' αὐτοῦ κράατι τίσεις." *Tuo ipsius capite lues.* Occurrit porrò eadem phrasis apud *Herodotum*; Τὰ μὲν γὰρ πρότερον ἐγώ τε ἐπῆνεσα, καὶ ἐμῇ κεφαλῇ ἀναμάξας φέρω, *Lib.* I. § 155.

Ver. 93. —— ἤδησθ', ἐπεί.] Ita ex utràque *Eustathii* editione et ex *Oxoniensi* restituit *Barnesius*. *Vulgg.* ἤδησθα, ἐπεί.

Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτὴ,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις; ἠδὲ τοκῆες;
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
Νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει·
Ὥστε τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
Ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων,
Εὐδικίας ἀνέχῃσι· φέρῃσι δὲ γαῖα μέλαινα
Πυρούς, καὶ κριθάς, βρίθῃσι δὲ δένδρεα καρπῷ·
Τίκτει δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχει ἰχθῦς
Ἐξ εὐηγεσίης· ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
Τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ

Illis autem sermonem exordiebatur prudens Penelope:
" Hospes, hoc quidem te primùm ego percontabor ipsa,
" Quis? undè es virorum? ubinam tibi urbs et parentes?"
Hanc autem respondens allocutus est solers Ulysses:
" O mulier, nemo te hominum in immensâ terrâ
" Vituperaret: certè enim tua gloria ad coelum latum pervenit;
" Sicut alicujus vel regis eximii; qui deo-similis
" Viris in multis et fortibus regnans,
" Jura sustentet; ferat autem terra nigra
" Tritica et hordea, graventurque arbores fructu;
" Pariunt verò robustae pecudes; mare porrò praebet pisces,
" Ex prudenti-administratione; felicitérque degunt populi sub ipso.
" Ideò me nunc alia quidem percontare tuâ in domo;

Ver. 109. 111. — ὅς τε θεουδὴς — Εὐδικίας ἀνέχῃσι.] Τουτέστι θεοῦ λόγον ἔχων διάνοιαν, οὐ σαπέντερον, οὐδὲ περαινόν, οὐδὲ τρίαινα, ὡς ἴνιοι πλάττουσι ἑαυτοὺς καὶ γράφουσι, τῷ ἀντίπνῳ ποιοῦντες ἐπίφθονον τὸ ἀνώνυμον. *Plutarch.* περὶ ἀγαμίας ἀναλδίνου. Cæterùm totum hunc imitatur *Hesiodus*:

Οἵ τ' ἰθείας ξείνοισι καὶ ἐνδήμοισι δίδοῦσιν
Ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου,
Τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ· —
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· ὄρεσι δὲ δρῦς
Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·

Εἰρωπάων δ' ἴσις μαλλοῖς καταδεδέδαται, &c, Ἔργ. καὶ Ἡμερ. I. *ver.* 223. 230.

Vide *Platonem de Republ. lib.* II. ubi loca hæc *Homeri* et *Hesiodi* citantur.

Ver. 110. Ἀνδράσιν ἐν πολλοῖσι.] Apud *Platonem de Republ. lib.* II. itemque apud *Plutarchum*, loco jam suprà citato, omittitur hic versus.

Ver. 111. —— φέρῃσι δὲ γαῖα μέλαινα Πυροὺς, &c.] Similitèr apud *Callimachum*:

Κείνοις οὐ μὰν ἄρουρα φέρει στάχυν, οὐ δὲ γαλήλη
Τιτραίνεται, οὐ δ' ἅλοες ἀΐσσεται ——.

Hymn. in Dian. ver. 130.

Ver. 112. —— βρίθῃσι.] Vide ad *Il. ν*, 343.

Ver. 113. Τίκτει — παρέχει.] Apud *Platonem* Τίκτῃ — παρέχῃ. Quod et cum præcedentibus φέρῃσι, βρίθῃσι aptiùs congruit.

Ibid. —— Ἔμπεδα.] *Il.* Ἔμπεδα.

Ibid. —— Θάλασσα δὲ παρέχει ἰχθῦς.] Quamvis piscium copia hîc inter Populi felicis et opulenti bona numeretur, nusquam tamen apud Poetam eos ad edendum appositos memorari observat *Athenæus*: Ἑλλάσκοντον δὲ Ὁμηρος ἰχθύοντα προσαγορεύων, καὶ τοὺς Φαίακας πλουσιωτάτους ποιῶν, καὶ ἐν τῇ Ἰθάκῃ ἰδιῶς λιμένας φησίδος, καὶ νήσους πρωτοχὶ πολλὰς, ἐν αἷς ἰχθύων ἐγίνετο πλῆθος καὶ ἀγρίων ἐρίφων· καὶ εἰς εὐδαιμονίαν δὲ καταριθμῶν τὸ τὴν Θάλασσαν ἰχθῦς παρέχειν· ἡμᾶς τούτων εἴδεν οὐδένα ποιεῖ προσφιλόμενον. *Lib.* I. *cap.* 8.

Ibid. —— παρέχει.] Vide ad *Il. ζ*, 62.

Ver. 114. Ἐξ εὐηγεσίης.] Τῆς εὐδαιμονίας· ἢ τῆς εὐαρχίας, παρὰ τὸ εὖ ἡγεῖσθαι· καλῶς δ' οἱ σὺν τῷ ε γεγέσθαι εὐηγεσίης. *Schol.*

Ibid. —— ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.] Ἐν ἀρετῇ καὶ εὐδαιμονίᾳ διάγουσι. *Schol.* Ἔστι δὲ στρατηγίας μὲν ἕνεκεν, ἡ τῶν πολιτῶν πανοστρατιὰ βασιλέως δὲ, ἡ τῶν ὑπηκόων εὐδαιμονία. *Themist. Orat.* X. *de Pace.*

Μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
Μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
Μνησαμένῳ· μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
Οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε μυρόμενόν τε
Ἧσθαι· ἐπὴν πάντιον πενθήμεναι ἄκριτον αἰεί·
Μή τίς μοι δμωῶν νεμεσήσεται, ἠὲ σύ γ' αὐτή·
Φῂ δὲ δακρυπλώειν βεβαρηότα μὲ φρένας οἴνῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Ξεῖν', ἦτοι μὲν ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε,
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
Μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω·
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐτέσσενεν κακὰ δαίμων·
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,

" Nè verò meum exquire genus et patriam terram,
" Nè mihi magìs animum implicas doloribus
" Recordanti: valdè enim sum aerumnosus; neque omninò me oportet
" Domo in alienâ lugentemque flentemque
" Sedere: quoniam multum *est* lugere indiscriminatim semper:
" Nequa mihi ancillarum succenseat, vel tu ipsa;
" Dicatque lachrymis-abundare gravatum me mentem vino."
Huic autem respondit deindè prudens Penelope:
" Hospes, profectò quidem meam excellentiam, formamque, corpusque,
" Perdiderunt immortales, quandò ad Ilium navigabant
" Argivi; cum iis autem meus maritus erat Ulysses.
" Si ille utique reversus meum statum gubernaret,
" Major gloria esset mea, et melior ita:
" Nunc autem tristor: tot enim mihi immisit mala deus:
" Quotquot enim insulis dominantur optimi,
" Dulichioque, Samaeque, et nemorosae Zacyntho,
" Quique ipsam Ithacam amoenum incolunt,

Ver. 116. Μηδ' ἐμὸν.] *Al.* Μηδέ μου.

Ver. 117. —— Θυμὸν ἐνιπλήσῃς ὀδυνάων Μνησαμένῳ.]

Infandum, regina, jubes renovare dolorem. *Æn.* II. 3.

Ver. 122. Φῂ δὲ δακρυπλώειν βεβαρηότα μὲ φρένας οἴνῳ.] Ὁ γὰρ οἶνος ὁ πολὺς μάλιστα φαίνεται παρασκευάζειν τοιούτους, οἵους λέγομεν τοὺς μελαγχολικοὺς εἶναι· καὶ πλεῖστα ἥδη ποιεῖν [*Al.* ποιεῖ] κινήσαντα, οἷον ἐρεθίσαντα, φιλονεικήσαντα, ἐλπίσαντα, ἐπαμῦναι —— ὁ μὲν λάλος, ὁ δὲ κινητικός, ὁ δὲ ἐριδμαχος· ποιεῖ γὰρ τινὰς καὶ τοιούτους· δι' ὃ καὶ Ὅμηρος ἐποίησε, "Καί μὲ " φησὶ δῶρον πλῆσαι βεβαρηότα φρένας οἴνῳ." Ἀριστοτ. *Probl. Sect.* 30. haud longè ab initio. Ubi notandum in transcursu *Aristotelem* versum hunc alitèr, ac in Vulgatis jam scriptum esse, legisse; nisi fortè ille memoriâ tantùm citaverit.

Ibid. —— βεβαρηότα.] Δεπερῶν πεπλήσθαι. *Schol. Al.* δέκεν πλῆσαι.

Ver. 125. —— εἰσανέβαινον.] *Al.* εἰς Ἴλιον ἀνέβαινον.

Ver. 127. —— τὸν ἐμὸν βίον ἀμφιπολεύοι.] Τοῦ ἐμοῦ βίου προνοοῖτο. *Schol.*

Ver. 129. —— ἐτέσσενεν.] *Al.* ἐπέκλωσεν.

Ver. 130. Ὅσσοι γὰρ νήσοισιν.] Vide suprà ad ν', 122.

Ver. 131. Δουλιχίῳ τε, Σάμῃ τε.] Vide suprà ad ι', 246. et ο', 29.

Οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
Τῷ οὔτε ξείνων ἐμπάζομαι, οὔθ' ἱκετάων,
Οὔτε τι κηρύκων, οἵ δημιοεργοὶ ἔασιν·
Ἀλλ' Ὀδυσῆα ποθεῦσα, φίλον κατατήκομαι ἦτορ·
Οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω·
Φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων
Στησαμένῃ μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὑφαίνειν,
Λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' αὐτοῖς μετέειπον·
Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
Ἐκτελέσω, (μή μοι μεταμώλια νήματ' ὄληται,)
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰσότε κέν μιν
Μοῖρ' ὀλοὴ παθέλῃσι ταναηλεγέος θανάτοιο·
Μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
Αἴ κεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ἔνθα κεν ἡματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.

" Hi me nolentem ambiunt, atteruntque domum.
" Ideò neque hospites curo, neque supplices,
" Neque omninò praecones, qui publici-ministri sunt;
" Sed Ulyssem desiderans, charo contabesco corde:
" Hi autem nuptias urgent; ego verò dolos struo:
" Vestem quidem mihi primùm inspiravit in mentem deus
" Exorsae magnam telam in aedibus texere,
" Subtilem et immensam: statim autem inter illos dixi:
" Juvenes, mei proci, quandoquidem mortuus est nobilis Ulysses,
" Manete urgentes *licèt* meas nuptias, donec vestimentum
" Perfecero, (nè mihi vana fila pereant,)
" Laërti heroï sepulchrale, *in tempus* quo ipsum
" Fatum perniciosum corripuerit perennis mortis;
" Nequa mihi in populo Achivarum succenseat,
" Si sine vestimento jaceat, multa qui possedit.
" Sic dixi: illis autem persuasus est animus generosus.
" Tunc interdiù quidem texebam magnam telam,
" Noctu verò dissolvebam, postquam faces adhibueram.

Ver. 133. Οἵ.] *Barnesius* edidit Τοί.

Ver. 136. —— Ὀδυσῆα ποθεῦσα, φίλον κατατήκομαι ἦτορ.] Ἀμφίζολον, inquit *Eustathius*, εἴτε περὶς τὸν Ὀδυσέα, εἴτε περὶς τὸ ἦτορ, πολλαχοῦ τὸ φίλον. Vera autem posterior constructio; ut liquet ex locis innumeris ubi eadem phrasis occurrit.

Ver. 139. Στησαμένῃ —— ὑφαίνειν.] *Al.* Στησαμένη —— ὕφαινον.

Ver. 143. —— μεταμώλια.] *Al.* μεταμῶ μια.

Ver. 144. —— εἰσότε.] *Al.* εἰς ὅτε.

Ver. 149. Ἔνθα κεν ἡματίη.] MS. à *Tho. Bentleio* collatus, Ἔνθα καὶ ἡματίη· uti in vulgatis editum est suprà β', 104. ubi idem versus occurrit. Ac verior videtur hæc lectio: Nam vocula κεν cum sententiâ (ut opinor) hoc in loco non convenit.

Ver. 150. Νύκτας δ' ἀλλύεσκον.] Hinc *Ovidius*:

Durat opus vatum, Trojani fama laboris,
Tardaque nocturno tela retexta dolo.
Amor. lib. III. *Eleg.* ix. 29.

Et *Propertius*, de eâdem *Penelope*:

Ὡς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
Ἀλλ' ὅτε τέρτατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
Καὶ τότε δή μ', διὰ δμωάς, κύνας οὐκ ἀλεγούσας,
Εἶλον ἐπελθόντες, καὶ ὁμοκλήσαντ' ἐπέεσσιν.
Ὡς τὸ μὲν ἐξετέλεσσα καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης·
Νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον, οὔτε τιν' ἄλλην
Μῆτιν ἐφευρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες
Γήμασθ'· ἀσχαλάᾳ δὲ πάϊς βίοτον κατεδόντων,
Γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
Οἶκον κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀπάζει.
Ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.

" Sic triennium quidem latebam ego et persuadebam Achivis:
" Sed quum quartus venit annus, et advenerunt horae
" Mensibus exeuntibus, diesque multi circumacti-sunt,
" Utique tunc demùm me, per famulas, canes non curantes,
" Deprehenderunt supervenientes, et increpuerunt verbis.
" Sic illud quidem perfeci, etiam nolens, ex necessitate:
" Nunc verò neque effugere possum nuptias; neque ullum aliud
" Consilium invenio; valdè autem hortantur parentes
" Nubere; et aegrè-fert filius victum devorantes,
" Cognoscens: jamjam enim vir *est* habilis maximè
" Ad domum curandam, cui utique Jupiter gloriam praebet.
" Sed et sic mihi dic tuum genus, unde sis;
" Non enim à quercu es olim-fabulosâ, neque à petrâ."

Conjugium falsâ poterat differre Minervâ,
Nocturno solvens texta diurna dolo.
Lib. II. *Eleg.* IX. 3.

Ver. 151. —— Ἀχαιούς.] Ἀντὶ τοῦ, μνηστῆρας· Uti notavit *Barnesius*. Vide suprà ad σ', 93.

Ver. 155. —— ἐμοκλήσαντ'.] MS. à *Tho. Bentleio* collatus, ἐμόκλησαν. Quæ fortè et verior lectio. Nam verbum ἐμοκλίω nusquam alibi apud Poetam nisi Voce *Activâ* occurrit. Vide ad *Il.* ψ', 363. item ad ά, 51.

Ver. 158. —— μάλα δ' ὀτρύνουσι τοκῆες.] Vide suprà ad ί, 16.

Ver. 159. Γήμασθ'.] Vide suprà ad λ', 272.

Ver. 160. —— οἷός τε μάλιστα Οἶκον κήδεσθαι.] Ita infrà φ', 116. 117.

—— ὃν' ἐγὼ κατέπεισθ' ἀποέμεν
Οἶός ἐ' ἦδη πυκνοὶς ἀίδηλα πάλ' ἀπαλίσθαι.

Cæterùm *Henricus Stephanus* hîc inter varias lectiones retulit οἷός τι, μίγας τι.

Ver. 161. —— τῷ τε Ζεὺς κῦδος ὀπάζει.] *Al.* κῦδος ὀπάζῃ. Cæterùm Dna. *Dacier* hîc legendum existimat ὀπάζοι· " C'est un sou-" hait (inquit) que Penelope fait pour son " fils." Malè omninò.

Ibid. —— κῦδος.] *Al.* ὄλβον. Atque ita legit MS. à *Tho. Bentleio* collatus.

Ver. 162. —— εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί.]

Qui genus? undè domo? ——
Æn. VIII, 114.

Ver. 163. Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.] Οἱ γὰρ παλαιοὶ ὑπελάμβανον τοὺς πρὸ ἑαυτῶν ἐκ δρυῶν καὶ πετρῶν γεγενῆσθαι, διὰ τὸ τὰς τυπευούσας εἰς τὰ στελέχη καὶ σπήλαια ἐνεδίνας τὰ παιδία· ἔστι δὲ ὁ λόγος, οὐ γὰρ δὴ ἐκεῖνόν γ' εὖ· —— παλαιὸν δὲ τοὺς πάλαι ἀνθρώπους ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιεῖσθαι πλησίον δρυῶν καὶ πετρῶν. *Schol.* Παροιμιώδης ὁ λόγος· καὶ —— καταφατικῶς μὲν ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρας εἶναί τις λέγεται, ὅτι οὐκ ἔστ' γένος αὐτῶν εἰπεῖν· ἀποφατικῶς δὲ φάναι ὡς οὐκ ἔστί τις ἀπὸ δρυὸς παλαιφάτου ἢ ἀπὸ πέτρης, ὅτι οὐκ ἂν ἔχοι συγῆναι πόθεν ἐστίν. —— Ἔστι δὲ καὶ ἄλλως νοηθῆναι τὸ ῥητὸν οὕτως ἀπλουστέρως· εἰπέ μοι τὰ κατὰ σὲ· οὐ γὰρ ἂν εἶπους χρόνῳ μακρῷ ἀπωλῆσθαι τὴν περὶ αὐτῶν μνήμην, ὡς τὰ ἐκ δρυὸς καὶ πέτρας παλαιὰ διηγήματα. *Eustath.* Hinc apud *Platonem*: Ἢ οὐκ ἐκ δρυὸς ποθὲν, ἢ ἐκ πέτρας τὰς παλαιτάτας γέγονεθαι; *De Republ. lib.* VIII. Sed et aliam adhuc hujus phrasis explicationem affert *Eustathius* ad

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Οὐκ ἔτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
Ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
Πλείοσιν, ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
Ἧς ἀπέησιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
Πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων·
Ἀλλὰ καὶ ὣς ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Κρήτη τις γαῖ' ἐστὶ, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
Καλὴ καὶ πίειρα, περίῤῥυτος· ἐν δ' ἄνθρωποι
Πολλοὶ, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόλεις.

Hanc autem respondens allocutus est solers Ulysses:
" O uxor venoranda Laërtiadae Ulyssis,
" Nondum desines meum genus interrogare?
" Sed tibi enarrabo; certè quidem me doloribus utique dabis
" Pluribus, quàm tenear: hic enim meo, quandò à patriâ
" Suâ absit vir tanto tempore, quanto ego nunc,
" Multas hominum per urbes errans, dolores patiens:
" Sed et sic dicam, quod me percontaris et interrogas.
" Creta quaedam terra est, medio in nigro ponto,
" Pulchra et pinguis, circumfluus; in eâ autem homines
" Multi, innumeri, et nonaginta urbes,

Odyss. χ', 290. Τὸ ἀπὸ δρυὸς, (inquit) ἢ πέτρης εἶναί τινά, οὐ μόνον ἀσχαιογονίαν παλαιστάτην σημαίνει Ὁμηρικώτερον, ἀλλὰ καὶ ἄδης ἀνέραμνον. Quo sensu (notante *Duporto, in Gnomologiâ* ad hunc locum,) usurpatur apud *Plutarchum*: Καίτοι οὐδὲ αὐτὸς "ἀπὸ δρυὸς "οὐδ' ἀπὸ πέτρης" ἐγενόμην. *Consolat. ad Uxor.* haud longè ab initio. Et apud *Theocritum*: "—— πέτρας ἀπόνομα· ἀπιράμων." *Idyll.* X, 7. Et *Ciceronem*: "Non enim est è "saxo sculptus, aut è robore dolatus." *Academic. lib.* IV. Et in *Tusculanis*: "Non "enim silice nati sumus." *Lib.* III. *cap.* 6. Verùm ista interpretatio huic *Homeri* loco non convenit. Porrò *Clemens Alexandrinus* versum hunc allo adjecto hemistichio citat:

Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, οὐδ' ἀπὸ πέτρης·
Ἀλλ' ἀνδρῶν γένος ἐσσί. ——

Admonit. ad Gentes.

Vide et ad *Il.* χ', 126.

Ibid. —— παλαιφάτου.] Παλαιὰ φανιζομένη, ἀντὶ τῆς παλαιὰ μαθύουσα ——. Τινὲς δὲ παλαιφάγον, ἐκείθεν οἱ παλαιὸν ἐβαλανοφάγουν· παρὰ τοῦτο καὶ φαγὸς ὁ φαγὼν τὴν σῦκα. *Schol. Etymologicon Magnum* et aliam hujus vocis interpretationem affert: Παλαιφαμένη, ἀντὶ τοῦ τὴν πάλαι ἐστηκυίαν δρυός. Porrò apud *Hesychium*, notante *Barnesio*, legitur et παλαιφάτου.

Ver. 166. —— ἀπολλήξεις.] *Al.* ἀπολλήξῃς, et ἀπολλέξῃς.

Ver. 170. Πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλάμενος.] Vide suprà ad ά, 3.

Ver. 172. Κρήτη τις γαῖ' ἐστὶ, μέσῳ ἐνὶ οἴνοπι πόντῳ.]

Creta Jovis magni medio jacet insula ponto.
Æn. III, 104.

Ver. 174. Πολλοὶ, ἀνειρέσιοι.] Ἐκπέπληγται τῷ πολλῷ, τὸ ἀνυπέρβλητον, αἰδόμενος εἰπεῖν. *Schol.*

Ibid. —— καὶ ἐννήκοντα πόλεις.] In *Iliade* ἑκατόμπολιν τὴν Κρήτην vocat Poeta:

Ἄλλοι δ', οἱ Κρήτην ἑκατόμπολιν ἀμφιβέβηκα.
Il. β', 649.

Quâ de re *Eustathius*: Ἐπιτιμοτάτολις δὲ νῦν Κρήτη, ἡ ἐν Ἰλιάδι ἑκατόμπολις, κατὰ στρατήγημα ἀναπεπταμένην γὰρ φασὶ ἔχειν πόλεις ὑπὸ Ἰδομενέως ἐκπολίσεις ἐξ Ἰλίου, ὅτι Λύκος αὐτὸν ἀπέλαυνεν, ὃν δὴ Διὸς παῖδα ὄντα, φόλακα τῆς βασιλείας κατέλιπε· δρέποντα θρασύν, ὡς ὁ Λυκόφρων φησί· τὰς δὲ πεμπούσας δίκας πόλεις προσοικοδόμας φασὶν ὕστερον μετὰ τὰ Τρωϊκά. ——Ἕτεροι δὲ οὐχ ἁπλοῦν ἐκεῖ νοοῦσι τὸν ἑκατόμπολιν, ἀλλ' ἀντὶ τοῦ πολύπολιν. Καὶ εἶναι οὕτω νοητὸν λαμβάνεσθαι τὸ ἑκατὸν, διὰ τὸ ἀριθμὸν τοῦ ἀνειλόου ἀφθονῶν κατὰ τὸ "ἑκατὸν "δὲ Θήβαι," καὶ "ἑκατὸν πύλαι πρόπυλον." Ὡς τε ἑκατόμπολις Κρήτη, ἡ πολύπολις. Similitèr *Scholiastes* ad *Il.* β', 649. et ad hunc locum. Vide et *Strabonem, Geograph. lib.* X. *pag.* 735. *al.* 479. ubi de hâc re plura. *Virgilius* Ithacem secutus est:

Centum urbes habitant magnas ——
Æn. III, 106.

Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,
Ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες, δῖοί τε Πελασγοί.
Τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις· ἔνθα τε Μίνως
Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής,

" Alia autem aliorum lingua mixta: insunt quidem Achivi,
" Insunt verò indigenæ Cretenses magnanimi, insunt et Cydones,
" Doriensesque trifariàm-divisi, eximiique Pelasgi.
" Apud hos autem est Cnossus magna urbs; ubi scilicêt Minos
" Novennalis regnabat Jovis magni confabulator,

Ver. 175. Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη.] Προφυτεύμησεν, ἵνα μή τις αὐτὸν ἐλέγξῃ, διὰ τὸ μὴ χρήσασθαι τῇ διαλέκτῳ αὐτῶν. *Schol.* Sed hoc longiùs petitum.

Ibid. —— ἐν μὲν Ἀχαιοί, Ἐν δ' Ἐτεόκρητες, &c.] Vide *Diodorum Siculum, Hist. lib.* V. haud longè à fine; et *Strabonem, Geograph. lib.* X. *pag.* 728. *al.* 475.

Ibid. —— ἐν μὲν Ἀχαιοί.] Μετὰ τὴν Ἴλιακὴν Ταλθύβιος ἐν Μυκηναῖς ἦγαγεν ἀποικίαν. *Schol.*

Ver. 176. —— Ἐτεόκρητες.] Οἱ αὐτόχθονες Κρῆτες· ἢ οἱ Ἰδαγενεῖς. *Schol.*

Ibid. —— ἐν δὲ Κύδωνες.] *Strabo*, loco suprà citato, et hos *Cretæ* indigenas fuisse arbitratur: Τοὺς μὲν οὖν Ἐτεοκρῆτας καὶ τοὺς Κυδῶνας αὐτόχθονας ὑπάρξαι εἰκὸς· τοὺς δὲ λοιποὺς ἐπήλυδας.

Ver. 177. Δωριέες τε τριχάϊκες.] Τριχῇ διῳκημένους· οἱ μὲν γὰρ Εὔβοιαν κατῴκισαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην. *Schol.* Alii autem, (uti et notat *Scholiastes*,) vocem τριχάϊκες aliter accipiunt. Κορνοῦτος ὁ συνηχῶν πολλὰ τὸν πόρον· ἢ μετωνομάσθη, ἐπὶ τοῦ "Αρεος, ἤγουν, [*Iliad.* χ'. 132.] " Ἴσος Ἐνυαλίῳ ἀρηϊφίλοισι" —— Ἐκ δὲ τοῦ " ἀρηϊφίλοισι," λύσεις τὸ, " Δωριέες τε τριχάϊκες" οἱ συνηχῶν τὰς τρίχας διὰ τὸ δραστικὸν ποιοῦντες, καμπυλοῦντες εἰρηνται. *Porphyr. Quæst. Homeric.* 3. ipso fine. Eodem modo exponit *Etymologicon Magnum*; locum autem deinceps ex *Hesiodo* affert, ubi altero sensu usurpatur hæc vox: Ἡσίοδος δὲ, διὰ τὸ τριχῇ αὐτοὺς διῳκῆσθαι οὕτω, " —— πάντες δὲ τριχάϊκες καλέονται, Οὕνεκα " τριστοιχὶ γαῖαν ἐδάσσατο βλάστανε." Τρία μοῖρα Ἑλλησπικὰ ἴδρυ τῇ Κρήτῃ ἐπῴκησαν, Πελασγοί, Ἀχαιοί, Δωριῆς. *Etymolog. Magn.* ad vocem Τριχάϊκες. Vide et *Strabonem, Geograph. lib.* X. *pag.* 729. *al.* 476.

Ibid. —— δῖοί τε Πελασγοί.] Vide *Strabonem, lib.* V. *pag.* 337. 338. *al.* 220. 221.

Ver. 178. Τοῖσι.] *Al.* Τῇσι.

Ibid. —— ἔνθα τε Μίνως Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής.] Μυθολογοῦσι τὸν Εὐρώπης καὶ Διὸς [Ita ex MS. *Barnesius*, pro vulgato τοῦ Διὸς] Μίνωα ἐν Κρήτῃ οἰκοῦντα διὰ ἐννετίας ἀφικνεῖσθαι πρὸς τὸν πατέρα παιδευσόμενον· καὶ ὡς παρὰ σοφωτάτου μαθόντα τὴν δικαιοσύνην, οὐ μόνον ἄλλα καὶ τοῦ χρόνου τὰς ἀποδείξεις δόξαι, ὧν μεταλάβοι ἐν τῇ περιόδῳ ἑκατοντηρίδι παρὰ τοῦ Διός· ὅθεν καὶ τῶν πάντων αὐτὸν βασιλέα καταστῆσαι· τῇ τε γνώμῃ καὶ τῇ πρὸς δικαιοσύνην, ὥστε ἐν ᾅδου δικαστὴν γενέσθαι τῶν ἀδίκων ψυχῶν, Ἢ δὲ ἱστορία παρὰ Πλάτωνι. *Schol.* Vide *Platonem in Minoë*; et *Strabonem, lib.* X. *pag.* 730. *al.* 476. *lib.* XVI. *pag.* 1105. *al.* 762.

Εἶσιν γε Σπινὸς Διὸν νόμοισι χρώμενα.
Euripid. Hippolyt. ver. 98.
ubi *Scholiastes* hunc *Homeri* locum adducit.

Ver. 179. Ἐννήμενος.] Οἱ μὲν, ὅτι διὰ ἐννέα ἐτῶν αὐτῷ συνὼν Διΐ, παρ' αὐτοῦ ἐμάνθανε, ἅττινα εἴη δίκαια· οἱ δὲ, ὅτι ἐννεάτης ὢν, βασιλεύειν ἤρξατο· οἱ δὲ, ὅτι ἐπ' ἐννέα ἔτη ἐβασίλευσεν, ὁμιλητὴς γενόμενος τοῦ Διός· οἱ δὲ, ὅτι ἐπ' ἐννέα ἔτη παρὰ τῷ πατρὶ ἰσταιδεύθη· φασὶ δὲ Ἴτιμον, ὡς καὶ τῶν βασιλέων γνώμας οὐ ῥᾳδίως τιθέντων οἱ ἀνασταγμένοι· δοκοῦσι οὖν αὐτὸν εἰς τὸν Ἅιδην διὰ ἐννατίας συνθεῖναι νόμους, καὶ φέρουσι διαβεβαιούμενοι ὡς ὑπὸ τοῦ Διὸς ἴδιον διδόμενα. *Schol. Plato* autem, loco jam suprà citato, vocem Ἐννήμενος exponit ἀνὰ ἐννέα ἔτους, nono quoque anno. Quam et veram omninò explicationem contendit *Casaubonus* in annotationibus ad *Strabonem, lib.* X. *pag.* 730. *al.* 476. " Atque hoc (inquit) est quod " alii tradant Minoëm nono quoque anno " solitum leges emendare et ἐννεαέτειν." Vide et *Davisii* annotationes ad *Ciceronis Tusculanas, lib.* II. § 13.

Ibid. —— Διὸς μεγάλου ὀαριστής.] Ἔστιν οὖν οὗτος Ὅμηρον ἐγκώμιον τῆς Μίνω δὲ βραχέων ἐμπρέπον, εἰ οὐ τὸ ἵνα τῶν ἠθῶν ἐστοίκειον Ὅμηρος. —— Τὸ γὰρ, Διὸς ἔνατα παίδα, μόνον ὑπὸ Διὸς σεσιωπῆσθαι, οὐκ ἔχει ὑπερβολὴν ἐπαινου. *Plato in Minoë.* Οὐδὲν γὰρ ἀνέκλεπτον τῷ βασιλεῖ πρόσωπον ὁ τοῦ Διὸς ἔργον. —— Καὶ τοὺς βασιλεῖς Ὅμηρος φησὶν, οὐχ ἱλαστέους, οὐδὲ παῦς χαλεπάνας, ἀλλὰ Δίμωνας παρὰ τοῦ Διὸς καπεδόκησας, βόσεις καὶ φολάσσειν. Καὶ τοῦ Διὸς, οὐ τὸν πολιμιπόλαιον, οὐδὲ τὸν ἀδικοῦντα καὶ φονεύοντα τῶν βασιλέων, ἀλλὰ τὸν δικαίσαντα, ἀριστῆρα καὶ μαθητὴν σεμνηγέμενος. *Plutarch. in Demetrio.*

Ibid. ὀαριστής.] Ὁμιλητής. *Schol.* Συν-

Πατρὸς ἐμοῖο πατὴρ, μεγαθύμου Δευκαλίωνος.
Δευκαλίων δέ μ' ἔτικτε, καὶ Ἰδομενῆα ἄνακτα·
Ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
Ὤχεθ' ἅμ' Ἀτρεΐδῃσιν· ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
Ὁπλότερος γενεῇ· ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.
Ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην, καὶ ξείνια δῶκα·
Καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἷς ἀνέμοιο,
Ἰήμενον Τροίηνδε, παραπλάγξασα Μαλειῶν·
Στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
Ἐν λιμέσιν χαλεποῖσι· μόλις δ' ὑπάλυξεν ἀέλλας·
Αὐτίκα δ' Ἰδομενῆα μετάλλα, ἄστυδ' ἀνελθών·
Ξεῖνον γάρ μιν ἔφασκε φίλον τ' ἔμεν, αἰδοῖόν τε.
Τῷ δ' ἤδη δεκάτη ἢ ἐνδεκάτη πέλεν ἠὼς
Οἰχομένῳ σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
Τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
Ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
Καί οἱ, τοῖς τ' ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
Δημόθεν ἄλφιτα δῶκα, καὶ αἴθοπα οἶνον ἀγείρας,

" Patris mei pater, magnanimi Deucalionis.
" Deucalion nempè me genuit, et Idomeneum regem:
" Sed ille quidem in navibus rostratis ad Ilium
" Abiit una-cum Atridis; mihi verò nomen inclytum Aethon,
" Junior natu; ille etenim prior et melior.
" Illic Ulyssem ego vidi, et hospitalia dedi:
" Etenim eum ad Cretam deduxit vis venti,
" Euntem ad-Trojam, ubi-abegisset à Maleis:
" Statuit autem in Amniso, ubi scilicèt specus Lucinae,
" In portibus difficilibus: vix autem evasit procellas.
" Statim verò Idomeneum quaerebat, ad urbem profectus;
" Hospitem enim ipsum dicebat dilectumque esse, reverendumque.
" Ei autem jam decima vel undecima erat Aurora
" Digresso cum navibus rostratis Ilium versùs.
" Illum quidem ego ad aedes ducens benè hospitio-excepi,
" Accuratè tractans, multis in domo suppetentibus;
" Et ei, caeterisque sociis, qui unà ipsum comitabantur,
" De-publico farinas dedi, et generosum vinum collectum,

συνιασιν τοῦ Διὸς εἶναι τὸν Μίνω [σημαίνει]. Οἱ γὰρ ἴασι, λόγω τινί· καὶ ἰασιστὴς, συνουσιαστὴς λεγὸν ἐν λόγοις. Plato, loco suprà citato.

Ver. 188. —— Ἀμνισῷ.] Ἀμνισὸς, πόλις καὶ ποταμὸς Κρήτης. *Schol. Al.* Ἀμνισσῷ.

Ibid. —— ὅθι τε σπέος Εἰλειθυίης.] Μίνω δὲ φασὶν ἰατικὴν χρήσασθαι τῇ Ἀμνισῷ, ὅπου τὸ τῆς Εἰλειθυίας ἱερόν. *Strabo, lib.* X. *pag.* 730. *al.* 476.

Ibid. —— Εἰλειθυίης.] Τῆς ἀφορισμένης ταῖς τικτούσαις θεᾶς. *Schol.*

Ver. 190. —— μετάλλα.] *Al.* μετάλλασε.

Ver. 191. —— γάρ μιν.] *Al.* γάρ οἱ.

Ver. 192. —— δεκάτη ἢ ἐνδεκάτη.] Ψευδόμενος, ἐπὰν λέγωσι τὰ μὴ εἰδέναι ἀληθῶς, σαφεστάτην δηλοῦσι εἶναι. *Schol.*

Ver. 195. —— φιλέων.] Vide ad *Il. ά*, 338. et *ό*, 304.

Ver. 197. Δημόθεν ἄλφιτα δῶκα.] Τὸ δὲ δημόθεν δοῦναι ἄλφιτα καὶ οἶνον, καὶ ἐξῆς, δηλοῖ ὅτι εἶναι ξυνίζησθαι δημοσίᾳ τοὺς ἀξίους. Οὕτω καὶ Ἀλκίνοος, [suprà *ν*, 13. 14.] καὶ οἱ σὺν αὐτῷ ἄριστοι, ἀνδρασὶ δόντες δῶρα τῷ Ὀδυσσεῖ, ὕστερον ἀγειρόμενοι κατὰ δῆμον, ἐτοίμασαν τὰ ἡθέντα ἑκάστῳ. *Eustath.*

Ibid. —— ἀγείρας.] *Al.* ἀείρας.

Καὶ βοῦς ἱερεύσασθαι· ἵνα πλησαίατο θυμόν.
Ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
(Εἶλει γὰρ Βορέης ἄνεμος μέγας, οὐδ' ἐπὶ γαίῃ
Εἴα ἵστασθαι· χαλεπὸς δέ τις ὦρορε δαίμων·)
Τῇ τρισκαιδεκάτῃ δ' ἄνεμος πέσε· τοὶ δ' ἀνάγοντο.
Ἴσκεν, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα·
Τῆς δ' ἄρ' ἀπουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς·
Ὡς δὲ χιὼν κατάτηκε' ἐν ἀκροπόλοισιν ὄρεσσιν,
Ἣν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καπαχύσῃ·
Τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·

" Et boves ad-mactandum, ut explerent-sibi animum.
" Illic duodecim quidem manebant dies nobiles Achivi;
" (Coërcebat enim *eos* Boreas ventus magnus, neque in terrâ
" Sinebat stare; infestus verò aliquis excitavit deus:)
" Tertiodecimo autem ventus cecidit: illi verò avehebantur."
Ita fingebat, mendacia multa dicens veris similia:
Illi autem audienti fluebant lachrymae, liquefiebatque cutis:
Sicut autem nix liquefit in summis montibus,
Quam scilicèt Eurus liquefecit, postquam Zephyrus diffuderit;
Liquescente autem eâ fluvii implentur fluentes:

Ver. 200. Εἶλει γὰρ Βορέης.] Versiones pleræque reddunt, " *Flabat enim Boreas.*" Sed minùs rectè: Ut liquet ex aliis locis, ubi vox Εἴλω occurrit. Vide *Iliad.* β', 294. Ϋ', 215. *Odyss.* μ', 210. χ', 460.

Ver. 201. —— ὦρορε.] Vox ὦρορε hoc in loco non est à Perfecto ὄρορα, sed ab Aoristo ὦρορον. Alioqui non constaret Temporum ratio. Vide ad *Il.* ά, 37.

Ver. 203. Ἴσκεν, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.]

Ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.
Hesiod. Theogn. ver. 27.

Obscuris vera involvens ——————.
Æn. VI, 100.

Facit illud verisimile quod mendacium est.
Plaut. Pseudol. Scen. IV. *ver.* 10.

Καὶ γὰρ ἡ σωτικὴ χάρις ἴσχε καὶ τιμὴν τοῖς πιθανολογίαις ἰσόπτα λέγων· ὃν Ὅμηρος ἔφη, " Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα." *Plutarch. de Gloriâ Atheniensium.* Porrò *Strabo* hoc ad *Homeri* Poesin in universum transfert: Οὕτω δὲ (inquit) τόν τε Ἰλιακὸν πόλεμον γεγονότα παραλαβὼν ἐπίσαμεν ταῖς μυθοποιίαις, καὶ τὴν Ὀδυσσέως πλάνην ἀσαύτως. Ἐκ μυθικῆς δὴ ἀληθοῦς ἀνάστασιν ποιῶν περιαγωγίαν, οὐχ Ὁμηρικήν. Προσῆκεν γὰρ, ὡς εἰκὸς, ὡς πιθανώτερον, ἂν οὕτω τις ψεύδοιτο, εἰ κατεμίγνυ τι καὶ αὐτῶν τῶν ἀληθῶν· ὅπερ καὶ Πολύβιός φησι περὶ τῆς Ὀδυσσέως πλάνης ἐπιχωρῶν. Τοιοῦτο δ' ἐστὶ καὶ τό, " Ἴσκε, ψεύδεα πολλὰ " λέγων ἐτύμοισιν ὁμοῖα·" οὐτε γὰρ πάντα, ἀλλὰ πολλὰ ὕπτ· οὐδ' ἂν ἦν ἐτύμοισιν ὁμοῖα. *Geographi. lib.* I. *pag.* 37. 38. *al.* 20. Διδάσκει δὲ μάλιστα Ὅμηρος καὶ τοὺς ἄλλους ψευδῆ λέγειν ὡς δεῖ. *Aristot. de Poetic. cap.* 24.

Ibid. Ἴσκεν.] Οἱ μὲν γλωσσογράφοι ἀντὶ τοῦ " ἔλεγεν" ἐκδέχονται· οἱ δὲ ἀκριβέστεροι ἀντὶ τοῦ " ἔοικεν," ὅ ἐστιν εἴκαζεν, ἀπεικονίζων πρὸς ἀλήθειαν. *Eustath.* Posteriori sensu occurrit hæc vox *Iliad.* λ', 798. σ', 41. *Odyss.* δ', 279. Alteri autem sensui favere videtur χ', 31. infrà:

Ἴσκεν ἴκαστις ἀνὴρ ——————.

Vide *Apollon. Argonaut. lib.* II. 240. III, 396. item *lib.* I, 834. ubi *Scholiastes:* Τὸ δὲ " ἴσκεν" ἐνταῦθα μὲν ἀντὶ τοῦ " ἔλεγε," παρὰ δὲ Ὁμήρῳ, ἀντὶ τοῦ " ὁμοίου."

Ver. 204. 205. 207. 208. —— τήκετο δὲ —— Ὡς δὲ χιὼν κατατήκει· —— Τηκομένης δ' ἄρα —— Ὡς τῆς τήκετο.] De hujusmodi vocis unius repetitione, *Hermogenes:* Ταυτότητι ὀνομάτων χαριούμεθα, —— ὅταν τοῦ πράγματος ἓν ὄνομα ᾖ τὸ ἀναγέγραπται· τότε γὰρ οὐ διὰ χορηγίαν ζητεῖν τὴν ἀφανίζουσαν τὴν ἐπάγγελιαν τοῦ πράγματος· ἐὰν δέ τις παραλάβῃ, ἐπίδειξιν μὲν ἄπειρον ἐποιήσατο, τὴν χρείαν δὲ ἀπολώλεκε τῆς συγγραφῆς. Ὅμηρος, " Ὡς δὲ " χιὼν κατατήκει" φησ." Οὕτε τὸ λείβεται, οὔτε τὸ χεῖται, οὔτε τὸ λύεται, οὔτως ἁρμόζει, ὡς τὸ " τήκεται." Ὄψις γάρ ἐστι χίονος ἀναλισκομένης ἡ τηκεδών. *Hermog.* περὶ μεθόδου δεινότητος, *cap.* 4. Quandò è contrario multiplici et compositâ verborum copiâ utendum sit, vide ad *Il.* λ', 269.

Ver. 206. —— καταχύσῃ] *Al.* καταχύσῃ.

Ὡς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης,
Κλαιούσης ἑὸν ἄνδρα παρήμενον· αὐτὰρ Ὀδυσσεὺς
Θυμῷ μὲν γοόωντι ἐὴν ἐλέαιρε γυναῖκα,
Ὀφθαλμοὶ δ' ὥστε κέρα ἔστασαν, ἠὲ σίδηρος,
Ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.
Ἡ δ' ἐπεὶ οὖν τάρφθη τολυδακρύτοιο γόοιο,
Ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπεν·
Νῦν μέν δή σεο, ξεῖνε γ', ὀΐω πειρήσεσθαι,
Εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισιν
Ξείνισας ἐν μεγάροισιν ἀρὴν πόσιν, ὡς ἀγορεύεις.
Εἰπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῒ εἵματα ἕστο,
Αὐτός θ' οἷος ἦεν, καὶ ἑταίρους, οἵ οἱ ἕποντο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα

Sic ejus liquefiebant pulchræ genæ lachrymas-fundentis,
Flentis suum virum assidentem: at Ulysses
Animo quidem lugentem suam miserabatur uxorem,
Oculi autem tanquam cornua stabant, aut ferrum,
Immoti in palpebris; dolo nempè ille lachrymas occultabat.
Illa verò postquam satiata est lacrymoso luctu,
Iterùm ipsum verbis respondens allocuta est:
" Nunc quidem demùm te, hospes, puto me experturum,
" An verè profectò illic cum eximiis sociis
" Hospitio-exceperis in sedibus meum maritum, sicut dicis.
" Dic mihi, qualia quædam circa corpus vestimenta indutus erat,
" Ipseque qualis erat; et socios, qui eum comitabantur."
Hanc autem respondens alloquitus est solers Ulysses:
" O mulier, difficile tanto tempore secretùm cùm-abfuerim

Ver. 208. Ὡς τῆς τήκετο.] Liquitur, ut quondam Zephyris et solibus ictæ
Solvuntur teneræ, vere tepente, nives.
Consolat. ad Liv. August. (Ovidio vulgò ascript.) *ver.* 101.

Ver. 211. Ὀφθαλμοὶ δ' ὥστε κέρα ἔστασαν.] Sententiam hic minùs rectè accipit Dna. *Dacier*: " Ulysse," inquit, " est ici en " proye tout à la fois, non seulement à l'é- " tonnement, à l'admiration, et à la com- " passion; mais au desir de consoler Pene- " lope, et à la douleur de ne le pouvoir. " En cet état la vûë est fixe et arrêtée, " comme si on avoit perdu tout sentiment." *Plutarchus* autem rectè: Καὶ στυγνὰ δήπου καὶ νυῦρα καὶ ἰσχνὰ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος ἄλογά ἐστιν· ἀλλ' ὅταν ὀμὴ γίνηται, στίφοντος ὅστις ἡνίας τοῦ λογισμοῦ, πάντα τίτανται καὶ συνῆπται καὶ ὑπακούει. —— Ἀριστα δὲ ὁ Ποσειδὼνις τὸ συμπαθοῦν καὶ συγκατασχηματιζόμενον τῷ λόγῳ τοῦ ἀλόγου παρίστησι διὰ τούτων " —— Ὀφθαλμοὶ δ' ὥστε κέρα ἔστασαν &c. αὕτως πανθήκου ἔχει τῆς κρίσεως καὶ τὸ πτῶμα καὶ τὸ αἷμα καὶ τὸ δάκρυον. *De Virtute Morali.* Et in libro *de Garrulitate*: Ὁ δὲ Ποσειδὼνις (inquit) τὸν λογιόμενον Ὀδυσσέα σωφρονίζοντα πεποίηκε· —— Αὐτὸς δὲ [Ὀδυσσεὺς] τῇ Πηνελόπῃ παρακαλύμματος, " Θυμῷ μὲν γοόωντα ἑὴν ἐλέαιρε " γυναῖκα, Ὀφθαλμοὶ δ' ὥστε κέρα ἔστασαν, " ἠὲ σίδηρος, Ἀτρέμας ἐν βλεφάροισιν." Οὕτω τὸ στόμα μυτὸν ἦν αὐτοῦ παναχρὲς ἐγκρατείας· καὶ πάντα ἔχων ὁ λόγος ἑνιαυθῆ καὶ ὑπεχείρια, προσέστησε τοῖς ὄμμασι μὴ δακρύειν, τῇ γλώσσῃ μὴ φθέγγεσθαι, &c. Hanc scilicèt veram esse hujus loci explicationem liquet ex sequenti " δόλῳ δ' ὅγε δάκρυα κεῦθε." Vide et suprà ad σ', 211.

Ibid. —— ὥστε κέρα.] Τάξαι ἴσα ἦ, στασίμους, ἴζαι τοὺς ὀφθαλμοὺς, ὅστις τάξαι· ἢ ἄλλως, τὴν φύσιν τοῦ κέρατος περιλαβὲ· σκληρὸν γάρ. *Schol.* Pro posteriori expositione facit sequens, ἠὲ σίδηρος.

Ver. 212. —— δόλῳ δ' ὅγε.] Apud *Plutarchum, de Virtute morali*, δόλῳ δὲ γε.

Ver. 213. —— τάρφθη.] *Al.* τάρφθ.

Ver. 221. —— ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα.] Καὶ Ὀδυσσεὺς ἑαυτὸν μὲν οἷος ἦν, συνεῖχε μὴ καὶ πεπηγόμενος εἶδος

Εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος ἐστὶν,
Ἐξ οὗ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
Ἀλλὰ καὶ ὡς ἐρέω, ὥς μοι ἐνδάλλεται ἦτορ.
Χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεὺς,
Διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο τέτυκτο
Αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·
Ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλὸν
Ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
Ὡς οἱ χρύσειοι ὄντες, ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
Αὐτὰρ ὁ, ἐκφυγέειν μεμαὼς, ἦσπαιρε πόδεσσι.
Τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,
Οἷόν τε κρομύοιο λοπὸν κατὰ ἰσχαλέοιο·

" Dicere; jam enim ei vigesimus annus est,
" Ex quo illinc ivit, et meâ abiit à-patriâ:
" Verùm et sic dicam, sicut mihi imaginatur cor.
" Laenam purpuream villosam habebat nobilis Ulysses,
" Duplicem; at ei fibula auro facta-erat
" Calamis geminis; antrorsùm verò *opus*-variegatum erat:
" In anterioribus pedibus canis tenebat varium hinnulum
" Palpitanti inhians; hoc autem admirabantur omnes,
" Quòd hi aurei existentes, hic quidem inhibat hinnulum suffocans;
" At ille, effugere ardens, palpitabat pedibus.
" Tunicam verò animadverti circa corpus splendidam,
" Qualem cepâ tunicam de aridâ:

ἀναγνωρισθῇ, ἰστιλιγμένης τῆς γυναικὸς τὰ σημεῖα —— οἷα δὴ ἱφέρει εἵματα, ἱερᾷ ἀναμνησθείς. *Eustath.*

Ver. 222. —— γάρ οἱ.] *Al.* γάρ μοι.

Ver. 224. Ἀλλὰ καὶ ὡς ἐρέω.] *Al.* Αὐτάρ τοι ἐρέω· et Αὐτὰρ ἐγὼν ἐρέω.

Ibid. —— ὥς μοι ἐνδάλλεται ἦτορ.] Ὡς μοι ἀναφέρει ἡ ψυχὴ, ὡς διαμένηται. *Schol.*

Ver. 226. Διπλῆν.] Τὸ δὲ διπλοῦν αὐτῆς καὶ ἡ μία στρόφη, μανθανοιδὴ αὐτὴν εἶναι δηλοῖ· οὐ κύκλῳ ἀμπίσχουσαν, ἀλλὰ διπλωμένην κατὰ τὸ ἥμισυ τοῦτο καὶ ὕστερον διὰ τῶν ἀμφοτέρων, ἀφωῖσθαι δὲ ἄνωθεν, ὡς καὶ περιδηλόῃ, τὰ δίξυά. *Eustath.*

Ibid. —— αὐτάρ οἱ.] Vide ad *Il. ά*, 51. *Al.* αὐτάρ του.

Ver. 227. Αὐλοῖσιν.] Ῥάβδοις ἰθείαις, εἰς ἃς καταπαλίσσονται αἱ στρόφαι. *Schol.*

Ibid. —— πάροιθε δὲ δαίδαλον ἦεν.] " Operis *Musivi* (inquit *Barnesius*) apud " *Græcos* Antiquitas vel hinc notanda, *Si-* " *doniis*, *Hebræis*, atque *Ægyptiis* ortum " ferens; dein *Medis*, *Persis*, atque *Indis*. " *Aristophanes*, ὁ βατράχοις, (ver. 968.) Οὐχ " ἱκανὸν ἐστὶν ἐγκεκαλλωπισμένους, ἤτοι σὺ, " Ἐν ταῖσι παρασπίσμασι τοῖς Μηδικοῖς γρά- " φουσιν."

Ver. 228. —— ἐλλὸν.] Νεβρὸν, νεογνὸν ἔλαφον. *Schol.*

Ver. 229. Ἀσπαίροντα λάων.] Ὁ μὲν Ἀρίσταρχος, ἀπιλαίων, ἀπιλαυστικῶς ἔχων· ὁ δὲ Κράτης λάων φησὶν, ἀντὶ τοῦ βλίττων· ἔθος κατὰ στέρησιν, ἀλαὸς ὁ τυφλός. *Schol.* Et *Etymologicon Magnum*, in voce ἀλαὸς, exponit, βλίττων. Cæterùm fuerunt, notantibus *Scholiaste* et *Eustathio*, qui hîc legendum voluerint, Ἀσπαίροντ' ἐλάων· Sed minùs rectè: ut liquet ex versu sequenti, ubi iterùm occurrit vox λάε· neque ullus isti conjecturæ locus.

Ver. 230. Ὡς οἱ χρύσειοι ὄντες, ὁ μὲν.] Vide suprà ad *μ'*, 73.

Ver. 231. —— ἐκφυγέειν μεμαὼς, ἦσπαιρε.] Hinnulum luctantem, et ad effugiendum impetus facientem, optimè depingunt hujus versûs numeri.

Ver. 233. Οἷόν τε κρομύοιο λοπὸν κατὰ ἰσχαλέοιο.] Κρομύου δὲ λοπὸς, λέπυρον, παρὰ τὸ λέπω· καὶ τούτου οὐ χλωροῦ, παχὺς γὰρ ὁ τοιοῦτος· ἀλλὰ ἰσχαλέου. Τοῦτο δέ φασι πρὸς τὸ ὕφαινον ὑφῆλθε τοῦ χιτῶνος καὶ ἰσχνὸν ὁ γὰρ χλωρὸς λοπὸς οὐκ ἰσύφαινος ἔχει. *Eustath.* Atqui propter mollitiem, cepis aridi tunicæ comparatur vestis; ut liquet ex sequenti, Τὰς μὲν ἴην μαλακὰς.

Ibid. —— κατὰ ἰσχαλέοιο.] *Al.* κατὰ ἰσχαλέου.

Τὼς μὲν ἔην μαλακὸς, λαμπρὸς δ' ἦν, ἠέλιος ὥς·
Ἦ μὲν πολλαί γ' αὐτὸν ἰδηήσαντο γυναῖκες.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Οὐκ οἶδ', εἰ τάδε ἕστο περὶ χροΐ οἷποθ' Ὀδυσσεὺς,
Ἦ τίς ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
Ἦ τίς που καὶ ξεῖνος· ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
Ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
Καί οἱ ἐγὼ χάλκειον ἄορ, καὶ δίπλακα δῶκα
Καλὴν, πορφυρέην, καὶ περμιόεντα χιτῶνα·
Αἰδοίως δ' ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
Καὶ μέν οἱ κήρυξ ὀλίγον προγενέστερος αὐτοῦ
Εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ·
Γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος·
Εὐρυβάτης δ' ὄνομ' ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
Ὧν ἑτάρων Ὀδυσεὺς, ὅτι οἱ φρεσὶν ἄρτια ἤδη.
Ὣς φάτο· τῇ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο,
Σήματ' ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.

" Ita quidem erat mollis; splendida autem erat, sol veluti:
" Profectò quidem multae ipsam admiratae sunt mulieres.
" Aliud autem tibi dicam, tu verò in mente reconde tuâ:
" Nescio, an haec indutus fuerit circa corpus domi Ulysses,
" An aliquis sociorum dederit veloci in navi eunti,
" Aut aliquis alicubi etiam hospes; quoniam multis Ulysses
" Erat charus: pauci enim Achivorum erant similes.
" Et ei ego aereum ensem, et duplicem dedi vestem
" Pulchram, purpuream; et talarem tunicam:
" Honoratè autem dimittebam benè-tabulatâ in navi.
" Et quidem eum praeco paulò major-natu ipso
" Comitabatur; et hunc tibi dicam, qualis scilicèt erat:
" Gibbosus in humeris, nigrâ-cute, crispo-capite;
" Eurybates verò nomen erat: honorabat autem ipsum supra caeteros
" Suos socios Ulysses; quòd sibi animo congrua sentiret."
Sic dixit: illi autem adhuc magis desiderium excitavit luctûs,
Signis agnitis, quae ei accurata dixit Ulysses.

Ver. 242. —— καὶ περμιόεντα χιτῶνα.] Οἱ μὲν εἴλιον, συναστερματιζόμενον ἤλῳ τῷ σώματι, σεθήρι. Οἱ δὲ σύμμετρον, καὶ μήτε ἐνδέοντα, μήτε ὑπερμετρον. *Schol.* Eâdem phrasi utitur *Hesiodus*, Ἔργ. καὶ Ἡμερ. II. *ver.* 155.

Χλαῖνάν τε μαλακὴν, καὶ περμιόεντα χιτῶνα.

Ver. 243. Αἰδοίως.] *Al.* Αἰδῶς.

Ver. 244. Καὶ μέν οἱ.] *Barnesius* edidit, Καὶ μήν οἱ. At nullâ allatâ auctoritate.

Ver. 246. Γυρὸς ἐν ὤμοισιν, μελανόχροος.] Ita ex *Etymolog. Magn.* ex *Schol.* MSS. et ex Veterum Exemplarium nonnullis edidit *Barnesius*. Quocum facit et MS. à *Tho. Bentleio* collatus. *Henricus Stephanus* aliique hic habent Γυρὸς ἔην ὤμοισι, μελανόχροος. Quod ferri non potest; nisi pro ὤμοισι legas ὤμος uti et in unâ Editione scriptum reperit *Barnesius*.

Ver. 248. —— ὅτι οἱ φρεσὶν ἄρτια ἤδη.] Τοιοῦτον οὐ δι' ἀνδρίαν, ἢ γάνος, ἤ τι τοιοῦτον, ἀλλ' ὅτι ἀρτίφρων ἦν· τοιοῦτος γὰρ ὁ φρενῶν ἄρτια εἰδώς. *Eustath.* Sed vide ad *Il.* ι, 326.

Ver. 250. 251. Σήματ' ἀναγνούσῃ, —— Ἦ δ' ἐπεὶ οὖν.] Desunt hi duo versus in MS. à *Tho. Bentleio* collato. Prior tamen non rectè videtur abesse; posterior fortassè, ex *ver.* 213, suprà, huc irrepserit.

Ibid. —— πέφραδ'.] Vide ad *Il.* β', 314. et ξ', 500.

Ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
Καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπε·
Νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινὸς
Ἔν μεγάροισιν ἐμοῖσι, φίλος τ' ἔσῃ, αἰδοῖός τε·
Αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἵ' ἀγορεύεις,
Πτύξασ' ἐκ θαλάμου· περόνην τ' ἐπέθηκα φαεινὴν,
Κείνῳ ἄγαλμ' εἶναι· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
Οἶκαδε νοστήσαντα, φίλην ἐς πατρίδα γαῖαν.
Τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
Ὤχετ' ἐποψόμενος κακοῖλιον οὐκ ὀνομαστήν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
Τῆκε, πόσιν γοόωσα· νεμεσσῶμαί γε μὲν οὐδέν·
Καὶ γάρ τίς τ' ἄλλοῖον ὀδύρεται ἄνδρ' ὀλέσασα
Κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα,
Ἢ Ὀδυσῆ', ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.
Ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·

Ea autem postquam satiata est lachrymoso luctu,
Utique tunc ipsum verbis respondens allocuta est:
" Nunc quidem demùm mihi, hospes, anteà quidem cùm-esses miserabilis
" In aedibus meis, charusque eris, honorabilisque:
" Ipsa enim haec vestimenta ego praebui, qualia dicis,
" Plicata ex thalamo: fibulamque imposui splendidam,
" Illi ornamento ut-esset: eum autem non suscipiam rursùs
" Domum reversum, dilectam in patriam terram,
" Ita scilicèt malo fato cavâ in navi Ulysses
" Abiit visurus malum-Ilium non nominandum."
Hanc autem respondens allocutus est solers Ulysses:
" O uxor veneranda Laërtiadae Ulyssis,
" Nè ampliùs nunc corpus pulchrum macera; neque omninò animum
" Tabefac, virum lugens; at succenseo quidem nihil:
" Etenim quaevis et aliusmodi luget virum amissum,
" Cui-virgo-nupserit, cui filios pepererit amore mixta,
" Ac Ulyssem, quem aiunt diis similem esse.
" Sed à-luctu quidem cessa, mei autem adverte sermonem;

Ver. 255. Αὐτή.] *Al.* Αὐτίκα.
Ver. 256. —— περόνην τ'.] *Al.* περόνην δ'.
Ver. 257. —— εἶναι.] *Al.* ἴμεναι.
Ver. 260.—κακοῖλιον οὐκ ὀνομαστήν.] Ἄλλα δὲ ἴλιοθι συνεδίναι τὶς διαζολὴν τινῶν, ὡς δυσανύμων ὡς τὸ "Δύσταρι·" καὶ—"Ἴλιον "κακοῖλιον "οὐκ ὀνομαστήν·" διὰ γὰρ τοῦ "οὐκ ὀνομαστήν," τὸ δυσώνυμον ἐνισημήνατο. *Porphyr. Quæst. Homeric.* 16. Κακοῖλιον ἡ Τροία ἐστὶν, ὡς μὴ ἀξία ἄκιον τινὶ μηδὲ εἰς μνήμην, διὰ τὰ ἐν αὐτῇ κακά. Οὕτω καὶ Δύσταρις ἐν Ἰλιάδι ὁ Ἀλεξάνδρου· καὶ αἰπεῖαν, ἡ Ἑλένη· οὐ διὰ φαυλότητα πλήσιον, ἀλλ' ὅτι κακῶν ἐγένετο αἰτία· διὸ ἴσως οὐδὲ μνήμης ἄξιοι οὐδ' ἔχει πλήσιον. *Eustath.*

Ilion et Tenedos, Simoïsque et Xanthus et Ide,
Nomina sunt ipso penè timenda sono.
Ovid. Heroïd. Epist. XIII. *ver.* 53.

Cæterùm MS. à *Tho. Bentleio* collatus hîc legit ἀνομαστόν.
Ver. 261. Τὴν δ'.] Ita rectè *Barnesius*; quippè *Penelopen* hîc alloquitur *Ulysses*. *Henricus Stephanus* aliique corruptè, Τὸν δ'.
Ver. 263. —— ἐναίρεο.] *Al.* ἀναίρεο.
Ver. 268. —— ἐμεῖο δὲ σύνθεο μῦθον.] *Al.* μύθου.

Νημερτέως γάρ τοι μυθήσομαι, οὐδ' ἐπικεύσω,
Ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα,
Ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
Ζωοῦ· αὐτὰρ ἄγει πειμήλια πολλὰ καὶ ἐσθλά,
Αἰτίζων ἀνὰ δῆμον· ἀτὰρ ἑρίηρας ἑταίρους
Ὤλεσε, καὶ νῆα γλαφυρὴν, ἐνὶ οἴνοπι πόντῳ,
Θρινακίης ἀπὸ νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
Οἱ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
Τὸν δ' ἄρ ἐπὶ τρόπις νεὸς ἔκβαλε κύμ' ἐπὶ χέρσου
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν·
Οἳ δή μιν περὶ κῆρι, θεὸν ὣς, τιμήσαντο,
Καί οἱ πολλὰ δόσαν, πέμπειν τέ μιν ἤθελον αὐτοὶ
Οἴκαδ' ἀπήμαντον· καί κεν πάλαι ἐνθάδ' Ὀδυσσεὺς
Ἦεν· ἀλλ' ἄρα οἱ τό γε κέρδιον εἴσατο θυμῷ,
Χρήματ' ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
Ὡς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
Οἶδ' Ὀδυσεύς· οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
Ὡς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·

" Verè enim tibi loquar, neque celabo,
" Quomodo jam Ulyssis ego de reditu audivi,
" Propè Thesprotorum virorum in ubere populo,
" Vivi: quinetiam ducit res-pretiosas multas et egregias,
" Petens per populum: at dilectos socios
" Perdidit, et navem cavam in nigro ponto,
" Trinacriâ ab insulâ veniens: irati enim sunt ipsi
" Jupiterque et Sol: hujus enim boves interfecerunt socii.
" Illi quidem omnes perierunt undoso in ponto:
" Hunc autem super carinâ navis ejecit unda in continentem,
" Phaeacum in terram, qui propinqui-diis sunt:
" Qui sanè ipsum ex animo, deum veluti, honorabant,
" Et ei multa dederunt; mitteréque ipsum volebant ipsi
" Domum incolumem: et jam pridem hic Ulysses
" Fuisset; sed ei hoc scilicet utilius visum est animo,
" Opes colligere multam super terram eunti:
" Adeò astutias multas præ mortalibus hominibus
" Novit Ulysses: neque quisquam contenderet homo alius:
" Sic mihi Thesprotorum rex dixit Pheidon;

Accipite ergò animis, atque hæc mea figite dicta. *Æn.* III, 250.

Ver. 278. —— Ἐκβαλε.] *Al.* Ἐμβαλε.

Ver. 283. Ἦεν.] *Al.* Εἶεν.

Ver. 285. —— περὶ.] Ita *Barnesius*: Quam lectionem et præfert *Henricus Stephanus*; " Πέρι," inquit, " jungo cum ἀν-" θρώπων, pro περισσῶν, ut aliis compluribus locis anteà ponitur, et infrà (ι, 33.) " in πάντων πέρι πάμπαν φωτῶν." Vulgati hîc habent περί.

Ver. 286. —— ἐρίσσειε.] Ita rectè edidit *Barnesius*: Atque ita MS. à *Theodoro Bentleio* collatus. *Vulgg.* ἐρίσειε: Quod antepenultimam corripit. Vide ad *Il.* 4, 6 et 140.

Ὤμνυε δὲ πρὸς ἔμ' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,
Νῆα κατειρύσθαι, καὶ ἑταρτέας ἔμμεν' ἑταίρους,
Οἵ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
Ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
Καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς·
Καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι,
Ὅσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,
Ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν,
Ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν, ἠὲ κρυφηδόν.
Ὡς ὁ μὲν οὕτως ἐστὶ σόος, καὶ ἐλεύσεται ἤδη
Ἄγχι μάλ'· οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
Δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω·
Ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
Ἰστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ἥ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω·
Τοῦ δ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς,

" Jurabat autem ad me ipsum, libans in domo,
" Navem deductam, et paratos esse socios,
" Qui jam ipsum deducent dilectam in patriam terram.
" Sed me priùs dimisit; contigit enim ut iret navis
" Virorum Thesprotorum in Dulichium tritici-ferax.
" Et mihi possessiones ostendit, quot collegerat Ulysses:
" Et sanè in decimam generationem alium adhuc alerent,
" Quotquot ei in aedibus res-pretiosae jacebant regis.
" Ipsum autem in Dodonam dixit ivisse, ut dei
" Ex quercu alto-vertice Jovis consilium audiret,
" Quomodo rediret dilectam in patriam terram,
" Jam diù absens, an palàm, an clàm.
" Sic ille quidem ita est salvus, et veniet jam
" Propè valdè; neque ampliùs longè ab amicis et patriâ terrâ
" Diù aberit: omninò autem tibi juramenta dabo;
" Sciat nunc Jupiter primùm, deorum summus et optimus,
" Larque Ulyssis eximii, quem adveni;
" Certè quidem haec omnia perficientur, sicut dico:
" Hoc autem ipso anno veniet hùc Ulysses,

Ver. 288. *Ὤμνυε δὲ πρὸς ἔμ' αὐτὸν, &c.*] *Μέμνηται δὲ ἀποσπενδομένου καὶ ὁ Ἕρμων, καθὰ καὶ ἐν τοῖς πρὸς Εὔμαιον, τοῦ τῶν Θεσπρωτῶν βασιλέως Φείδωνος. Eustath.* Vide suprà ad ξ, 323. 327. 331.

Ibid. —— *ἀποσπένδων.*] *Al.* ἐπισπένδων.

Ver. 295. *Ὅσσα.*] MS. à *Tho. Bentleio* collatus habet *Τόσσα.* Atque ita in Vulgatis legitur suprà ξ, 326.

Ver. 296. *Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι.*] Vide suprà ad ξ, 327.

Ver. 297. —— *ἐπακούσῃ.*] *Al.* ἐπακούσῃ.

Ver. 304. *Ἰστίη.*] Ita hìc MS. à *Tho. Bentleio* collatus; et Editiones plurimæ. Vide suprà ad ξ, 159. ε, 156.

Ver. 306. *Τοῦ δ' αὐτοῦ λυκάβαντος.*] Vide supra ad ξ, 161.

Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἰσταμένοιο.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
Τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
Ἐξ ἐμεῦ· ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεται περ·
Οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
Τεύξῃ· ἐπεὶ οὔτοι σημάντορές εἰσιν ἐν οἴκῳ,
Οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, (εἴποτ' ἔην γε,)
Ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
Ἀλλά μιν, ἀμφίπολοι, ἀκονίψατε, κάτθετε δ' εὐνὴν,
Δέμνια, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα,
Ὡς κ' εὖ θαλπιόων χρυσόθρονον ἠῶ ἵκηται.
Ἠῶθεν δὲ μάλ' ἦρι λοίσσαι τε χρῖσαί τε,
Ὡς κ' ἔνδον παρὰ Τηλεμάχῳ δείπνοιο μέδηται
Ἥμενος ἐν μεγάρῳ· τῷ δ' ἄλγιον, ὅς κεν ἐκείνων
Τοῦτον ἀνιάζῃ θυμοφθόρος, οὐδέ τι ἔργον
Ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.

" Hoc quidem exeunte mense, illo autem instante."
Hunc autem rursùs allocuta est prudens Penelope :
" Utinam enim hoc, hospes, verbum perficiendum sit :
" Ita citò cognosceres amicitiamque, multaque dona,
" Ex me ; adeò ut aliquis te occurrens beatum-diceret.
" Sed mihi sic in animo putatur, sicut erit videlicèt ;
" Neque Ulysses ampliùs domum veniet, neque tu deductionis
" Potièris : quoniam nequaquam rectores sunt in domo,
" Qualis Ulysses erat inter viros, (si quidem usquam fuit,)
" Ad hospites venerandos dimittendos et excipiendos.
" Sed ipsum, famulae, lavate ; deponiteque cubile,
" Strata, et laenas, et integumenta splendida ;
" Ut benè calens ad aureo-solio auroram perveniat.
" Manè autem valdè maturè lavateque ungiteque,
" Ut intùs apud Telemachum de-jentaculo cogitet
" Sedens in domo : ei autem gravius *erit*, qui illorum
" Hunc molestiâ-afficiet perniciosus ; neque quod opus
" Hic ampliùs efficiet, valdè licèt iratus gravitèr.

Ver. 307. Τοῦ μὲν φθίνοντος μηνός.] Vide suprà ad ξ'. 162.

Ibid. —— φθίνοντος.] Vide ad *Il.* β', 43.

Ver. 314. —— οὗτοι.] *Al.* οὖτι.

Ibid. —— εἰσὶν ἐν οἴκῳ.] *Al.* εἶσ' ἐνὶ οἴκῳ.

Ver. 315. —— εἴποτ' ἔην γε.] Vide ad *Il.* γ', 180.

Ver. 316. Ξείνους αἰδοίους ἀποπεμπέμεν.] Vir eruditus *Henricus Stephanus* legendum hic conjicit αἰδοίους ἀποτιμπτέμεν ex versu videlicèt suprà 243. " Αἰδοίους δ' ἀπίτιμπτον ἰὼν- " σίλαιῶ ἐπὶ νηός." Conjecturâ non malâ : Attamen mutato nihil opus ; cùm " ξείνους " αἰδοίους" phrasis Poetae alibi usitata.

Ibid. —— ἀποτιμπτέμεν ἠδὲ δέχεσθαι.] Χρὴ ξεῖνον πομπέοντα φιλεῖν, ἰθύνειν τε σίμπτην. Suprà ρ, 74.

Ver. 318 et 337. —— ῥήγεα.] Vide ad *Il.* ω, 644.

Ver. 319. —— εὖ θαλπιόων.] *Al.* εὐθαλπιόων.

Ver. 320. Ἠῶθεν.] *Al.* Ἠῶθι.

Ver. 323. —— ἀνιάζῃ.] Vide ad *Il.* ρ, 24.

Ibid. —— οὐδέ τι ἔργον.] *Al.* οὐδέ τι ἔργον· et οὐδέ κεν ἔργον.

Ver. 324. Ἐνθάδ' ἔτι.] *Al.* Ἐνθάδε τι.

Πῶς γὰρ ἐμεῦ σὺ, ξεῖνε, δαήσεαι, εἴ τι γυναικῶν
Ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
Εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος, ἐν μεγάροισι
Δαινύῃ; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
Ὅς μὲν ἀπηνής τ' αὐτὸς ἔῃ, καὶ ἀπηνέα εἰδῇ,
Τῷδε καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
Ζωῷ· ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
Ὅς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα εἰδῇ,
Τοῦ μέν τε κλέος εὐρὺ διὰ ξείνοι φορέουσι
Πάντας ἐπ' ἀνθρώπους· πολλοὶ δέ μιν ἐσθλὸν ἔειπον.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Ἦτοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
Ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα

" Quomodo enim de-me tu, hospes, scies, ecquid mulieribus
" Aliis praestem mente, et prudenti consilio,
" Si squalidus, malè indutus, in aedibus
" Conviveris? homines autem brevis-aevi sunt.
" Qui quidem crudelis et ipse sit, et crudelia sentiat,
" Huic imprecantur omnes homines dolores in-posterum
" Vivo; at mortuum sanè probris-insequuntur omnes;
" Qui autem bonus ipse sit, et bona sentiat,
" Hujus quidem gloriam latam hospites perferunt
" Omnes ad homines, multique eum eximium dicere-solent."
Hanc autem respondens allocutus est solers Ulysses;
" O uxor veneranda Laërtiadae Ulyssis,
" Profectò mihi laenae et integumenta splendida
" Odio-erant, quandò primùm Cretae montes nivales

Ver. 326. —— πειρίειμι.] *Al.* πέρι ἰών.
Ibid. —— ἐπίφρονα.] *Al.* ἐχίφρονα. Atque ita in commentario citat *Eustathius.*
Ver. 327. Εἴ κεν.] Αἴ κεν.
Ibid. —— ἀϋσταλέος.] Αὐχμῶν. *Schol.*
Ver. 328. —— ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.]

Χ' ὀὐ βραχὺν ἢ μοῖραν λάχομεν χρόνον. —
Bion, Idyll. V. *ver.* 14.

—— breve et irreparabile tempus
Omnibus est vitae. —— *Æn.* X, 467.

Τοῦτο πρὸς τὴν ὑφηµίαν εἰρηκεν καὶ ἀναφέρεται ἐπὶ τὸ κλέος· ὀλιγοχρόνιοι δὲ ὑπάρχοντες οἱ ἄνθρωποι, ἐφιλοῦσιν ἐν σχάσιν ἐν τῷ βίῳ, καὶ φέρειν ἀγαθὴν περὶ ἑαυτῶν ἀπολείπειν. *Schol.*

Ver. 329. Ὅς μὲν ἀπηνής τ' αὐτός.] Apud *Dionem, Orat.* I. itemque in MS. à *Tho. Benlcio* collato legitur ἀπηνὴς αὐτὸς, omissâ voculâ τε, quæ et in Vulgatis deest infrà *ver.* 332. ubi similis phrasis occurrit: "Ὅς "δ' ἂν ἀμύμων αὐτὸς ἔῃ, &c."
Ver. 330. Τῷδε.] *Al.* Τῷ δέ. Vide ad *Il.* ά, 57.
Ver. 331. —— ἐφεψιόωνται.] Καθάπτονται καὶ λοιδοροῦνται· ἢ ἐπιχαίρουσι καὶ ἐφηδονται. *Schol.* Prior, ut opinor, verior interpretatio. Ita enim usurpari videtur hæc vox infrà *ver.* 370. — χἠπίνῃ ἐφεψιόωντο γυναῖκες. Et *ver.* 372. Ὡς εἴθε αἱ νύν γε πᾶσι κατεψιόωνται ἅπασαι.
Ver. 333. Τοῦ μέν τε κλέος εὐρύ. —— πολλοὶ δέ μιν ἐσθλὸν ἔειπον.]

Ὄφρα καὶ ἐν Ἀΐδαο κικευμένοις ἐσθλὸς ἀκούσῃς. *Theocrit. Idyll.* XVI. *ver.* 30.

—— ἄνδρα γὰρ ἐσθλὸν
Πρέσσουτ' ἀνάγκαι χρόνιαι καὶ πειθαίνιον ἦτορ.
Sophocl. Trachin. ver. 234.

Nec dissimilitèr *Ennius* in Epigrammate quodam:

—— volito vivu' per ora virum.
ver. 4.

Porrò *Dio*, loco suprà citato, legit; Τοῦ μέν τε κλέος &c.
Ver. 334. —— πολλοὶ δέ.] *Al.* πολλοί τε.
Ver. 338. —— Κρήτης ὄρεα νιφόεντα.] Vide *Strabonem, lib.* X. *pag.* 728. *al.* 475.

Νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
Κεῖσε δ', ὡς τὸ πάρος περ, ἀΰπνους νύκτας ἴαυον·
Πολλὰς γὰρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ
Ἄεσα, καί τ' ἀνέμεινα ἐΰθρονον ἠῶ δῖαν.
Οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῷ
Γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
Τάων, αἵ τοι δῶμα κατὰ δρήστειραι ἔασιν,
Εἰ μή τις γρηῢς ἐστὶ παλαιὴ, κέδν' εἰδυῖα,
Ἥτις τέτληκεν τόσσα φρεσὶν, ὅσσα τ' ἐγὼ περ·
Τήνδε δ' ἂν οὐ φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο.

" Reliquî in navi proficiscens longis-remis-instructâ.
" Cubabo autem, sicut anteà scilicèt insomnes noctes ducebam :
" Multas enim jam noctes sordido in cubili
" Requievi, et expectavi pulchro-solio auroram divinam.
" Neque omninò mihi lotio pedum grata animo
" Est : neque mulier pedem tanget nostrum
" Earum, quæ tibi in domo ministrae sunt ;
" Nisi aliqua anus est antiqua, honesta sciens,
" Quae toleraverit tot mente, quot ego scilicèt ;
" Hanc verò non aegrè-ferrem pedes tangere meos."

Ver. 341. —— ἰὼν κοίτῃ.] *Al.* ἰὼν εὐλῃ.

Ver. 343. —— ποδάνιπτρα.] Ποδάνιπτρα δὲ, ἢ αὐτὴν λέγει τὴν νίψιν τῶν ποδῶν· ἢ τὸ ὕδωρ, ᾧ πόδες νίπτονται. *Eustath.* Posteriori sensu planè usurpatur hæc vox infrà *ver.* 504. hujus libri :

—— γρηῢς δὲ δ' ἐπ μεγάροιο βιβάσκει,
Οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρόσθ' ἵκχανε πάντα.

Ibid. —— ἰσιήρανα.] Vide suprà ad γ', 164.

Ver. 346. Εἰ μή τις γρηῢς ἐστὶ &c.] Versum hunc et sequentes duos à nonnullis repudiari testatur *Scholiastes*. Et *Eustathius* : Καὶ τοίνυν Ὀδυσσεὺς μὲν οὐκ ἂν ἴσως δοκοίη σκίψασθαι πάλαι ὑπὸ γυναικὸς τοὺς πόδας νίψασθαι, οἷα αἱρούμενος (φασὶ) τὴν δυναμένην ἐκ τῆς ἐπισήμου γνωρίσαι αὐτὸν οὐλῆς· διὸ καὶ ἀδιστάτως ὁ τοιοῦτος τόπος παρὰ τῶν Παλαιῶν. —— Σημειώσαι δὲ καὶ τὸν τόπον τοῦτον εἰς παράδυγμα βουλεύματος οὐκ εἰθ μὲν ἐκπεμπόντι, εἰς ἀγαθὸν δὲ ἐκβάντος· ἴδοῦ γὰρ Ὀδυσσεὺς εἰ καὶ γραῒν οὐ πάλαι ἐπειλίξατο τὴν δυναμένην ἀναγνῶναι αὐτὸν, ἀλλ' ὅμως εὐτυχῶς ἴσχυε ἀναγνωρισθεὶς ὑπ' αὐτῆς· πολλὰ γὰρ τῇ μνησικακούσῃ καὶ ἡ τοιαύτη συγκήρυκι γραῒς Εὐρύκλεια. Καὶ ταῦτα μὲν οὐκ ἴζω λέγειν. *Spondanus* aliter : " Ita" (inquit) " voluisse de industriâ Ulyssem dici-" mus, ut esset etiam hæc Eurycleæ ejus " consilii conscia, quæ multum ad futuram " illam μνησικακούσαν conferre poterat ; " quod cùm prævideret Ulysses, nè diguos-" ci quidem ab eâ timuit, utpote cujus fi-" dem adeò exploratam haberet, ut tutò " illi totum negotium committi posse cre-" diderit." Rectiùs autem *Barnesius* : " Poe-" ta quidem (inquit) non facit *Ulyssem* de " Cicatrice cogitâsse — antequam deven-" tum esset ad *ver.* 390. quandò seriùs " paulò esset : tum tamen, quod unicum " erat reliquum, avertit se à Luce ad tene-" bras. —— Decori igitur semper memor " Poeta Probabilitati studet."

—— αὐτὰρ Ὀδυσσεὺς
Ἴζεν ἐπ' ἰσχαέφιν, σκοτέῃ δὲ σάκος ἐτράπετ' αὐγὴ·
Αὐτίκα γὰρ κατὰ θυμὸν ἔδεισεν, μή ἑ λαζοῦσα,
Οὐλὴν ἀμφράσσαιτο, καὶ ἀμφαδὰ ἔργα γένοιτο. Infrà *ver.* 388.

Ver. 347. Ἥτις τέτληκεν τόσσα φρεσίν.] *Al.* Ἥτις δὲ τέτληκε τόσα φρεσίν.

Ver. 348. Τήνδε δ' ἂν οὐ φθονέοιμι.] *Al.* Τῇδε δ' ἂν οὐ φθονέοιμι et Τὴν δ' οὐκ ἂν φθονέοιμι. Cæterùm de voce φθονέω hoc in loco, ita *Eustathius* : Τὸ δὲ " οὐ φθονέοιμι τοῦ " δῶν ἅψασθαι" ἀντὶ τοῦ, οὐ μεμφοίμην· πολλαχοῦ γὰρ ὁ φθόνος καὶ ἐπὶ μέμψεως ἀκλεῶς τίθεται. Et *Barnesius* : " Φθονῶ pro ἀγανῶ " μαι, *Invidere* non *Honori*, sed *Labori* ; " hoc est, *non promittere*, vel *concedere*. Ita " —— οὐδεὶς φθόνος, vel οὐ φθονήσω, i. e. οὐκ " ἀρνήσομαι." Vide *Iliad.* δ', 55. 56. *Odyss.* λ', 379. ξ', 400.

Ibid. —— ἐμεῖο.] *Al.* ἐμεῖα

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ξεῖνε φίλ', οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε
Ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,
Ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις.
Ἔστι δέ μοι γρηῢς, πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
Ἣ κεῖνον δύστηνον ἐὺ τρέφεν, ἠδ' ἀτίταλλεν,
Δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
Ἣ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
Ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
Νίψον σεῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς
Ἤδη τοῖόσδ' ἐστὶ πόδας, τοῖος δέ τε χεῖρας·
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ κατίσχετο χερσὶ πρόσωπα,
Δάκρυα δ' ἔκβαλε θερμὰ, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν·
Ὤ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος· ἦ σε περὶ Ζεὺς

Hunc autem rursùs allocuta est prudens Penelope:
" Hospes dilecte, nondum enim quisquam vir sapiens adeò
" Hospitum longinquorum charior meam advenit domum,
" Adeò tu valdè scitè prudentia omnia dicis.
" Est autem mihi anus, cata mente consilia habens,
" Quae illum infelicem benè nutriebat, et educabat,
" Susceptum manibus, quandò ipsum primùm peperit mater;
" Quae tibi pedes lavabit, debilis quantumvis sit.
" Sed age nunc surgens, prudens Eurycleа,
" Lava tui domini coaetaneum; et alicubi Ulysses
" Jam talis est pedibus, talisque etiam manibus;
" Citò enim in malo homines consenescunt."
Sic utique dixit: vetula autem operuit manibus vultum,
Lachrymasque emisit calidas, verbumque luctuosum dixit:
" Hei mihi, tui *causâ*, fili, animi-impotenti: certè te Jupiter prae

---

Ver. 351. —— φιλίων.] "Εστι δὲ φιλίων, ὁ φίλτερος· καὶ γίνεται ἐκ τοῦ φίλος, ὁμοίως τῷ, κάλλος, καλλίων. Κεῖται δέ που καὶ ἀλλαχοῦ παρὰ τῷ Ποιητῇ. Τοῦτον τὸ ὑπερθετικὸν παρὰ Σοφοκλεῖ, ἐν τῷ, " φιλίστων ἐκγόνων." *Eustath.* Alii interpretantur " *amicorum*," ac si esset ex φίλος. Firmatur autem *Eustathii* expositio ex ω, 267. infrà, ubi idem versus occurrit. Reperitur verò vox φιλίων nullibi apud Poetam nisi hisce duobus in locis.

Ver. 353. 361. 386 et 467. —— γρηῢς.] *Barnesius* edidit γρῆυς.

Ver. 354 —— ἰῷ τρέφειν.] Ita *Barnesius*. Vulgg ἰθρεφεν.

Ver 356. —— ὀλιγηπελέουσα.] Ὀλίγον ἰσχύουσα, ἀσθενοῦσα. *Schol.*

Ver. 358. —— σεῖο.] *Al.* σεῖα.

Ver. 360. Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.] Haud dissimiliter *Theocritus*:

—— οἱ δὲ παθόντες ἐν ἤματι γηράσκουσιν.
Idyll. XII. *ver.* 2.

Ubi *Scholiastes* hunc locum *Homeri* citat. Apud *Hesiodum* autem occurrit ipse versus *Homericus*, "Εργ. καὶ Ἡμερ. *lib.* I. *ver.* 93. Cæterùm rectè observat *Barnesius* versum hunc, ut et alios nonnullos, apud *Hesiodum* ad sententiam multò minùs aptè et congruentèr, quàm apud *Homerum*, positos. Undè meritò colligit *Hesiodum* recentiorem versus hosce ex *Homero* exscriptos suo Poematì inseruisse.

Ibid. —— ἐν κακότητι.] Καὶ γὰρ τῇ κακότητι ποτὲ μὲν ἴδιος σημαίνουσι κακίαν καὶ μοχθηρίαν ψυχῆς· —— ποτὲ δὲ ἄλλην τινὰ κάκωσιν, ἢ δυστυχίαν ὡς Ὅμηρος, " Αἶψα γὰρ ἐν " κακότητι βροτοὶ καταγηράσκουσιν." *Plutarch. de audiend. Poet.*

Ver. 363. —— ἀμήχανος.] Πρὸς ὃν, δηλονότι τὸν Δία, οὐκ ἔστι τινὰ μηχανὴν ὑφεῖν ἐξ οὗ δυνὸς καὶ χαλεπὸς ἐστι. *Schol. ex MS. Aloysii à Barnesio excerpt.* Vocem nimirùm ἀμήχανος ad sequentem Ζεὺς refert iste *Scholiastes*.

Ἀνθρώπων ἤχθηρε θεουδέα θυμὸν ἔχοντα.
Οὐ γάρ πω τις τόσσα βροτῶν Διΐ τερπικεραύνῳ
Πίονα μηρί' ἔκηε, οὐδ' ἐξαίτους ἑκατόμβας,
Ὅσσα σὺ τῷ ἐδίδως, ἀρώμενος ἔως ἵκοιο
Γῆράς τε λιπαρὸν, θρέψαιό τε φαίδιμον υἱόν·
Νῦν δέ τοι ὧδέ σε πάμπαν ἀφείλετο νόστιμον ἦμαρ.
Οὕτω που κἀκείνῳ ἐφεψιόωντο γυναῖκες
Ξείνων τηλεδαπῶν, ὅτε τευ κλυτὰ δώματ' ἵκοιτο,
Ὡς σέθεν αἱ κύνες αἵδε παθεψιόωνται ἅπασαι·
Τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ' ἀλεείνων,
Οὐκ ἐάας νίζειν· ἐμὲ δ' οὐκ ἀέκουσαν ἀνώγει
Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
Τῷ σε πόδας νίψω, ἅμα τ' αὐτῆς Πηνελοπείης
Καὶ σέθεν εἵνεκ'· ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμὸς
Κήδεσιν· ἀλλ' ἄγε νῦν ξυνίει ἔπος, ὅ, τι κεν εἴπω·
Πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο,
Ἀλλ' οὔτω τινά φημι ἐοικότα ὧδε ἰδέσθαι,
Ὡς σὺ, δέμας, φωνήν τε, πόδας τ', Ὀδυσῆϊ ἔοικας.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γρηῦ, οὕτω φασὶν ὅσοι ἴδον ὀφθαλμοῖσιν

" Hominibus odit pium animum habentem.
" Nondum enim quisquam mortalium tot Jovi fulmine-gaudenti 365
" Pinguia femora combussit, neque eximias hecatombas,
" Quot tu ei dedisti, precans ut pervenires
" Ad senectutem placidam, nutriresque illustrem filium:
" Nunc autem sic tibi omninò abstulit reditùs diem.
" Sic alicubi et illum probris-insequantur mulieres 370
" Hospitum longinquorum, quandò alicujus inclytas aedes advenerit,
" Sicut te, *senex*, canes hae probris-insequuntur omnes:
" Quarum nunc contumeliam et opprobria multa vitans,
" Non sinis lavare: me verò non invitam jubet
" Filia Icarii, prudens Penelope, 375
" Ideò tibi pedes lavabo, simulque ipsius Penelopes
" Et tui gratiâ: quoniam mihi commovetur intùs animus
" Doloribus: sed age nunc adverte verbum, quod dicam.
" Multi sanè hospites miseri huc venerunt,
" Sed nondum quenquam dico similem sic vidisse *me*, 380
" Sicut tu, corpore, voceque, pedibusque, Ulyssi similis-es."
Hanc autem respondens allocutus est solers Ulysses:
" O vetula, sic dicunt quicunque viderunt oculis

Ver. 366. Πίονα μηρί' ἔκηε'.] ——— ἰῷ ἐνὶ πίονι νηῷ. *Iliad.* β', 549. ——— pingues ——— aras. *Æn.* IV, 62.

Ver. 367. ——— τῷ.] *Al.* τῷδ'.

Ibid. ——— ἵκοιο.] Vide suprà ad ε, 109. et ad *Il.* ά, 193.

Ver. 369. Νῦν δέ τοι ὧδέ σε.] *Al.* Νῦν δέ τοι εἶπ.

Ver. 370. ——— ἐφεψιόωντο.] Vide suprà ad *ver.* 331.

Ver. 372. ——— παθεψιόωνται.] *Al.* παθεψιόωντο.

Ver. 374. ——— ἀνώγει.] *Al.* ἄνωγε. Vide ad *Il.* Υ', 322.

Ἡμίας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
Ἔμμεναι· ὡς σύ περ αὐτὴ ἐπιφρονέουσ' ἀγορεύεις.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ λέβητ' ἔλε παμφανόωντα,
Τῷ πόδας ἐξακίνιζεν, ὕδωρ δ' ἐνεχεύατο κουλὺ
Ψυχρόν· ἔπειτα δὲ θερμὸν ἐπήφυσεν· αὐτὰρ Ὀδυσσεὺς
Ἷζεν ἐπ' ἰσχαρόφιν, ποτὶ δὲ σκότος ἴτραπετ' αἶψα·
Αὐτίκα γὰρ κατὰ θυμὸν ὀΐσσατο, μή ἑ λαβοῦσα
Οὐλὴν ἀμφράσσαιτο, καὶ ἀμφαδὰ ἔργα γένοιτο.
Νῖζε δ' ἄρ' ἄσσον ἰοῦσα ἄναχθ' ἑόν· αὐτίκα δ' ἔγνω
Οὐλήν· τὴν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι
Παρνησσόνδ' ἐλθόντα, μετ' Αὐτόλυκόν τε, καὶ υἷας,
Μητρὸς ἑῆς πατέρ' ἐσθλὸν, ὃς ἀνθρώπους ἐκέκαστο
Κλεπτοσύνῃ δ', ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
Ἑρμείας· τῷ γὰρ κεχαρισμένα μηρία καῖεν

" Nos ambos, valdè similes nobis-invicem
" Esse; sicut tu scilicèt ipsa perspicax dicis." 385
Sic utique dixit: vetula verò lebetem sumpsit splendentem,
Ex quo pedes lavabat; aquam autem infudit multam
Frigidam; deindè verò calidam insuper-fudit: at Ulysses
Sedebat ad focum; ad tenebras autem convertit-se citò:
Statim enim in animo suspicatus est, ne ipsum attrectans 390
Cicatricem animadverteret, et manifestae res fierent.
Lavabat autem *ea* proindè propè accedens regem suum; statim verò agnovit
Cicatricem; quam aliquandò ei aper inflixit albo dente,
In-Parnassum profectum, ad Autolycumque, et filios,
Matris suae patrem eximium, qui hominibus praecellebat 395
Furtoque, jurejurandoque: deus nempè ei ipse dedit
Mercurius: huic enim grata femora comburebat

Ver. 384. ——— ἰκέλω.] Ita *Barnesius*; quocum facit et MS. à *Tho. Bentleio* collatus: Rectè. *Al.* ἰκέλω. Quod primam corripit.

Ver. 387. ——— πολλύ.] *Al.* πολλόν.

Ver. 389. ——— ἐπ' ἰσχαρόφιν.] *Al.* ἐπ' ἰσχαρέφιν.

Ibid. ——— ἰτράπετ'.] Vide suprà ad *i*, 491. et ad *Il.* λ', 233.

Ver. 390. Αὐτίκα γὰρ κατὰ θυμὸν ὀΐσσατο.] Vide suprà ad *ver.* 346. Porrò Vulgati hic habent ὀΐσσατο *Barnesius* autem edidit ὀΐσσατο. Ac occurrit quidem vox Ὠϊσάμην, antepenultimâ correptâ, apud *Apollonium, Argonautic. lib.* I. *ver.* 291. Vide et suprà ad *ά*, 323. Notandum autem voces ὄϊω, ὀΐομαι, istud ῑ apud *Homerum* producere.

Ver. 394. Παρνησσόνδ' ἰλθόντα.] Εἰς τὸν Παρνασσόν. Παρνασσὸς δὲ ὄρος Δελφῶν. *Schol.*

Ver. 395. — ὃς ἀνθρώπους ἐκέκαστο Κλεπτοσύνῃ δ', ὅρκῳ τε.] Ἐκ τοῦ Ἑρμοῦ [γήσαι] Αὐτόλυκος, ὃς οἰκῶν τὴν Παρνασσὸν κλέπτειν κλέπτων ὑπερέβαλλεν· οὐχὶ γὰρ ταύτην τὴν τέχνην παρὰ τοῦ πατρὸς, ἴσως τοὺς ἀνθρώπους, ἴσως κλέπτοντι τι, λανθάνειν, καὶ τὰ θρέμματα τῆς λείας ἀλλοιοῦν εἰς ἕτερα μορφῆς· ὥστε κλέπτειν αὐτὸν δυσεύρετον γενέσθαι λείας. Ἡ δὲ ἱστορία παρὰ Φερεκύδῃ. *Schol.* ad *ver.* 432. infrà. Videtur autem hoc *Autolyco* à Poetâ non Vitio, sed Laudi et Honori datum. Καὶ Ὅμηρος ἐπαινῶν τὸν Αὐτόλυκον, φησὶ περὶ αὐτοῦ πάντων, " Κλεπτοσύνῃ δ', ὅρκῳ τε ———." *Julian. Imperat. Misopog.* Atque ita explicatur hic locus apud *Platonem*: Κλέπτειν ἆρα τις ὁ δίκαιος, ὡς ἔοικεν, ἀνακύψαντα καὶ κινδυνεύειν παρ' Ὁμήρου μεμαθηκέναι αὐτά. Καὶ γὰρ ἐπαινεῖ τὸν τοῦ Ὀδυσσέως πρὸς μητρὸς πάππον Αὐτόλυκον ἀγαπᾷ τε, καί φησιν αὐτὸν ὑπὲρ πάντας ἀνθρώπους πεπλεῦκέναι " Κλεπτοσύνῃ δ', ὅρκῳ τε." Ἔοικεν οὖν ἡ δικαιοσύνη, ——— καὶ παρ' Ὁμήρου καὶ κατὰ Σιμωνίδην, κλεπτική τις εἶναι ἐπ' ὠφελείᾳ μέντοι τῶν φίλων, καὶ ἐπὶ βλάβῃ τῶν ἐχθρῶν. *De Republ. lib.* I.

Ver. 397. ——— μηρία καῖεν.] *Al.* μηρῷ ἔκαιεν et μυρία καῖεν.

Ἀρνῶν ἠδ' ἐρίφων· ὁ δέ οἱ πρόφρων ἅμ' ὀπήδει.
Αὐτόλυκος δ' Ἰθάκης ἐλθὼν ἐς πίονα δῆμον,
Παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς·
Τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε
Παυομένῳ δόρποιο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Αὐτόλυκ', αὐτὸς νῦν ὄνομ' εὕρεο, ὅττι κε θείης
Παιδὸς παιδὶ φίλῳ· πολυάρητος δέ τοι ἐστί.
Τὴν δ' αὖτ' Αὐτόλυκος ἀπαμείβετο, φώνησέν τε·
Γαμβρὸς ἐμὸς, θυγάτηρ τε, τίθεσθ' ὄνομ', ὅττι κεν εἴπω·
Πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω
Ἀνδράσιν ἠδὲ γυναιξὶν, ἀνὰ χθόνα πουλυβότειραν·
Τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον· αὐτὰρ ἔγωγε,
Ὁππότ' ἂν ἡβήσας μητρώϊον ἐς μέγα δῶμα
Ἔλθῃ Παρνησσόν δ', ὅθι πού μοι κτήματ' ἔασιν,
Τῶν οἱ ἐγὼ δώσω, καί μιν χαίροντ' ἀποπέμψω.
Τῶν ἕνεκ' ἦλθ' Ὀδυσεὺς, ἵνα οἱ πόροι ἀγλαὰ δῶρα.
Τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο

Agnorum et hoedorum: hic autem eum promptus unà comitabatur.
Autolycus autem Ithacae cum-venisset in opulentum populum,
Filium recèns natum invenit filiae suae:
Hunc utique ei Euryclea charis genibus imposuit
Desinenti à-coenâ; verbumque dixit, et compellabat:
" Autolyce, ipse nunc nomen inveni, quod imponas
" Filiae filio dilecto; exoptatissimus autem tibi est."
Huic verò rursùs Autolycus respondit, dixitque:
" Gener meus, filiaque, imponite nomen, quod dixero:
" Multis enim ego indignatus huc venio
" Viris et mulieribus super terram almam:
" Huic autem Ulysses nomen sit super-inditum: at ego,
" Quandò puber-factus maternam in magnam domum
" Venerit Parnassum, ubi mihi possessiones sunt;
" Ex his illi ego dabo, et ipsum gaudentem dimittam."
Horum gratiâ ivit Ulysses, ut sibi *is* praeberet splendida dona.
Hunc quidem deindè Autolycusque et filii Autolyci

Ver. 399. —— Ἰθάκης ἐλθών.] *Al.* ἐλθὼν Ἰθάκης.

Ver. 401. —— Εὐρύκλεια.] *Al.* Ἀντίκλεια.

Ver. 403. —— Σοὶ.] *Al.* Σῷ.

Ver. 404. —— πολυάρητος.] Μετὰ πολλῶν δὲ χῶν γινόμενος. *Schol.* Vid. et infrà ad χ'. 208.

Ver. 407. Πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος.] Τὸ δὲ " Πολλοῖσι γὰρ ἔγωγε ὀδυσσάμενος," λέγει μὲν τὸ, πολλοῖς μισηθεὶς καὶ δι' ὀργῆς ἐλθὼν παθητικῶς, οὐ μὴν κατ' ἐνέργειαν, ἐστὶν τὸ [*Odyss.* ά, 62.] " τί νύ οἱ τόσον ὠδύσατο Ζεύς;" *Eustath.* Atqui posteriori isto sensu semper apud *Homerum* usurpantur voces ὀδυσσάμενος, ὠδύσατο, &c.

Ibid. —— τόδ'.] *Al.* τάδ'.

Ver. 408. —— πουλυβότειραν.] *Al.* βοτιάνειραν. Atque ita in commentario citat *Eustathius.*

Ver. 409. Τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον.] Hinc *Sophocles* à *Barnesio* citatus:

—— Ὀρθῶς εἶμ' ἐπώνυμος κακοῖς·
Πολλοὶ γὰρ ὠδύσαντο δυσσεβεῖς ἐμοί.

Σιληνὸς μίνως ὁ Χῖος κατὰ τὴν ἱστορίαν, ἐν δευτέρῳ βιβλίῳ τῶν αὐτῶν μυθικῶν, διατίνει περὶ τὴν ὀδὺν, λέγων, ὡς Ἀντικλείας ὀδυσσὴς παρὰ τὸν Νήριτον, ὕστι ὁ Ζεύς· νῦν δὲ ὑπὸ ἀγωνίας ἐπεὶ πεσεῖσθαι ἔμελλε· καὶ τὸ γενικὸν πληθυντικὸν Ὀδυσσέα παρὰ τὸ ἐν τῇ ὀδῷ ὠδύσατο. *Eustath.*

Ver. 410. Ὁππότ' ἂν.] *Al.* Ὁππόταν.

Χερσίν τ' ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισι·
Μήτηρ δ' Ἀμφιθέη μητρὸς, περιφῦσ' Ὀδυσῆϊ,
Κύσσ' ἄρα μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά.
Αὐτόλυκος δ' υἱοῖσιν ἐπίκλετο κυδαλίμοισι,
Δεῖπνον ἐφοπλίσσαι· τοὶ δ' ὀτρύνοντος ἄκουσαν·
Αὐτίκα δ' εἰσάγαγον βοῦν ἄρσενα πεντετέτηρον·
Τὸν δέρον, ἀμφὶ δ' ἔπον, καί μιν διέχευαν ἅπαντα,
Μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
Ὤπτησάν τε περιφραδέως, δάσσαντό τε μοίρας.
Ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἴσης.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Βάν ῥ' ἴμεν ἐς θήρην ἠμὲν κύνες, ἠδὲ καὶ αὐτοὶ
Υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
Ἤϊεν· αἰπὺ δ' ὄρος προσέβαν κατασειμένον ὕλῃ

Manibusque salutabant, verbisque blandis:
Mater autem Amphithea matris, circumplexa Ulyssem,
Osculata est ipsi caputque et ambo lumina pulchra.
Autolycus verò filios jussit gloriosos
Coenam parare; illi autem hortanti auscultârunt:
Statim verò induxerunt bovem masculum quinquennem:
Eum excoriârunt, curâruntque, et ipsum diviserunt totum,
Minutatimque inciderunt scitè, infixeruntque verubus,
Assâruntque peritè, diviseruntque partes.
Sic tunc quidem toto die ad solis occasum
Epulabantur; neque quicquam animus indigebat convivio aequali.
Quandò autem sol occidit, et tenebrae advenerunt,
Tunc demùm decubuerunt, et somni donum ceperunt.
Quandò verò manè-genita apparuit rosea-digitos Aurora,
Perrexerunt utique ire in venationem et canes, et etiam ipsi
Filii Autolyci: cum his autem nobilis Ulysses
Ibat: altum verò montem ascenderunt indutum sylvâ

Ver. 416. Μήτηρ δ' Ἀμφιθέη μητρός.] Ἀντιπλείπει μήτηρ. *Schol.*

Ver. 417. Κύσσ' ἄρα μιν κεφαλήν.] Ita edidit *Barnesius* pro vulgato Κύσ' ἄρα. vel Κῦσ' ἄρα. Quocum facit et MS. à *Tho. Beatleio* collatus. Vide suprà ad σ', 15. et ξ', 39.

Ver. 420. —— βοῦν ἄρσενα πεντετέτηρον.] Ἀμμάζει δὲ μάλιστα [βοῦς] πεντετὴς ὢν· διὸ καὶ Ὅμηρός φασι πεντετήρους τινὰς ἱερῶς, ποιήσαντα, "ἄρσενα πεντετήρους." *Aristot. de Historiâ Animalium, lib.* VI. *cap.* 21.

Ver. 421. —— ἀμφὶ δ' ἔπον.] Vide ad *Il.* δ', 202.

Ver. 423. —— δάσσαντο.] *Al.* ἰρύσαντο.

Ibid. —— μοίρας.] *Al.* πάντα.

Ver. 426. Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε, Δὴ τότε κοιμήσαντο.]

Vertitur interea cœlum, ruit Oceano nox,
Involvens umbrâ magnâ terramque polumque;
—— fusi per mœnia Teucri
Conticuere: sopor fessos complectitur artus. *Æn.* II, 250.

Ver. 431. —— ὄρος —— κατασειμένον ὕλῃ.]

—— sylvâ scena coruscis
Desuper, horrentique atrum nemus imminet umbrâ. *Æn.* I, 165.

Παρνησσοῦ· τάχα δ' ἵκανον πτύχας ἠνεμοέσσας.
Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
Ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο·
Οἱ δ' ἐς βῆσαν ἵκανον ἐπακτῆρες· πρὸ δ' ἄρ' αὐτῶν
Ἴχνη ἐρευνῶντες κύνες ἤϊσαν· αὐτὰρ ὄπισθεν
Υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
Ἤϊεν ἄγχι κυνῶν, κραδάων δολιχόσκιον ἔγχος.
Ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς·
Τὴν μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
Οὔτε μιν ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
Οὔτ' ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνὴ
Ἦεν· ἀτὰρ φύλλων ἐνέην χύσις ἤλιθα πολλή.
Τὸν δ' ἀνδρῶν τε κυνῶν τε πὲρὶ κτύπος ἦλθε ποδοῖϊν,
Ὡς ἐπάγοντες ἔπῆσαν· ὁ δ' ἀντίος ἐκ ξυλόχοιο
Φρίξας εὖ λοφιήν, πῦρ δ' ὀφθαλμοῖσι δεδορκὼς,
Στῆ ῥ' αὐτῶν σχεδόθεν· ὁ δ' ἄρα πρώτιστος Ὀδυσσεὺς
Ἔσσυτ', ἀνασχόμενος δολιχὸν δόρυ χειρὶ παχείῃ,
Οὐτάμεναι μεμαώς· ὁ δέ μιν φθάμενος ἔλασεν σῦς

Parnassi; citò autem pervenerunt ad juga ventosa.
Sol quidem deindè recens percutiebat arva,
Ex placidè-fluente profundo Oceano;
Venatores autem in vallem perveniebant; ante verò ipsos
Vestigia scrutantes canes ibant; at ponè
Filii Autolyci: cum his autem nobilis Ulysses
Ibat prope canes, vibrans longam hastam.
Ibi verò in sylvâ densâ jacebat magnus aper;
Quam quidem neque ventorum perflabat vis humidum spirantium,
Neque ipsam sol lucens radiis percutiebat,
Neque imber penetrabat penitùs, adeò scilicèt densa
Erat; at foliorum inerat fusio affatim ingens.
Hunc autem virorumque canumque strepitus circumsonuit pedum;
Ut venantes ingruebant: hic autem adversus ex arbusto,
Erectis valdè cervicis-setis, ignisque *instar* oculis tuens,
Stetit ipsos prope: primus autem Ulysses
Irruit, elevatâ longâ hastâ, manu robustâ,
Vulnerare cupiens: ipsum verò praevertens percussit aper

Ver. 433. Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας.] Et jam prima novo spargebat lumine terras
Tithoni croceum linquens Aurora cubile.
Æn. IV, 584.

Ver. 435. —— βῆσαν.] Τὴν περίοδον τοῦ ὄρους. *Schol.*

Ver. 436. Ἴχνη.] *Al.* Ἴχνι', et Ἴχνι.

Ver. 439. —— κατέκειτο μέγας σῦς.] Sic apud *Virgilium*;
—— ingens inventa sub ilicibus sus.
Æn. VIII, 43.
Vide ad *Il.* γ', 363.

Ver. 440. —— διάει.] *Al.* διάῃ.

Ibid. —— ὑγρὸν ἀέντων.] Vide suprà ad ι, 478.

Ver. 441. Οὔτε μιν ἠέλιος.]
Solis inaccessam radiis. Æn. VIII, 195.

Ver. 444. Τὸν δ'.] *Al.* Τῶν δ'.

Ver. 445. Ὡς ἐπάγοντες.] *Al.* Οἳς ἐπάγοντες.

Ver. 446. —— σῦς δ' ὀφθαλμοῖσι δεδορκώς.]
—— stant lumina flammâ. Æn. VI, 300.
—— oculis micat acribus ignis.
Æn. XII, 103.

Γουνὸς ὕπερ· πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι
Λιπριφὶς αἶξας, οὐδ' ὀστέον ἵκετο φωτός.
Τὸν δ' Ὀδυσεὺς οὔτησε τυχὼν κατὰ δεξιὸν ὦμον,
Ἀντικρὺ δὲ διῆλθε φαεινοῦ δουρὸς ἀκωκή·
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών· ἀπὸ δ' ἔπτατο θυμός.
Τὸν μὲν ἄρ' Αὐτολύκου παῖδες φίλοι ἀμφιπέποντο·
Ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος ἀντιβίοιο
Δῆσαν ἐπισταμένως· ἐταοιδῇ δ' αἷμα πελαινὸν
Ἔσχεθον· αἶψα δ' ἵκοντο φίλου πρὸς δώματα πατρός.
Τὸν μὲν ἄρ' Αὐτόλυκός τε, καὶ υἱέες Αὐτολύκοιο
Εὖ ἰησάμενοι, ἠδ' ἀγλαὰ δῶρα πορόντες,
Καρπαλίμως χαίροντα φίλην χαίροντες ἔπεμπον
Εἰς Ἰθάκην· τῷ μέν ῥα πατὴρ καὶ πότνια μήτηρ
Χαῖρον νοστήσαντι, καὶ ἐξερέεινον ἕκαστα,
Οὐλὴν, ὅττι πάθοι· ὁ δ' ἄρα σφίσιν εὖ κατέλεξεν,
Ὡς μιν θηρεύοντ' ἔλασεν σὺς λευκῷ ὀδόντι

Genu super; multum autem exhausit carnis dente
Obliquè adortus; neque ad os pervenit viri.
Illum verò Ulysses vulneravit assecutus ad dextrum humerum;
Penitùs autem transiit splendidae hastae cuspis:
Decidit verò *is* in pulveribus vociferatus; avolavit autem animus.
Hunc quidem deindè Autolyci filii dilecti circum-occupabantur:
Vulnus autem Ulyssis eximii deo-paris
Ligaverunt scitè; incantationeque sanguinem nigrum
Cohibuerunt: statim autem pervenerunt chari ad aedes patris.
Illum quidem Autolycusque, et filii Autolyci
Benè postquam-sanàssent, et splendida dona *ei* praebuissent,
Statim gaudentem charam gaudentes dimiserunt
In Ithacam: eo quidem pater et veneranda mater,
Gaudebant reverso, et interrogabant singula,
De-cicatrice, quid passus esset: ille autem ipsis ritè narravit,
Ut ipsum venantem percussisset aper albo dente,

Ibid. —— διδεχημένος.] Vide ad *Il.* β', 314.

Ver. 451. Λιπριφὶς αἶξας.] Similitèr apud *Horatium*:

Verris *obliquum* meditantis ictum.
Carm. lib. III. *Od.* xxii. *ver.* 7.

Ver. 455. Τὸν μὲν —— ἀμφιπέποντο.] Τοιοῦτοι περὶ αὐτὸν ἰατροῦντο, ἤτοι περὶ Ὀδυσέα ὄντες ἢ καὶ περὶ τὸν υἱόν. *Eustath.* Vera posterior explicatio; ut liquet ex sequenti Ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος ——.

Ver. 457. —— ἰητοιδῇ δ' αἷμα πελαινὸν Ἔσχεθον.] Διεκλῆς ἰητοιδὴν παρείδωκε τὴν παρηγορίαν· ἴσχαιμον γὰρ εἶναι ταύτην, ὅταν τὸ πνεῦμα τοῦ τετρωμένου περοχὴς ᾖ, καὶ δοκεῖ περοπεπεμένον τῷ παρηγορεῖσθαι, ὡς καὶ δι' ἐπῳδῆς, [*Iliad.* δ, 401.] "Ἀλλά σε μὲν Παιήονι Παιήονα "ποτιστάσω." *Schol.* Ἰατρὸν ὄντα ἐκάλεσε ἰητοιδὴν ἡ διὰ τῆς ἰητοιδῆς Στρατία. Ὅμηρος, —πασῶν δ' "ἰητοιδὴ δ' αἷμα πελαινὸν." *Etymolog. Magn.* ad vocem Ἐπαοιδή. "Dixit "Homerus, profluvium sanguinis vulnera-"to fœmine Ulixem inhibuisse carmine: "Theophrastus ischiadicos sanari: Cato "prodidit luxatis membris carmen auxili-"ari: M. Varro podagris." *Plin. Nat. Hist. lib.* XXVIII. *cap.* 2. à *Barnesio* citatus. Similitèr apud *Pindarum*:

—— τοὺς μὲν μαλαχαῖς
Ἐπαοιδαῖς ἀμφέπων ——.
Pythior. Od. III. *ver.* 91.

—— neque eum juvère in vulnera *cantus*.
Æn. VII, 757.

Ver. 461. —— φίλην.] MS. à *Theo. Bentleio* collatus, φίλοι.

Παρνησσόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.
Τὴν γρηῢς χείρεσσι καταπρηνέσσι λαβοῦσα,
Γνῶ ῥ' ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι·
Ἐν δὲ λέβητι πέσε κνήμη· κανάχησε δὲ χαλκὸς,
Ἄψ δ' ἑτέρωσ' ἐκλίθη· τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ. 470
Τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν· θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
Ἦ μάλ' Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ' ἔγωγε
Πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ' ἐμὸν ἀμφαφάασθαι. 475
Ἦ, καὶ Πηνελόπειαν ἐσίδρακεν ὀφθαλμοῖσι,
Πεφραδέειν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.

Ad-Parnassum profectum cum filiis Autolyci.
Hanc *Cicatricem* anus manibus pronis prehensam,
Agnovit attrectans; pedem autem dimisit ferendum:
Incidit verò lebeti tibia; resonuit autem æs;
Retróque in-alteram-partem inclinatum est; in terram autem effusa est aqua.
Ipsius verò simul gaudium et dolor invasit mentem; oculi autem ei 471
Lachrymis impleti sunt; clara verò ei haesit vox.
Prehenso autem *ejus* mento, Ulyssem allocuta est:
" Profectò omninò Ulysses es, chare fili; neque te ego
" Priùs agnovi, quàm totum herum meum contrectassem." 475
Dixit, et Penelopen intuita est oculis,
Indicare volens charum maritum intùs esse.

Ver. 467. Τὴν γρηῢς χείρεσσι, &c.] Observat *Dionysius Halicarnassensis* Poetam in sequenti descriptione res tam pulchrè et significantèr depingere, ut picturâ eas potiùs oculis exhibitæ, quàm poemate narratæ, videantur. Εἰ δὲ καὶ ζωγραφίας διδάσκαλον Ὁμηρον φαίη τις, οὐκ ἂν ἁμαρτάνοι. —— "Ἰδωμεν δὲ καὶ ἐπ' ἄλλων ἐνίων ὁπόσα τοῖς πολλῶν παραδείγματος, ὅτι ἐρεμίσεις μᾶλλον ἢ ἀπεικασμένοις ἔοικε τὰ ποιήματα· ὅσα τε οὖν καὶ τὰ τοιαῦτα, ἐν οἷς καὶ τὴν οὐλὴν τοῦ Ὀδυσσέως φράσας, ἐπιφέρει τὰ τῆς Εὐρυκλείας, "Τὴν γρηῢς χείρεσσι καταπρηνέσσι λαβοῦσα, Γνῶ ῥ' ἐπιμασσαμένη" καὶ τὰ ἑξῆς. Ἐνταῦθα γὰρ, καὶ τῶν ἐν σώμασι γραπτῇ διδαγμένων, τῶν ὑπὸ τὸν ὀφθαλμὸν πιπτόντων δυναμένων, ἐμφαίνεται σαλὶς τὰ μηδὲ τῇ ὄψει ἴσι κατανοητά, ἀλλὰ τῇ τούτοις μόνῃ· ἢ τε διὰ τὴν ἁπαλότητα ἄφεσις τοῦ σώματος, καὶ ἡ ψῦχρα τοῦ χαλκοῦ, καὶ τὸ ἐκχεόμενον ὕδωρ, καὶ τῆς γραὸς λέαινα τε ἅμα καὶ χαρὰ καὶ τὰ βλέποντα πρὸς τὸν Ὀδυσσέα, καὶ ἃ πρὸς τὴν Πηνελόπειαν ἀναβλήθησα εἰκότως ἐμέλλησε. Πολλὰ δὲ καὶ ἄλλα γραφικῶς παρὰ τῷ Ποιητῇ δείκνυται, ἅπερ ἐν αὐτῇ τῇ ἀναγνώσει διάδηλα ἔσται. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 26. Similitèr de totâ *Homeri* poesi *Cicero*: " Traditum est etiam, Homerum " cæcum fuisse: At ejus picturam, non po- " esim videmus. Quæ regio, quæ ora, qui " locus Græciæ, quæ species formæ, quæ " pugna, quæ acies, quod remigium, qui " motus hominum, qui ferarum, non ita " expictus est, ut, quæ ipse non viderit, nos " ut videremus effecerit? *Tusc. Disputat. lib.* V. § 39.

Ver. 468. Γνῶ ῥ' ἐπιμασσαμένη.] Χρὴ δὲ σημειώσασθαι καὶ οἷας προσόψεσιν ἑαυτὸν καὶ ὅσας ἐπίνοιαν Ὀδυσσέα ἵνα καὶ οὕτως ἡ ποιητικὴ ποικιλία διαδιχθῇ, καὶ τὸ τῆς πλάσεως πολύτροπον. Τηλεμάχῳ μὲν γὰρ ὡς νέῳ γνωρίζεται καὶ ἰσόν· [suprà σ', 188.] ἴσμεν γὰρ οἷος ἦν, ὃς καὶ ἀνεδήμησε δι' αἰνόν. Εὐρυκλείᾳ δὲ ἄκων, τῇ καὶ τροφῷ, καὶ οἷον μητρί. Εὐμαίῳ δὲ καὶ Φιλοιτίῳ [infrà φ', 207.] πρὸς αὐτῷ τῷ ἀκμῇ τοῦ ἔργου γνωσθήσεται· εἰ γὰρ ἦδει πρόσω; Τῷ μέντοι γυναικὶ Πηνελόπῃ [ψ', 205.] ἀπόντων ὕστερον· οὐ γὰρ ἐχρεώμενον ἑαυτῷ τοῖς νόοις. *Eustath.*

Ibid. —— ἐπιμασσαμένη.] Similitérque infrà ver. 480. ἐπιμασσάμενος· Vide ad *Il.* ε', 564.

Ver. 471. Τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα.] "Ὅτι λαβὼν, φασὶ, Σοφοκλῆς ἔφη ὁπ' " Χάρμα ὑφέρπει δάκρυσιν ἐκπαλούμενον." *Eustath.*

Ver. 475. —— ἀμφαφάασθαι.] MS. à *Tho. Bentleio* collatus, ἀμφὶ φάασθαι.

Ἡ δ' οὔτ' ἀθρῆσαι δύνατ' ἀντίη, οὔτε νοῆσαι·
Τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν· αὐτὰρ Ὀδυσσεὺς
Χεῖρ' ἐπιμασσάμενος, φάρυγος λάβε δεξιτερῇφι·
Τῇ δ' ἑτέρῃ ἔθεν ἄσσον ἐρύσσατο, φώνησέν τε·
Μαῖα, τίη μ' ἐθέλεις ὀλέσαι; σὺ δέ μ' ἔτρεφες αὐτὴ
Τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ' ἄλγεα πολλὰ μογήσας,
Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἐπεὶ ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ,
Σίγα, μήτις τ' ἄλλος ἐνὶ μεγάροισι πύθηται.
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
Εἴ κ' ὑπ' ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
Οὐδὲ τροφοῦ οὔσης σεῦ ἀφέξομαι, ὀππότ' ἂν ἄλλας
Δμωὰς ἐν μεγάροισιν ἐμοῖς κτείναιμι γυναῖκας.
Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Οἶσθα μὲν, οἷον ἐμὸν μένος ἔμπεδον, οὐκ ἐπιειπτόν·
Ἔξω δ', ὡς ὅτε τις στερεὴ λίθος, ἠὲ σίδηρος.

Ea autem neque videre potuit è-regione, neque animadvertere;
Ei enim Minerva mentem avertit: at Ulysses
Manu admotâ guttur cepit dextrâ;
Alterâ verò propiùs ad-se traxit, dixitque:
" Nutrix, cur me vis perdere? tu autem me nutrivisti ipsa,
" Tuam ad mammam; nunc verò dolores multos perpessus,
" Veni vigesimo anno in patriam terram.
" Sed postquam animadvertisti, et tibi deus injecit animo,
" Tace; neque quis alius in aedibus audiat.
" Sic enim edico, quod et perfectum erit;
" Si mihi deus domuerit procos eximios,
" Neque, nutrix licèt-sis, à-te abstinebo, quandò alias
" Famulas in aedibus meis interficiam mulieres."
Hunc autem rursus allocuta est prudens Euryclea:
" Fili mi, quale tibi verbum fugit ex septo dentium?
" Nôsti quidem, qualis meus animus firmus, inexpugnabilis;
" Tenebo autem, sicut aliquis solidus lapis, aut ferrum.

Ver. 480. —— *φάρυγος λάβε δεξιτερῇφι.*] Guttur nimirùm ei manu arctè constringebat, nè *Penelopen* alloqui posset. Ut rectè *Eustathius*: "Ὅτι μίσει καὶ τοῦ φάρυγγος αὐτῆς ἐλάβετο, ὅπερ οὐδὲν οὐδέπω εἶχε λαλεῖν. Spondanus aliter accipit: " Hoc autem con-" tactu," inquit, " qui *supplicis* est, et se-" quenti oratione nutricem *demulcet* Ulys-" ses, nè se prodat." Minùs rectè.

Ver. 484. —— *εἰκοστῷ ἔτεϊ ἱκ.*] Vide suprà ad ω', 206.

Ver. 485. —— *ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ.*] Vide ad *Il.* ά, 194.

Ver. 487. —— *τὸ δὲ καὶ.*] *Al.* καὶ μήν.

Ver. 490. —— *ἐν μεγάροισιν.*] *Al.* ἐνὶ μεγάροισιν.

Ibid. —— *κτείναιμι.*] *Al.* κτείνωμι.

Ver. 493. —— *οὐκ ἐπιειπτόν.*] *Al.* οὐδ' ἐπιειπτόν.

Ver. 494. Ἔξω δ', ὡς ὅτε τις στερεὴ λίθος.] Ὁ δὲ Ποιητὴς τὸν λογιώτατον Ὀδυσσέα σωφρόνως στωικίζει, καὶ τὸν νίὸν αὐτοῦ καὶ τὴν γυναῖκα καὶ τὴν τροφὸν ἀκούειν γὰρ λογούσης, "Ἔξω δ' ἤτοι στε κραταιὴ δρῦς, ἢ σίδηρος." *Plutarch. de Garrulitate.* Ubi in transitu notandum, quod jam legimus ὡς ὅτε τις στερεὴ λίθος, legisse *Plutarchum*, aut memoritèr citâsse, ὅπερ στε κραταιὴ δρῦς.

Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Εἴ χ' ὑπὸ σοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
Δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,
Αἵ τέ σ' ἀτιμάζουσι, καὶ αἵ νηλητεῖς εἰσιν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; οὐδέ τί σε χρή.
Εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι καὶ εἴσομ' ἑκάστην·
Ἀλλ' ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ δι' ἐκ μεγάροιο βεβήκει,
Οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ' ἔκχυτο πάντα.
Αὐτὰρ ἐπεὶ νίψέν τε, καὶ ἤλειψεν λίπ' ἐλαίῳ,
Αὖτις ἄρ' ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεὺς
Θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσι κάλυψε.
Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼ εἰρήσομαι αὐτή·
Καὶ γὰρ δὴ ποίτοιο τάχ' ἠδίος ἔσσεται ὥρη,
Ὀντινά γ' ὕπνος ἕλοι γλυκερὸς, καὶ κηδομένον περ.
Αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·
Ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,

" Aliud verò tibi dicam, tu autem in mente reconde tuâ; 495
" Si tibi deus domaverit procos eximios,
" Tunc demùm tibi recensebo in aedibus mulieres,
" Et quae te parùm-honorent, et quae inculpatae sint."
Hanc autem respondens allocutus est solers Ulysses:
" Nutrix, cur verò tu eas indicabis? neque omninò te oportet. 500
" Benè utique et ipse ego observabo, et cognoscam unamquamque:
" Sed tene silentio verbum, committeque diis."
Sic utique dixit: anus autem per domum exivit,
Allatura-pedum-lavacra; priora enim effusa erant omnia.
At postquam lavissetque et unxisset pingui oleo, 505
Iterùm propiùs ad-ignem traxit-sibi sedile Ulysses
Calefacturus-se; cicatricem autem pannis coöperuit.
His verò sermonem exordiebatur prudens Penelope:
" Hospes, paulùm quidem te ampliùs ego percontabor ipsa;
" Etenim jam cubitûs citò placidi erit hora, 510
" Quemcunque scilicèt somnus ceperit dulcis, etiam dolentem.
" Sed mihi et dolorem immensum praebuit deus:
" Dies etenim delector lamentans, lugens,

Ver. 498. —— καὶ αἱ νηλητεῖς εἰσιν.] Λίαν ἁμαρτωλαὶ, ἄλλοι ἀπίδοσαν, τοῦ νη ἰσταμένου ὄντος, ὡς ἐν τῷ, νήχυτοι ἔρρηξ· ἄμεινον δὲ τὰς ἀναμαρτήτους, συγκρίσεως τῆς λίζεως ἐκ τοῦ νη στερητικοῦ μορίου, καὶ τοῦ ἀλιτεῖν· ἐν ᾗ, ὥρα ἁμαρτάνουσα, καὶ ἴσως οὐ. *Schol.* Cæterùm Vulgati hìc habent *νηλιτεῖς*· *Barnesius* autem edidit *νηλητεῖς*. Vide suprà ad ν', 317. *Al.* νηλίτιδες· notante *Eustathio.*

Ver. 502. —— ἐστιχ ἓν ὃ θελῇσιν.] Ὅσσα δ' ἔστιν' ἴσασι, ταῦτα θεοῖσι μέλει. *Theogn. Gnom.* ver. 1044.

Permitte Divis cætera ——. *Horat. Carm. lib.* I, *Od.* ix. *ver.* 9.

Ver. 505. —— λίπ' ἐλαίῳ.]

— pinguis olivi. *Virg. Eclog.* V, 68.

Ver. 510. —— ἠδίος ἔσσεται ὥρη.] *Al.* ἐστιν ἠδίος ὥρη.

Ἕς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων, ἐνὶ οἴκῳ·
Αὐτὰρ ἐπὴν νὺξ ἔλθῃ, ἕλῃσί τε κοῖτος ἅπαντας,
Κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ
Ὀξεῖαι μελεδῶναι ὀδυρομένην ἐρέθουσιν.
Ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηΐς ἀηδών,
Καλὸν ἀείδῃσιν, ἔαρος νέον ἱσταμένοιο,
Δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
Ἥτε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
Παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῷ
Κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζηθοιο ἄνακτος·
Ὡς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
Ἠὲ μένω παρὰ παιδὶ, καὶ ἕμπεδα πάντα φυλάσσω,

" Meaque opera inspiciens et ancillarum, in domo :
" At postquam nox venerit, cepertque cubitus omnes,
" Jaceo in lecto, crebraeque mihi circa intimum cor
" Acutae curae lugentem lacessunt.
" Sicut autem quandò Pandarei filia, florida luscinia,
" Pulchrè canit, vere recèns ineunte,
" Arborum in foliis sedens densis,
" Quae frequentèr versans fundit multisonam vocem,
" Filium lugens Itylum charum, quem quondam aere
" Interfecit per insipientiam, filium Zethi regis ;
" Sic et mihi bifariam animus movetur huc et illuc,
" Utrùm maneam apud filium, et integra omnia servem,

Ver. 515. —— ἐπὴν.] *Al.* ἐπεί.

Ver. 518. 522. Ὡς δ' ὅτε Πανδαρέου κούρη, &c.] Εἰ μέν τις ἐν πράγματι χάρις ἐστὶ, τάδε καὶ ἡ λέξις ποιεῖ ἐσχαριτώτερα· οἷον, " Ὡς δ' " ὅτε Πανδαρέου, &c." Ἐνταῦθα γὰρ καὶ ἡ ἀηδὼν, χαρίεν ὀρνίδιον· καὶ τὸ ἔαρ φύσει χαρίεν· πολὺ δὲ ἐσχαιρόμενον τῇ ἑρμηνείᾳ· καί ἐστι χαριέστερα, τό τε, χλωρηΐς, καὶ τὸ, Πανδαρέου κούρη, εἰκὸς ἐκ δενδρέος· ἄκρα τοῦ Ποιητοῦ ἴδια ἐστι. *Demetr. Phaler.* περὶ Ἑρμηνείας, § 133. Porrò *Strabo, Geograph. lib.* XIV. *pag.* 981. *al.* 665. citat; Ὡς καὶ Πανδαρέου κούρη ——.

Qualis populeâ mœrens Philomela sub umbrâ,
Amissos quaeritur foetus ——,
Flet noctem, ramoque sedens miserabile carmen
Integrat, et mœstis latè loca questibus implet. *Virgil. Georg.* IV, 511.
Talis in umbrosis, mitis nunc denique sylvis
Deflet Threïcium Daulias ales Ityn.
Consolat. ad Liv. August. (Ovidio vulgò ascript.) ver. 105.

Vide et infrà ad *ver.* 522.

Ibid. —— Πανδαρέου.] *Barnesius* edidit Πανδάρεω.

Ibid. —— χλωρηΐς ἀηδών] Ἥτει ἐν χλωροῖς διατρίβουσα· ἢ ἅμα τοῖς χλωροῖς φαινομένη, ἔαρος γὰρ φαίνεται· ἢ διὰ τὸ χρῶμα· καὶ παρὰ Σιμωνίδῃ δὲ χλωραύχενες λέγονται αἱ Ἀηδόνες. *Schol.*

Ver. 519. —— ἔαρος νέον ἱσταμένοιο.] Sic apud *Virgilium :*

Vere novo ——, *Georg.* I, 43.

Ver. 520. Δενδρέων ἐν πετάλοισι καθεζομένη] Pronuntiabatur Δενδρεῶν.

Οἷαι ἀηδονίδες ἰφιζόμεναι ἰκὰ δένδρων
Πωτῶνται, πτερύγων πτερόεντα κελεύθον, ὄζον ἀπ' ὄζου. *Theocrit. Idyll.* XV, 121.

Ver. 521. —— πολυηχέα φωνήν] Ἤδη μέντοι τινὲς καὶ " πολυδενδρέα φωνὴν," γράφουσι, τὴν ποικίλως μιμημένην· ὡς τὴν ἀδιανίδα, τὴν μηδ' ὅλως εἰς μίμησιν παρασκευασθεῖσαν. *Aelian. de Animal. lib.* V. *cap.* 38.

Ver. 522. Παῖδ' ὀλοφυρομένη Ἴτυλον.] Τῇ Νυκτίμῃ (Ἀντιόπῃ, notante *Barnesio*) Ζεὺς μίγνυται, ἐξ ἧς Ζήθος γίγνεται καὶ Ἀμφίων· —— γαμεῖ δὲ Ζήθος μὲν Ἀηδόνα, τὴν τοῦ Πανδαρέου· τῶν δὲ γίνεται Ἴτυλος καὶ Νηΐς· Ἴτυλον δὲ ἡ μητὴρ Ἀηδὼν ἀποκτίνει διὰ νυκτὸς, δοκοῦσα εἶναι τὸν Ἀμφίονος παῖδα, ζηλοῦσα τὴν τοῦ πρωτογενοῦς γυναῖκα, ἥτ' αὐτὴ μὲν ἦσαν ἐξ παίδες. αὐτὴ δὲ δύο· ἐφεμᾶ δὲ ταύτῃ ὁ Ζεὺς ποιεῖν· ἡ δὲ εὔχεται ὄφελς γενέσθαι· καὶ ποιεῖ αὐτὴν ὁ Ζεὺς Ἀηδόνα· ὄρνιθι δὲ ἀεί ἐστι τὸν Ἴτυλον, ὥς φησι Φερεκύδης. *Schol.*

Ver. 523. —— Ζήθειο.] *Al.* Ζήτεω notante *Eustathio.*

Κτῆσιν ἐμὴν, δμωάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα,
Εὐνήν τ' αἰδομένη πόσιος, δήμοιό τε φῆμιν·
Ἦ ἤδη ἄμ' ἕπωμαι Ἀχαιῶν, ὅστις ἄριστος
Μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
Παῖς δ' ἐμὸς, ἕως μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων, 530
Γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
Νῦν δ' ὅτε δὴ μέγας ἐστὶ, καὶ ἥβης μέτρον ἱκάνει,
Καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
Κτήσιος ἀσχαλόων, τὴν οἱ κατέδουσιν Ἀχαιοί.
Ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι, καὶ ἄκουσον. 535
Χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
Ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
Ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
Πᾶσι κατ' αὐχένας ἦξε, καὶ ἔκτανεν· οἱ δ' ἐπέχυντο
Ἀθρόοι ἐν μεγάροις· ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη. 540
Αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον, ἔν περ ὀνείρῳ·
Ἀμφὶ δέ μ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαὶ,
Οἰκτρ' ὀλοφυρομένην, ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
Ἦλθ' δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προὔχοντι μελάθρῳ·

" Possessionem meam, famulasque, et altam magnam domum,
" Torumque reverens mariti, populique famam :
" An jam unà sequar Achivorum *eum*, quicunque optimus
" Ambit *me* in aedibus, praebitis infinitis sponsalibus.
" Filius autem meus, donec quidem fuit adhuc infans et animi-impotens, 530
" Nubere non me sinebat, mariti domo derelictâ :
" Nunc verò quandò jam magnus est, et pubertatis limitem attigit,
" Jam demùm me optat retrò-cedere ex domo,
" Ob-possessionem indignans, quam ei consumunt Achivi.
" Sed age mihi somnium declara, et audi : 535
" Anseres mihi in domo viginti triticum edunt
" Ex aquâ, atque ipsis laetor inspiciens :
" Profecta verò ex monte magna aquila adunco-rostro,
" Omnibus cervices confregit, et interfecit ; hi autem fusi sunt
" Conferti in aedibus : illa verò in aethera divinum elevata est. 540
" Ast ego flebam et ejulabam, etiam in somnio ;
" Circum autem me congregabantur comas-pulchrae Achivae
" Miserabilitèr lugentem, quòd mihi aquila interfecerat anseres.
" Reversa autem desidebat in prominenti tecto ;

Ver. 529. Μνᾶται ἐνὶ μεγάροισι.] *Al.* Μνᾶται ἔμ' ἐν μεγάροισι.

Ibid. —— ἀπερείσια ἕδνα.] *Al.* ἀπερείσι' ἔδνα.

Ver. 530. —— ἕως μὲν ἔην ἔτι νήπιος.] Edidit. nonnullæ, ἕως μὲν ἔτι σίλα νήπιος. Enuntiabatur autem ὅς μίν.

Ver. 531. Γήμασθ'.] Vide suprà ad λ', 272.

Ver. 534. —— ἀσχαλόων.] *Al.* ἀσχάλλων.

Ver. 536. —— πυρὸν ἔδουσιν Ἐξ ὕδατος.] Non, Ἐξω καὶ χωρὶς ὕδατος, uti mirè admodùm exponit *Scholiastes* ; sed triticum aquâ mixtum : Ita *ver.* 553.

Πυρὸν ἰριστομένους παρὰ πίλνοι ——.

Ver. 539. Πᾶσι κατ' αὐχένας.] *Al.* Πᾶσι δ' αὐχένας.

Ver. 540. —— αἰθέρα.] *Al.* αἶψα.

Φωνῇ δὲ βροτέῃ κατερήτυε, φώνησέν τε·
Θάρσει, Ἰκαρίου κούρη τηλεπλειτοῖο·
Οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
Χῆνες μέν, μνηστῆρες· ἐγὼ δέ τοι αἴστὸς ὄρνις
Ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
Ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.
Ὣς ἔφατ'· αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκε.
Παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα
Πυρὸν ἐρειπτομένους παρὰ πύελον, ἦχι πάρος περ.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι, οὕπως ἐστὶν ὑποκρίνασθαι ὄνειρον
Ἄλλῃ ἀποκλίναντ'· ἐπεὶ ῥά τοι αὐτὸς Ὀδυσσεὺς
Πέφραδ', ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ' ὄλεθρος
Πᾶσι μάλ'· οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ξεῖν', ἦτοι μὲν ὄνειροι ἀμήχανοι, ἀπρικόμυθοι
Γίνονθ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισι.

" Voceque humanâ compescebat, dixitque: 545
' Confide, Icarii filia longè-latèque-inclyti;
' Non somnium, sed visio-vera, quae utique perfecta erit.
' Anseres quidem, proci *sunt*; ego autem aquila avis
' Eram anteà; nunc demùm tuus maritus veni,
' Qui omnibus procis saevam mortem inferam.' 550
" Sic dixit: at me dulcis somnus dimisit.
" Ubi-circumspectàssem verò, anseres in aedibus animadverti
" Triticum comedentes apud pelvim, ubi anteà scilicèt."
Hanc autem respondens allocutus est solers Ulysses:
" O mulier, nequaquam licet declarare somnium 555
" Aliò deflectentem; quandoquidem sanè tibi ipse Ulysses
" Dixit, quomodo perfecturus-sit: procis verò apparet exitium
" Omnibus prorsùs; neque quisquam mortem et fatum effugiet."
Hunc autem rursùs allocuta est prudens Penelopea
" Hospes, profectò quidem somnia inscrutabilia, indiscriminatim-loquentia 560
" Sunt, neque omninò omnia perficiuntur hominibus.

Ver. 546. —— Ἰκαρίου κούρη.] Ita *Barnesius* ex editionibus compluribus; atque ita MS. à *Tho. Bentleio* collatus. *Henricus Stephanus* aliique ediderunt Ἰκαρίοιο κόρη. Quæ posterior vox, uti et notavit *Barnesius*, apud Poetam alibi non occurrit.

Ver. 547. —— ὕπαρ.] Τὸ μὲν ἡμέραν φαινόμενον ὑπαρ. *Schol.*

Ver. 556. Ἄλλῃ ἀποκλίναντ'.] Ἐξω τῆς ἀληθείας ἐκκλίνοντα. *Schol.*

Ibid. —— ἐπεὶ ῥά.] *Al.* ἐπεὶ ἦ ῥά.

Ver. 557. Πέφραδ', ὅπως τελέει.] Indicavit nempe *Ulysses*, quo modo ipse perfecturus sit. *Barnesius* malè vertit "*Dixit*, quomodo "*fit*." Quo sensu nusquam apud Poetam occurrit vox τελέω. Vide *Iliad.* Σ', 415. Ω', 370. *Odyss.* β', 256.

Ver. 560. —— ἦτοι μὲν ὄνειροι ἀμήχανοι.]

Ψευδεῖς ὄνειροι χαίρειν· οὐδὲν ἦν ἄρα.
Euripid. Iphig. in Taur. ver. 569.

Ibid. —— ἀμήχανοι.] Ποῖοι οὖν μηχανὴν εὑρεῖν οὐκ ἔστιν. *Schol.* Rectiùs autem *Eustathius*: Ἀμήχανοι δὲ ὄνειροι, πρὸς οὓς οὐκ ἔστι κρίσιν τινὰ ἀριστίνην τυχησάσθαι ἢτοι μηχανήσασθαι.

Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων·
Αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
Τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
Οἱ δ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
Οἳ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
Οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
Ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀίομαι αἰνὸν ὄνειρον
Ἐλθέμεν· ἦ κ' ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Ἦδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ' Ὀδυσῆος
Οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,

" Duae etenim portae debilium sunt somniorum :
" Nam alterae quidem cornibus factae-sunt ; alterae autem ebore :
" Horum quae quidem venerint per sectum ebur,
" Haec decipiunt, verba irrita ferentia :
" Quae verò per polita cornua iverint foràs,
" Haec vera perficiunt ; hominum quandò aliquis viderit.
" At mihi non hinc puto grave somnium
" Venisse : certè gratum mihi et filio foret.
" Aliud autem tibi dicam, tu verò in mente reconde tuâ :
" Haec jam aurora adveniet infausta, quae me Ulyssis
" A domo amovebit : nunc enim deponam certamen,

Ver. 562. Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων· &c.]

Sunt geminæ Somni portæ ; quarum altera fertur
Cornea, quâ veris facilis datur exitus umbris :
Altera, candenti perfecta nitens elephanto,
Sed falsa ad cœlum mittunt insomnia manes. *Æn.* VI, 893.

Ἆ γὰρ πρεσβίδων νυκτὸς τῆδε φάσματα
Διττῶν ὀνείρων———.
Sophocl. Electr. ver. 645.

ubi *Scholiastes* hunc locum *Homeri* citat. Vide et *Luciani Hist. Ver. lib.* II. item *Dialog.* qui inscribitur, *Somnium*, seu *Gallus*.

Ibid. ——— ἀμενηνῶν.] Apud *Etymolog. Magn.* notante *Barnesio*, ψιυσταὶ· Malè.

Ver. 563. Αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι.] Οἱ μὲν φασὶ κερατίνην πύλην συνιδοχικῶς τοὺς ὀφθαλμοὺς· κερατοειδὴς γὰρ ὁ περὶτοὺς χιτὼν τοῦ ὀφθαλμοῦ· ἐλεφαντίνην δὲ, στόμα καὶ ὕπνωθεν ἐλεφαντόχρωτας τοὺς ὀδόντας· ἐκ δὲ τούτου, πιστότερα εἶναι τὰ ὁρώμενα τῶν λεγομένων. Καὶ ὅτι διὰ μὲν κέρατος οἷόν τι καὶ ἴδιν, διὰ δὲ ἐλέφαντος οὐ. *Schol.* ad *ver.* 562. ubi et plures hujus loci explicationes affert satis inficetas. Vide et *Macrob. in Somn. Scipion. lib.* I. *cap.* 3. sub fine. Porrò hinc *Plato*, in *Charmide* : "Ἀκουε δὴ τὸ ἰαμ ὄναρ, εἴτε διὰ κεράτων, εἴτε δι' ἐλέφαντος ἐλήλυθεν.

Ver. 564. —— οἳ μὲν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος, Οἱ δ' ἐλεφαίρονται.]

—— Τετράσκια παρήκαθεν ἕρκος ὀνείρου,
Κλειθρίδων ἐλέφαντος ἀναίξασα τυλάσσω.
Nonnus Dionys. lib. XXXIV. *ver.* 89.

——— an vitio carentem
Ludit imago
Vana, quæ, portâ fugiens eburnâ,
Somnium ducit ? ———
Horat. Carm. lib. III. *Od.* xxvii. *ver.* 39.

Ibid. —— πριστοῦ ἐλέφαντος.]

—— sectoque elephanto. *Æn.* III, 464.

Ver. 565. 567. Οἱ δ' — Οἳ β'.] *Barnesius* edidit Τοῖδ' — Τοί β'. *Al.* Οἳ γ', et Οἱ ϛ'.

Ver. 571. "Ηδε δὴ ἠὼς.] Λέγει ἡὼ καὶ ἄλλην τὴν ἡμέραν· "Ἠδε δὴ ἠὼς εἶσι δυσώνυμος." *Porphyr. Quæst. Homeric.* 12.

Ver. 572. —— νῦν γὰρ καταθήσω ἄεθλον, Τοὺς πελίκεσσι.] Ὅτι τὸ ἐν σαφήσει εὔκλειστον κατορθῶν πανταχοῦ μάλιστα ὁ Ποιητὴς, θαυμαστός ἐστι καὶ ἐντεῦθεν, αἰνιττόμενος ἀπὸ τῶν ἄρτι τρολαλῶν καὶ οἷον προοιμαζόμενος τὴν κατὰ τῶν μνηστήρων μάχην.—Ἄθλον ἐκεῖνο [Πηνελόπη] ἐξευγκεῖν [φησὶ,] πελίκεσσι δώδεκα, δι' ὧν ἐκεῖνος [Ὀδυσσεὺς] οἴστευσε· καὶ τὸν ἰσχύσαντα οὕτω διατεῖναι λαβεῖν ἄνδρα, ὡς ἐκείνῳ τῷ τέλει ἀνδρί.—Καὶ Ὀδυσσεὺς ἀκούσας, ἐφαπτεῖ τὴν βιαλὴν, [infrà *ver.* 584.] ὡς εὐτυχῶς αὐτῷ ἐφαπτόμενος καὶ παραπτῆ σταθεὶς οὗτος.—Καὶ οὕτως εὐμέρεσι ἐντεῦθεν ἀρξάμενος, στρατιᾷ τὰ ἐφεξῆς πάνυ πιθανῶς, καὶ ὡς οὐκ ἂν ἔχοι τις ἀρτίτερα πλάσασθαι. *Eustath.*

Τοὺς πελέκεας, τοὺς πεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
Ἴστασχ' ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας·
Στὰς δ' ὄγε πολλὸν ἄνευθε, διαρρίπτασκεν ὀϊστόν.
Νῦν δὲ μνηστῆρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
Ὅς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι,
Καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
Τῷ κεν ἅμ' ἐστοίμην, νοσφισσαμένη τόδε δῶμα,
Κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·
Τοῦ ποτε μεμνήσεσθαι ὀΐομαι, ἔν περ ὀνείρῳ.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Μηκέτι νῦν ἀνάβαλλε δόμοις ἐνὶ τοῦτον ἄεθλον·
Πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ' Ὀδυσσεὺς,

" Secures, quas ille in aedibus suis
" Statuebat ordine, navium-statumina veluti, duodecim omnes;
" Stans autem ille valdè procul, trajiciebat sagittam.
" Nunc verò procis certamen hoc inferam:
" Qui autem facillimè intenderit arcum in manibus,
" Et jaculatus fuerit per secures duodecim omnes,
" Hunc unà sequar, relictâ hâc domo,
" Juventutis-*meae*, perpulchrâ, plenâ victu;
" Cujus aliquandò recordaturam *me* puto, vel in somnio."
Hanc autem respondens allocutus est solers Ulysses:
" O uxor veneranda Laërtiadae Ulyssis,
" Nè ampliùs nunc differ in aedibus hoc certamen:
" Antè etenim solers veniet huc Ulysses,

Ver. 573. —— σιλίκιας.] Τὰ σιδήρια τετρυπημένα. *Schol.* Pronuntiabatur autem σιλίκιας, vel σιλίκιες· Ut et σιλίκιων, infrà *ver.* 578. pronuntiabatur σιλίκεον. Vide ad *Il.* β', 811.

Ver. 574. 575. "Ιστασχ' — διαρρίπτασκεν.] Vide ad *Il.* ά, 37. et β', 221. *Al.* διαρρίπτασσεν.

Ver. 574. —— δρυόχους ὥς.] Οἱ μὲν λίμνους ἀκούουσί τινας μεγάλους ἐπ' ὀλιγίστων χειμώνων· οὓς καταπήγυυσθαι εἰς τὴν γῆν, ὥστε δι' αὐτῶν τοξεύειν· οἱ δὲ μολίβδας τὰς θήτεις αὐτῶν κάτωθεν, ἵστασθαι τὸν κύκλον ἄνω ἱστικιμένον. Ἄμεινον δὲ ἀκούειν δρυόχους, ξύλα ὀρθὰ, ἐφ' ὧν ἡ τρόπις ἱρίδεται τῆς πηγνυμένης νεώς, ἤγουν στηρίγματα· καλοῦνται δὲ αὗται καὶ ἐπηγκενίδες. *Etymolog. Magn.* in voce δρυόχους.

Ibid. —— δώδεκα πάντας.] Similitèr infrà *ver.* 578. δυοκαίδεκα πάντων. Vide suprà ad ί, 244. et ad *Il.* σ', 373. 470. Porrò fuerunt, notante *Eustathio*, qui hic legerint, δρυόχους ὡς δώδεκα, πάντας. Minùs rectè.

Ver. 576. —— ἀείλον τοῦτον ἐφήσω.] In utrâque *Eustathii* editione legitur τοῦτο· atque ita ipse in commentario; "Εδοξε δὲ (inquit) τῷ Ποιητῇ τὸν ἄεθλον ἐνταῦθα οὐδετέρως εἰπεῖν τὸ ἄεθλον· ὁμοίως τῷ, ὁ λύχνος, τὸ λύχνον, καὶ τοῖς τοιούτοις. *Barnesius* autem *Henricum Stephanum* veterumque editionum nonnullas secutus, τοῦτον edidit. Quin et infrà *ver.* 584. *hujus libri*, in omnibus, atque etiam apud *Eustathium* in commentario legitur τοῦτον ἄεθλον. Similitérque suprà λ', 622. 625.

—— εὖ γὰρ ἔτ' ἄλλον
Φράζεο τοῦδέ τί μοι χαλεπώτερον εἶναι ἄεθλον.

Ver. 579. —— νοσφισσαμένη.] Ita ex *Seberi Indice* restituit *Barnesius*; atque ita in omnibus legitur suprà δ', 263. Rectè. Nam, uti et ipse annotat *Barnesius*, quod hic habent Vulgati νοσφισαμένη secundam corripit:

Νοσφίσατ', οὐδὲ μοι ἔπλη. ——
Odyss. λ', 424.

Et *ver.* 339. *hujus libri*:

Νοσφίσαμην ἐπὶ νηός. ——

Vide ad *Il.* ά, 140.

Ver. 580. —— καλὸν.] Vide ad *Il.* β', 43.

Ver. 584. —— τοῦτον ἄεθλον.] Vide suprà ad *ver.* 576.

Πρὶν τούτους, τόδε τόξον ἐΰξοον ἀμφαφόωντας,
Νευρήν τ' ἐντανύσαι, διοιστεῦσαί τε σιδήρου.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εἰ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισι
Τέρπειν, οὔ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη. 590
Ἀλλ' οὐ γάρ πως ἐστὶν ἀΰπνους ἔμμεναι αἰεὶ
Ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
Ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
Ἀλλ' ἦτοι μὲν ἐγὼν, ὑπερῴϊον εἰσαναβᾶσα,
Λέξομαι εἰς εὐνὴν, ἣ μοι στονόεσσα τέτυκται, 595
Αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
Ὤχετ' ἐποψόμενος κακοΐλιον οὐκ ὀνομαστήν.
Ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῷδ' ἐνὶ οἴκῳ,

" Quàm isti, hunc arcum benè-politum contrectantes,
" Nervumque intenderint, jaculatique fuerint per ferrum."
Hunc autem rursùs allocuta est prudens Penelope:
" Si velles mihi, hospes, assidens in aedibus
" Delectare, haud mihi somnus in palpebras funderetur, 590
" Sed nequaquam licet insomnes esse semper
" Homines; in singulis enim sortem imposuerunt
" Immortales mortalibus super almam terram.
" Sed sanè ego, in coenaculum ubi-conscendero,
" Decumbam in lectum, qui mihi luctuosus factus est, 595
" Semper lachrymis meis foedatus, ex quo Ulysses
" Ivit visurus malum-Ilium, non nominandum.
" Illic cubuero; tu verò cuba hâc in domo,

Ver. 586. — τόδε τόξον.] *Al.* τόνδε τόξον.

Ver. 590. —— οὔ μοι ὕπνος.] *Al.* οὔ νύ μοι ὕπνος. Quæ et probabilior videtur lectio.

Ver. 591. Ἀλλ' οὐ γάρ πως.] *Barnesius* voculam γὰρ hoc in loco otiosam existimat. *Eustathius* autem, Ὅρα δὲ καὶ τὸν ὅτι ἀρξάμενος ἀπὸ τοῦ "γὰρ" συνδέσμου, ἀντίδοσιν εἰς τὸ "ἀλλά." (*ver.* 594.) Vide suprà ad α', 190.

Ibid. —— οὐ γάρ πως ἐστὶν ἀΰπνους ἔμμεναι αἰεί.]

Quod caret alternâ requie, durabile non est.
Ovid. Heroïd. Epist. IV. *ver.* 89.

Ver. 592. —— ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν Ἀθάνατοι.] Μοῖραν φησὶ τὴν καθ' ἑκάστου εἱμαρμένην βίου διανύσεως. *Eustath.* Πῶς ὁ βίος ἡμῶν εἰς ἄπαντα καὶ σπουδὴν διήρηται· καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη· οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη· οὐδὲ χειμὼν, ἀλλὰ καὶ εὐδία· &c. *Plutarch. de Liberis educandis.*

Ver. 593. —— ἐπὶ ζείδωρον ἄρουραν.] "Ægypto autem ac Syriæ Ciliciæque et Asiæ " ac Græciæ peculiares Zea, Olyra, Ti- " phe; — propter quam [Zeam] Homerus " ζείδωρος ἄρουρα dixit; non, ut aliqui arbi- " trantur, quoniam vitam donaret." *Plin. Natural. Hist. lib.* XVIII. *cap.* 8. Altero autem modo exponit *Hesychius*, notante *Duporto, Gnomolog. Homeric.* ad hunc locum. Vide suprà ad γ', 3.

Ver. 595. 598. Λέξομαι —— λιξαίμην —— λέξεο.] Vide ad *Il.* β', 515.

Ver. 596. Αἰεὶ δάκρυσ' ἐμοῖσι.] *Al.* Δάκρυσιν αἰὲν ἐμοῖσι.

Ver. 597. —— κακοΐλιον οὐκ ὀνομαστήν.] Vide suprà ad *ver.* 260. Cæterùm MS. à *Tho. Bentleio* collatus habet ὀνομαστόν. Vide suprà 260.

Ver. 598. —— λέξεο.] Τὸ δὲ λέξεο σχηματικὸν πάνυ καινῶς ἴσχε· γίνεται δὲ ἀπὸ τοῦ λέγω, λέξω, οὗ ἀναδραμόντος εἰς ἰσοστοῖχα, ἴσον αὐτοῦ παθητικὸν τὸ λέξομαι· οὗ παρατατικὸς ἐλεξόμην, τὸ τρίτον λέξεο, καὶ ἐξ αὐτοῦ προστακτικὸν τὸ λέξο. *Eustath.* Vide ad *Il.* ί, 109. *Al.* λέξαι, et λέξαιο.

Ἦ χαμάδις στορέσας, ἤ τοι κατὰ δίμνια θέντων.
Ὡς εἰποῦσ' ἀνέβαιν' ὑπερῴϊα σιγαλόεντα,
Οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
Ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν· ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.

"Vel humi ubi-straveris, vel tibi *famuli* cubilia ubi-deposuerint."
Sic locuta conscendit coenacula splendida,
Non sola; cum eâ scilicèt et famulae iverunt aliae.
In coenaculum autem ubi-ascendisset cum famulis mulieribus,
Flebat deindè Ulyssem, charum maritum; donec ei somnum
Dulcem palpebris immisit caesia-oculis Minerva.

Vet. 599. —— χαμάδις.] Apud *Eustathium*, χαμάδι.

Ibid. —— κατὰ δίμνια θέντων.] Apud *Eustathium* scribitur καταδίμνια. Minùs rectè: Nam κατὰ δίμνια θέντων, ut rectè notavit *Barnesius*, est δίμνια καταθέντων. Porrò vocem θέντων (quæ apud Poetam hoc tantùm in loco occurrit,) *Scholiastes* exponit ἀποθέντων, δηλονότι τῶν θεραπαινῶν· *Eustathius* autem, θέντων αἱ δουλίδες.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἡ ΓΡΑΜΜΑ, Υ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Υ'.

ΒΟΥΛΗΘΕΙΣ ἀνιλεῖν Ὀδυσσεὺς τὰς μιγνυμένας τοῖς μνηστῆρσι Θεραπαινίδας, καὶ μιταγιοὺς, διὰ τῶν ἐξῆς πρὸς Εὔμαιον καὶ Φιλοίτιον διαλέγεται· ἐν ᾧ καὶ τῶν μνηστήρων γίνεται ὁμιλία.

Ἐπιγραφαί.

Τὰ πρὸ τῆς μνηστηροφονίας.

Ἄλλως.

Ἱ, βροντᾶις Ζεὺς θέρσυν' Ὀδυσσία καὶ σχίθ' Ἀχαιούς.

Αὐτὰρ ὁ ἐν προδόμῳ εὐνάζετο δῖος Ὀδυσσεύς·
Καμμὲν ἀδέψητον βοέην στόρεσ', αὐτὰρ ὕπερθε
Κώεα πόλλ' οἰῶν, τοὺς ἱερεύεσκον Ἀχαιοί·
Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.
Ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ,
Κεῖτ' ἐγρηγορόων· ταὶ δ' ἐκ μεγάροιο γυναῖκες

At in vestibulo cubabat nobilis Ulysses:
Subter quidem crudam bubulam-*pellem* stravit; at supernè
Pelles multas ovium, quas sacrificabant Achivi:
Eurynome verò deindè laenam injecit ad-somnum-composito.
Illic Ulysses procis mala meditans in animo,
Jacebat vigilans: mulieres verò ex domo

Ver. 1. —— εὐνάζετο.] Ἑαυτῷ εὐνὴν παρεσκεύαζεν. *Schol.*

Ver. 2. Καμμὲν ἀδέψητον.] Καμμὲν, uti rectè notavit *Barnesius*, est κατὰ μὲν eodem modo ac καδδὲ est κατὰ δέ· καμμίσσον, κατὰ μίσσον *Il.* λ', 172, &c. Vide et ad *Il.* α', 106.

Ver. 3. —— ἱερεύεσκον.] *Al.* ἱερεύεσκεν Quod (ut opinor) eodem modo pronuntiandum. Vide suprà ad ξ', 94. et ρ', 181.

Ver. 5. — μνηστῆρσι κακὰ φρονέων.] Hinc inscriptus hic Liber, Τὰ πρὸ τῆς μνηστηροφονίας· notante *Eustathio.*

Ἦισαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ,
Ἀλλήλῃσι γέλωτα καὶ εὐφροσύνην παρέχουσαι.
Τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι·
Πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ,
Ἦ ἔτ' ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
Ὕστατα καὶ πύματα· κραδίη δέ οἱ ἔνδον ὑλάκτει.
Ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάπεσσι βεβῶσα,
Ἀνδρὸ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι·
Ὡς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαιομένου κακὰ ἔργα.
Στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ·
Τέτλαθι δὴ, κραδίη· καὶ κύντερον ἄλλο πότ' ἔτλης,

Iverunt, quae cum procis miscebantur anteà scilicèt,
Sibi-invicem risum et laetitiam praebentes.
Hujus autem commovebatur animus in pectoribus charis:
Multùm verò deliberabat in mente et in animo,
An adortus mortem pararet unicuique,
An adhuc sineret cum procis superbis misceri
Extremò et ultimò: cor autem ei intùs latrabat,
Sicut verò canis tenellos circum catulos iens,
Viro ignoto latrat, ardetque pugnare:
Sic utique hujus intùs latrabat *cor* aegrè-ferentis mala opera.
Pectore autem percusso, cor increpuit sermone:
" Tolera jam, cor; et pejus aliud aliquando tolerâsti

Ver. 7. —— ἰμισγέσκοντο.] Vide ad *Il.* ά, 37. et β', 221.

Ibid. —— πάρος περ.] *Al.* πάρος γε.

Ver. 8. —— γέλωτα καὶ.] Exemplaria nonnulla, teste *Eustathio*, legunt, γέλω τε καί. MS. à *Tho. Bentleio* collatus, γέλων τε καί. Ut suprà σ', 349.

—— γέλων δ' ἰσάριθμον ἔτυξε.

Ver. 10. Πολλὰ δὲ μερμήριζε κατὰ φρένα.]

Atque animum nunc huc celerem, nunc dividit illuc;
In partesque rapit varias, perque omnia versat. *Æn.* IV, 285.

Ibid. —— μερμήριζε.] *Al.* μερμήριξε.

Ver. 14. — ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα.] Τὸν περὶ τῶν τέκνων φόβον ὡς ἰσχυρὸν προσαλοῦσα θυμόν. *Plutarch. de Amore Prolis.*

Ver. 15. —— ὑλάει, μέμονέν τε.] Vide ad *Il.* ά, 37. et σ', 736.

Ver. 16. Ὡς ῥα τοῦ ἔνδον ὑλάκτει.]

—— stat pectore demens
Luctus, et admoto *latrant* præcordia tactu.
Statius, Sylvarum, lib. II. i. 12.

Porrò MS. à *Tho. Bentleio* collatus hîc legit Ὡς ἄρα τοῦ· atque ita habet *Eustathii* Editio *Basileensis*. Quæ si vera sit lectio, pronuntiandum erit Ὡς ἄρα τοὔνδον ὑλάκτει, &c.

Ibid. —— ἀγαιομένου.] Ἄγαν θαυμάζοντος, ἢ χαλεπαίνοντος. *Schol. Eustathius* et ἀταιομένου scribi testatur; quo modo et legitur apud *Etymolog. Magn.* notante *Barnesio.*

Ver. 17. —— κραδίην ἠνίπαπε μύθῳ· Τέτλαθι δὴ, κραδίη.] Καὶ ἐν ἄλλοις δὲ ποιεῖ [Ὁμηρος] τὸν λογισμὸν τῷ θυμῷ παραινοῦντα, καὶ ὥσπερ ἄρχοντα τῷ ὑπηκόῳ παγμίνῳ κελεύοντα, " Τέτλαθι δὴ, κραδίη &c." Καὶ πολλάκις μὲν τῷ λογισμῷ στίβεται τὸ θυμούμενον, ὡς ἐν τούτοις, (*ver.* 22. 23.) "Ὡς ἔφατ' —— Τῷ δ' " αὖτ' ἐν στέρνοις, &c." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 15. Porrò laudat hunc locum *Plato, de Republ. lib.* III. Ἀλλ' ἴσως τινὲς παρτιρίαι πρὸς ἅπαντα καὶ λίγονται καὶ πράττονται ὑπὸ ἰλλογίμων ἀνδρῶν, θιατέον τι καὶ ἀπευκτέον. Οἷον καὶ τὸ " Στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε, &c." Vide et eundem in *Phædone*, ubi hunc locum adducit: item *Ælian. de Animal. lib.* V. *cap* 54. sub fine.

Ver. 18. — καὶ κύντερον ἄλλο πότ' ἔτλης.]

—— Fortem hoc animum tolerare jubebo:
Et quondam majora tuli ——.
Horat. Serm. lib. II. *Sat.* v. *ver.* 20.

Perfer et obdura; multò graviora tulisti.
Ovid. Trist. lib. V. *Eleg.* xi. 7.

Vide suprà ad ί, 222.

Ἤματι τῷ, ὅτε τοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
Ἰφθίμους ἑτάρους· σὺ δ' ἐτόλμας, ὄφρα σε μῆτις
Ἐξάγαγ' ἐξ ἄντροιο, οἰόμενον δανέεσθαι.
Ὣς ἔφατ', ἐν στήθεσσι παθαπτόμενος φίλον ἦτορ·
Τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη μένε τετληυῖα
Νωλεμέως· ἀτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτε γαστέρ' ἀνὴρ, πολέος πυρὸς αἰθομένοιο,

" Die illo, quandò tibi robore invictus comedebat Cyclops
" Fortes socios; tu verò sustinebas, donec te solertia
" Eduxit ex antro, cùm-putares *te* moriturum."
Sic dixit, in pectoribus increpans charum cor:
Ei autem penitùs in retinaculo cor manebat tolerans
Continentèr: at ipse volvebatur huc et illuc.
Sicut autem quandò ventrem vir, multo igne ardenti,

Ver. 19. —— ὅτι τοι μένος ἄσχετος ἤσθιε Κύκλωψ Ἰφθίμους ἑτάρους.] Οἰκειστερον μὲν αὐτὸν φάσας ἴδρη [suprà μ', 258.] τὸ κατὰ τοὺς ἑτέρους, [fortè ἑταίρους,] ὅτι αὐτοὺς ἡ Σκύλλα ἥρπαζε τὸ δὲ κατὰ λαιστρυγόνας, οὐ μόνον οἰκειστερον, ἀλλὰ καὶ χάριεστερον. Ἐπιλέξατο δ' ἐνταῦθα ὁ Ποιητὴς τὸ κατὰ τὸν Κύκλωπα, διότι Σκύλλα μὲν καὶ λαιστρυγόνες ἅπαντες ἦσαν ἀνία, κατὰ δὲ τοῦ Κύκλωπος ἔπραξεν ἄμυναν Ὀδυσσεὺς, πλήμυρα φανεὶς ἴσως ὑβρεῖ καιρίον. *Eustath.*

Ibid. —— ὅτι τοι.] Apud *Eustathium*, et in contextu et in commentario, ὅτε μοι. Atque ita legit MS. à *Tho. Bentleio* collatus.

Ver. 21. —— οἰόμενον δανέεσθαι.] Scribi potuit οἰόμενον· sed et οἰόμενον ferri potest. Quippè cum *cor suum* alloqui dicitur *Ulysses*, *seipsum* alloqui intelligitur. Uti notavit *Barnesius*.

Ver. 22. — παθαπτόμενος φίλον ἦτορ.] Καταστίλλων, τὴν ἀπόκρισιν ποιούμενος τῇ τὸν ψυχὴν, ὅσπερ αὐτῆς ἅψασθαι τὰ λεγόμενα. *Schol.*

Ver. 23. Τῷ δὲ μάλ' ἐν στίσῃ κραδίη μένε στετληυῖα.] Οὕτω τὸ στόμα μισθὸν ἦν αὐτοῦ φαντασθέν ἐγκρατείας· καὶ πάντα ἔχων ὁ λίγος εὐστιθῆ καὶ ὑποχείρια, προσίστατοι τοῖς ὄμμασι μὴ δακρύειν, σῇ γλώττῃ μὴ φθέγγεσθαι, τῇ καρδίᾳ μὴ τρέμειν μηδ' ὑλακτεῖν. " Τῷ δ' αὖτ' ἐν " στίσῃ κραδίη μένε στετληυῖα" μίχρι τῶν ἀλόγων κινημάτων δήπουτος τοῦ λογισμοῦ, καὶ τὸ στιῦμα καὶ τὸ αἷμα στοιμένου κατέχου ἑαυτῷ καὶ χειρόηες. *Plutarch. de Garrulitate.* Ubi in transcursu notandum, pro Τῷ δὲ μάλ', legisse hic *Plutarchum*, Τῷ δ' αὖτ'. Quo modo legitur et apud *Dionys. Halicarn.* loco ad *ver.* 17. suprà citato. Porrò hinc apud eundem *Plutarchum*; Ἔχοντι κατὰ χώραν ἐν τῇ Ὁμηρικῇ στίσει μένοντα τὸν Θυμὸν. *De Irâ cohibendâ, haud longè ab initio.* Et apud *Synesium* de *Calvit.* (citante *Gatakero* ad *Antonin. lib.* III. § 6.) " Τήρησον ἐν στίσῃ, " φασὶ, τὴν καρδίαν."

Ibid. —— ἐν στίσῃ.] Ἀντὶ τοῦ κατὰ χώραν οὐκ ἴσει ἦν ἐν πυνίσει, ἀλλ' ἐν διεσμοῖς ἱμᾶντ ἐν οἷς ἐκάθιστο καὶ ἐγνώκει, οἷον οὐκ ἰμιλτο αὐτῷ. *Schol.* à *Barnesio* ex MS. emendata. *Eustathius* vocem στίσῃ interpretatur στάσῃ· Quam explicationem rejiciens vir eruditus *Tho. Gatakerus*, ipse exponit σχοινίῳ ἐγκρεμῶν, *funis anchoralis.* " Talem nempè" (inquit) " vult animi statum, qualem de- " scribit apud *Plut.* de *virt. moral.* nescio " quis verbis hisce ——:

" —— ὑδὲ
" Ναῦς, ἥτις ἐν μὲν γῆς ἀνέρυται [*Al.* ἀνέ- " ρυται.] βρόχοις,
" Πνεῖ δ' οὖρος, ἁμὴν δ' ἐσκεδαστὶ τὰ στίσματα."

Annotat. in Antonimum, lib. III. § 6. Vide suprà ad *ver.* 17. et 23. Apud *Homerum* vox alibi non occurrit.

Ibid. —— στετληυῖα.] *Al.* στετλαυῖα.

Ver. 25. Ὡς δ' ὅτε γαστέρ' ἀνὴρ, *&c.*] *Sponde danus* hâc comparatione *cogitationum in Ulysse volubilitatem* exprimi arbitratur. Dna. *Dacier* aliam accipiendi rationem affert: " Ce Foete (inquit) compare Ulysse, qui " se tourne çà et là dans son lit, brûlant " d'impatience de se saouler du sang des " Amants de Penelope, à un homme affa- " mé qui se tourmente et qui s'agite pour " faire cuire sur un grand feu le ventre d'un " animal, dont il brûle de se rassasier." Poeta autem, ut opinor, hâc similitudine nihil aliud quàm crebras corporis volutationes depingere voluit. Porrò fuerunt qui hanc similitudinem vilem Poëtâque omninò indignam arguerint: *Eustathius* autem in commentario ad *Iliad.* κ', 5. Ἐν δ' Ὀδυσσεὺς (inquit) Θαυμάζεται ἄλλως [ὁ Ποιητὴς], ὅτι τὸν σοφώτατον Ὀδυσσέα παρεμπεσόντι τῇ εἰκόνι, ἀνδρὶ ἀκαιμάτοις ὀστοῦνοι γαστέρα πίσσης γέμουσαν· ἦλθε γὰρ ὁ Ποιητὴς ἄρτιος εἰσοικίζειν, καὶ σφοδροὺς τοῖς παιροῖς τά τι μεγαλεῖα ἐκφύσας, τάς τι σμικρότητας. Vide suprà ad κ', 1.

Ἐμπλείην κνίσσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα
Αἰόλλει, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι·
Ὣς ἄρ' ὅγ' ἔνθα καὶ ἔνθα ἑλίσσετο, μερμηρίζων,
Ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει,
Μοῦνος ἐὼν πολέσιν· σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Οὐρανόθεν καταβᾶσα· δέμας δ' ἤϊκτο γυναικί·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπε·
Τίπτ' αὖτ' ἐγρήσσεις, πάντων πέρι κάμμορε φωτῶν;
Οἶκος μέν τοι ὅδ' ἐστὶ, γυνὴ δέ τοι ἥδ' ἐνὶ οἴκῳ,
Καὶ πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἱα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ναὶ δὴ ταῦτά γε πάντα, θεὰ, κατὰ μοῖραν ἔειπες·
Ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
Ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω
Μοῦνος ἐών· οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔασι.
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω,
Εἴπερ γὰρ κτείναιμι, Διός τε σέθεν τε ἕκητι,

Plenum pinguedineque et sanguine, huc et illuc
Varié-versat: valdè verò citò cupit assatum esse:
Sic utique ille huc et illuc volvebatur, deliberans,
Quomodò demùm procis impudentibus manus inferret,
Solus cùm-esset, multis: prope verò ipsum venit Minerva,
Coelitùs delapsa: corpore autem assimilata erat mulieri:
Stetit verò deindè super caput, et ipsum sermone allocuta est:
" Cur demùm vigilas, omnes supra infelix viros?
" Domus quidem tibi haec est, uxor autem tibi haec in domo,
" Et filius, qualem aliquis cuperet esse filium."
Hanc autem respondens allocutus est, solers Ulysses:
" Certè jam haec omnia, dea, compositè dixisti;
" Sed nonnihil mihi hoc animus in mente cogitat,
" Quomodò demùm procis impudentibus manus inferam,
" Solus cùm-sim; hi autem semper frequentes intùs sunt.
" Insuper autem et hoc majus in mente cogito;
" Siquidem enim interficerem, Jovisque tuique voluntate,

Ver. 26. Ἐμπλείην κνίσσης τε καὶ αἵματος.] Apud *Porphyrium*, *Quæst. Homeric.* 3. legitur Ἐμπλείων· Ut suprà σ', 45.

—— κνίσσης τε καὶ αἵματος ἱμπλήσαντες.

Ver. 27. Αἰόλλει.] Δηλοῖ — τὸ εἰλεῖν, καὶ συνεχῶς στρέφειν. *Porphyr. Quæst. Homeric.* 3. Ubi pro Αἰόλλει legitur Αἰόλλῃ· ut et in MS. à *Tho. Bentleio* collato.

Ver. 28. —— ἄρ'.] *Ut dictum est*——: suprà *ver.* 24.

Ibid. —— μερμηρίζων.] Vide suprà ad *ver.* 10.

Ver. 29. —— ἐφήσει.] *Al.* ἐφήσῃ.

Ver. 30. —— σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη.] Vide suprà ad π', 166, et ad *Il.* ε, 194.

Ver. 31, 32. Οὐρανόθεν καταβᾶσα· — Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς.]

Devolat, et supra caput astitit ——.
Æn. IV, 702.

Ver. 34. —— μὲν σοι.] *Al.* μὲν σόν.

Ver. 37. —— ἴσασιν.] *Al.* ἴσασι. Ut alibi sæpè.

Ver. 41. Πρὸς δ' ἔτι.] *Al.* Πρὸς δέ τι.

Ver. 42. — Διός τε σέθεν τε ἕκητι.] *Spondanus* apud *Didymum* legi annotat, Διός τε σέθεν τ' ἄνακτος· quam et potiorem lectionem existimat vir eruditus: " Hoc enim," inquit, " verebatur Ulysses, nè hoc negotium Ju-" piter et Minerva [non] probarent, quòd " fortassè eos cæde Hominum minimè de-

Πῆ κεν ὑπεκπροφύγοιμι ; τὸ σὲ φράζεσθαι ἄνωγα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ' ἑταίρῳ,
Ὅσπερ θνητός τ' ἐστὶ, καὶ οὐ τόσα μήδεα οἶδεν·
Αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
Ἐν πάντεσσι πόνοις· ἐρέω δέ τοι ἐξαναφανδόν·
Εἴπερ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
Νῶϊ περισταῖεν, κτεῖναι μεμαῶτες ἄρηϊ,
Καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
Ἀλλ' ἐλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ φυλάσσειν
Πάννυχον ἐγρήσσοντα· κακῶν δ' ὕπο δύσεαι ἤδη.
Ὣς φάτο· καί ῥά οἱ ὕπνον ἐπὶ βλεφάροισιν ἔχευεν·

" Quò subterfugerem? hoc te considerare jubeo."
Hunc autem rursùs allocuta est dea caesia-oculis Minerva;
" Miser, et quidem aliquis etiam pejori credit socio,
" Qui scilicèt mortalisque est, et non tot consilia novit:
" At ego dea sum, perpetuò quae te custodio
" In omnibus laboribus; dicam autem tibi apertè:
" Siquidem quinquaginta agmina articulatè-loquentium hominum
" Nos circumsterent, interficere cupientia ferro,
" Etiam horum abigeres boves et pingues oves.
" Sed capiat te et somnus: molestum est etiam excubare
" Totâ-nocte vigilantem; & malis verò emerges jam nunc."
Sic dixit; et ei somnum palpebris infudit:

" lectari intelligeret." Et paulò superiùs; " Incipit eâ de re cogitare, ne quid incon- " sultis et invitis Diis facere videatur." Sed hoc cum reliquâ sententiâ minùs congruit. Vide et infrà ψ', 117. 122. ubi de eâdem re deliberandum monet *Ulysses*.

Ver. 43. —— τὸ σὶ φράζεσθαι ἄνωγα.] Vulgati habent τὸ δὶ φράζεσθαι ἄνωγα. *Barnesius* autem edidit τὸ σί· quæ et potior videtur lectio. Non quòd " τὸ ἄνωγα" (uti hic commentus est vir eruditus) " *non so-* " *lùm* πλείων, verùm et *ἰκετεύω* significet;" id quod apud Poëtam, ut opinor, nusquam fit: sed quòd alibi apud Poëtam occurrit phrasis similis:

—— σὶ δὲ φράζεσθαι ἄνωγα.
Odyss. ά, 269. π', 312.

—— τάδε σι φράζεσθαι ἄνωγα. ρ', 279.

—— τῷ σι φράζεσθαι ἄνωγα. ψ', 122.

MS. autem à *Tho. Bentleio* collatus, et *Eustathii* editio *Basilcensis* τὰ σὶ φράζεσθαι ἄνωγα legunt.

Ver. 46. —— θνητὸς τ' ἐστὶ.] Apud *Eustathium* in commentario, itemque in MS. à *Tho. Bentleio* collato legitur θνητός ἐστι, omissâ voculâ τι. Quod et ferri potest. Vide ad *Il.* ά, 51.

Ver. 47. —— διαμπερὲς ἥ σι φυλάσσω Ἐν πάντεσσι πόνοις.] Ita suprà ν', 300.

Παλλὰς Ἀθηναίη κούρη Διὸς, ἥτι σοι αἰεὶ
Ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω.

Et *Iliad.* κ', 278.

—— αἰγιόχοιο Διὸς τέκος, ἥτι μοι αἰεὶ
Ἐν πάντεσσι πόνοισι παρίστασαι ——.

Ver. 48. —— πόνοις· ἐρέω.] *Al.* πόνοισ· ἐρέω. Ut pronuntietur videlicèt ἐρῶ.

Ver. 49. —— λόχοι.] Τῶν πολεμίων συντάγματα. *Schol.*

Ver. 50. —— ἄρηϊ.] Ἄρης τὸν ὁ πόλεμος. *Schol.*

Ver. 52. —— ἀνίη.] Vide ad *Il.* ό, 24.

Ver. 53. —— κακῶν δ' ὕπο δύσεαι ἤδη.] Κάκωσιν ὑπεισέλθῃς. *Schol.* Ubi *Barnesius* *Sensum* omninò postulare existimat, ut legatur Κακώσεων ὑπεξέλθῃς. " Jam nunc e- " nim," inquit, " *finem malorum illi adesse* " *spondet Minerva.*" Eandem interpretationem in versione sequuntur Editiones plurimæ. Atque hoc sensu occurrit vox ὑπεδύσετο suprà ζ, 127.

Ὣς εἰπὼν, θάμνων ὑπεδύσετο ——.

Eustathius autem alteram interpretationem secutus videtur.

Ibid. —— ὕπο δύσεαι.] *Al.* ὑποδύσεαι et ἐποδύσεαι. Vide ad *Il.* ί, 109.

Αὐτὴ δ' ἂψ ἐς Ὄλυμπον ἀφίκετο δῖα θεάων,
Εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
Λυσιμελής· ἄλοχος δ' ἄρ' ἐπέγρετο κέδν' εἰδυῖα·
Κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν.
Αὐτὰρ ἐπεὶ κλαίουσα κορέσσατο ὃν κατὰ θυμὸν,
Ἀρτέμιδι πρώτιστον ἐπεύξατο δῖα γυναικῶν·
Ἄρτεμι, πότνια θεὰ, θύγατερ Διὸς, αἴθε μοι ἤδη
Ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο
Αὐτίκα νῦν· ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα
Οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα,
Ἐν προχοῇς δὲ βάλοι ἀψορρόου Ὠκεανοῖο.
Ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι·
Τῇσι τοκῆας μὲν φθῖσαν θεοί· αἱ δὲ λίποντο
Ὀρφαναὶ ἐν μεγάροισι, κόμισσε δὲ δῖ' Ἀφροδίτη

Ipsa autem retrò in Olympum abiit nobilissima dearum,
Quandò hunc somnus capiebat solvens curas animi,
Membrorum-relaxator: uxor verò experrecta est honesta sciens;
Flebatque proindè in lectis sedens mollibus.
At postquam flens satiàsset-se suo in animo,
Dianae primùm supplicavit praestantissima mulierum:
" Diana, veneranda dea, filia Jovis, utinam mihi jam
" Sagittâ pectoribus immissâ animum eximeres
" Statim nunc; vel posteà me raptam procella
" Iverit portans per aëreas vias,
" Fluentisque injiciat reflui Oceani.
" Sicut autem quandò Pandari filias sustulerunt procellae;
" Quibus parentes quidem perdiderunt dii; ipsae autem relictae sunt
" Orbae in aedibus; curavit verò diva Venus

Ver. 55. Αὐτὴ δ' ἂψ.] *Al.* Αὐτὴ δ' αὖτ'.

Ver. 61. —— αἴθε μοι ἤδη Ἰὸν ἐνὶ στήθεσσι.] Vide suprà ad ι', 409.

Ver. 63. —— ἠτοιτά μ' ἀναρπάξασα θύελλα Οἴχοιτο προφέρουσα, &c.] Similitèr *Helena*, *Iliad.* ζ', 345, 346.

Ὡς μ' ὄφελ'——————.
Οἴχεσθαι προφέρουσα καὶὴ ἀνίμοιο θύελλα
Εἰς ὄρος, ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
Ἔνθα μι κῦμ' ἀπόερσε ——.

Ver. 64. —— ἠερόεντα κέλευθα.] Τὸν ἀέρα, ἢ τὸν ἄδην. *Schol.*

Ver. 65. Ἐν προχοῇς δὲ βάλοι ἀψορρόου Ὠκεανοῖο.] Quoniam *Ulysses* inferos visurus extremum Oceani adiisse dicitur suprà λ', 13. ideò hìc per προχοῇς Ὠκεανοῖο, "locum "*ubi antiquitas inferos collocavit*" intelligit *Spondanus*. Rationibus, ut opinor, haud satìs idoneis. *Scholiastes* exponit simplicitèr, Τοῖς ῥεύμασιν.

Ibid. —— ἀψορρόου Ὠκεανοῖο.] Τοῦ πάλιν περιοστοῦντος τὴν γῆν, καὶ ἂψ πάλιν ἐπὶ τὰ αὐτὰ ἀφικνουμένου. *Schol.* Τινὲς δὲ ἀψόρροον φασὶ τὸν ταχὺ ῥέοντα, ὡς οἷον αἰψόρροον. *Eustath.*

Ver. 391. Βύβλινον] Καινόβλινον· οἱ δὲ τὸ ἐκ παπύρου. *Schol.* Dna. *Dacier* vertit, *un cable d' Ægypte;* et in annotationibus exponit; " Un cable fait de la plante appellée *biblus*, " qui croissoit dans les marais d'Egypte." Atque hujus plantæ meminit *Strabo*; Φύεται δ' ἐν ταῖς Αἰγυπτιακαῖς ἕλεσι καὶ ταῖς λίμναις ἥτε βίβλος ——, Ἡ μὲν βίβλος ψιλὰ βάζδος ἐστὶν, ἐφ' ἅμαξαν ἔχουσα χαλαμ. *Geograph. lib.* XVII. *pag.* 1151. *al.* 799. Hinc scribitur et Βίβλινον· Atque ita in commentario *Eustathius*: Βίβλινον δὲ (inquit) οὐ τὸ ἐκ βίβλου, ἤτοι παπύρου Αἰγυπτίας, ἀλλὰ βοτάνης τινὸς ἐμφυομένης παπύρῳ. Οἱ δὲ καινόβλινόν φασιν ἔστιγον δὲ, τὸ ἐκ φιλύρας. Cæterùm *Masson*, *Hist. Critique de la Republ. des Lettres*, Tom. XV. *pag.* 306. 307. Poetam funem hunc *Byblinum* à *Byblo*, oppido quodam ubi navium rudentes fiebant, appellâsse contendit. Quin et oppidi maritimi ita nominati meminit *Dionysius* in *Periegesi*:

Βύβλον τ' ἀγχίαλον ——. *ver.* 912.

Ibid. —— ᾧ ῥ'.] *Quo scilicèt* ——.

Ver. 394. — ἀναστρωφῶν,] *Al.* ἀσαστρωφῶν.

Ibid. —— στιῤῥώμενος ἔνθα καὶ ἔνθα, Μὴ κέρα ἶπες ἔδοιεν.] Ὀδυσεὺς μὲν τὸ τόξον πάντα ἀναστρωφῶν, ἴνα μὴ οὐδεὶς τῶν περὶ αὐτὸν ἑστώτων, ἐπιῤῥᾴπτῃ ἔνθα καὶ ἔνθα, μὴ κέρα ἶπες ἔδωσί τι ἄν, ὑγιοῦς μὲν ὄντος τοῦ τόξου, ἐγχειρήσῃ τῇ ἴξυγι· ἀκριωθέντος δὲ, μαχαίσασθαί τι ἔτοιμα. —— Ἴστέον δὲ ὅτι Ζηνόδοτος οἱ ἶπες κέρατα ἐφύμνια καὶ καταστόματα, παραγλύπτα, φησὶ, κώνωψι· γίνεται δὲ παρὰ τὸ ἴπτειν, ἤτοι φθείρειν. Τοὺς δὲ ὑφ' ἓν, κερατίτας, γράφουσι, διὰ τοῦ ι ἐν τοῖς κέρασιν ἴστις, περὶ διαστολὴν τοῦ ι φυσικῆς. Ἄλλοι δὲ, περαίδας, ὡς ἀπὸ τοῦ περαίζειν ἵνα δηλαδὴ τὰς τῶν τόξων φαρετράδας. *Eustath.*

Ver. 395. —— κέρα.] Κεράτινον δ' ἦν, φησὶ, ὡς φαίνεται, τὸ τόξον· οὐ μὴν, κατὰ τὰ σήμερα Σπαθικὰ, ξύλινον. *Eustath. Barnesius* autem Veteres hâc in re non rectè judicâsse contendit: " Τὰ κέρα enim," inquit, " hoc in " loco, *Duas* potiùs Arcûs *extremitates* no- " tant, quæ ex *Cornu* ferè esse solent: quæ- " que si exesæ fuerint, nullatenùs tali Ar- " cui fidendum." Attamen *Pandari* Arcum totum ex Capri cornubus factum narrat ipse Poeta, *Iliad.* δ', 105. 109. &c.

Ver. 397. Ἦ τις δηρὸν] Θαυμασταὶ, ἐφ' ᾧ τὸ ἐπίπλοπος. *Schol.* Cæterùm apud *Plutarchum*, de *Oraculorum Defectu*, citatur, Εἴ τις δηρὸν ——.

Ibid. —— ἐπίπλοπος.] Ἐπιπλωτὸν, ἐφικτὸν, πλέκτον· πλέκτον γὰρ τὸ ἐπιθυμεῖν, καὶ πλέκτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων. *Schol.* Θαυμασταὶ τῶν τόξων ὁ ξένος, καὶ πλέκτον εἰς νοῦν τὸν αὐτῶν ἐμβέμυκε. *Eustath.* Porrò MS. à *Tho. Bentleio* collatus hîc habet ἐπίπλεκτος.

Ἦ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται,
Ἦ ὅγ' ἐφορμᾶται ποιησέμεν· ὡς ἐνὶ χερσὶ
Νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης.
Ἄλλος δ' αὖτ' εἶπεσκε νέων ὑπερηνορεόντων·
Αἴ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
Ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεὺς,
Αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβάστασε, καὶ ἴδε πάντη,
Ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
Ῥηϊδίως ἐτάνυσσε νέῳ ἐπὶ κόλλοπι χορδὴν,
Ἄψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰὸς,
Ὡς ἄρ' ἄτερ σπουδῆς τάνυσε μέγα τόξον Ὀδυσσεύς·
Δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
Ἡ δ' ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.

" Aut sanè alicubi tales et ipsi domi jacent,
" Aut ille molitur facere; ita in manibus
" Versat huc et illuc malorum expertus erro."
Alius autem rursùs dicebat juvenum superborum:
" Utinam enim jam tantoperè utilitatis particeps-fiat,
" Ut iste unquam hunc poterit tendere."
Sic utique dixerunt proci: at solers Ulysses,
Statim postquàm magnum arcum ponderavit, et vidit undique,
Sicut quandò vir citharæ peritus et cantûs
Facilè extendit novo in clavo chordam,
Ubi nexuerit utrinque benè-tortum intestinum ovis;
Sic utique sine nisu tetendit magnum arcum Ulysses:
Dexterâ autem deindè manu prehensum tentavit nervum;
Hic verò subtùs clarè sonuit, hirundini similis voce.

Ver. 399. Ἦ ὅγ' ἐφορμᾶται ποιησέμεν.] Ἵνα ἢ ἐξιπλώσῃ αὐτὰ [τόξα] οἷς ἔχει, (*ver.* 398.) ἢ ἵνα ποιήσῃ ὅμοια. *Eustath. Barnesius* aliique vertunt, " *Vel* certè *hic parat* aliquid " *facere.*" Sed potior videtur *Eustathii* interpretatio: Facilius enim vocem ποιησέμεν de arcubus, (de quibus loquitur Poeta *ver.* 397. 398.) accipere; quàm voculam σι, quæ sensum tam diversum inducat, subintelligere.

Ver. 400. ——— ἔμπαιος.] Vide suprà ad ὑ, 379.

Ver. 402. —— τοσσοῦτον ὀνήσιος ἀντιάσειεν, Ὡς οὗτός ποτε τοῦτο.] *Barnesius* vertit, " Tan- " tum utilitatis obviaret mihi, *Quantum, &c.*" Cui interpretationi favere quidem videtur sequens vox οὗτος. Rectiùs autem, ut opinor, *Scholiastes*: Ὁ νεῦς, ἴδοι καὶ ἐφ' τοσοῦτον ὄνησιν, ἂν βούλεται, λάβοι.

Ver. 406. Ὡς ὅτ' ἀνὴρ.] Apud *Eustathium*, Ὡς δ' ὅτ' ἀνὴρ.

Ver. 407. ——— ἐπὶ κόλλοπι.] Apud *Eustathium*, περὶ κόλλοπι.

Ibid. ——— κόλλοπι.] Κολλάβῳ· ὑρηνται δὲ παρὰ τὴν κόλλαν. *Schol.* Κόλλοψ δὲ, ὁ περὶ τὰς ὕστερον κόλλαβος, δι' οὗ τείνονται αἱ τοιαῦται χορδαί. *Eustath.*

Ver. 408. ——— ἐϋστρεφὲς ἔντερον οἰὸς.] Τὴν χορδήν. *Schol.*

Ver. 409. ——— τάνυσε μέγα.] *Barnesius* ed[illegible] τάνυσεν. Sed nihil opus. Vide ad *Il.* ά, 51.

Ver. 410. —— πειρήσατο.] *Al.* πειρήσετο.

Ver. 411. Ἡ δ' ὑπὸ καλὸν ἄεισε.]

——— sonat unà lethifer arcus.
Æn. IX, 631.

Ibid. —— χελιδόνι εἰκέλη αὐδήν.] Ἰστέον δὲ καὶ ὅτι χελιδόνι, οὐ μὴν ἀηδόνι, πεφυκόσαν εἶπεν αὐτὴν νευρὰν, ἐπεὶ μὴ πρὸς ἡδύτητα ἡ ὁμοίωσις, ἀλλὰ μόνον πρὸς ποιότητα φωνῆς ἠχούσης ὑπότρεχυ. *Eustath.*

Μνηστῆρσιν δ' ἄρ' ἄχος γένετο μέγα, πᾶσι δ' ἄρα χρὼς
Ἐτράπετο· Ζεὺς δὲ μεγάλ' ἔκτυπε, σήματα φαίνων·
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
Ὅττι ῥά οἱ τέρας ἧκε Κρόνου παῖς ἀγκυλομήτεω.
Εἵλετο δ' ὠκὺν ὀϊστὸν, ὅς οἱ παρέπειτο τραπέζῃ
Γυμνός· τοὶ δ' ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
Κείατο, τῶν τάχ' ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι·
Τόν ῥ' ἐπὶ πήχει ἐλὼν, εἶλκεν νευρὴν γλυφίδας τε,
Αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἧκε δ' ὀϊστὸν
Ἄντα τιτυσκόμενος· πελέκεων δ' οὐκ ἤμβροτε πάντων
Πρώτης στειλειῆς, διὰ δ' ἀμπερὲς ἦλθε θύραζε
Ἰὸς χαλκοβαρής· ὁ δὲ Τηλέμαχον προσέειπεν·
Τηλέμαχ', οὔ σ' ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
Ἥμενος· οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
Δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν·

Procis autem irdè dolor factus est magnus; omnibusque color
Mutatus est: Jupiter verò valdè intonuit, signa ostendens:
Gavisus autem est deindè multa-passus nobilis Ulysses,
Quòd scilicèt sibi ostentum misisset Saturni filius versuti.
Sumpsit verò velocem sagittam, quæ ei adjacebat mensæ
Nuda; caeterae autem cavam intra pharetram
Jacebant, quas citò erant Achivi experturi:
Hanc utique ad arcûs-medium ubi-applicuerat, trahebat nervum crenasque,
Indidem ex sellâ sedens; misit autem sagittam
Ex-adverso collimans: securium verò non aberravit omnium
A primo foramine; transivit autem penitùs foràs
Sagitta aere-gravis: ipse verò Telemachum allocutus est:
" Telemache, non te hospes in aedibus dedecorat
" Sedens; neque omninò à scopo aberravi, neque arcum
" Diù laboravi tendens: adhuc mihi robur integrum est:

Ver. 412. —— πᾶσι δ' ἄρα χρὼς Ἐτράπετο.] Εἰς ὠχρίαν δηλαδή. *Eustath.*

Ver. 413. Ἐτράπετο.] Vide suprà ad ι, 491. et ad *Il.* ά, 199.

Ver. 415. —— τέρας ἧκε.] Τέρας δὶ, ἢ διὰ τὸ ὡς τέκος καὶ νῦν ἀνίφλον τοῦ ἀέρος· ἢ καὶ ὡς ἐκ τῶν ἀνωτάτω τόπων, ἔνθα καὶ τὰ τέρατα, οἷς τὸ τέρας παρωνυμίται. *Eustath.* Atqui videtur tonitru hoc ideò potiùs portentum dictum, quòd isto præcipuè tempore, simul atque *Ulysses* arcum tetendisset, acciderit.

Ibid. —— τεῦξε.] *Al.* τάξε.

Ver. 416. Εἵλετο δ' ὠκὺν ὀϊστὸν.]

—— auratâ volucrem Threïssa sagittam
Depromsit pharetrâ. —— *Æn.* XI, 858.

Ver. 418. —— Ἀχαιοὶ.] Vide suprà ad ε', 513.

Ver. 419. —— ἐπὶ πήχει ἐλὼν.] Πήχει, τῷ τοῦ τόξου πέρατι. *Schol.* Ἐστὶ δὲ τὸ μὲν, "ἐπὶ πήχει ἐλὼν," ἀντὶ τοῦ, κρατήσας καὶ θὶς τὸν ὀϊστὸν ἐπὶ τῷ πήχει τοῦ τόξου, ἤγουν τῷ πέρατι, ἔνθα ἡ τοῦ τόξου λαβή. *Eustath.*

Ibid. —— εἶλκεν νευρὴν γλυφίδας τε.]

—— nervoque obversus equino
Contendit telum; diversaque brachia ducens,
Constitit. —— *Æn.* IX, 622.

—— cornuque infensa tetendit;
Et duxit longè, donec curvata coïrent
Inter se capita. —— *Æn.* XI, 859.

Ver. 422. Πρώτης στειλειῆς.] Διὰ πρώτης γὰρ ἦλθε [Ita ex MS. edidit *Barnesius*, pro vulgato ἡ τῆς] τῶν στιλίσεων λεγομένων ἤλων. *Schol.*

Ver. 424. —— ἰλάσκετο.] *Al.* ἀτίζετο.

Ver. 425. —— οὐδέ τι τοῦ.] *Al.* οὐδ' ἐπὶ τοῦ.

Ibid. —— ἤμβροτον.] *Al.* ἤμβροτον.

Οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
Νῦν δ' ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
Ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἐψιάασθαι
Μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός.
Ἦ, καὶ ἐπ' ὀφρύσι νεῦσεν· ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχει· ἄγχι δ' ἄρ' αὐτοῦ
Πὰρ θρόνῳ εἰστήκει, κεκορυθμένος αἴθοπι χαλκῷ.

" Non uti me proci ignominiâ-afficientes vituperant.
" Nunc autem hora et coenam Achivis parandi
" In luce; at posteà et alitèr delectandi-se
" Cantu et citharâ; haec etenim *sunt* ornamenta convivii."
Dixit, et superciliis innuit: circumposuit autem sibi ensem acutum
Telemachus, dilectus filius Ulyssis divini;
Circumque manum charam jecit hastae: propè verò ipsum
Juxta sellam stetit, armatus splendido aere.

Ver. 427. Οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.] Vide suprà ad σ', 361.

Ver. 428. Νῦν δ' ὥρη καὶ δόρπον.] Παρέλκει τὸν διάκονον αὐτῶν· τὸ μὲν οὖν δεῖπνον, ἀντὶ τοῦ θοινάσον, τὸ δὲ ἐψιάασθαι, (*ver.* 429.) ἀντὶ τοῦ αἰμάζειν. *Schol.*

Ver. 430. —— τὰ γάρ τ' ἀναθήματα δαιτός.] Vide suprà ad ρ', 271.

Ver. 434. Πὰρ θρόνῳ εἰστήκει.] *Al.* Πὰρ θρόνον ἱστήκει.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ Χ'

Ὑπόθεσις τῆς ῥαψῳδίας Χ'

Τὰ περὶ τὴν μνηστηροφονίαν ἐργασάμενος Ὀδυσσεὺς παρούσης Ἀθηνᾶς, ἐν τοῖς ἔξω τὰς θεραπαίνας διὰ Τηλεμάχου καὶ τῶν οἰκείων κολάζει, ἅμα Μελανθίῳ.

Ἐπιγραφαί.

Μνηστηροφονία.

Ἄλλως.

Χῖ, Ὀδυσεὺς μνηστῆρας ἐκαίνυτο πηλεῖ χαλκῷ.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς·
Ἅλτο δ' ἐπὶ μέγαν οὐδόν, ἔχων βιὸν, ἠδὲ φαρέτρην
Ἰῶν ἐμπλείην· ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
Αὐτοῦ πρόσθε ποδῶν· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·

CASTRUM nudatus est pannis solers Ulysses;
Insilitque in magnum limen, habens arcum, et pharetram
Sagittis plenam; celeres autem effudit sagittas
Ibidem ante pedes: inter procos verò dixit:
" Hoc quidem demùm certamen difficile perfectum est;

Ver. 1. Αὐτὰρ ὁ γυμνώθη ῥακέων.] Νοητέον δ' ἐνταῦθα ὅτι ζωσάμενος Ὀδυσσεὺς ἐγυμνώθη τὰ σκέλη μόνα· —— οὐ γὰρ δή που τὸ ὅλον ἐγύμνου σῶμα, εἰς πόλιμον παραστατόμενος. *Eustath.*

Ver. 2. Ἅλτο δ' ἐπὶ μέγαν οὐδόν.] Τὸν Ὀδυσσέα ὅταν ἐπὶ τὸν οὐδὸν ἐφαλλόμενον ἔδῃς, ἐμφανῆ γιγνόμενον τοῖς μνηστῆρσι, καὶ ἐκχέοντα τοὺς ὀϊστοὺς πρὸ τῶν ποδῶν —— τότε πύστεσθαι ἔμφρων εἶ, ἢ ἔξω σαυτοῦ γίγνῃ; καὶ παρὰ τοῖς πεφάγμασιν εἶναι σοῦ ἔοικε ἡ ψυχὴ οἷς λίγυς ἐνθουσιάζουσα, ἢ ἐν Ἰδάῃ οὖσιν, ἢ ἐν Τροίᾳ, ἢ ὅπως ἦν καὶ τὰ ἔπη ἴσχῃ. *Plato in Ione.*

Ibid. Ἅλτο.] Ita apud *Homerum* semper scribitur hæc vox, notante *Barnesio*. *Al.* Ἄλτο. Vide ad *Il.* Θ', 85.

Ver. 3. —— ἐμπλείην.] *Al.* ἐμπλείην.

Ver. 5. —— ἄεθλος ἀάατος.] Ἀάατος ἢ δύναται ἡ δίχα βλάβης ἐνταῦθα εἶναι ἴσα λίγη Ὀδυσσεὺς, ὡς οὐ πολυελαΐδης, ὦ μνηστῆρες, ἰμὰ ὁ παρὼν ἄεθλος, ὡς ὑμεῖς ὀλίγιστοι, ἀλλὰ ἐντελεσμένος ἄπας, καὶ ὡς ἀστῶν, ἀβλαβής. Αἴγυπτος δ' ἂν αὐτὸν καὶ ἄλλως ἱερωσύνῃ ἀάατον, ἤγουν πολυελαΐδη, πατὰ τὸ δοκοῦν τοῖς μνηστῆρσι. *Eustath.* Priorem interpretationem hîc secuti sunt plerique. Vide autem suprà ad φ', 91.

Νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνὴρ,
Εἴσομαι, αἴ κε τύχοιμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.
Ἦ, καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
Ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε
Χρύσεον, ἄμφωτον· καὶ δὴ μετὰ χερσὶν ἑνώμα,
Ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
Μέμβλετο· τίς κ' οἴοιτο μετ' ἀνδράσι δαιτυμόνεσσι,
Μοῦνον ἐνὶ πλειόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
Οἱ τεύξειν θάνατόν τε κακὸν, καὶ κῆρα μέλαιναν;
Τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ·
Ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἦλυθ' ἀκωκή.
Ἐκλίνθη δ' ἐτέρωσε, δέπας δέ οἱ ἔπεσε χειρὸς
Βλημένου· αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
Αἵματος ἀνδρομέοιο· θοῶς δ' ἀπὸ οἷο τράπεζαν

" Nunc denuò scopum alium, quem nondum quisquam percussit vir,
" Videbo, an consequar; praebeatque mihi gloriam Apollo."
Dixit; et in Antinoum dirigebat amaram sagittam.
Sanè ille pulchrum poculum sublatum-ibat
Aureum, utrinque-ansatum; et jam manibus tractabat,
Ut biberet de-vino: caedes verò ei non in animo
Curae-erat: quis putaret inter viros convivas,
Solum inter plures, etiamsi valdè fortis esset,
Ei structurum mortem malam, et fatum nigrum?
Hunc utique Ulysses ad guttur nactus percussit sagittâ;
E-regione verò teneram per cervicem ivit cuspis.
Declinatus est autem *is* aliorsùm, poculumque ei excidit manu
Percusso: statim verò fistula per nares crassa venit
Sanguinis humani; citò autem à se mensam

Ibid. —— ἰωτιτίλεσται.] Vide ad *Il.* ά, 37.

Ver. 7. —— πόρῃ.] *Al.* πόροι.

Ver. 9. Ἤτοι ὁ καλὸν ἄλεισον, &c.] Διονύσιος ὁ Θρᾷξ ἐν ταῖς Μιλήτου φησὶ, τὴν παροιμίαν, " Πολλὰ μιτεχὺ πίλυ [*Al.* et fortas- " sè rectiùs, πίτυ] κύλικος καὶ χίλιος ἄπεφ," ἀπὸ τούτου διαδεδόσθαι προσυπείρασαν γὰρ Ἀντίνοον τὸ πῶμα, βάλλεται. *Schol.*

Ver. 12. —— τίς κ' οἴοιτο.] *Al.* τίς κ' ὀϊστο.

Ver. 13. —— εἴη.] *Al.* ἴλθοι.

Ver. 14. —— θάνατόν τε κακὸν, καὶ κῆρα μέλαιναν;] Vide suprà ad ύ, 241.

Ver. 15. Τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν.] Vide *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 10.

Ibid. —— ἰωτισχόμενος.] *Scholiastes* exponit, ἰωτιλαζόμενος. *Eustathius* autem, Τὸ δὲ ἰωτισχόμενος, (inquit), ἀντὶ τοῦ κατασκοπασάμενος· τοῦτο δὲ διὰ τὸ ἰσχίειν τὴν χεῖρα καὶ ἐστῆναι τὸν κατὰ σκοπὸν βάλλοντα. *Eustath. Al.* ἰωτισχόμενον.

Ibid. —— βάλεν ἰῷ.] Μιᾷ δὲ καὶ ἐνταῦθα βολῇ θανατοῖ ὁ Ποιητὴς τοὺς βαλλομένους, διὰ τὸ ἀνδροφόνῳ φαρμάκῳ τοὺς οἰστοὺς βεβάφθαι, καθὰ καὶ ἐν τῇ ἄλφα μαψωδίᾳ (*ver.* 261.) προείρηται. *Eustath.* Sed et locis maximè lethalibus tela infixa memorat Poeta. Vide infrà *ver.* 82.

Ver. 16. Ἀντικρὺ δ' ἀπαλοῖο.] Apud *Dionysium Halicarnassensem*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 10. omittitur hic versus.

Ver. 17. —— Ἤτοι δὲ οἱ ἔπεσε χειρὸς Βλημένου.] Ita vulgati; itáque in Exemplaribus accuratioribus legi testatur *Eustathius*. Ac hujusmodi quidem constructio Poetæ non inusitata: Vide suprà ad ζ, 155. et ί, 256. In nonnullis autem Exemplaribus legitur, notante ibidem *Eustathio*, Βλημένῳ.

Ver. 18. —— αὐτίκα δ' αὐλὸς.] Αὐλὸς μὲν, τὸ ὄργανον ᾧ διήκεται τὸ πνεῦμα· καὶ σᾶν τὸ διατεταμένον εἰς ὑδύνητα σχῆμα, αὐλὸν καλεῖμεν ὅστις τὸ στάδιον καὶ τὸν κρουνὸν τοῦ αἵματος· " Αὐλὸν δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς " ἦλθε." *Athenæus, lib.* V. *cap.* 3.

Ver. 19. —— οἷο.] *Al.* οἷο.

Ὥσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε.
Σῖτός τε, κρέα τ' ὀπτὰ, φορύνετο· τοὶ δ' ὁμάδησαν
Μνηστῆρες κατὰ δῶμα, ὅπως ἴδον ἄνδρα πεσόντα.
Ἐκ δὲ θρόνων ἀνόρουσαν, ὀρινθέντες κατὰ δῶμα,
Πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους·
Οὐδέ τη ἀσπὶς ἔην, οὐδ' ἄλκιμον ἔγχος, ἑλέσθαι.
Νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκ ἔτ' ἀέθλων
Ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες, ὃς μέγ' ἄριστος
Κούρων εἰν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται.
Ἶσκεν ἕκαστος ἀνὴρ, ἐπεὶ φάσαν οὐκ ἐθέλοντα
Ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,

Pepulit pede percussam ; effudit verò cibos humi.
Panisque, carnesque assatae foedabantur : ipsi autem tumultuati sunt
Proci in domo, ut viderunt virum lapsum.
Ex sedibus verò surrexerunt, turbati per domum,
Undique circumspectantes benè-structos ad parietes :
Nullibi verò scutum erat, neque valida hasta, ad-capiendum.
Objurgabant autem Ulyssem iratis verbis :
" Hospes, malè in viros sagittas-mittis : non ampliùs certaminibus
" Aliis intereris : nunc tibi certum *adest* grave exitium.
" Etenim jam nunc virum interfecisti, qui longè optimus
" Juvenum in Ithacâ : ideò te hic vultures edent."
Dicebat unusquisque vir, quia putabant non volentem
Virum interfecisse : hoc autem stulti non adverterunt,

Ibid. 20. —— ποδὶ.] *Al.* ποσί.

Ver. 21. —— φορύνετο.] Τουτέστιν ἐμολύνετο ἢ αἵματι, ἢ καὶ ἄλλως, κυλίμενα ἐπὶ γῆν. *Eustath.*

Ver. 22. —— κατὰ δῶμα.] *Al.* κατὰ δῶμαθ'.

Ver. 24. —— ἐϋδμήτους ποτὶ τοίχους.] Ita pro vulgato ἐϋτμήτους restituit *Barnesius* : Quocum facit et MS. à *Tho. Bentleio* collatus. Rectè, ut opinor. Occurrit enim, uti et ipse annotat *Barnesius*, phrasis τοῖχος ἰϋδμητος suprà υ, 302. et infrà *ver.* 126. *hujus libri* ; item τεῖχος ἰϋδμητον, *Iliad.* μ', 137. at τοῖχος ἰϋτμητος nusquam alibi apud *Homerum* reperitur.

Ibid. —— ποτὶ.] *Al.* πρὸς.

Ver. 25. Οὐδέ τη ἀσπὶς ἔην.] Arma scilicèt omnia amoverant *Ulysses* et *Telemachus* ; ut suprà σ', 31. memoratum est.

Ibid. Οὐδέ τη.] *Al.* Οὐδέ πω.

Ibid. —— ἄλκιμον ἔγχος.] Sic apud *Virgilium* :

—— validam —— hastam. *Æn.* X, 401.

Ver. 27. Ξεῖνε, κακῶς —· οὐκ ἔτ' ἀέθλων —· νῦν τοι.] Ὅρα δ' ἐν τῷ " Ξεῖνε κακῶς ἀνδρῶν " τοξάζεαι," καὶ ἐξῆς, τὸ τῶν ἐπιόντων κομπαστικὸν διὰ θυμόν· τρεῖς γὰρ ἐν δυσὶ στίχοις ἐπιπλῆττει αἰνετικῶς. *Eustath.*

Ibid. —— οὐκ ἔτ' ἀέθλων Ἄλλων ἀντιάσεις.] *Eustathius* hoc ita videtur accepisse, ut vertendum sit, " *Nulla* ampliùs præmia conse- " *quêris.*" Ὡς οἷα λιγόντων τῶν μνηστήρων, ὅτι διοιστεύσεις μὲν ἐθέλεις, ἴσχεις δὲ ἄεθλα τὰ ἐπὶ τῆς Πηνελόπης τεθέντα· ἐπὶ δὲ τῇ βολῇ ταύτῃ τοῦ Ἀντινόου, οὐκ ἔσται σοι ἄεθλον ἐσχύν. Sed verior vulgata interpretatio ; " *Nullis* am- " *plius certaminibus* intereris."

Ver. 28. — ἀντιάσεις.] Vide ad *Il.* ά, 67.

Ver. 30. —— σ' ἐνθάδε γῦπες ἔδονται.]

Alitibus linquêre feris. — *Æn.* X, 599.

Ver. 31. Ἶσκεν ἕκαστος ἀνὴρ.] Ἐοικὸς δὲ ἐν νεθείσεται ὑπὸ τῶν Παλαιῶν τὸ χωρὶν εἶναι ἄπρακτον γάρ, φασὶ, καὶ γηλοῦν πάντας ὁμοῦ ταῦτα λίγιστα, ὡς ἐκ συνθήματος, οἷά τινα Τραγικὸν χορόν. Ἔθος γάρ φασιν Ὁμήρῳ ἐν τοιούτοις οὐχ οὕτω ποιεῖν, ἀλλὰ λίγιστα, " Ὦλε " δέ τις εἶπεσκεν." Ἔστι δ' ἰσχνὸν, ὡς ἰσχνῶς εἶπεν Ὅμηρος νῦν ἄλλος τὸ ταυτὸν νόημα, οἷ οἷα συγκεχυμένως ἐφ' ἑκάστου τῶν μνηστήρων λεγόμενον· οὐ γὰρ εἶχεν ἐν τοσούτῳ παρέχῃ κατὰ ἰδίαν ἠθοποιΐαν. *Eustath.* Cæterùm de voce Ἶσκεν, vide suprà ad σ', 203.

Ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο.
Τούς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον οἶκαδ' ἱκέσθαι
Δήμου ἀπὸ Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
Δμωῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,
Αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
Οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
Οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔθεσθε.
Νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπται.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν·
Πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Εὐρύμαχος δέ μιν οἷος ἀμειβόμενος προσέειπεν·
Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
Ταῦτα μὲν αἴσιμα εἶπες, ὅσα ῥέζεσκον Ἀχαιοί,
Πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
Ἀλλ' ὁ μὲν ἤδη κεῖται, ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,

Quòd jam ipsis etiam omnibus mortis fines impenderent.
Eos autem torvè intuitus allocutus est solers Ulysses:
" O canes, non me ampliùs existimabatis reducem domum venturum,
" Populo à Trojanorum; quòd mihi consumebatis domum,
" Cum famulis verò mulieribus concumbebatis violentèr,
" Ipsiusque *mei* viventis ambiebatis uxorem,
" Neque deos veriti, qui coelum latum habitant,
" Neque ullam hominum indignationem in-posterum supposuistis.
" Nunc vobis etiam omnibus mortis fines impendent."
Sic dixit: illos verò omnes pallidus timor cepit:
Circumspectavit autem unusquisque, quà effugeret grave exitium.
Eurymachus verò ipsum solus respondens allocutus est:
" Si quidem jam Ulysses Ithacensis venisti,
" Haec quidem justè dixisti, quot faciebant Achivi,
" Multa quidem in aedibus injusta, multa autem in agro.
" Sed hic quidem jamjam jacet, qui causa erat omnium,
" Antinous: hic enim instituit haec opera,

Ver. 36. Δήμου ἀπὸ Τρώων.] Ἰστέον δὲ ὅτι τὸ " Δήμου ἀπὸ Τρώων" δι' ἐκφύσεως τῶν μνηστήρων παρίμπτεται, ἵνα ἀναμνήσει τῆς αὐτοῦ ἀνδρίας. *Eustath.* Eodem modo accipit et Dna. *Dacier.* Quod tamen longiùs videtur petitum.

Ver. 37. —— παρευνάζεσθε.] Vide ad *Il.* ί, 336. Porrò in nonnullis Codicibus versus hic et sequens transponuntur.

Ver. 38. —— ὑπεμνάασθε.] Ἐκφθίσεις, λελήθοτας ἐμνηστεύσεθε. *Schol.*

Ver. 40. —— ἔθεσθε.] *Scholiastes* legit ἔστεθε· ἴν' ᾖ, " δείσαντες ἔστεθε." Atque ita habet MS. à *Tho. Bentleio* collatus. At verisimilior vulgata lectio, quòd eandem ferè phrasin usurpat Poeta, *Iliad.* ν', 121.

—— ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
Αἰδῶ καὶ νέμεσιν. ——

Ver. 43. Πάπτηνεν δὲ.] Deest hic versus in MS. à *Tho. Bentleio* collato.

Ver. 47. Πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.] Haud dissimilitèr *Horatius*:

Iliacos intra muros peccatur, et extra.
Epist. lib. I. ii. 16.

Ver. 49. —— ἐπίηλεν.] Συνίστησιν. *Schol.* Cæterùm de antepenultimâ hujus vocis productâ, vide ad *Il.* ί, 24. et π', 702.

Οὔτι γάμου τόσσον κεχρημένος, οὔτε χατίζων,
Ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων·
Ὄφρ' Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύῃ
Αὐτός, ἀτὰρ σὸν παῖδα καταπτείνειε λοχήσας.
Νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφαται· σὺ δὲ φείδεο λαῶν
Σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
Ὅσσα τοι ἐκπέπτωται καὶ ἐδήδοται ἐν μεγάροισιν,
Τιμὴν ἀμφὶς ἄγοντες ἑεικοσάβοιον ἕκαστος,
Χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰσόκε σὸν κῆρ
Ἰανθῇ· πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', οὐδ' εἴ μοι πατρωΐα πάντ' ἀποδοῖτε,
Ὅσσα τε νῦν ὔμμ' ἐστί, καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε,
Οὐδέ κεν ὣς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο,
Πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.

" Nequaquam nuptiarum tantoperè indigens, neque cupiens,
" Sed alia cogitans, quae ei non perfecit Saturnius;
" Ut Ithacae in populo benè-cultae regnaret
" Ipse, at tuum filium interficeret insidiatus.
" Nunc autem ille quidem fato *suo* interfectus est: tu verò parce populis
" Tuis: at nos postea, ubi-placaverimus *te* per populum,
" Quaecunque tibi epota et comesta sunt in aedibus,
" Pretium separatim ducentes viginti-boum unusquisque,
" Aesque aurumque pendemus; donec tuum cor
" Exhilaratum-sit: priùs autem nequaquam indignum te irasci."
Hunc autem torvè intuitus allocutus est solers Ulysses:
" Eurymache, neque si mihi paterna omnia penderetis,
" Quaecunque scilicèt nunc vobis sunt, et sicundè alia adderetis,
" Neque sic adhuc manus meas abstinerem à caede,
" Antequam omnem proci injuriam luissent.

Ver. 50. Οὔτι γάμου.] *Al.* Οὔτι γάμων.

Ver. 52. —— βασιλεύῃ.] *Al.* βασιλεύοι.

Ver. 54. —— ὁ μὲν ἐν μοίρῃ πέφαται.] *Scholiastes* istud ἐν μοίρῃ exponit, Δικαίως, δικάσαντος· eodemque modo interpretatur *Eustathius*. Quam expositionem secuti *Henricus Stephanus* et *Barnesius*, in versione reddunt, " *Meritò interfectus est.*" Nescio tamen annon phrasis " ἐν μοίρῃ πέφαται" idem potiùs sonet quod " θάνατος καὶ μοῖρα κιχάνει," *Iliad.* ε', 478. 672. χ', 436. et similia.

Ver. 55. Σῶν· ἀτὰρ ἄμμες ἔπισθεν.] *Al.* Τῶν σῶν· ἄμμι δ' ἔπισθεν.

Ver. 56. —— ἰδήδοται.] *Al.* ἰδήδασι, et ἰδήδεται.

Ver. 57. —— ἀμφὶς ἄγοντες.] Χωρὶς ἕκαστοι δίδοντες. *Schol.*

Ver. 58. Χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰσόκε σὸν κῆρ Ἰανθῇ.] Ἔχει τὸ χωρὶν ἀμφιβολίαν ἐκτεθειντάι.——Ἄδηλον γὰρ καὶ ἐνταῦθα εἴτε ἰδίᾳ ἕκαστος ἀνὰ εἰκοσάβοιον χαλκοῦ ἀποδώσει, καὶ αὖθις ἀνὰ εἰκοσάβοιον χρυσοῦ εἴτε καὶ ἄλλως, ἰδίᾳ μὲν ἕκαστος ἀφορμίσας τὸ εἰκοσάβοιον, δι' οὗ ἦν βίας εἶναι πεύσασθαι, ἰδίᾳ δὲ χαλκὸν καὶ χρυσὸν ἀορίστους. *Eustath.*

Ver. 61. 62. —— ἀποδοῖτε, —— ἐπιθεῖτε.] Τὸ δὲ ἀποδοῖτε, καὶ τὸ ἐπιθεῖτε, συγγενεῖ ἐστι τοῦ δοίητε, καὶ θείητε· ὅτι τρίτα, τὸ ἀποδῶτε καὶ ἐπιθῆτε. *Eustath.* Vide suprà ad φ', 195.

Ver. 63. —— χεῖρας ἐμὰς λήξαιμι.] Vide ad *Il.* ν', 424.

Ver. 64. —— ἀποτῖσαι.] Similitérque infrà *ver.* 218. τίσειε. Vide ad *Il.* ί, 508. et χ', 19. 20. In nonnullis, notante *Barnesio*, malè hìc scriptum est ἀποτίσασι.

Νῦν ὑμῖν παράκειται, ἐναντίον ἠὲ μάχεσθαι,
Ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ·
Ἀλλά τιν' οὐ φεύξεσθαι οἴομαι αἰπὺν ὄλεθρον.
Ὣς φάτο· τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
Τοῖσιν δ' Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις·
Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
Ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐύξοον, ἠδὲ φαρέτρην,
Οὐδοῦ ἀπὸ ξεστοῦ τοξάσσεται, εἰσόκε πάντας
Ἄμμε κατακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης·
Φάσγανά τε σπάσασθε, καὶ ἀντίσχεσθε τραπέζας
Ἰῶν ὠκυμόρων· ἐπὶ δ' αὐτῷ πάντες ἴχωμεν
Ἀθρόοι· εἴ κέ μιν οὐδοῦ ἀπώσομεν, ἠδὲ θυράων,
Ἐλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο·
Τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.
Ὣς ἄρα φωνήσας, εἰρύσσατο φάσγανον ὀξύ,

" Nunc vobis optio adest, contrà vel pugnare,
" Vel fugere, qui mortem et fatum evitaverit:
" Sed haud ullum effugiturum puto grave exitium."
Sic dixit: eorum verò ibidem soluta sunt genua et charum cor.
Ipsos autem Eurymachus alloquebatur secundò rursùs:
" O amici, non enim abstinebit vir hic manus indomitas;
" Sed postquam cepit arcum benè-politum, et pharetram,
" Limine à polito sagittabit, donec omnes
" Nos interfecerit: quin recordemur pugnae;
" Ensesque stringite, et obtendite mensas
" Sagittis letiferis: in ipsum verò omnes ingruamus
" Conferti; si eum à limine depellamus, et foribus,
" Eamusque per urbem, clamorque citissimè fiat;
" Eò citò hic vir nunc ultimò sagittaverit."
Sic utique locutus, strinxit ensem acutum,

Ver. 65. —— παράκειται.] Πέφυκεται ἢ εἴωθεν. *Schol. Al.* πάρα κεῖται.

Ver. 70. Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε.] Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα ὁ Ποιητὴς ἐκ τοῦ "γὰρ" συνδέσμου ἀρξάμενος, ἐν τῷ, "οὐ γὰρ σχήσει" ἀνὴρ ὅδε χεῖρας," ἀποδίδωσι τὴν ὑπόνοιαν μετὰ τρεῖς στίχους, οἷον συνάδει, [*ver.* 73.] "ἀλλ' "λὲ μνησώμεθα χάρμης." Πολλαχοῦ γὰρ ὁ Ἄλλα σύνδεσμος ἀποδοτικὸς κεῖται· ὅτι καὶ ἀντὶ τοῦ. Δὴ, λαμβάνεται. *Eustath.* Rectiùs autem fortassè hic referetur vocula γὰρ ad id quod reticetur: " *Consilium aliquod nostrùm* " *ipsorum defendendorum nobis excogitandum* " *est; non* ENIM, *&c.*" Vide ad *Il.* ί, 22.

Ver. 72. Οὐδοῦ ἀπὸ ξεστοῦ.] *Al.* Οὐδοῦ ἀπὸ ξεστοῦ.

Ibid. et *ver.* 78. —— τοξάσσεται, —— τοξάσσαιτο.] Ita rectè edidit *Barnesius*; atque ita habet MS. à *Tho. Bentleio* collatus. *Vulgg.* malè, τοξάσσεται —— τοξάσσατο. Fiunt enim (uti notavit *Barnesius*) ex τοξάζω, cujusmodi verba istud ά in Futuris et Aoristis Primis semper corripiunt. Item infrà *ver.* 79. ubi in Vulgatis scriptum erat εἰρύσσατο φάσγανον ὀξὺ, rectè restituit *Barnesius* (quocum et ibi facit MS. à *Tho. Bentleio* collatus), εἰρύσσατο· atque ita in Vulgatis scribitur *Iliad.* χ', 306. ubi occurrit idem versus. Vide ad *Il.* ά, 140. et π', 781.

Ver. 75. Ἄμμι κατακτείνῃ.] Vide ad *Il.* ά, 59. Quod autem hîc ait *Barnesius*; Ἄμμι, ἡμᾶς· Δυϊκὸν, ἀντὶ Πληθυντικοῦ id (ut opinor) non rectè se habet. Vide ad *Il.* ά, 566.

Ver. 74. Φάσγανά τε σπάσασθε.] Ἐξηφορίσων γὰρ οἱ Παλαιοί. *Schol.*

Ibid. —— καὶ ἀντίσχεσθε τραπέζας.] Τὸ δὲ "ἀντίσχεσθε τραπέζας Ἰῶν," ἀντὶ τοῦ προβάλλεσθε ἅντα ἢ ἄντην· καὶ ἐξαναγίας τῶν βιλῶν ἔχετε, δίκην ἀσπίδων. *Eustath.*

Χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· ἆλτο δ' ἐπ' αὐτῷ
Σμερδαλέα ἰάχων· ὁ δ' ὁμαρτῇ δῖος Ὀδυσσεὺς
Ἰὸν ἀποπροϊεὶς βάλλε στῆθος παρὰ μαζὸν,
Ἐν δέ οἱ ἧπατι πῆξε θοὸν βέλος· ἐκ δ' ἄρα χειρὸς
Φάσγανον ἧκε χαμᾶζε, περιῤῥηδὴς δὲ τραπέζῃ
Κάππεσε δινηθείς· ἀπὸ δ' εἴδατα χεῦεν ἐραζε,
Καὶ δέπας ἀμφικύπελλον· ὁ δὲ χθόνα τύπτε μετώπῳ,
Θυμῷ ἀνιάζων· ποσὶ δὲ θρόνον ἀμφοτέροισι
Λακτίζων ἐτίναξε· κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.
Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
Ἀντίος αἴξας· εἶρυτο δὲ φάσγανον ὀξὺ,
Εἴπως οἱ εἴξειε θυράων· ἀλλ' ἄρα μιν φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρὶ,
Ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε·
Δούπησεν δὲ πεσὼν, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
Τηλέμαχος δ' ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος

Aereum, ancipitem: insiliitque in ipsum
Terribilitèr vociferans; eodem-tempore autem nobilis Ulysses
Sagittâ emissâ percussit pectus ad mammam,
Infixitque ei hepati velox telum: ex manu verò
Ensem demisit *is* humi; vertiginosus autem circa mensam
Decidit contortus; effudit verò cibos humi,
Et poculum rotundum: ipse autem terram verberabat fronte,
Animo dolens; pedibusque thronum ambobus
Calcitrans concussit: ob oculos verò fusa est caligo.
Amphinomus autem in Ulyssem irruit gloriosum,
Ex-adverso impetu-facto; strinxitque ensem acutum,
Siquo-modo *is* sibi cederet foribus: sed sanè ipsum praevertit
Telemachus à tergo percutiens aeratâ hastâ,
Humeros inter; perque pectora adegit:
Fragorem verò edidit *is* lapsus, terramque feriit totâ fronte.
Telemachus autem abripuit-se, relictâ longâ hastâ

Ver. 81. Σμερδαλέα ἰάχων.] Vide ad *Il.* δ', 456.

Ibid. —— ὁμαρτῇ.] *Al.* ἀμαρτῇ et ὁμάρτει.

Ver. 82. —— βάλλε στῆθος.] *Al.* βάλε δὲ στῆθος.

Ver. 85. Κάππεσε δινηθείς.] *Al.* Κάππεσεν ἰδνωθείς.

Ver. 86. —— ὁ δὲ χθόνα τύπτε μετώπῳ.] Similitèr infrà *ver.* 94. χθόνα δ' ἤλασε παντὶ μετώπῳ·

—— at ille
Fronte ferit terram ——.
Æn. X, 348.

Ver. 87. —— ἀνιάζων.] Vide ad *Il.* ν', 103. et ο', 24.

Ver. 88. —— κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.] —— in æternam clauduntur lumina noctem. *Æn.* XII, 310.

Ver. 89. —— Ὀδυσῆος ἰφθιμοιο.] Ὡς ἐπὶ Ὀδυσέα ἄρημον. *Schol.*

Ver. 90. —— εἶρυτο.] Nonnulli, notante *Barnesio*, scribendum volunt εἴρυτο· ut sit contractum ex ἰείρυτο· eâdem ratione ac λῦτο ex λύετο. Vide ad *Il.* ν', 555. et ω, 1.

Ver. 91. —— ἀλλ' ἄρα μιν φθῆ Τηλέμαχος κατόπισθε βαλών.] Ἔνθα καὶ ἔρα τὸν Ὀμηρικὸν διξόντα. Πρωτόστομος γὰρ ὢν σκλήσειν ὁ παῖς, οὔτι θαῤῥεῖ μάχην ἀντιμέτωπον, ἀλλ' ἐπιδεξιωτικῶς βάλλει κατόπισθε· καὶ βαλὼν δὴ, "ἀπὸ στόματος λιτῶν δολιχόσκιον ἔγχος Αὐτοῦ ἐν "Ἀμφινόμῳ." (infrà *ver.* 95.) *Eustath.*

Ver. 94. Δούπησεν δὲ.] Vide ad *Il.* δ', 455. et 504.

Αὐτοῦ ἐν Ἀμφινόμῳ· περὶ γὰρ δίε, μή τις Ἀχαιῶν
Ἔγχος ἀνελκόμενον δολιχόσκιον, ἢ ἐλάσειε,
Φασγάνῳ αἰζας, ἠὲ προπρηνέϊ τύψας.
Βῆ δὲ θέων· μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν·
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ὦ πάτερ, ἦδη τοι σάκος οἷσω καὶ δύο δοῦρε,
Καὶ κυνέην εὔχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
Αὐτός τ' ἀμφιβαλεῦμαι ἰών· δώσω δὲ συβώτῃ
Καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Οἷσε θέων, εἷως μοι ἀμύνεσθαι πάρ' οἴστοὶ,
Μή μ' ἀποκινήσωσι θυράων μοῦνον ἐόντα.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπιπείθετο πατρί.
Βῆ δ' ἴμεναι θάλαμόνδ', ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο·
Ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτὼ,
Καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
Βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν.

Illic in Amphinomo, pertimescebat enim, nè quis Achivorum
Hastam retrahentem longam, vel feriret,
Ense insurgens, vel prono percutiens.
Ivit autem currens, valdéque citò dilectum ad patrem pervenit:
Propè verò stans verbis alatis allocutus est:
" O pater, jam tibi scutum afferam et duas hastas,
" Et galeam benè-aeratam, temporibus aptam,
" Ipseque me-induam profectus: dabo porrò subulco
" Et bubulco alia: armari enim melius."
Hunc autem respondens allocutus est solers Ulysses:
" Affer currens, dum mihi ad-propugnandum adsunt sagittae,
" Nè me amoveant foribus, solus cùm-sim."
Sic dixit: Telemachus autem dilecto obedivit patri.
Perrexit verò ire ad-thalamum, ubi ei inclyta arma jacebant:
Indè quatuor quidem scuta desumpsit, hastasque octo,
Et quatuor galeas aeratas setis-equinis-densas:
Ivitque ferens; valdè autem citò charum ad patrem pervenit.

Ver. 97. —— ἐλάσειε.] Πλατεῖ τῷ ξίφει πλῆξειν. *Schol.* Vide ad *ver.* 98.

Ver. 98. —— ἠὲ προπρηνέϊ τύψας.] Καιρὸν στόμα τῷ ξίφει ἰρεῖς εἰς τοὐμπροσθεν μὴ ἀνατείνας, ἀλλὰ νύξας ὑπτίως· οἱ μὲν γὰρ νύττοντες, πλατὺ ἴχνευσι τὸ ξίφος· οἱ δὲ πλήττοντες, πλάγιον. *Schol.* Atqui hoc, ut opinor, potiùs dicere vult Poeta; nempè metuisse *Telemachum*, nequis ipsum, (dum se ad hastam evellendam inclinaret,) aut ense elevato palàm feriret, aut prono clàm configeret.

Ibid. —— προπρηνέϊ.] *Al.* προπρηνέα.

Ibid. —— τύψας.] MS. à *Tho. Bentleio* collatus τύψῃ.

Ver. 99. —— Βῆ δὲ θέων.] *Al.* Βῆ δὲ θέειν.

Ver. 102. —— εὔχαλκον.] *Al.* ἴφχαλκον. *Al.* πάγχαλκον.

Ver. 103. Αὐτός τ' ἀμφιβαλεῦμαι.] " *Ipse-* " *que me armis induam.*" Propria nimirùm haec *Vocis Mediae* significatio. Vide suprà ad *ι*, 296. et ad *Il. γ*, 141.

Ver. 106. Οἷσε.] Vide suprà ad *ι*, 154.

Ibid. —— ἀμύνεσθαι.] *Al.* ἀμύνασθαι· ut infrà *ver.* 116. notante *Barnesio*.

Ver. 109. Βῆ δ' ἴμεναι θάλαμόνδ', ὅθι.] Ita ex utràque *Eustathii* editione restituit *Barnesius*; cumque eo facit et MS. à *Tho. Bentleio* collatus. Ita infrà *ver.* 161. Βῆ δ' αὖτις θάλαμόνδε Μελάνθιος. Vulgati hìc habent θάλαμον, ὅθι.

Ver. 110. — πάρ' ἴξελε.] *Al.* πάρ' εἵλετο.

Αὐτὸς δὲ πρώτιστα περὶ χροῒ δύσατο χαλκόν·
Ὣς δ' αὖτως τὼ δμῶε δυείσθην τεύχεα καλὰ,
Ἕσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
Αὐτὰρ ὅγ', ὄφρα μὲν αὐτῷ ἀμύνασθαι ἔσαν ἰοί,
Τόφρα μνηστήρων ἕνα γ' αἰεὶ ὧν ἐνὶ οἴκῳ
Βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
Αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
Τόξον μὲν πρὸς σταθμὸν ἰὼν σταθέος μεγάροιο
Ἔκλινʼ ἑστάμεναι, πρὸς ἐνώτια παμφαιόωντα·
Αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραβέλυμνον·
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐΰτυκτον ἔθηκεν
Ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
Εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.
Ὀρσοθύρη δέ τις ἦεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ·

Ipse verò primùm circum corpus sibi-induit aes:
Sic autem paritèr famuli sibi-induerunt arma pulchra;
Steteruntque circum Ulyssem prudentem, versutum.
At ille, quamdiù quidem ipsi ad-propugnandum aderant sagittæ,
Tamdiù procorum unum utique semper suâ in domo
Percutiebat collimans: illi verò conferti cadebant.
At postquam defecerunt sagittæ jaculantem regem,
Arcum quidem ad postem benè-fundatæ domûs
Inclinavit ut-staret, ad parietes collucentes:
Ipse verò circum humeros scutum posuit quadruplex;
Capitique forti galeam fabrefactam imposuit
Setis-equinis-comantem; terribilitèr autem crista desuper nutabat:
Sumpsit porrò validas hastas duas munitas aere.
Posticum verò quoddam erat benè-structo in pariete;

Ver. 113. —— *δύσατο.*] *Al. δύσετο.* Vide ad *Il. β'*, 35, et *ι*, 109.

Ver. 116. —— *ἀμύνασθαι.*] Apud *Eustathium* in commentario, *ἀμύνεσθαι.* Ut suprà ver. 106.

Ver. 118. —— *ἀγχιστῖνοι.*] *Al. ἀγχιστῆνοι*, et *ἀγχιστῖνοι.*

Ver. 121. *Ἔκλιν' ἑστάμεναι.*] Ita edidit *Barnesius*; atque ita legit MS. à *Tho. Bentleio* collat. Rectè. Quod enim hoc in loco habent Vulgati, *Ἔκλινεν ἑστάμεναι*, ferri non potest. Quippe *κλίνω* (uti et annotavit *Barnesius*,) in *Præsenti, Imperfecto, et Aoristo Primo, ῑ* semper producit. Vide ad *Il. ά*, 309. 314. et 338. item ad *ξ'*, 510. *Al. Ἔκλινεν στάμεναι.*

Ibid. —— *πρὸς ἰνάσιμα.*] *Ἐνάσιμα λέγει τοὺς ἰκριώσθεν τῆς οἰκίας τοίχους. Eustath.*

Ver. 124. *Ἵππουριν, δεινὸν δὲ λόφος.*]

Ære caput fulgens, cristâque hirsutus equinâ. *Æn.* X, 869.

Ver. 125. *Εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.*] Similitèr apud *Virgilium*:

Bina manu lato crispans hastilia ferro. *Æn.* I, 313. XII, 165.

—— manusque ambas jaculis oneravit acutis. X, 868.

Ver. 126. *Ὀρσοθύρη δέ τις ἦεν.*] *Al. Ὀρσοείνη*, et *Ὀρθοθύρη.* Cæterùm hinc *Scholiastes* ad *Euripidis Medeam*, ver. 134. vocem *ἀμφίστολον* ita exponit; *τὸ ἔχον δύο τύλας καὶ ἱστόδους, μίαν μὲν τὴν αἰθουσικὴν, ἑτέραν δὲ, ὃν Ὅμηρος λέγει Ὀρσοθύρην.* Porrò de hoc loco ita *Eustathius*: *Ὀρσοθύρη ἰσταῖδα σημεῖα τῷ Ποιητῇ, θύρα τις ἰκριώμασι, ὑψηλοτέροις σχίζασα ἴχνους, εἰς ἣν οὐχ οἷόν τε ἦν ἀπλῶς τινα μὴ διὰ πλήμμυρα ἴσως ἢ ἄλλου τινὸς ἀπροόπτου καὶ ἀναβαίνειν εἰς αὐτὴν· θύρα καὶ Ὀρσοθύρη ἰκαλεῖτο, ἄγαν θύρα εἰς ὑψηλά τινα, θύραν ἰδίᾳ ἐκείθεν.* —— *Τοὺς δὲ τὴν Ὀρσοθύρην ἐκτομίδα θύραν ἀκούσαντας, ἢ ὡς εἰς ὑστεραίαν ἀναβαίνουσι, ἐρεύσαντες ἴσως αὐτῶς. Εἰ δὲ ὧν αὐτὴ ἦτανε ἡ κατεμμάσσουσα πλημμύρα ὕδατος, καὶ διʼ αὐτὴν λεγομένη κοινῶς κατερράκτης. Τίνες μέντοι τὴν Ὁμηρικὴν ταύτην στοχάζονται εἶναι γυναῖκα διʼ ὧν οἶκοι τῷ Ὀδυσσεῖ ἱσταμένην ἐπὶ τῶν*

Ἀκρότατον δὲ παρ' οὐδὸν ἐϋσταθέος μεγάροιο
Ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι·
Τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβὸν
Ἑστάοτ' ἄγχ' αὐτῆς· μία δ' οἴη γίνετ' ἐφορμή.
Τοῖς δ' Ἀγέλαος ἔειπεν, ἔπος πάντεσσι πιφαύσκων·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὁρσοθύρην ἀναβαίη,
Καὶ εἴποι λαοῖσι; βοὴ δ' ὤκιστα γίνοιτο;
Τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσαιτο.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Οὔπως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
Αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
Καί χ' εἷς πάντας ἐρύκοι ἀνὴρ, ὅστ' ἄλκιμος εἴη.
Ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι

Extremum autem ad limen benè-fundatae domûs
Erat via in angiportum, tabulae verò *illam* continebant benè-aptatae:
Hanc autem Ulysses custodire jussit nobilem subulcum,
Stantem prope ipsam: unus verò solus erat aditus.
Illis autem Agelaus dixit, verbum omnibus promulgans:
" O amici, nonne jam aliquis ad posticum ascendat,
" Et dicat populis? clamorque citissimè fiat?
" Eò citò hic vir nunc ultimò sagittaverit."
Hunc autem rursùs allocutus est Melanthius, custos caprarum:
" Nullo modo licet, Agelaë Jovis-alumne: propè enim valdè
" Aulae pulchrae fores, et angustum os angiporti;
" Et unus omnes arceret vir, qui scilicèt strenuus esset.
" Sed agite, vobis arma afferam, ad-armandum,

φλιᾶς καὶ τελεύτητι, οὖσαν ἐν τοι διαχώρῳ τοῦ τοίχου στιγνοτάτῳ. Ἔφιφι δὲ ἡ τοιαύτη Ὀρσοθύρη τὸν ἀνελθόντα εἰς αὐτὴν ἐκ τῆς μετὰ τὸν πρόθυρον θύρας τῆς αὐλῆς, ἃς τὰς πύλας ὑπερβαίνειν Φιλοίτιος ἐκέλευσε, [suprà φ', 391.] καὶ ἐκ λαύρων, τουτέστι δημοσίων στενωπῶν. Ubi et de hâc re plura. *Scholiastes* portam hanc in thalamum, ubi arma reposita erant, ducere existimat. Ἐν τῷ τῶν εἴλην ἐναντίῳ τοίχῳ (inquit) θύρα ἦν, δι' ἧς εἰς τὸν θάλαμον ἀνέβαινε, ἔνθα τὰ ὅπλα ἔκειτο· οὗτοι δὲ οὕτως, ἐπεὶ ὑψηλοτέρα ἦν, ἐφ' ᾗ ἦν ἐρεῖσαι καὶ ἀναβαῖνειν. Verùm si in thalamum duxisset porta haec, quam *Ulysses* jussu custodiebat Subulcus, (*ver.* 129.) adeò ut eâ viâ nullo modo egrediendum esse fateretur *Melanthius*, (*ver.* 136.) non statim deinceps subjecisset ille consilium armorum è thalamo petendorum, (*ver.* 139.) sed potiùs thalamum aliâ quâdam viâ adeundum monuisset. Vide et infrà ad *ver.* 142.

Ibid. —— ἰὼμήτῳ ἐνὶ τοίχῳ.] In nonnullis legitur, notante *Barnesio*, ἰὼτμήτῳ. Minùs rectè. Vide suprà ad *ver.* 24.

Ver. 128. —— λαόφιν.] Στίνι ὧδε, δι' ἧς εἰ λαοὶ βίωνται καὶ φίεσθαι, οἱονεὶ ἄμφοδον. *Schol.* et *Eustath.*

Ibid. —— εὖ ἀραρυῖαι.] *Al.* ἔντος ἴσαν· et ἔνδον ἦσαν, notante *Eustathio.*

Ver. 130. —— μία δ' οἴη γίνετ' ἐφορμή.] Ἐξόδος· ἢν δὲ ἐκ μέσου ἔξοδος ἐν τῷ ἀντικρὺς τῆς εἰσόδου τοίχῳ τοῦ ἀνδρῶνος· ἐν τῇ διξῇ γωνίᾳ ἦν ἐρεισθέρα, ἥτις εἰς τὸν λαύρων ἔφιεν· ἡ δὲ λαύρα στενωπὸς ἐστι παρεμπίπτουσ ἔξωθεν τοῦ ἐν διξῇ τοίχου, ἐν ᾧ καὶ ὁ Θάλαμος, οὐχ ὁ Πηνελόπης, ἀλλ' ἐν ᾧ τὰ ὅπλα ἔκειτο· αὕτη δὲ ἡ λαύρα ἔξοδον ἐς εἰς τὸν πρόθυρον εἶχεν· ἐκ δὲ ταύτης ἔξοδος Ὀρσοθύρα. *Schol.* Vide autem suprà ad *ver.* 126.

Ver. 131. Τοῖς δ' Ἀγέλαος ἔειπεν.] In veterum Exemplarium nonnullis legitur hîc (notante *Barnesio*,) Τοῖς δ' Ἀγέλαος μετέειπεν· ut pronuntietur scilicèt Ἀγέλας. Cumque his facit et MS. à *Tho. Bentleio* collatus.

Ver. 133. Καὶ εἴποι.] *Al.* Κἀὸ δ' εἴποι.

Ver. 134. —— τοξάσαιτο.] Vide suprà ad *ver.* 72.

Ver. 137. —— ἀργαλέον στόμα λαύρης.] Ἤγουν ἡ στενὴ τὴν ἐρεισθέρην ἄγουσα στενωπός. *Eustath.*

Ἐκ θαλάμου· ἔνδον γὰρ, (οἴομαι,) οὐδέ τη ἄλλη
Τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.
Ὣς εἰπὼν, ἀνέβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
Ἐς θαλάμους Ὀδυσῆος, ἀνὰ ῥῶγας μεγάροιο·
Ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσσα δὲ δοῦρα,
Καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
Βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκε.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὡς περιβαλλομένους ἴδε τεύχεα, χερσὶ δὲ δοῦρα
Μακρὰ τινάσσοντας· μέγα δ' αὐτῷ φαίνετο ἔργον.
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
Νῶϊν ἐποτρύνει πόλεμον καπὸν, ἠὲ Μελανθεύς.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον, (οὐδέ τις ἄλλος
Αἴτιος,) ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν

" Ex thalamo: intùs enim, (puto,) neque usquam alibi
" Arma deposuerunt Ulysses et illustris filius."
Sic locutus, ascendebat Melanthius, custos caprarum,
In thalamum Ulyssis, super scalas domûs:
Indè duodecim quidem scuta desumpsit, totidemque hastas,
Et tot galeas aeratas setis-equinis-densas:
Perrexit verò ire, valdeque citò ferens procis dedit.
Et tunc Ulyssis soluta sunt genua et charum cor,
Ut circumponentes-sibi vidit arma, manibusque hastas
Longas vibrantes; magnum autem ipsi apparebat opus.
Statim verò Telemachum verbis alatis allocutus est:
" Telemache, certè omninò jam aliqua in aedibus mulierum
" In nos concitat bellum malum, vel Melanthius."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est:
" O pater, ipse ego hoc peccavi, (neque quisquam alius
" Reus;) qui thalami januam arctè compactam

Ver. 142. Ὣς εἰπὼν, ἀνέβαινε Μελάνθιος.] Ἐν τούτοις δέ φασιν οἱ Παλαιοὶ καὶ ἑτέραν ὑποβάθρην εἶναι, δι' ἧς ἀνελθὼν εἷς τὸ ὑπερῷον Μελάνθιος, ἀνέλυσε τὰ ὅπλα. *Eustath.*

Ver. 143. —— ἀνὰ ῥῶγας.] Τήγματα, [Ita *Barnesius* ex MS. pro vulgato Ῥήματα], δυοῖδας ἢ τὰς τῆς οἰκίας ὑπερῴας διόδους. *Schol.* Οἱ δὲ, τὰς ἀναβάσεις, ἀπὸ τοῦ διεστάναι. *Etymolog. Magn.* ad voces, Ἀνὰ ῥῶγας μεγάροιο. *Al.* ἀναῤῥώγας.

Ver. 144. Ἔνθεν δώδεκα μὲν σάκε', &c.] Fuerunt qui *Homerum* hîc reprehenderint, tot arma ab uno homine ferri non posse contendentes. Eandemque ob causam locum hunc ab *Aristarcho* repudiatum testatur *Eustathius.* Σημείωσαι δὲ καὶ ὅτι τὸ περὶ τῶν δώδεκα σακίων καὶ τὸ ἑφεξῆς. Λέγουσιν ἀδιστάτως ἰσχίαντον. ἀδύνατον εἶναι τόσα τινάσσειν βαστάσαι ἄνθρωπον. Dna. *Dacier* autem existimant ex *ver.* 161. 183. 184. infrà, ubi idem *Melanthius* thalamum iterùm adisse, unamque tantùm galeam et unum scutum exportare dicitur.

Ver. 148. —— χερσὶ δὲ] *Al.* χερσὶ τε.

Ver. 152. Νῶϊν.] Apud *Eustathium* Ἡμᾶς.

Ver. 154. —— αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον.] Ἐμμελὲς δὲ καὶ χαρίεις ὁ λόγος τοῦ ἁμαρτεῖν λέγων, ἃ ἄγνοια, ἢ φιλοτιμία. *Plutarch. de Sui Laude.*

Κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
Ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο,
Καὶ φράσαι, εἴτις ἄρ' ἐστὶ γυναικῶν, ἣ τάδε ῥέζει,
Ἦ υἱὸς Δολίοιο, Μελανθεύς, τόν περ ὀΐω.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Βῆ δ' αὖτις θαλαμόνδε Μελάνθιος, αἰπόλος αἰγῶν,
Οἴσων τύχεα καλά· νόησε δὲ δῖος ὑφορβός,
Αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν, ἐγγὺς ἐόντα·
Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ,
Κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνὴρ, ὃν οἰόμεθ' αὐτοὶ,
Ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπε,
Ἦ μιν ἀποκτείνω, αἴ κεν κρείσσων γε γένωμαι·
Ἦέ σοι ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
Πολλὰς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἦτοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
Σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας·
Σφῶϊ δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν,
Ἐς θάλαμον βαλέειν, σανίδας δ' ἐκδῆσαι ὄπισθε·

" Reliqui reclinatam: horum verò speculator erat melior.
" Sed ito, nobilis Eumaeë, januam claude thalami,
" Et observa, siqua sit mulierum, quae haec faciat;
" An filius Dolii, Melanthius; quem quidem puto."
Sic hi quidem talia inter se loquebantur.
Ivit autem iterùm ad-thalamum Melanthius, custos caprarum,
Allaturus arma pulchra: animadvertit verò nobilis subulcus;
Statimque Ulyssem alloquebatur propè existentem:
" Generose Laërtiade, solers Ulysses,
" Ille utique rursùs perniciosus vir, quem putamus ipsi,
" Proficiscitur in thalamum; tu verò mihi explicitum dic,
" An ipsum interficiam, si quidem superior fuero;
" An tibi huc ducam; ut injurias luat
" Multas, quotquot hic molitus est tuà in domo."
Hunc autem respondens allocutus est solers Ulysses:
" Sanè ego et Telemachus procos eximios
" Continebimus intra aedes, quantumvis incitatos:
" Vos verò retortis pedibus et manibus desuper,
" In thalamum conjicite; fores autem astringite ponè;

Ver. 156. —— ἀγκλίνας.] Vide suprà ad ver. 121. item ad *Il.* ά, 309. 338.
Ver. 157. —— δῖ'.] *Al.* δή.
Ver. 165 —— ἄϊδηλος ἀνὴρ.] Vide suprà ad ϰ', 29.
Ver. 167. —— κρείσσων γε.] *Al.* κρείσσων τε.
Ver. 168. —— ἀποτίσῃ.] Vide suprà ad ver. 64. et ad *Il.* χ', 19. 20.
Ver. 174. —— σανίδας δ' ἐκδῆσαι ὄπισθε.] Τὸ ἐξῆς, σφῶϊν ἀποστρέψαντε πόδας καὶ χεῖρας εἰς θάλαμον ἐμβάλλειτ· σιγὴν δὲ πλειστὴν ἐπ' αὐτοῦ σιωπήσαντε, ἀνὰ κίονα ὑψηλὴν ἰούσατε, σανίδας δ' ἐκδήσατε, ἢ ὅπισθεν κλείσατε τὰς θύρας μετὰ ταῦτα. *Schol.* Similiter *Eustathius*; Ἴσως δὲ καὶ ὅτι τὸ " σανίδας ἐκδῆσαι " ὅπισθεν," ὑστερολογικῶς κεῖται, ἦγουν κατὰ τρόπον πρωθύστερον· οὐ γὰρ μετὰ τὸ σανίδας ἐκδῆσαι, τοιγάρτοι θύρας, πρεμάννυται ὁ Μελανθεὺς, ἀλλὰ στρεφθεὶς χεῖρας καὶ πόδας, καὶ σιωπῇ

Σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντες,
Κίον' ἀν' ὑψηλὴν ἐρύσαι, πελάσαι τε δοκοῖσιν,
Ὡς κεν δηθὰ ζωὸς ἐὼν, χαλέπ' ἄλγεα πάσχῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύου, ἠδ' ἐπίθοντο·
Βὰν δ' ἴμεν ἐς Θάλαμον· λαβέτην δέ μιν ἔνδον ἐόντα.
Ἦτοι ὁ μὲν Θαλάμοιο μυχοὶ κατὰ τύχε' ἐρεύνα·
Τὼ δ' ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.
Εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος αἰπόλος αἰγῶν,
Τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
Τῇ δ' ἑτέρῃ σάκος εὐρὺ, γέρον, πεπαλαγμένον ἄζῃ;

Catenam verò plexam ex ipso ubi-nexueritis,
" Columnam in altam trahite, et admovete trabibus;
" Ut diù vivus manens, graves dolores patiatur."
Sic dixit: illi verò ei omninò quidem auscultârunt, et paruerunt:
Perrexerunt autem ire in thalamum; latuerunt verò ipsum intùs existentem.
Sanè ille quidem in thalami recessu arma quaerebat:
Hi verò steterunt utrinque ad postes manentes.
Quandò super limen ibat Melanthius custos caprarum,
Alterâ quidem manu ferens pulchram galeam,
Alterâ verò scutum latum, antiquum, foedatum situ,

ἰαδιδὴς, ἀκαμωδίτας· καὶ οὕτως αἱ σανίδες ἰαδίσκαι. —— Διὰ καὶ πάντα ποιήσαντες οἱ δοῦλοι, θύραν ἰσθίνου φασιὸν· ὡς ἂν τῇ συμπλοκῇσι τοῦ διηγήματος (ver. 201.) ὁ Ποιητὴς φασὶν. Aliam autem posteà explicationem affert: Ἴσως δὲ ἄν τις ἀφέντες τοὺς παρὰ Ἡροδότῳ μεμενηκότας τὸ, ζώντα τὸν διὰ τρὸς σανίδα διαπερᾶλώσαν, ἰδιάσαντο κρύπτειν ἡμῶν τι τοῦτο· καὶ ἰσὶ τοῦ, " σανίδας δ' ἰαδῆσαι δοκοῦσι" οὐκ ἰσοδοῦναι δὲ τοῖς οὕτω νοοῦσιν ὁ λόγος, ἀλλὰ πρὸ τοῦτό ἰστι τοῖν ἀκολούθτερον αὐτὸ ἀντὶ τοῦ, τὰς θύρας κλείσαντες, ἰαδῆσαι αὐτὰς μετὰ πάντα. Cæterùm quidni, servato proprio et simplici verborum ordine, jubere intelligatur *Ulysses*; *Melanthio* in thalamum tracto, fores primùm occludi, nequis ipsos ingressus impediret: ipsumque deinceps ex trabe suspendi?

Ver. 175. —— στειρήναντες.] *Al.* στειρῆναντε· Ut ἀναστρέψαντε, *ver.* 173. 190. et μίνοντε, *ver.* 181. Sed et στειρήναντες rectè dicitur. Vide ad *Il. ά*, 566.

Ver. 176. Κίον' ἀν' ὑψηλὴν ἐρύσαι.]

Et nodum informis lethi trabe nectit ab altâ. *Æn.* XII, 603.

Ver. 177. Ὡς κεν δηθὰ ζωὸς ἐὼν, χαλέπ' ἄλγεα πάσχῃ.] Τὸ δὲ, " ὡς κεν δηθὰ ζωὸς ἐὼν, " ἄλγεα πάσχῃ," δηλοῖ, τοῖς κακοπραγοῦσιν ἀγαθὸν ὡς ἐν κακοῖς εἶναι τὸ ἀπαλλάττεσθαι τοῦ βίου τάχιον· ὡς τό γε χαλεπὰ ἐπὶ πολὺ πάσχειν ζῶντα, εἰπτικὸν ἰστι. *Eustath.* Haud dissimiliter *Suetonius* de *Tiberio*, notante *Barnesio*: " Mori volentibus, vis adhibita " vivendi. Nam mortem adeò leve suppli- " cium putabat, [*Tiberius*;] ut cùm audis- " set unum ex reis, *Carnulium* nomine, an- " ticipâsse eam, exclamaverit; *Carnulius* " *me evasit.* Et in recognoscendis custo- " diis, precanti cuidam pœnæ maturitatem " respondit: *Nondum tecum in gratiam re-* " *dii.*" *Sueton. Tiber. cap.* 61.

Ver. 179. Βὰν δ' ἴμεν ἐς Θάλαμον.] Ita ex Exemplaribus nonnullis restituit *Barnesius*. Rectè, ut videtur. Alii hîc habent, Βῆ δ' ἴμεν ἐς Θάλαμον· Quod de *Melanthio* accipiendum est. Verùm ut de Servis *Eumæo* et *Philœtio* intelligatur hoc, postulant sequentia λαβέτην δέ μιν ἔνδον ἐόντα, &c. et *Melanthius* thalamum jamjam (uti notavit *Barnesius*) conscendisse dicitur, suprà *ver.* 161. 166. Porrò etsi in utràque *Eustathii* Editione malè editum sit, ut in Vulgatis, Βῆ δ' ἴμεν· ipse tamen cum *Barnesio* legisse videtur Βὰν δ' ἴμεν· Ita enim in commentario exponit: Καὶ αὐτὸ τοῦτο ἰλιάντες εἰς Θάλαμον, ἔλαθον τὸν Μελάνθιον.

Ibid. —— λαβέτην δέ μιν.] In nonnullis scribitur, teste *Barnesio*, λαβέτην δέ μιν. Sed, uti et ipse notat, minùs rectè. Nondum enim prehensum *Melanthium* liquet ex sequentibus, Ἦτοι ὁ μὲν Θαλάμοιο —— Τὼ δ' ἔσταν ἑκάτερθι, &c.

Ibid. et *ver.* 198. —— λαβέτην —— Δύο.] Vide suprà ad λ', 101.

Ver. 184. —— ἄζῃ.] Ἐφεῦρε, ἢ ἐφεύρῃ. *Schol.*

Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκε·
Δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δ' ἐλέλυντο ἰμάντων·
Τὼ δ' ἄρ' ἐπαΐξαντθ' ἑλέτην, ἔρυσάν τέ μιν εἴσω
Κουρίξ· ἐν δαπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ.
Σὺν δὲ πόδας χεῖράς τε δέον δυμαλγέϊ δεσμῷ,
Εὖ μάλ' ἀποστρέψαντε διαμπερὲς, ὡς ἐκέλευσεν
Υἱὸς Λαέρταο πολύτλας δῖος Ὀδυσσεύς.
Σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντες,
Κίον' ἀν' ὑψηλὴν ἔρυσαν, πέλασάν τε δοκοῖσι.
Τὸν δ' ἐπικερτομέων προσέφης, Εὔμαιε συβῶτα·
Νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,
Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος, ὥς σε ἔοικεν·
Οὐδέ σέ γ' ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
Λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
Αἶγας μνηστῆρεσσι δόμον κάτα, δαῖτα πένεσθαι.
Ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ.

Laërtis heroïs, quod juvenis is gestabat;
Tunc sanè jamdudùm jacuerat; suturae autem dissolutae erant lororum:
Illi utique deindè adorti prehenderunt, traxeruntque ipsum intrò
Per-capillos; in pavimento verò humi dejecerunt dolentem corde.
Pedes autem manusque colligaverunt acerbo vinculo,
Benè admodùm retortos penitùs; sicut jussit
Filius Laërtis multa-passus nobilis Ulysses.
Catenam verò plexam ex ipso ubi-nexuerunt,
Columnam in altam traxerunt, admoveruntque trabibus.
Eum autem asperè-deridens allocutus es, Eumace subulce:
" Nunc quidem demùm prorsùs omninò, Melanthî, noctè vigilabis,
" Lecto in molli decumbens, uti te decet;
" Neque te sanè aurora ab Oceani fluentis
" Latebit adveniens aureo-solio, quandò adduces
" Capras procis in domo, ad convivium apparandum."
Sic is quidem illic relictus est, extensus pernicioso in vinculo.

Ver. 187. Τὼ δ' ἄρ' ἐπαΐξαντθ'.] *Barnesius* edidit, legendumque contendit, Τὼδ' ἄρ'· quòd " nondum Sensus sit completus." Sed vide ad *Il. ά*, 57.

Ibid. —— ἔρυσάν τέ μιν εἴσω Κουρίξ.] Τὸ δὲ " κουρίξ," τῶν ἅπαξ μὲν παρ' Ὁμήρῳ ῥηθέντων ἐστὶ καὶ αὐτό· δηλοῖ δὲ, κατὰ τοὺς Παλαιοὺς, τὸ πανικῶς· καὶ γίνεται ἐκ τοῦ ὡς ἴρριθη (*ver.* 185.) κουρίξιν, οὗ μάλλον Δωριεῖς, κουρίξω, καὶ ἐξ αὐτοῦ κουρίξ, τὸ ἀνδρείως, καὶ ὡς πρίστι κούροις. Καὶ οὕτω μὲν φησιν ὁ Κράτης· Ἀρίσταρχος δὲ ἀντὶ τοῦ ἐπιλαζομένους τῆς κόμης· ἵνα ᾖ κατ' αὐτὸν, τὸ Κουρίξ ἀντὶ τοῦ ἐκ τῆς κεφαλῆς. *Eustath.* Quæ posterior videtur potior interpretatio.

Ver. 188. —— ἀχνύμενον κῆρ.] Editiones nonnullæ, notante *Barnesio*, hic legunt ἀχνύμενοι κῆρ. Sed minùs rectè.

Ver. 190. —— ἐκέλευσεν.] *Al.* ἐκέλευσιν.

Ver. 192. —— πειρήναντες,] Vide suprà ad *ver.* 175.

Ver. 195. Νῦν μὲν δὴ μάλα πάγχυ, &c.] Ἔστι δέ τι εἶδος Εἰρωνείας καὶ ὁ Σαρκασμὸς, ὅστις δέν τις διὰ τῶν ἐναντίων ἐνδιδύζων τινὶ, μεταποιῆται μεδιάματος ——. Τούτοις παραπλησίως ἔχει καὶ ὁ Ἀλληγορία, ἥτις ἕτερον δὲ ἑτέρου παρίστησιν· οἷόν ἐστι τοῦτο, " Νῦν μὲν δὴ μάλα " πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις, Εὐνῇ ἐνὶ " μαλακῇ καταλέγμενος, ὡς ἔοικεν" τὸν γὰρ ἐν δεσμοῖς ὄντα καὶ ἀπηρτημένον, ἐν κοίτῃ ἀπαλῇ ὑπνώσειν λέγει. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 8. *sub fine.*

Ver. 196. —— ὡς σε ἔοικεν.] Apud *Dionysium*, loco jam citato, ὡς ἐτέθεικεν.

Ver. 200 —— ἐνὶ δεσμῷ.] *Al.* ὑπὸ δεσμῷ.

Τὼ δ' ἐς τεύχεα δύντε, θύρην τ' ἐπιθέντε φαεινὴν,
Βήτην εἰς Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην·
Ἔνθα μένος πνείοντες ἐφέστασαν· οἱ μὲν ἐπ' οὐδοῦ,
Τέσσαρες, οἱ δ' ἔντοσθε δόμων, πολίες τε καὶ ἐσθλοί.
Τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη, 205
Μέντορι εἰδομένη ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.
Τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν, καὶ μῦθον ἔειπε·
Μέντορ, ἄμυνον ἀρὴν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
Ὅς σ' ἀγαθὰ ῥέζεσκον· ὁμηλικίη δέ μοι ἐσσί.
Ὣς ἔφατ', οἰόμενος λαοσσόον ἔμμεν' Ἀθήνην. 210
Μνηστῆρες δ' ἐτέρωθεν ὁμόκλεον ἐν μεγάροισι·
Πρῶτος τήν γ' ἐνένιπτε Δαμαστορίδης Ἀγέλαος·

Illi autem arma induti, januâque occlusâ splendidâ,
Iverunt ad Ulyssem prudentem, versutum:
Ibi robur spirantes astiterunt: hi quidem super limen,
Quatuor; illi autem intra aedes multique et eximii.
His autem propè filia Jovis advenit Minerva, 205
Mentori assimilata tum corpore, tum etiam voce.
Hanc verò Ulysses gaudebat conspicatus, et verbum dixit:
" Mentor, propulsa malum, memorque esto socii dilecti,
" Qui te benè saepè-faciebam; eâdem-aetate autem mecum es."
Sic dixit, suspicans populorum-concitatricem esse Minervam. 210
Proci verò ex-alterâ-parte increpabant in aedibus:
Primus hanc utique objurgabat Damastorides Agelaus:

Ver. 201. —— θύρην τ' ἐπιθέντε.] *Al.* θύρην ἐπιθέντε.

Ver. 203. —— ἐφέστασαν.] *Eustathius* vocem hanc ex ἐφιστήκεισαν contractam vult. Καὶ ὄρα (inquit) τὸ "ἐφέστασαν" οὐκ ἀπὸ τοῦ ἔστην, ἔστησαν, (οὐ γὰρ ἂν ἐδασύνετο·) ἀλλὰ ἀπὸ τοῦ ἐφιστήκεισαν, κατὰ συγκοπὴν, καὶ τρέφην τοῦ η εἰς α. Sed vide ad *Il.* μ', 55.

Ver. 205. —— ἦλθεν Ἀθήνη.] Ἀθηνᾶ, —— σλαττομένη μὲν μυθικῶς, νουμένη δὲ καὶ νῦν ἀλληγορικῶς παρεῖναι τῷ Ὀδυσσεῖ, ἐμφρόνως πάντα συνιόντι. *Eustath.* Vide ad *Il.* ά, 194. et ή, 29. 34.

Ver. 208. —— ἄμυνον ἀρὴν.] Observat *Eustathius* voces ἀρὴν, ἀρᾶσθαι, eorumque derivata, *primam* apud *Homerum* producere. Nempè in commentario ad *Iliad.* ί, 31. Τὸ "ἀ· "ρᾶσθαι" (inquit) καὶ ἡ "ἀρὰ" —— φύσει ἐκτείνουσι τὸ ᾱ αὐτοῖς ἀρχαϊκὸν ὡς δῆλον καὶ ἐκ τοῦ (*Iliad.* ά, 94.) "Ἀλλ' ἴτω ἀρητῆρος" καὶ ἐκ τοῦ (ί, 456.) "Θεοὶ δ' ἐπίλλιτον ἠρᾶσθε." Et alibi, citante *Barnesio*: Τὴν ἀρὴν ἐπὶ ἐκτάσεως καὶ βλάβης λέγεσθαι, καὶ ὅτι φύσει μακρὰν ἔχει τὴν ἄρχουσαν ὡς, [*Il.* ό, 598.] "Θέτιδος "ἐξαίσιον ἀρήν." Atque hinc dubitat *Barnesius* annon hoc loco scribendum sit ἄρην pro ἄρια. Cui quidem lectioni nonnihil favet, quod occurrit, *Il.* ξ', 485. —— ἄριστε ἀλαστῆρα λιτέσθαι. Observat autem deindè *Barnesius*, voces ἀρὴν, ἀρᾶς, alibi apud *Homerum* occurrere *priore* correptâ: *Iliad.* σ', 100. *Odyss.* ρ', 538. Immò, (id quod neque ab *Eustathio* neque à *Barnesio* notatum est,) quoties βλάβην, *damnum*, ut hoc in loco, significant hæ voces; *priorem* semper corripiunt. Undè verisimile videtur, aliâ ex esse ab origine ac vox ἀρὰ, *supplicatio*, quæ *primam* semper producit. Vide *Iliad.* μ', 334. π', 512. ώ, 489. ί, 378. ψ', 199. *Odyss.* ϑ', 767. Vide etiam *Porphyrium*, *Quæst. Homeric.* 18. Cæterùm quod in versione hic habet *Barnesius*, " *Assiste nobis in bello;*" ferri, ut opinor, omninò nequit.

Ver. 209. Ὅς σ' ἀγαθὰ ῥίζεσκον.] Ita *Henricus Stephanus*, eumque secutus *Barnesius*. Atque hanc potiorem lectionem contendit *Ritterhusius, de interpretatione quorundam locorum Oppiani, ad Cyneg.* I. 36. *Al.* Ὅσσ' ἀγαθὰ ῥίζεσκον. Quæ nec mala Lectio. Cæterùm Versiones *Didymi et Stephani* vocem ῥίζεσκον hoc in loco reddunt "*Sacrificavi.*" Sed, uti notavit *Barnesius*, minùs rectè.

Ibid. —— ὁμηλικίη.] Ita *Barnesius*. *Vulgg.* ὁμηλικίη.

Ver. 210. Ὣς ἔφατ', οἰόμενος.] *Al.* Ὣς φάτ', οἴομενος.

Μέντορ, μή σ' ἐπέεσσι παραιπεπίθησιν Ὀδυσσεὺς,
Μνηστῆρσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ·
Ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω·
Ὁππότε κεν τούτους κτείομεν, πατέρ' ἠδὲ καὶ υἱόν,
Ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς
Ἔρδειν ἐν μεγάροις· σῷ δ' αὐτοῦ κράατι τίσεις.
Αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,
Κτήματ', ὁπόσσα τοι ἐστὶ, τά τ' ἔνδοθι, καὶ τὰ θύρηφι,
Τοῖσιν Ὀδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
Ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδὲ θύγατρας,
Οὐδ' ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ἄστυ πολεύειν.
Ὣς φάθ'· Ἀθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον·
Νείκεσσεν δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
Οὐκέτι σοί γ', Ὀδυσεῦ, μένος ἔμπεδον, οὐδέ τις ἀλκὴ,
Οἵη ὅτ' ἀμφ' Ἑλένῃ λευκωλένῳ, εὐπατερείῃ,
Εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί·
Πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηϊοτῆτι·
Σῇ δ' ἦλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.

" Mentor, nè tibi verbis persuadeat Ulysses,
" Procos ut-oppugnes, auxiliêrisque sibi ipsi:
" Sic enim nostrum consilium perfectum-iri puto:
" Quandò hos interfecerimus, patrem atque etiam filium,
" Cum iis et tu posteà interficiêris; qualia cogitas
" Facere in aedibus: tuo verò ipsius capite lues.
" At postquam vestras vires abstulerimus aere;
" Possessiones, quotquot tibi sunt, quaeque intùs, et quae foris,
" Cum ipsis Ulyssis commiscebimus; neque tibi filios
" Vivere in aedibus sinemus, neque filias,
" Neque uxorem honestam Ithacae in urbe versari."
Sic dixit: Minerva verò irata est ex-corde magis;
Objurgavitque Ulyssem iratis verbis:
" Non ampliùs tibi utique, Ulysses, robur integrum, neque ulla fortitudo,
" Qualis, quandò pro Helenâ candidâ-ulnis, nobili-patre-natâ,
" Novem-annis cum Trojanis pugnabas assiduè semper:
" Multos autem viros interfecisti in gravi pugnâ;
" Tuoque capta est consilio Priami urbs viis-spatiosa.

Ver. 216. —— κτείομεν.] *Al.* κτέομεν. Quod pronuntiandum κτῶμεν.

Ver. 221. Τοῖσιν.] *Al.* Τοῖσι δ'.

Ver. 222. —— ἐάσομεν.] Vide ad *Il.* δ, 42.

Ver. 225. 226. 227. Νείκεσσεν δ'· —— Οὐκέτι σοί γ', —— Οἵη ὅτ' ἀμφ' Ἑλένῃ.]

Hîc gravis Entellum dictis castigat Acestes, —— [strà,
Entelle, heroum quondam fortissime fru- ——— ubi fama per omnem
Trinacriam, et spolia illa tuis pendentia tectis? *Æn.* V, 387. 389. 392.

Ver. 227. Οἵη ὅτ' ἀμφ' Ἑλένῃ.] Ἐν δὲ τῷ στίχῳ Ἑλένης καὶ Τρώων καὶ ἀλώσεως Ἰλίου, ὅρα ὅτι τε πάλαι ἱστορίαις ὁ Ποιητὴς Τρωϊκαῖς ἱστορίαις παραστύει τὴν τῆς Ὀδυσσείας ἀφέλειαν. *Eustath.*

Ibid. —— λευκωλένῳ.] Sic apud *Virgilium:*

—— niveis —— Diva lacertis. *Æn.* VIII, 387.

Ver. 230. Σῇ δ' ἦλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.] Πρωτατιστεύσαι δὲ αὐτῷ [Ὀδυσσεῖ] ὁ Ποιητὴς τὴν τῆς Ἰλίου πέρθησιν, ὡς ἐφ' ἑτέρῳ τοῦ Ὀδυσσέως ἐπιτροπεύσαντος τὸν τοῦ δουρείου ἵππου κατασκευὴν, οὗ μὴ ἐπεχείρησε, μηχθέντα ὑ Ἰλιέως.

Πῶς δὴ νῦν, ὅτε σόν γε δόμον καὶ κτήματ' ἱκάνεις,
Ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
Ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἐμὶ ἵστασο, καὶ ἴδε ἔργον,
Ὄφρ' εἰδῇς, οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσι
Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν. 235
Ἦ ῥα· καὶ οὔπω πάγχυ δίδου ἑτεραλκέα νίκην,
Ἀλλ' ἔτ' ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν,
Ἠμὲν Ὀδυσσῆος, ἠδ' υἱοῦ κυδαλίμοιο.
Αὐτὴ δ' αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
Ἕζετ' ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην. 240
Μνηστῆρας δ' ὦτρυνε Δαμαστορίδης Ἀγέλαος,
Εὐρύνομός τε, καὶ Ἀμφιμέδων, Δημοπτόλεμός τε,
Πεισανδρός τε Πολυκτορίδης, Πόλυβός τε δαΐφρων·
Οἱ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ' ἄριστοι,
Ὅσσοι ἔτ' ἔζωον, περί τε ψυχέων ἐμάχοντο· 245
Τοὺς δ' ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.
Τοῖς δ' Ἀγέλαος ἔειπεν, ἔπος πάντεσσι πιφαύσκων·

" Quomodo demùm nunc, quum tuas aedes et possesiones advenisti,
" Contrà procos mollitèr-cessas fortis esse?
" Sed age huc, amice, juxta me sta, et vide opus,
" Ut videas, qualis tibi inter viros inimicos
" Mentor Alcimides ad beneficia rependenda." 235
Dixit utique; et nondum prorsùs dabat variabilem victoriam;
Sed adhuc sanè roburque et fortitudinem experiebatur,
Et Ulyssis, et filii gloriosi.
Ipsa verò splendidae super domûs tectum
Sedit impetu-sursùm-facto, hirundini similis aspectu. 240
Procos autem concitabat Damastorides Agelaus,
Eurynomusque, et Amphimedon, Demoptolemusque,
Pisanderque Polyctorides, Polybusque prudens:
Hi enim procorum virtute erant longè optimi,
Quotquot adhuc vivebant, et de animabus pugnabant: 245
Caeteros autem jam domuerat arcus, et crebrae sagittae.
Illis verò Agelaus dixit, verbum omnibus promulgans:

Schol. ad *Iliad.* β', 278. Ubi hunc versum citat isto modo:

Σῇ δ' ἥλω βουλῇ ἄστυ Πριάμοιο ἄνακτος.

Porrò hinc *Ulyssi* præcipuè tribuitur Epitheton πτολίπορος. Ut *Eustathius*; Φαίνεται δὲ νῦν καὶ πτολίπορος ὁ Ὀδυσσεὺς, οὔτως βουλῇ, τῇ κατὰ τὸν δούρειον ἵππον, ἡ Τροία ἥλω. Vide ad *Il.* β', 278. Cæterùm *Porphyrius*, *Quæst. Homeric.* I. vocem βουλῇ hoc in loco alitèr interpretatur: Καὶ ἡ βουλὴ δὲ, (inquit,) οὐκ βολὴ τις· ἔδει ἴφη, "Σῇ δ' ἥλω "βουλῇ," ἤγουν, ὡς τὶ ἴφη, τοῖς σοῖς ἕπλοις, ἢ βέλεσι. Eademque ferè verba affert *Scholiastes* ad β', 319. suprà. Verùm neque vox βουλὴ ullibi (ut opinor) isto sensu usurpatur; neque profectò ob *vires bellicosas*, sed ob *consilia* et *solertiam* præcipuè celebratur *Ulysses*.

Ver. 231. —— σὸν γε δόμον.] *Al.* σὸν δῶμον.

Ver. 232. —— ἀλοφύρεαι ἄλκιμος εἶναι;] Νῦν, ἀντιλιλαῖε. *Schol.*

Ver. 239. —— ἀνὰ μεγάροιο.] *Al.* ὑπὲρ μεγάροιο.

Ver. 240. —— εἰκέλη.] Ita rectè edidit *Barnesius*; atque ita in Vulgatis scriptum occurrit suprà φ', 411. Alii hic ἴκελε. Quod *primam* corripit.

Ver. 245. —— περί τε ψυχέων.] Enuntiabatur ψυχῶν. Nam ψυχὴ *priorem* producit.

Ver. 247. Τοῖς δ' Ἀγέλαος ἔειπεν.] *Al.* Τοῖς δ' Ἀγέλαος μετέειπεν notante *Barnesio*. Vide suprà ad *ver.* 131.

Ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
Καὶ δή οἱ Μέντωρ μὲν ἔβη κενὰ εὔγματα εἰπών·
Οἱ δ' οἷοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσι.
Τῷ νῦν μὴ ἅμα πάντες ἀφίετε δούρατα μακρά·
Ἀλλ' ἄγεθ', οἱ ἔξ πρῶτον ἀκοντίσατ', αἴ κέ ποθι Ζεὺς
Δώῃ Ὀδυσσῆα βλῆσθαι, καὶ κῦδος ἀρέσθαι.
Τῶν δ' ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσῃσιν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκόντισαν, ὡς ἐκέλευσεν,
Ἰέμενοι· τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη.
Τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
Βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
Ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
Αὐτὰρ ἐπειδὴ δοῦρατ' ἀλεύαντο μνηστήρων,
Τοῖς ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
Ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμι,
Μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
Ἡμέας ἐξεναρίξαι ἐπὶ πρότερόισι κακοῖσιν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα,

" O amici, jam cohibebit vir hic manus indomitas:
" Atque jam ei Mentor quidem abiit inanes jactationes locutus;
" Hi autem soli relicti sunt in primis foribus.
" Ideò nunc nè simul omnes emittite hastas longas:
" Sed agite, sex primùm jaculamini, sicubi Jupiter
" Dederit Ulyssem percuti, et gloriam *nos* reportare.
" Caeterorum autem non solicitudo, postquàm hic utique ceciderit."
Sic dixit: illi verò proindè omnes jaculati sunt, sicut jussit,
Connixi; illa autem omnia irrita reddidit Minerva.
Eorum alius quidem postem benè-fundatae domûs
Percussit, alius autem januam firmitèr aptatam;
Alius verò parieti fraxinea-hasta incidit aere-gravis.
At postquàm hastas evitaverunt procorum,
His utique sermonem exordiebatur multa-passus nobilis Ulysses:
" O amici, jam quidem ego dicerem et nobis,
" Procorum in turbam ut-jaculemur, qui cupiunt
" Nos interficere, praeter priora mala."
Sic dixit: hi autem omnes jaculati sunt acutas hastas,

Ver. 251. —— ἀφίετε.] *Al.* ἰφίετε. Vide et ad *Il.* ϰ', 762.

Ver. 252. —— οἱ ἔξ πρῶτον ἀκοντίσατ'.] *Barnesius*, Versiones *Didymi* et *Stephani* secutus, reddit, " *In eum sex primùm jacu-* " *lantini.*" Sed minùs rectè. Ad istum enim sensum, non *Dativo* Casui, sed *Genitivo* semper apud Poetam jungitur vox ἀκοντίζω. Vide *Iliad.* ν', 516. ξ', 402. ρ', 608.

Ver. 256. 258. —— ἐτώσια θῆκεν Ἀθήνη. —— Βεβλήκει, —— θύρην.]

Excepêre auræ vulnus: Saturnia Juno
Detorsit veniens; portæque infigitur hasta.

Æn. IX, 745.

Ver. 261. Τοῖς ἄρα.] *Al.* Τοῖς δ' ἄρα.

Ver. 264. —— ἐπὶ πρότερόισι κακοῖσιν.] Ἤγουν, καί τοι αὐτοὶ πρεπακάρξαντες τοῦ κακοῦ. *Eustath.* Rectiùs autem et simpliciùs interpreteris cum *Barnesio* aliisque, " *praeter* " *priora mala.*"

Ἄντα τιτυσκόμενοι· Δημοπτόλεμον μὲν Ὀδυσσεὺς,
Εὐρυάδην δ' ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης,
Πείσανδρον δ' ἄρ' ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ·
Οἱ μὲν ἔπειθ' ἅμα πάντες ὀδὰξ ἕλον ἄσπετον οὖδας.
Μνηστῆρες δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε·
Τοῖς δ' ἄρ' ἐπήϊξαν, νεκύων δ' ἐξ ἔγχε' ἕλοντο.
Αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα,
Ἱέμενοι· τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
Τῶν ἄλλος μὲν σταθμὸν ἐϋστάθεος μεγάροιο
Βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
Ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
Ἀμφιμέδων δ' ἄρα Τηλέμαχον βάλε χεῖρ' ἐπὶ καρπῷ
Λίγδην, ἄκρην δὲ ῥινὸν δηλήσατο χαλκός.
Κτήσιππος δ' Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
Ὦμον ἐπέγραψεν· τὸ δ' ὑπέρπταto, πίπτε δ' ἔραζε.
Τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην,

Ex-adverso collimantes: Demoptolemum quidem Ulysses,
Eurydem autem Telemachus, Elatum verò subulcus,
Pisandrum autem interfecit boum bubulcus vir:
Hi quidem deindè simul omnes mordicùs prehenderunt immensum solum.
Proci verò recesserunt domûs in penetrale:
In eos autem *illi* irruerunt, et è cadaveribus hastas extraxerunt.
Rursùs porrò proci jaculati sunt acutas hastas,
Connixi: illa verò pleraque irrita reddidit Minerva.
Eorum alius quidem postem benè-fundatae domûs
Percussit, alius autem januam firmitèr aptatam;
Alius verò parieti fraxinea-hasta incidit aere-gravis.
Amphimedon autem Telemacho percussit manum ad carpum
Strictim; extremam verò pellem laesit aes.
Ctesippus porrò Eumaeum super scutum hastâ longâ
Humerum perstrinxit; ea autem supervolavit, eciditque humi.
Illi verò ex-alterâ-parte circum Ulyssem prudentem, versutum,

---

Ver. 266. —— Δημοπτόλεμον μὲν Ὀδυσσεὺς, Εὐρυάδην δ', &c.] Ὅτι τίσασθαι ἐπειδὴ ἐφιξῆς ἀνῄρηνται οἱ ῥῆμα ἐπάγουσι, εἰκὸν πάνυ συντόμως, οὕτως· Ὀδυσσεὺς μὲν τὸν δεῖνα· Τηλέμαχος δὲ τόνδε· συβώτης δὲ ἐκεῖνον· Φιλοίτιος δὲ ἄλλον ἕτερον· σπουδῇ περιττῶς καὶ τὴν φράσιν συνετιστικῶς. *Eustath.*

Ver. 269. —— ἄσπετον οὖδας.] Vide suprà ad ν'. 395.

Ver. 270. — ἀνεχώρησαν.] *Al.* ἄρ' ἐχώρησαν.

Ver. 271. Τοῖς δ' ἄρ' ἐπήϊξαν.] MS. à Tho. *Bentleio* collatus, Τοὶ δ' ἄρ' ἐπήϊξαν. Quae et potior videtur lectio.

Ver. 274. 275. 276. Τῶν ἄλλος μὲν σταθμὸν, &c.] Occurrunt hi tres versus suprà ver. 257. 258. 259. iisdem verbis. Διὰ (inquit *Eustathius* in commentario ad istum locum) τοὺς ὠδίλαφον ἐκείνους (hosce tres) ὡς ταυτολογοῦντας.

Ver. 275. et 286. Βεβλήκει.] Vide ad *Il.* ά, 37. et γ', 492.

Ver 277. —— βάλε χεῖρ' ἐπὶ καρπῷ Λίγδην.] Ὥστε ἐπιλίξαι, ὅ ἐστιν ἐπιψαῦσαι ἐπιστολαίως μόνον τὴν ἴζωσιν ἐπιφάνειαν τοῦ σώματος. *Schol.* Similitèr *ver.* 279. 280. —— ἔγχεϊ μακρῷ Ὦμον ἐπέγραψεν·

—— deflexit partim *stringentia* corpus. *Æn.* X, 331.

Tandem etiam magno *strinxit* de corpore Turni. *Ibid. ver.* 478.

Ver. 278. —— ἄκρην δὲ ῥινὸν.] Ita *Barnesius* et *Henricus Stephanus*. *Al.* ἄκρον δὲ ῥινόν.

Ver. 280. —— τὸ δ' ὑπέρπτατο.]

—— ac tremebunda supervolat hasta. *Æn.* X, 522.

Μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα·
Ἔνθ' αὖτ' Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεὺς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης·
Κτήσιππον δ' ἄρ' ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
Βεβλήκει κρὸς στῆθος· ἐπευχόμενος δὲ προσηύδα·
Ὦ Πολυθερσίδη φιλοκέρτομε, μήποτε πάμπαν
Εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσι
Μῦθον ἐπιτρέψαι· ἐπεὶ πολὺ φέρτεροί εἰσι.
Τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας
Ἀντιθέῳ Ὀδυσῆϊ, δόμον κάτ' ἀλητεύοντι.
Ἦ ῥα βοῶν ἐλίκων ἐπιβουκόλος· αὐτὰρ Ὀδυσσεὺς
Οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ·
Τηλέμαχος δ' Εὐηνορίδην Λειώκριτον οὖτα
Δουρὶ μέσον κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν·
Ἤριπε δὲ πρηνὴς, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
Δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχεν
Ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν,

Procorum in turbam jaculati sunt acutas hastas:
Tunc denuò Eurydamanta percussit urbium vastator Ulysses,
Amphimedonta autem Telemachus, Polybum verò subulcus;
Ctesippum autem deindè boum bubulcus vir
Percussit ad pectus; et super *eum* glorians allocutus est:
" O Polytherside convitiorum-amans, nunquam omninò
" Obsequens stultitiæ magnificè loquere, sed diis·
" Sermonem committe; quoniam multò potentiores sunt.
" Hoc tibi pro pede hospitale-munus, quem quondam dedisti
" Deo-pari Ulyssi, per domum vaganti."
Dixit utique boum cornibus-camurorum bubulcus: at Ulysses
Vulneravit Damastoridem cominùs hastâ longâ:
Telemachus autem Euenoridem Leiocritum vulneravit
Hastâ medio ventre, penitúsque aes transegit:
Cecidit verò *is* pronus, terramque feriit totâ fronte.
Tunc demùm Minerva mortalibus-exitiosam Aegida sustulit
Altè ex fastigio; eorum autem mentes perterritæ sunt.

Ver. 283. —— Εὐρυδάμαντα.] MS. à *Tho. Bentleio* collatus, Εὐρυμίδοντα.

Ver. 287. —— Πολυθερσίδη.] *Al.* Πολυθερσείδη.

Ver. 288. Εἴκων ἀφραδίῃς.] Vide ad *Il. ί*, 594.

Ibid. —— εἰπεῖν.] *Al.* εἰπέμεν.

Ibid. —— ἀλλὰ θεοῖσι Μῦθον ἐπιτρέψαι.]

Ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.
Euripid. Phœniss. ver. 712.

Ver. 290. Τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον.] Ἰστέον δὲ ὅτι τὸ "Τοῦτό σοι ἀντὶ ποδὸς ξεινήϊον" εἰς παροιμίαν ὕστερον ἦλθεν, ἐπὶ τῶν ἀντὶ καλοῦ ἀπολαβόντων κακόν. *Eustath.*

Ibid. —— ὅν ποτ' ἔδωκας Ἀντιθέῳ Ὀδυσῆϊ· Supra ύ, 299.

Ver. 293. Οὖτα Δαμαστορίδην.] Ὅτι καὶ ἐνταῦθα τὸ "οὖτα" κεῖται προσηκόντως διὰ ἀποκοπὴν τὴν ἐκ τοῦ οὔτασεν, ὃ σημαίνει τὴν ἐγγύθεν πληγήν. *Eustath.* Vide ad *Il.* δ', 525.

Ibid. —— Δαμαστορίδην.] *Agelaum*: Vide *ver.* 241.

Ver. 297. —— φθισίμβροτον αἰγίδ' ἀνέσχεν.] Nonnulli, notante *Barnesio*, hic legerunt φθισίμβροτος· scilicèt ut ad præcedentem Ἀθηναίη referatur. Sed, uti videtur, minùs rectè. Cæterùm de prosodiâ vocis, φθισίμβροτος, vide ad *Il.* ν', 539.

Ver. 298. —— ἐξ ὀροφῆς.] Apud *Eustathium* in commentario, ἐκ παροφῆς.

Ibid. —— τῶν δὲ φρένες ἐπτοίηθεν.] *Al.* τῶν δὲ φρένας ἐπτοίησεν.

Οἱ δ' ἐφέοντο κατὰ μέγαρον, βόες ὣς ἀγελαῖαι,
Τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν,
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται.
Οἱ δ', ὥστ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
Ἐξ ὀρέων ἐλθόντε ἐπ' ὀρνίθεσσι θορῶσι,
Ταὶ μέν τ' ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται,
Οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκὴ
Γίγνεται, οὐδὲ φυγή· χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ·

Ipsi verò trepidabant per domum, boves tanquam armentales,
Quas quidem pernix asilus adortus agitavit,
Tempore in verno, quandò dies longi sunt.
Hi autem sicut vultures curvis-unguibus, aduncis-rostris,
Ex montibus profecti avibus insiliunt;
Hae quidem in campo nubes timentes volitant;
Illi autem eas perdunt insilientes; neque ulla resistendi-facultas
Fit, neque effugium; gaudent autem et viri captura:

Ver. 299. 302. Οἱ δ' ἐφέοντο κατὰ μέγαρον, βόες ὡς——· Οἱ δ', ὥστ' αἰγυπιοὶ.] Ἴστιον δὲ ὅτι τῶν ῥηθεισῶν παραβολῶν ἡ πρώτη μὲν συνοπτέρους εἶχε τοὺς μνηστῆρας, ὡς βόας αὐτοὺς παραβάλλουσα, διὰ τὸ ἀγελαῖον τοῦ πλήθους· τοὺς μίντοι στρουθίτας μικροφυῆ ζωυφίῳ τῷ οἴστρῳ εἴπαζε, διὰ τὴν κατὰ πλῆθος τε ὀλιγότητα, καὶ τὸν ἐκ τοῦ βάλλειν κίνησιμόν. Ἡ μίντοι δευτέρα ἀσπιναντίας ἦκει τῇ πρώτῃ, πάνυ μὲν συμφύσα τοὺς διώκοντας, τῇ πρὸς αἰγυπιοὺς παραβολῇ· ἀχρείουσα δὲ τοὺς διωκομένους μνηστῆρας, διὰ τοῦ μηδὲ πρὸς ὄνομα μνησθῆναι, οἷοις ὀρνίθεσσιν ἐν τῇ φεύγειν εἴκασε. *Eustath.* Importunè admodùm. Non enim *Ulyssem* Sociosque *Asilo* hic comparat Poeta; sed priori hâc similitudine, Procorum solummodò dissipationem trepidationemque confusam; posteriori, *Ulyssis* Sociorumque vires superiores victoriamque facilem depingit.

Ver. 300. Τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν.] Ὁ οἶστρος ἀπογεννᾶται ἐκ τῶν ἐν τοῖς ποταμοῖς πλαγίων ζωαρίων, ἅτινα ἐπισπλεόντων τὰ ὕδατα, διὸ καὶ πλεῖστα περὶ αὐτὰ γίνονται. Ὁ δὲ μυὼψ ἐκ τῶν ξύλων ἀπογεννᾶται· καὶ Καλλίμαχος περὶ τοῦ μύωπος, "Βούσ-"σοον, ἵν' τε μύωπα βοῶν πελάσουσιν ἀμοργοί." Εἰσὶ δὲ οὗτοι πολλαὶ τοῖς βουσὶν ὅταν γὰρ κατὰ τὴν λατρείαν αὐτοὺς ὀρύψωσιν, εὐθὺς ἀπολιμπάνουσι τὸν νομὸν οὐρηβιῶντες. Ἔστι δὲ ὁ μὲν οἶστρος μυῖᾳ παραπλήσιος, κίντρον ἔχων εὐμεγέθες ἐκ τοῦ στόματος, καὶ φωνὴν μεγάλην βομβῶν· ὁ δὲ μύωψ παρόμοιος τῇ κινομυίᾳ, τὸ τε κίντρον ἔλαττον ἔχει τοῦ οἴστρου. *Schol.* ad *ver.* 299. Alitèr autem *Scholia* ad hunc versum: Οἶστροι, ὁ λιγέμενες μύωψ· ἔστι δὲ ζῶον ὑπόχαλκον τὴν μορφήν, ὅπερ ἂν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν, ἐξοιστρεῖν ἀναγκάζει τοὺς βόας.

Est lucos Silari circa, ilicibusque virentem
Plurimus Alburnum volitans, cui nomen asilo
Romanum est, œstron Graii vertère vocantes, [sylvis
Asper, acerba sonans; quo tota exterrita
Diffugiunt armenta ——
Virg. Georg. III, 146.

Ibid. —— αἶλος.] Vide ad *Il.* β', 816. et μ', 167.

Ver. 301. —— ἰαρινῇ.] Vide ad *Il.* ι, 5.

Ver. 302. Οἱ δ', ὥστ' αἰγυπιοὶ.] Quoniam Poeta dicit infrà *ver.* 306. χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ, ideò Dna. *Dacier* vultures hosce sive accipitres ab ipsis hominibus ad aves minores captandas consultò emissos intelligit; Poetamque hic aucupium istius temporis depingere existimat. Rationibus tamen, ut opinor, haud satìs idoneis. Neque isti interpretationi satìs aptè congruit istud Ἐξ ὀρέων ἐλθόντε, *ver.* 303.

Ver. 303. —— ἐπ' ὀρνίθεσσι θορῶσι.] Τὸ δὲ "ἐπ' ὀρνίθεσσι" (inquit *Eustathius*) ἀντὶ τοῦ, κατὰ ὀρνίθων. Malè. Videtur enim non advertisse vir eruditus, ἐπ' ὀρνίθεσσι θορῶσι, esse ὀρνίθεσσι ἐπιθορόντες.

Ver. 304. —— νίφα πεσέουσαι.] Νίφα δὲ, ἢ τὸν τῶν νιφάδων πεσμὸν καὶ τὴν λίγνα ——· ἢ μᾶλλον, κατὰ τοὺς Παλαιούς, διπτύων εἶδος, ἃ καὶ ὁ Κωμικὸς νιφάδας φησὶν ἐν τῷ, "μὰ νιφί-"λας, μὰ διπτύας·" ἵνα εἰκάζῃ τοὺς μνηστῆρας ὄρνισιν ἢ παραβολῇ, αἳ, λίνων αὐτοὺς ἱστάντων, ὕστερον ἐπέπτυσαν. εἶτα αἰγυπτίων ἐφιέντων, συνέχεσαι ἐπὶ νίφαι ἵενται, ὅ ἐστι διπτύαι ἐμπελάζουσι. *Eustath.* Posteriorem vocis hujus interpretationem veriorem contendit Dna. *Dacier.* Vide autem ad *ver.* 302.

Ὣς ἄρα τοι μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
Τύπτον ἐπιστροφάδην· τῶν δὲ στόνος ὦρνυτ' ἀεικὴς,
Κράτων τυπτομένων· δάπεδον δ' ἅπαν αἵματι Θῦεν.
Λειώδης δ' Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον·
Οὐ γάρ πω τινὰ φημὶ γυναικῶν ἐν μεγάροισιν
Εἰπεῖν, οὐδέ τι ῥέξαι, ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
Παύεσκον μνηστῆρας, ὅτις τοιαῦτά γε ῥέζοι.
Ἀλλά μοι οὐ πείθοντο κακῶν ἀπὸ χεῖρας ἔχεσθαι·
Τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
Αὐτὰρ ἐγὼ μετὰ τοῖσι Θυοσκόος, οὐδὲν ἐοργώς,
Κείσομαι· ὣς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Εἰ μὲν δὴ μετὰ τοῖσι Θυοσκόος εὔχεαι εἶναι,

Sic utique hi procos irruentes per domum
Feriebant quaquaversùm; illorum autem gemitus oriebatur foedus,
Capitibus percussis: pavimentum verò totum sanguine undabat.
Leiodes autem Ulyssis advolans prehendit genua,
Et ipsum precans verbis alatis allocutus est:
" Supplex-oro te, Ulysses; tu verò me respice, et meî miserere:
" Nunquam enim cuiquam dico *me* mulierum in aedibus
" Dixisse, neque aliquid fecisse, iniquum; sed et alios
" Compescebam procos, quicunque talia scilicèt faceret.
" Sed mihi non paruerunt, ut à malo manus abstinerent:
" Quare et ob iniquitates saevum fatum consecuti sunt.
" At ego inter hos vates, nihil qui-patravi,
" Jacebo: ita non est gratia in-posterum benefactorum."
Hunc autem torvè intuitus allocutus est solers Ulysses:
" Siquidem jam inter hos vates profiteris *te* esse,

Ver. 307. — *τοὶ.*] *Al. τούς.* Minùs rectè.

Ver. 308. — *τῶν δὲ στόνος ὦρνυτ'.*]

Tum verò et gemitus morientum, et sanguine in alto
Armaque corporaque. — *Æn.* XII, 633.

Ver. 309. — *δάπεδον δ' ἅπαν αἵματι Θῦεν.*]

— atro tepefacta cruore
Terra torique madent. — *Æn.* IX, 333.

Ver. 313. 314. *Οὐ γάρ πω τινὰ φημὶ γυναικῶν ἐν μεγάροισιν Εἰπεῖν, οὐδέ τι ῥέξαι, ἀτάσθαλον.*] *Barnesius* inter varias lectiones retulit, *Εἰπεῖν, μ' οὐδέ τι ῥέξαι* " *τὸ μὴ* enim," inquit, " omninò necessarium, videtur excidisse." Porrò totam sententiam ita reddit Vir eruditus, Versionem Editionis *Didymi* ferè secutus; " *Nondum enim aliquam dico mulierum in domibus Dicturam, me neque aliquid* " *fecisse injustum.*" Malè. Nam istâ ratione vox *οὐδὲ* " *neque*" planè esset importuna. Sententiam rectè (ut opinor) exhibet Versio *Wetsteniana*, quam ferè secutus sum; " *Nunquam enim cuiquam dico me mulie-* " *rum in ædibus Dixisse neque aliquid fecisse* " *mali.*" Neque dissimilem phrasin usurpavit Poeta suprà ϑ', 693.

Κεῖνος δ' οὔποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἰώργει.

Ver. 315. *Παύεσκον.*] Vide ad *Il.* β', 221.

Ver. 317. et 416. — *ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.*] Ita suprà ad ά, 7.

Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.

Ver. 318. et 321. — *Θυοσκόος.*] Vide suprà ad φ', 145.

Ver. 319. — *ἰνιεγέων.*] Pronuntiabatur *ἰνιεγῶν.* Vide ad *Il.* β', 811.

Πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισι,
Τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
Σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι, καὶ τέκνα τεκέσθαι·
Τῷ οὐκ ἂν θανατόν γε δυσηλεγέα προφύγοισθα.
Ὣς ἄρα φωνήσας, ξίφος εἵλετο χειρὶ παχείῃ
Κείμενον, ὅ ῥ' Ἀγέλαος ἀποτροέηκε χαμᾶζε
Κτεινόμενος· τῷ τόνγε κατ' αὐχένα μέσσον ἔλασσε·
Φθεγγομένου δ' ἄρα τοῦ γε πάρη κονίῃσιν ἐμίχθη.
Τερπιάδης δέ τ' ἀοιδὸς ἀλύσκασε κῆρα μέλαιναν
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ·
Ἔστη δ' ἐν χείρεσσιν ἔχων φόρμιγγα λίγειαν
Ἄγχι παρ' ὀρσοθύρην· δίχα δὲ φρεσὶ μερμήριζεν,
Ἦ ἐκδὺς μεγάροιο, Διὸς μεγάλου ποτὶ βωμὸν

" Saepè utique necessariò-soles optare in aedibus,
" Longè mihi reditûs finem dulcis fieri;
" Tibi autem uxoremque charam accedere, et filios parere:
" Quare non mortem sanè gravem effugies."
Sic utique locutus, ensem cepit manu robustâ
Jacentem, quem scilicèt Agelaus abjecerat humi
Quum-interficiebatur; quo hunc ad cervicem mediam feriit:
Loquentis verò ejus caput pulveribus mixtum est.
Terpiades porrò cantor declinavit fatum atrum
Phemius; qui utique canebat inter procos ex-necessitate:
Stetit autem in manibus tenens citharam argutam
Propè ad posticum: bifariàm verò mente deliberabat;
Utrùm egressus domo, Jovis magni ad aram

Ver. 322. —— *μέλλεις ἀρήμεναι.*] Vide suprà ad *ver.* 208.

Ver. 325. —— *προφύγοισθα.*] *Al.* *προφύγγοιτο.*

Ver. 327. —— *ὅ ῥ'.*] *Quem scilicèt.* —— Nonnulli, notante *Barnesio*, scribunt *ὅ ῥ'* quo modo et *ὅ ῥ'* pronuntiabatur. Vide ad *Il.* *ά*, 51. et *π'*, 228.

Ver. 329. *Φθεγγομένου δ' ἄρα τοῦ γε πάρη κονίῃσιν ἐμίχθη.*]

Tum caput orantis nequicquam, et multa parantis
Dicere, deturbat terræ. — *Æn.* X, 554.

Vide ad *Il.* *α'*, 457.

Ver. 330. —— *ἀλύσκασε.*] Ita ex Codice *Oxoniensi* restituit *Barnesius*. In Vulgatis scriptum est *ἀλύσκαζε*. Quod ferri non potest.

Ver. 331. —— *μετὰ μνηστῆρσιν.*] Suprà *Odyss.* *ά*, 154. ubi idem versus occurrit, legitur *παρὰ μνηστῆρσιν.*

Ver. 333. —— *ὀρσοθύρην.*] Vide suprà ad *ver.* 126.

Ibid. —— *μερμήριζεν.*] *Al.* *μερμήριξεν.*

Ver. 334. —— *Διὸς μεγάλου ποτὶ βωμὸν Ἑρκείου.*] *Βωμὸς δὲ Ἑρκείου Διὸς, ἔξω που τῆς τὴν αὐλὴν αἴθριος ὕπαι δοκεῖ, ἵνα καὶ τοῖς φοιτῶσι, ἐν ᾧ ἵδρυσι Διὶ ἱκέσιον τοῦτ' ἔχουσι, ἡ ἱστορεῖ τοῦ περὶ αὐλὴν τυγχάνου· ὅστις αὖ πάλιν ἐν τῇ κατ' οἶκον ἑστίᾳ Διὶ ἐγίνοντο θυσίαι, ὃν οἱ μὲν ἄλλοι ἱκέσιον, Ἡρόδοτος δὲ Ἑταιρεῖον λέγει ἱστορεῖν. Eustath.* " Jupiter inter alia multa " Epitheta —— etiam Ἑρκεῖος appellatus " est, quòd intrà septum domûs cujusque " coleretur, qui et Penetralis." *Ritterhus. de interpretatione quorundam locorum Oppiani, ad Cyneg.* I, 36. Hinc apud *Euripidem*:

Καὶ τὸν φυτουργὸν Πρίαμον
—— τοῖσδ' εἶδον ἐμπεσὼν
Αὐτὸν παναιφαγίνῃ' ἰφ' Ἑρκείῳ σταθέν.
Troad. ver. 481.

Et apud *Senecam*:

Sparsum cruore regis Hercæum Jovem.
Agamemn. ver. 445.

Vide et infrà ad *ver.* 376.

Ibid. —— *ποτὶ βωμὸν.*] *Al.* *προτὶ βωμὸν*, et *παρὰ βωμὸν.*

Ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλὰ
Λαέρτης Ὀδυσεύς τε βοῶν ἐπὶ μηρί' ἔκαιον·
Ἦ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
Ἦτοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε
Μεσσηγὺς κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου·
Αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσαΐξας λάβε γούνων,
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον·
Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν
Πέφνῃς, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
Αὐτοδίδακτος δ' εἰμί· θεὸς δέ μοι ἐν φρεσὶν οἵμας
Παντοίας ἐνέφυσεν· ἔοικα δέ τοι παραείδειν,

Hercaei sederet fabrefactam, ubi utique multa
Laërtes Ulyssesque boum femora comburebant;
An ad-genua precaretur aggressus Ulyssem.
Sic autem ei cogitanti visum est satius esse,
Genua prehendere Laërtiadae Ulyssis.
Sanè ille citharam cavam deposuit humi
Medio inter craterem et solium argenteis-clavis-distinctum:
Ipse autem demùm Ulyssem aggressus prehendit genua,
Et ipsum precans verbis alatis allocutus est:
" Supplex-oro te, Ulysses; tu verò me respice, et meî miserere:
" Ipsi tibi in-posterum dolor erit, si cantorem
" Interfeceris, qui diis et hominibus cano.
" Ex-me-ipso doctus sum; deus verò mihi in mente cantus
" Omnigenos insevit; aptus autem sum ad tibi accinendum,

Ver. 335. —— ἵζοιτο.] *Al.* ἵζοιτο.

Ibid. —— τετυγμένον.] Vide ad *Il.* ζ', 488.

Ver. 336. —— ἔκαιον.] *Al.* ἵκανον, et ἵκαιον.

Ver. 338. Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.]

Hæc alternanti potior sententia visa est.
Æn. IV, 287.

Ver. 342. 343. —— λάβε γούνων, Καί μιν λισσόμενος.]

Et genua amplectens, effatur talia supplex.
Æn. X, 523.

Ver. 344. Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον.]

Te precor, hanc animam serves ——.
Æn. X, 525.

—sine hanc animam, et miserere precantis.
Ibid. 598.

Ver. 347. Αὐτοδίδακτος δ' εἰμί.] Τοντέστιν αὐτομαθὴς τάχα πρὸς ὑπνεῦ διδασκάλου. *Eustath.* Ἐκ φύσεως διδαγμένος. *Schol.* Πάντες οἵτε τῶν ἐπῶν Ποιηταὶ οἱ ἀγαθοὶ, οὐκ ἐκ τέχνης, ἀλλ' ἐνθέου ὄντες καὶ κατεχόμενοι, πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα. *Plato in Ione*, citante *Barnesio*.

Ibid. —— Θεὸς δέ μοι ἐν φρεσὶν οἵμας.] Apud *Justin. Martyr. de Monarchiâ Dei*, notante *Barnesio*, legitur Θεὸς δέ μοι ἐμβαλὼν οἵμας· Apud *Maxim. Tyrium*, § 22. Θεὸς δέ μοι ἔπασαν ὄμφην. Videntur nimirùm illi memoriâ citâsse.

Ver. 348. —— ἔοικα δέ τοι παραείδειν, Ὥστε θεῷ·] Διὸ καὶ τῆς τοῦ ἀοιδοῦ Φημίου θείαν διδαχῆς, καὶ οἱ νῦν λέγει· οὐ γὰρ ἂν οὕτω ῥᾳδίως ἔνοικοι σιμότεροι τῶν ἐνταῦθα ἐνθεαστὶ ἀκουσθεῖσαι τῷ Ὀδυσσεῖ μετὰ τὴν εἰς Ἰθάκην ἵλιναν· ἐν αἷς προλέμπει γοργῶς τὸ, " ἔοικα δέ " τοι παραείδειν, Ὥστε θεῷ " πάνυ γὰρ πολλαπλῶς ἱέρηται· καὶ χαίρει ἂν Ὀδυσσεὺς τῇ τοιαύτῃ ἐννοίᾳ. *Eustath.* " *Phemius* vates, —— cùm " jam procorum stragem terribilem vidis- " set, et suam vitam ἐπὶ ξυρεῦ ἀκμῆς versari " intelligeret; Ulyssi supplex ad genua " provolutus, verbis eum placare pro suâ " virili aggreditur. Inter alia autem quæ " sanè sunt egregia, et personæ conveniен- " tia, hoc delinimento utitur; ἔοικα δέ τοι

Ὥστε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
Καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱός,
Ὡς ἐγὼ οὔτι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων,
Πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας·
Ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ.
Ὣς φάτο· τοῦ δ' ἤκουσ' ἱερὴ ἰς Τηλεμάχοιο,
Αἶψα δ' ἐὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα·
Ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔτασε χαλκῷ·
Καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅστε μευ αἰεὶ
Οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο παιδὸς ἐόντος·
Εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος, ἠὲ συβώτης,
Ἠέ σοι ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα.
Ὣς φάτο· τοῦ δ' ἤκουσε Μέδων, πεπνυμένα εἰδώς·
Πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
Ἕστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
Αἶψα δ' ἀπὸ θρόνου ὦρτο, θοῶς δ' ἀπέδυνε βοείην.

" Tanquam deo: quare nè me cupias obtruncare.
" Et Telemachus haec utique diceret, tuus dilectus filius,
" Quòd ego neutiquam lubens in tuam domum, neque indigens,
" Veniebam procis cantaturus inter convivia;
" Sed multò plures et potentiores ducebant *me* vi."
Sic dixit: eum autem audivit sacra vis Telemachi;
Statimque suum patrem alloquebatur propè existentem:
" Contine-te, neque omninò hunc insontem vulnera aere:
" Et praeconem Medonta servabimus, qui scilicèt me semper
" Domo in nostrâ curabat, puer cùm-eram:
" Si jam non ipsum interfecerit Philoetius, vel subulcus,
" Vel tibi *is* occurrerit ruenti per domum."
Sic dixit: eum verò audivit Medon, prudentia doctus;
Stratus enim jacebat sub solio; circùm autem pellem
Indutus erat bovis recèns-excoriatam, vitans fatum atrum.
Statim verò à solio surrexit, citóque exuit bubulam-*pellem*:

" παραιδίη. Ὥστε θεῷ.] —— Hoc autem " voluit Phemius dicere, (ut *Eustathius* ex- " ponit, et verba ipsa fidem faciunt,) se in " hoc suo discrimine Ulyssem spectare tan- " quam præsentem Deum." *Meric. Casaubon. de nuperâ Homeri Editione Dissertat.* I. Neuter videtur sensum loci attigisse. Vitam enim sibi ideò (ut opinor) conservandam monet hîc *Phemius*, quòd idoneus sit qui *Ulyssi*, tanquam deo, accinat.

Ver. 349. —— διειροτομῆσαι.] Apud *Eustathium* in commentario, διειροτομήσειν

Ver. 350. —— εἶπεν.] Apud *Eustathium*, εἶπη.

Ver. 351. Ὡς ἐγὼ οὔτι ἑκὼν.] Κεκτῆνο δὲ σαφὲς πᾶσι πάρεστιν, τὸ κολάζεσθαι τὰ ἑκούσια ἁμαρτήματα, τὰ δὲ ἀκούσια συγγνώμης τυγχάνειν· τοῦτο τέλειν δείκνυσιν ὁ Πηνέλεως, ἐν οἷς φησὶν ὁ ἀοιδὸς παρ' αὐτῷ, " Καί κεν Τηλεμα- " χος τάδε γ' εἴποι, σὸς φίλος υἱός, Ὡς ἐγὼ " οὔτι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων, Πωλεύ- " μην." *Dionys. Halicarn.* περὶ τῶν Ὁμήρου σχημάτων, § 21.

Ibid. —— ἐς σὸν δόμον.] *Al.* ἐς τὸν δόμον.

Ver. 352. —— μετὰ δαῖτας.] Apud *Eustathium* in commentario, μετὰ δαῖτα.

Ver. 362. Πεπτηὼς.] *Barnesius* aliique vertunt, "*Expavefactus.*" Sed minùs rectè: ut liquet ex aliis locis ubi eadem vox occurrit. Vide suprà ξ, 354. 474. et infrà *ver.* 384. *hujus libri.*

Ver. 364. —— ὑπὸ θρόνον.] *Al.* ἐπὶ θρόνου.

Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαΐξας λάβε γούνων, 365
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
"Ω φίλ', ἐγὼ μὲν ὅδ' εἰμί· σὺ δ' ἴσχεο· εἶπὲ δὲ πατρὶ,
Μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῷ,
Ἀνδρῶν μνηστήρων κεχολωμένος· οἵ οἱ ἔπειρον
Κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον. 370
Τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Θάρσει, ἐπειδή σ' οὗτος ἐρύσσατο καὶ ἐσάωσεν,
Ὄφρα γνῷς κατὰ θυμὸν, ἀτὰρ εἴπησθα καὶ ἄλλῳ,
Ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
Ἀλλ' ἐξελθόντες μεγάρων, ἕζεσθε θύραζε 375
Ἐκ φόνου εἰς αὐλὴν, σύ τε καὶ πολύφημος ἀοιδὸς,
Ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι, ὅττεό με χρή.
Ὣς φάτο· τὼ δ' ἔξω βήτην μεγάροιο κιόντε.
Ἕζέσθην δ' ἄρα τώγε Διὸς μεγάλου ποτὶ βωμὸν,
Πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί. 380
Πάπτηνεν δ' Ὀδυσεὺς καθ' ἑὸν δόμον, εἴτις ἔτ' ἀνδρῶν

Telemachum autem deindè aggressus prehendit genua, 365
Et ipsum precans verbis alatis allocutus est:
" O chare, ego quidem hic sum: tu verò contine-te, et dic patri;
" Nè me ferociens laedat acuto aere,
" Virorum procorum *causâ* iratus; qui ei attondebant
" Possessiones in aedibus; te autem stulti nihil honorabant." 370
Hunc verò subridens allocutus est solers Ulysses:
" Bono-esto-animo, quandoquidem te hic liberavit et servavit;
" Ut noscas *in animo*, quin dicas etiam alii,
" Quòd maleficio beneficium est longè melius.
" Sed egressi ex aedibus, sedete foris 375
" Ex caede in aulam, tuque et valdè-celebris cantor,
" Dum ego per domum operatus fuero, quodcunque me oportet."
Sic dixit: hi autem exiverunt domo profecti.
Sedebantque proindè ipsi Jovis magni ad aram,
Undique circumspicientes, caedem expectantes semper. 380
Circumspectavit verò Ulysses per suam domum, si quis adhuc virorum

---

Ver. 370. ——— ἰνὶ μεγάροις.] *Al.* ἰνὶ μεγάρῳ.

Ibid. ——— αὐδὴν ἔτισαν.] *Al.* αὐδὴν ἔτισεν.

Ver. 374. 'Ως κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.]

Τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.
Theogn. Gnom. Eleg. ver. 548.

Εὖ μὲν γὰρ εἴρηται καὶ τοῦτο, τοὺς ἀνθρώπους τότε μάλιστα μιμεῖσθαι τοὺς θεοὺς, ὅταν εὐεργετῶσιν. *Strabo, Geograph. lib.* X. *pag.* 717. *al.* 467.

Ver. 375. ——— μεγάροιν, ἕζεσθε θύραζε.] *Athenæus, lib.* V. *cap.* 3. citat, μεγάρων εὐ παπταίνοντα.

Ver. 376. Ἐκ φόνου εἰς αὐλὴν.] Ὅμηρος δὲ τὴν αὐλὴν ἀεὶ τάττει ἐπὶ τῶν ὑπαίθρων τόπων, ἔνθα ἦν ὁ τοῦ Ἑρκείου Διὸς βωμός. Ὁ μέν τοί γε Πηλεὺς καταλαμβάνεται, *Iliad.* λ', 773. "Αὐλῆς ἐν χόρτῳ." ——— Καὶ ὁ Ὀδυσσεὺς προστάσσει τοῖς περὶ τὸν Φήμιον, "Ἀλλ' ἐξελόντες τις μεγάρων εὖ παπταίνων, Ἐκ φόνου εἰς αὐλήν." *Athenæus, lib.* V, *cap.* 3.

Ibid. ——— πολύφημος ἀοιδὸς.] Πολύφημος δὲ ἀοιδὸς ὁ Φήμιος, ἢ ὡς σοφὸς καὶ πολυΐστωρ, καὶ οὕτω πολλὰς φήμας εἰδώς· ἢ ὡς πολλοὺς φημίζων· ἢ ὡς ὑπὸ πολλῶν τοῦτο πάσχων. *Eustath.* Vide suprà β', 150. ubi eadem vox occurrit.

Ver. 379. ——— ποτὶ.] *Al.* περὶ, et παρά.

Ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
Τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
Πεπτεῶτας πολλούς· ὣς δ' ἰχθύας, οὕσθ' ἁλιῆες
Κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
Δικτύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες
Κύμαθ' ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται,
Τῶν μέν τ' ἠέλιος φαέθων ἐξείλετο θυμόν·
Ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
Δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς·
Τηλέμαχ', εἶδ' ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,

Vivus surriperet-se, vitans fatum atrum.
Illos autem vidit prorsùs omnes in sanguine et pulveribus
Collapsos multos; sicut pisces, quos scilicèt piscatores
Cavum in litus, canum extra mare,
Reti extraxerunt multiforo: hi etenim omnes
Undas maris desiderantes in arenis fusi sunt;
Et horum quidem sol lucens abstulit animam:
Sic tunc utique proci alii super alios fusi erant.
Tum demùm Telemachum allocutus est solers Ulysses:
" Telemache, eia age, mihi advoca nutricem Eurycleam;

Ver. 383. —— ἐν αἵματι καὶ κονίῃσι Πεπτεῶτας.] Vide ad *Il.* ά, 593. et ν', 508. Ἐκ δὲ τοῦ " ἐν αἵματι καὶ κονίῃσι" σημειοῦνται οἱ Παλαιοὶ, ὡς οὐ κατίσχυσε λίθοις τὸ τοῦ ἀνδρῶνος ἔδαφος, εἴγε κονίαν εἶχε. *Eustath.*

Ver. 384. Πεπτεῶτας πολλούς.] In Vulgatis scriptum est Πεπτηῶτας. Quod vix ullâ licentiâ excusari potest. *Barnesius* edidit Πεπτεότας· atque ita quidem in Vulgatis legitur *Iliad.* φ', 503. Πεπτεότ' ἄλλυδις ἄλλα ——. Ex analogiâ tamen verisimilior videtur altera viri eruditi conjectura: nempè legendum Πεπτεῶτας, ut pronuntietur videlicèt Πεπτῶτας. Quâ enim analogiâ ex τιθήνης fit τιθεῦτις, ex μιμάδης, μιμᾶδες, &c. eâdem planè ex Πεπτηότας fit Πεπτεῶτας· At τιθεύτις, μιμᾶδες, et similia, nusquam apud *Homerum* reperiuntur. Vide ad *Il.* α, 265. et ν'. 46. Porrò cùm et MS. unus à *Tho Bentleio* collatus Πεπτεῶτας hìc legit, Textui hanc lectionem inserui.

Ibid. —— πολλούς· ὣς δ' ἰχθύας.] " Forte," inquit *Henricus Stephanus*, "meliùs legeretur Πεπτεῶτας, πολλοὺς ὣς δ' ἰχθύας, &c." Ut vox nimirùm, πολλούς, ad ἰχθύας, non ad Πεπτεῶτας, referatur. Sed praestat, ut opinor, vulgata Lectio.

Ibid. —— ὣς δ' ἰχθύας, &c.] Ὅρα δὲ ὅτι μεγαλεῖον φράγματος εἰ καὶ μὴ πολὺ ὑψηλὸν ὁ Πυλητὴς, ἱκανώσαι παραζωλαῖς· περὶ ὀλίγων μὲν χρησάμενος τῇ ἀπὸ βοῶν, (*ver.* 299.) ἵστ. δὲ καὶ αἰγωνίων, (*ver.* 302.) ἐνταῦθα δὲ σῇ ἀπὸ ἰχθύων· ποσῶν δὲ, λίαν τὸν Ὀδυσέα παραζαλεῖ, (infrà *ver.* 402.) ἐμὲ δὲ ἰφιξῆς καὶ ἀπὸ κιχλῶν καὶ στελεῶν παραζωλήν· ἐν τῇ τῶν ἡρώτελων θανάτῳ, (*ver.* 468.) Καὶ τὸν μὲν ἄτης ἄλλως μέσου τὸ τῆς Ὀδυσσείας βιβλίον στενὸν παραζωλῶν, ὃν ἡ Ἰλιὰς εἰς πλάτος μιμήσεται, διὰ τὸ τῶν ἐκεῖ πραξίων πολυμιγεῖς, ἐναργεῖας δυομένων ἄλλης τι καὶ τῆς ἐκ παραζωλῶν. *Eustath.* Vide suprà ad ά, 1.

Ver. 386. Δικτύῳ ἐξέρυσαν.] Σημειοῦνται δὲ οἱ Παλαιοὶ ἔνταῦθα μηστῆρας τοὺς Πυθαγορείους ἰχθύων θήρας τῆς διὰ δικτύων τὸ γένος Ἰλιάδι [ί, 487.] " Μήτως ὡς ἀψῖτε λύκοι ἠὲ " λέοντε πανάγρου," ἄδηλον φασὶ, εἴτε ἰχθύων, εἴτε στιζῶν ζώων, εἴτε καὶ στενῶν ἄγρας δηλονότι τῶν δί γε δι' ἁρμῶν καὶ ἀγχίστρου θήραν σαλπίσεις εἴτουν. *Eustath.*

Ibid. —— πολυωπῷ.] Πολλὰς τρύπας ἔχοντι. *Schol.*

Ver. 387. 389. —— κέχυνται, —— κέχυντο.] De Tempore Praesenti alterum, alterum de Praeterito. Quorum utrumque quidem à Latino "*fusi sunt*" rectè exprimi potest; at Grœcè, si voces hinc illinc transponas, nequaquam constabit Temporum ratio. Vide ad *Il.* ά, 37.

Ver. 388. Τῶν μέν τ' ἠέλιος φαέθων ἐξείλετο θυμόν.] " Ulyssem verò," inquit *Spondanus*, " Soli [comparat;] qui illos Procos interemit, ut Sol illos pisces." Minùs rectè. Parùm enim apta ista comparatio. Poëta autem hàc similitudine Procos interfectos, aliosque super alios humi fusos, solummodò describit; *Ulyssem*, infrà *ver.* 402. *Leonis* similitudine depingit.

Ὄφρα ἔπος εἴποιμι, τό μοι καταθύμιόν ἐστιν.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπιπείθετο πατρί·
Κινήσας δὲ θύρην, προσέφη τροφὸν Εὐρύκλειαν·
Δεῦρο δὴ ὄρσο, γρηῢ παλαιγενές, ἥτε γυναικῶν
Δμωάων σκοπός ἐσσι κατὰ μέγαρ' ἡμετεράων·
Ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπῃ.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Ὤϊξεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων·
Βῆ δ' ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
Εὗρεν ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοις νεκύεσσιν,
Αἵματι καὶ λύθρῳ πεπαλαγμένον· ὥστε λέοντα,
Ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο·
Πᾶν δ' ἄρα οἱ στῆθός τε, παρηιά τ' ἀμφοτέρωθεν
Αἱματόεντα πέλει· δεινὸς δ' εἰς ὦπα ἰδέσθαι·
Ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
Ἦ δ' ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴσιδεν αἷμα,
Ἴθυσέν ῥ' ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον·

" Ut verbum dicam, quod mihi in-animo est."
Sic dixit: Telemachus verò dilecto obedivit patri;
Motâque januâ allocutus est nutricem Eurycleam:
" Huc jam move-te, anus antiqua, quae utique mulierum
" Famularum inspectrix es in aedibus nostris:
" Veni; vocat te pater meus; ut aliquid dicat."
Sic utique locutus est: ei autem pennarum-expers fuit verbum.
Aperuit verò fores aedium habitantibus-commodarum:
Perrexitque ire: at Telemachus antè praeibat.
Invenit deindè Ulyssem inter caesa cadavera,
Sanguine et pulvere inquinatum; tanquam leonem,
Qui scilicèt pastus de-bove venit agresti;
Totum autem ei pectusque, genaeque utrinque
Cruentae sunt; terribilis verò in vultum aspectu:
Sic Ulysses inquinatus erat pedes et manus supernè.
Illa autem ubi cadaveraque et immensum inspexit sanguinem,
Impetum cepit jubilandi, quoniam magnum vidit opus:

Ver. 394. Κινήσας δὲ θύρην.] Κίνησας, προύσας. *Schol.* Ὅτι κινῆσαι θύραν φησὶ τὸ διπεσαλεῦσαι, ἐπὶ πλήσει τινὸς τῶν ἴσων. *Eustath.*

Ver. 398. —— τῇ δ' ἄπτερος ἔπλετο μῦθος.] Vide suprà ad ε', 57.

Ver. 401. —— μετὰ κταμένοις νεκύεσσιν.] Occurrit idem versus infrà Ψ', 45. et utrobique in Vulgatis scriptum est μετὰ κταμένοισι νέκυσσιν· quod, ut rectè observat *Barnesius*, ferri non potest, nisi duplici σ scribas νέκυσσιν. Cùm verò vox νέκυσσι, aut νέκυσσι, nusquam apud *Homerum* nisi hisce duobus in locis, reperiatur; νεκύεσσι autem sæpiùs occurrat; edidit Vir ipse eruditus ex conjecturâ, μετὰ κταμένοις νεκύεσσι.

Ver. 404. —— πάρηιά τ' ἀμφοτέρωθεν Αἱματόεντα πέλει.] —— lavit improba teter
Ora cruor ——. *Æn.* X, 727.

Ver. 408. 411. Ἴθυσέν ῥ' ὀλολύξαι, —— μετ' ὀλολυγῇ.] De vocis, ὀλολύξαι, significatione, ita *Eustathius*: Νοητέον οὖν, ὅτι τῆς γραὸς ἐν τῷ χαίρειν ὀλολύξαι προθυμίνης, ἤγουν τερπούσης φωνῇ ἰύζεσθαι, καὶ Διὸς ἐπιβοήσεσθαι διὰ τὴν χαρὰν, κωλύει Ὀδυσεὺς, παραινέσας ἐν θυμῷ χαίρειν αὐτὴν, σιωπῶσαν δηλαδὴ· τὸ μέντοι ἐπὶ θρήνου τάττειν τὸ ὀλολύζειν πιστέον ἐστί. Et *Hesychius* ad vocem Ὀλολυγή· Φωνὴ (inquit) γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς ἐπόμεναι. Ita suprà γ', 767.

Ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν, ἱεμένην περ.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐν θυμῷ, γρηῦ, χαῖρε, καὶ ἴσχεο, μηδ' ὀλόλυζε·
Οὐχ ὁσίη, ταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.
Τούσδε δὲ μοῖρ' ἐδάμασσε θεῶν, καὶ σχέτλια ἔργα·
Οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ὅτις σφέας εἰσαφίκοιτο·
Τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
Ἀλλ' ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον,
Αἵ τέ μ' ἀτιμάζουσι, καὶ αἳ νηλητεῖς εἰσι.

Sed Ulysses cohibuit et retinuit, cupientem licèt;
Et ipsam compellans verbis alatis allocutus est:
" In animo, anus, gaude, et te-contine, neque jubila:
" Non *est* fas, interfectos super viros gloriari.
" Hosce verò fatum domuit deorum, et iniqua opera:
" Neminem enim honorabant terrestrium hominum,
" Non malum, neque quidem bonum, quicunque ad ipsos perveniret;
" Quare et ob iniquitates saevum fatum consecuti sunt.
" Sed age, mihi tu mulieres in aedibus recense,
" Et quae me parùm-honorent, et quae culpae-expertes sint."

Ὡς εἰπὼν ὀλόλυξε· θεὰ δέ οἱ ἔπλυνε ἀρβῆς.
Et *Iliad.* ζ', 301.
Αἱ δ' ὀλοληγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνίσχον.
Et apud *Æschylum:*
Ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο.
Agamemn. ver. 596.
Et *ibid. ver.* 603.
——— καὶ γυναικείαν νόμῳ
Ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
Ἔλασκεν, εὐφημοῦντες ἐν θεῶν ἕδραις.
Vide et *Theocrit. Idyll.* XVII, 64. item *Meric. Casaub. de nuperâ Homeri Edit. Dissertat.* I. et *Duportum, Gnomolog. Homeric.* ad hunc locum; ubi de hâc voce plura.

Ver. 411. Ἐν θυμῷ, γρηῦ, χαῖρε, καὶ ἴσχεο.] Sic apud *Propertium:*
In tacito cohibe gaudia clausa sinu.
Lib. II. *Eleg.* XXV. 30.

Ver. 412. Οὐχ ὁσίη, ταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.]
Κἀκεῖνο πέφυκα, μὴ 'φυβρίζεσθαι νεκρούς.
Euripid. Phœniss. ver. 1657.
Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσι.
Archil. ap. Clem. Alexand. Strom. VI.
ubi et hic *Homeri* locus adducitur.
Θνητὸς φιφυσκὼς μὴ γέλα τεθνηκότα.
Grotius, in Excerpt. ex incertis Auctoribus.

Ibid. Οὐχ ὁσίη, ταμένοισιν.] Ita in *Hymno* in *Apollinem, Homero* vulgò ascript. *ver.* 237.
Ὡς γὰρ τὰ πρώτιστ' ὁσίη γένετ' ———.
Ἐν δὲ τῷ. " Οὐχ' ὁσίη," λείπει τὸ δικὴ, ἢ τὸ ψυχὴ, ληφθὲν ἀπὸ κοινοῦ· ἵνα λέγῃ, ὅτι οὐχ ὁσίη ψυχὴ, τὸ οὕτως ἐυχέσθαι. *Eustath.* " Ita " dicitur Poetæ, prout et aliis nonnullis " quod ὅσιον *Sophocli* in illis; Οὐ θεμιτὸν, " ὅσιον· et *Phocylidæ*, (Πείρατα κόσμου, " *ver.* 125.)

" Οὐχ' ὅσιον πρόσωπον τὸν ἀνάπαλιν ἐκβῆναι " ἔσωθεν."
Gataker. de Novi Instrumenti Stylo, cap. 33.

Ipse autem deindè eorum sententiam præfert, qui ὁσίη hic *Substantivum* potiùs esse censeant. Cæterùm *Plinius, Epist. lib.* IX. 1. citat, Οὐχ ὅσιον φθιμένοισιν. *Hesychius* autem, notante *Barnesio*, legit, Οὐχ ὁσίη φθιμένοισιν. Vide et suprà ad π', 423.

Ver. 413. Τούσδε δὲ μοῖρ' ἐδάμασσε θεῶν.] Τοὺς δὲ ἀναγκασθέντας ἐκπαιεῖν αὐτοὺς, ἐλαφρότερους παρέχει καὶ τὸ μὴ πάντα προπαιεῖν ἐκείνοις, ἀλλ' ὅσους φορτικοὺς τῇ οἰκίᾳ, τὸ μὴ τῆς τύχης. τὸ δὲ ἐς τὸν θεὸν ἀσεβέστερον. *Plutarch. de Sui Laude.* Cæterùm *Eustathius* in commentario citat, Τοὺς δὲ ἔλεος ἐδάμασσε.

Ver. 417. Ἀλλ' ἄγε μοι σὺ γυναῖκας.] Ὅτι τὶ καὶ ἐν τοῖς πρὸ τούτου (suprà π', 300.) Ὀδυσσεὺς μὴ ἰδίλιον εἶπεν ἐν τῇ τρόπῳ μεθ' ὧν τίνες τῶν γυναικῶν φαῦλαι. καὶ τίνες οὐ τοιαῦται, αὐτὸς ἐκάστας φράσασθαι· ἀλλ' ἐκεῖνο μὲν ἴφη, ὡς μὴ πολλὰς ἰδίλιον ἐθέλειν ἐκείνας χάριτος ἀκαίρους τῇ μαίᾳ· νῦν μέντοι ἱκετῇ χάριν ἐντολίζει γυναῖκας τὰς ἐν μιγάρῳ. *Eustath.*

Ver. 418. ——— νηλητεῖς.] Ita *Barnesius*: Quocum facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* νηλιτεῖς. *Al.* νηλίτεις. Vide suprà ad π', 317.

Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω·
Πεντήκοντά τοι εἰσὶν ἐνὶ μεγάροισι γυναῖκες
Δμωαὶ, τὰς μέν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι,
Εἴριά τε ξαίνειν, καὶ δουλοσύνης ἀνέχεσθαι·
Τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
Οὔτ' ἐμὲ τίουσαι, οὔτ' αὐτὴν Πηνελόπειαν.
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ ἑ μήτηρ
Σημαίνειν εἴασκεν ἐπὶ δμωῇσι γυναιξίν.
Ἀλλ' ἄγ' ἐγὼν ἀναβᾶσ' ὑπερῴϊα σιγαλόεντα,
Εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσε.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Μήπω τήνδ' ἐπέγειρε· σὺ δ' ἐνθάδε εἰπὲ γυναιξὶν,
Ἐλθέμεν, αἵπερ πρόσθεν ἀεικέα μηχανόωντο.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ δι' ἐκ μεγάροιο βεβήκει,
Ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.

Illum autem rursùs allocuta est dilecta nutrix Euryclea:
" Enimverò ego tibi, fili, veritatem declarabo;
" Quinquaginta tibi sunt in aedibus mulieres
" Famulae; quas quidem opera docuimus operari,
" Lanasque carpere, et servitutem sustinere:
" Harum duodecim omnes ad impudentiam processerunt,
" Neque me honorantes, neque ipsam Penelopen.
" Telemachus verò recens quidem adolescebat, neque ipsum mater
" Imperare sinebat famulis mulieribus.
" Sed age, ego, conscenso coenaculo splendido,
" Dicam tuae uxori; cui aliquis deus somnum immisit."
Hanc autem respondens allocutus est solers Ulysses:
" Nondum eam excita; tu verò huc dic mulieribus,
" Ut veniant; quae scilicèt anteà indigna machinabantur."
Sic utique dixit: anus autem per domum exivit
Nunciatura mulieribus, et hortatura ad-veniendum.

Ver. 420. —— ἀληθείην.] Vide suprà ad ἡ, 297.

Ver. 423. —— δουλοσύνης ἀνίχεσθαι.] In exemplaribus nonnullis legitur, notante *Eustathio*, δουλοσύνην ἀνίχεσθαι.

Ver. 424. —— δώδεκα πᾶσαι.] Vide suprà ad ἱ, 244. item ad *Il.* σ', 373. 470.

Ibid. —— ἀναιδείης ἐπέβησαν.] Ἐσὶ πολὺ τῆς ἀναιδείας ἐπῆλθον. *Schol.* Ita infrà ψ', 13.

Καί τι χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν.

Et *ver.* 52.

—— ἵνα φρεσὶν ἴσιν σωφροσύνης ἐπιβῆτον
Ἀμφιτρίτην φίλον ἦτορ. ——

Et *Iliad.* β', 234.

—— κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν.

Ver. 426. Τηλέμαχος δὲ νέον μὲν ἀέξετο.] Ἀπολογία δὲ τοῦτο ὑπὲρ τοῦ παιδὸς, ἵνα μὴ μέμφοιτο αὐτὸν ὁ κατὴρ, ὡς μὴ κωλύοντα τὰς δμωὰς τοιαῦτα ποιεῖν. *Eustath.* Verùm, ut opinor, non hoc voluit *Euryclea*; (neque enim quicquam opus:) sed servarum nequitiam simpliciter huic causæ tribuit, quòd scilicèt domino caruerint.

Ver. 427. Σημαίνειν.] *Al.* Σημαίειν.

Ver. 429. —— ὕπνον ἐπῶρσε.] *Al.* ὕπνον ἔχυτο.

Ver. 431. Μήπω τήνδ' ἐπέγειρε.] Ἐπιλύσει γὰρ ἂν κολαστῆναι τὰς δούλας. *Schol.* Οὕτω γὰρ ἐβούλετο τὴν Πηνελόπην ἐξεγερθῆναι, σχοινὶ καὶ τὸ δῶμα τίλιον διακοσμηθῆναι, καὶ τὰς κακὰς δι' γυναῖκας ἐπιλεκτῖν. *Eustath.*

Ver. 434. et 496. —— ὀτρυνέουσα.] Vide ad *Il.* ν', 55.

Αὐτὰρ ὁ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
Εἰς ἑ καλεσσάμενος, ἔπεα πτερόεντα προσηύδα·
"Ἄρχετε νῦν νέκυας φορέειν, καὶ ἄνωχθε γυναῖκας·
Αὐτὰρ ἔπειτα θρόνους περικαλλέας, ἠδὲ τραπέζας,
Ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
Αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε,
Δμωὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
Μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς
Θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰσόκε πᾶσέων
Ψυχὰς ἐξαφέλοισθε, καὶ ἐκλελάθοιντ' Ἀφροδίτης,
Τὴν ἅρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντό τε λάθρῃ.
"Ὡς ἔφαθ'· αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
Αἰὲν ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.

At ille Telemachum et bubulcum et subulcum
Ad se vocatos, verbis alatis allocutus est:
" Incipite nunc cadavera portare, et jubete mulieres;
" At posteà solia perpulchra, et mensas,
" Aquâ et spongiis multiforis purgate.
" At postquam jam totam domum ordinaveritis,
" Famulas eductas è benè-fundatâ domo,
" Medio inter tholumque et egregium septum aulæ,
" Ferite ensibus longis, donec omnium
" Animas abstuleritis, et oblitæ fuerint Veneris,
" Quam scilicèt cum procis habebant, miscebanturque clàm."
Sic dixit: mulieres autem confertæ venerunt omnes,
Gravitèr lamentantes, uberes lachrymas defundentes.

Μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃσ' ἁλίῃσιν,
Ἀγγελίης ἀΐουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
Θεσπεσίη· ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
Καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
Εἰ μὴ ἀνὴρ κατέρυκε, παλαιά τε, πολλά τε εἰδὼς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
Ὃς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἴσχεσθ', Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
Μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃσ' ἁλίῃσιν,
Ἔρχεται, οὗ παιδὸς τεθνειότος ἀντιόωσα.
Ὣς ἔφαθ'· οἱ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί.
Ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος,
Οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.

" Nos verò toto die pugnabamus, neque omninò
" Cessavissemus à-bello, nisi Jupiter turbine cessare-fecisset.
" At postquam te ad naves portaveramus ex bello,
" Deposuimus in lectis, purgato corpore pulchro,
" Aquâque calidâ et unguento : multas verò te circum
" Lachrymas calidas fundebant Danai, tondebantque sibi crines.
" Mater autem ex mari venit cum immortalibus *deabus* marinis
" Nuntium audiens ; clamor verò super mare excitatus est
" Immensus ; subtùs autem tremor cepit omnes Achivos :
" Et jam impetu-facto conscendissent cavas naves,
" Nisi vir detinuisset, antiquaque, multaque doctus,
" Nestor, cujus et anteà optimum ostendebatur consilium :
" Qui ipsis rectè-sentiens concionatus est, et dixit :
" Continete-vos, Argivi, nè fugite, filii Achivorum :
" Mater ex mari haec cum immortalibus *deabus* marinis,
" Ventura est, suo filio mortuo occursura.'
" Sic dixit : continebant autem se à fugâ magnanimi Achivi.
" Circum verò te steterunt filiae marini senis,
" Miserabilitèr lamentantes : circum autem immortales vestes *tibi* induerunt.

Ver. 41. —— οὐδέ κε πάμπαν.] *Al.* οὐδέτι πάμπαν.

Ver. 44. Κάτθεμεν ἐν λεχέεσσι, καθήραντες, &c.]

— corpusque lavant frigentis et ungunt.
— tum membra toro defleta reponunt.
Æn. VI, 219. 220.

Ver. 45. —— ἀμφὶς.] *Al.* ἀμφί.

Ver. 46. —— κείροντό.] *Al.* κείραντο.

Ver. 48. —— ἀΐουσα.] Vide ad *Il.* ί, 262.

Ver. 49. —— ὑπὸ δὲ.] *Al.* ἐπὶ δὲ.

Ver. 54. Ἴσχεσθ', Ἀργεῖοι, &c.] Ita *Iliad.* γ', 82.

Ἴσχεσθ', Ἀργεῖοι, μὴ βάλλεσθε, κοῦροι Ἀχαιῶν.

Ver. 56. —— τεθνειότος.] *Al.* τεθνειότος.

Ver. 57. —— ἔσχοντο.] *Al.* ἴσχοντο.

Ver. 59. —— περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.]

Purpureasque super vestes, velamina nota,
Conjiciunt ——— *Æn.* VI, 221

Μοῦσαι δ' ἐννέα πᾶσαι, ἀμειβόμεναι ὀπὶ καλῇ,
Θρήνεον· ἔνθα κεν οὔτιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ὑπώρορε Μοῦσα λίγεια.
Ἑπτὰ δὲ καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ,
Κλαίομεν, ἀθάνατοί τε θεοὶ, θνητοί τ' ἄνθρωποι·
Ὀκτωκαιδεκάτῃ δ' ἔδομεν πυρὶ, πολλὰ δέ σ' ἀμφὶς
Μῆλα κατεκτάνομεν μάλα πίονα, καὶ ἕλικας βοῦς.
Καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν, καὶ ἀλείφατι πολλῷ,
Καὶ μέλιτι γλυκερῷ· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
Τεύχεσιν ἐρρώσαντό πυρὴν πέρι καιομένοιο,
Πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
Αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἧνυσεν Ἡφαίστοιο,

" Musae verò novem omnes, alternantes voce pulchrâ,
" Lugebant: tunc neminem absque-lachrymis utique vidisses
" Argivorum: usque-adeò enim increbuit Musa canora.
" Septem autem et decem quidem te paritèr noctesque et dies,
" Flebamus immortalesque dii, mortalesque homines;
" Octavâ-et-decimâ autem dedimus igni; multas verò circa te
" Oves jugulavimus valdè pingues, et camuras-cornibus boves.
" Cremabaris autem in vestitu deorum, et unguento multo,
" Et melle dulci: multi verò heroës Achivi
" Cum-armis agitârunt-se circa pyram ardentis,
" Peditesque equitesque; ingens autem strepitus ortus est.
" Sed postquam demùm te flamma confecerat Vulcani,

Ver. 60. Μοῦσαι δ' ἐννέα.] Hinc *Achillis Epitaphium* in Πίπλῳ, citante *Barnesio*:

Θεσσαλὸς οὗτος ἀνὴρ Ἀχιλεὺς ἐν τῷδε τέθαπται
Τύμβῳ· ἐθρήνησαν δ' ἐννέα Πιερίδες.

Ibid. —— ἐννέα πᾶσαι.] Vide suprà ad ι, 244. et ad *Il.* σ', 373. 470.

Ver. 61. —— ἐνόησας.] MS. à *Tho. Bentleio* collatus, ἐνόησα. Quod cum præcedenti, ἔνθα κεν, minùs convenit.

Ver. 62. —— τοῖον γὰρ ὑπώρορε Μοῦσα λίγεια.] Ita suprà Ψ', 539.

Ἐξ οὗ δεκτόμὶν τι, καὶ ἄρορε δῖος ἀοιδὸς,
Ἐκ τοῦδ' οὔπω παύσατ' ἰζυρεὸν γόον.

Undè vocem ὑπώρορε hoc in loco, non, (ut *Barnesius* aliique,) " *Animos permoverat*;" sed, " *Increbuit*," verto.

Ibid. —— ὑπώρορε.] Postulat Temporum ratio ut vox ὑπώρορε sit non à *Perfecto* ὑπώρορα, sed ab Aoristo ὑπώρορον. Vide ad *Il.* ά, 37. Cæterùm apud *Eustathium* in commentario, itemque in MS. à *Tho. Bentleio* collato legitur ὑπώρορα. *Al.* ὑπόρνυι, et ὑπόρνυτο.

Ver. 65. Ἑπτὰ δὲ καὶ δέκα μέν σε.] Ita edidit *Barnesius*: Quocum facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* Ἑπταεπαίδεκα μέν σε.

Ver. 65. —— πολλὰ δέ σ' ἀμφὶς Μῆλα κατεκτάνομεν.]

—— cædit quinas de more bidentes,
Totque sues, totidem nigrantes terga juvencos. *Æn.* V, 96.

Multa boum circa mactantur corpora morti;
Setigerosque sues, raptasque ex omnibus agris
In flammam jugulant pecudes ——. *Æn.* XI, 197.

Ibid. —— πολλὰ δέ σ' ἀμφὶς.] *Al.* πολλὰ δ' ἐπ' αὐτῷ. Ut referatur scilicèt ad præcedentem πυρί· Uti notavit *Barnesius*.

Ver. 67. Καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν.] Ἐσθῆτα δὲ θεῶν λέγει τὰ μυθικῶς ἄμοιρα εἴματα τὰ ἀνωτέρω ῥηθέντα. *Eustath.* Vide suprà ad *ver.* 59.

Ver. 68. —— πολλοὶ δ' ἥρωες Ἀχαιοὶ Τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι.]

Ter circum accensos, cincti fulgentibus armis,
Decurrère rogos: ter mœstum funeris ignem
Lustravêre in equis: ululatusque ore dedêre. *Æn.* XI, 188.

Ver. 69. —— ἐρρώσαντο.] Τυχεῖν ῥώσασθαι, ἤτοι ἐρρωμένως κινηθῆναι. *Eustath.* Ita *Iliad.* ώ, 616.

Νυμφάων, αἳ τ' ἀμφ' Ἀχιλλῆϊ ἐρρώσαντο

Vide et *Iliad.* ά, 529. *Odyss.* ψ', 3.

Ver. 71. Αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἧνυσεν.]

Ἤωθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
Οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
Χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
Φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο·
Ἐν τῷ τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
Μίγδα δὲ, Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
Χωρὶς δ', Ἀντιλόχοιο· τὸν ἔξοχα τῖες ἁπάντων
Τῶν ἄλλων ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
Ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
Χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
Ἀκτῇ ἐπὶ προὐχούσῃ, ἐπὶ πλατεῖ Ἑλλησπόντῳ·

" Manè utique tibi colligebamus alba ossa, Achilles,
" Vino in puro et unguento: dedit autem mater
" Auream amphoram, Bacchi verò donum
" Dicebat esse; opus autem inclyti Vulcani: 75
" In hâc tibi jacent alba ossa, illustris Achilles;
" Promiscuéque, Patrocli Menoetiadae mortui:
" Separatim verò, Antilochi, quem maximè honorabas omnium
" Aliorum sociorum, post Patroclum utique mortuum.
" Circum haec autem posteà magnum et insignem tumulum 80
" Congessimus Argivorum sacer exercitus bellicosorum,
" Littore in prominenti, ad latum Hellespontum;

Postquam collapsi cineres, et flamma quievit, [lam;
Reliquias vino et bibulam lavere favil-
Ossaque lecta cado texit Chorinæus abeno. Æn. VI, 226.

Ver. 72. Ἤωθεν δή τοι λέγομεν λεύκ' ὀστέ'.] Tertia lux gelidam cœlo dimoverat umbram: [bant
Mœrentes altum cinerem et confusa rue-
Ossa focis ———. Æn. XI, 210.

Ibid. —— τοι.] *Al.* σοι.

Ver. 73. —— δῶκε δὲ μήτηρ Χρύσεον ἀμφιφορῆα.] Ita *Iliad.* Ψ', 91.

Ὡς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
Χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.

Ver. 76. 77. Ἐν τῷ τοι κεῖται λεύκ' ὀστέα, —— Μίγδα δὲ, Πατρόκλοιο.] Ita nimirùm præceperat ipse *Achilles*:

—— αὐτὰρ ἔπειτα
Ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγεσθαι, —
Καὶ τὰ μὲν ἐν χρυσείῃ φιάλῃ καὶ δίπλακι δηρὸν
Θεῖεμεν, τέως αὖτε ἐγὼν ἔλθω πεύθωμαι.
Iliad. Ψ', 238. 243.

Ver. 78. —— τῖες.] Vide ad *Il.* Υ', 257. et ν', 103.

Ver. 79. —— μετὰ Πάτροκλόν γε θανόντα.] *Al.* μετ' ἀμύμονα Πατροκλῆα.

Ver. 80. —— ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον Χεύαμεν.] Ita videlicèt (uti notavit Dna. *Dacier*) Græcis mandaverat *Achilles*, quum *Patrocli* exequias celebrabat, *Iliad.* Ψ', 245.

Τύμβον δ' οὐ μάλα σεῖο ἐγὼ ποιήσομαι ἄνσσα,
Ἀλλ' ὁπιπία τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
Εὐρύν θ' ὑψηλόν τε τεθήμεναι, εἴ τιν ἐμεῖο
Δεύτεροι ἐν νήεσσι σεσωμένῃσι λίσησθε.

Porrò *Achillis* tumulum ad *Sigæum* Promontorium extitisse refert *Strabo*: Τοῦ μὲν οὖν Ἀχιλλέως (inquit) καὶ ἱερόν ἐστι καὶ μνῆμα πρὸς τῷ Σιγείῳ· Πατρόκλου δὲ καὶ Ἀντιλόχου μήματα· καὶ ἐναγίζουσι οἱ Ἴλιεῖς πᾶσι καὶ τούτοις, καὶ τῷ Αἴαντι. *Geograph. lib.* XIII. *pag.* 891. *al.* 596.

Ver. 81. —— Ἀργείων ἱερὸς στρατὸς.] Ἱερὸν δὲ στρατὸν λέγει τὸν Ἑλληνικὸν, ὡς ὑπὲρ ἀφετῆς πολυπτύσσοντα τὸν δικαιοῦν ἑαυτῶν φίλιππον. *Eustath.* Videtur autem Epitheton hoc, sicut δῖος, et similia, rem quaviscunque de causâ insignem denotare.

Ver. 82. Ἀκτῇ ἐπὶ προὐχούσῃ.]

—— projectaque saxa Pachyni. Æn. III, 699.

Ibid. —— ἐπὶ πλατεῖ Ἑλλησπόντῳ.] De hâc phrasi, vide ad *Il.* ή, 86. ubi plures vocis πλατεῖ accipiendæ rationes afferuntur. Optima autem omnium videtur quæ simplicissima; nempè ut *Hellespontus* ideò πλατεῖς dictus intelligatur, quòd indè Tumuli longè se aperiret prospectus. Quæ explicatio omninò firmatur ex hoc loco, ubi addit Poëta:

Ὡς κεν πολιήτης ἐν πεντήκοντ' ἀνδρέσσι ἴῃ.

Ὣς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
Τοῖς, οἳ νῦν γεγάασι, καὶ οἳ μετόπισθεν ἔσονται.
Μήτηρ δ', αἰτήσασα θεοὺς, περικαλλέ' ἄεθλα
Θῆκε μέσῳ ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.
Ἤδη μὲν πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησα
Ἡρώων, ὅτε κέν ποτ' ἀποφθιμένου βασιλῆος
Ζώννυνταί τε νέοι, καὶ ἐπεντύνονται ἄεθλα·
Ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ἐτεθήπεα θυμῷ,
Οἷ' ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα,
Ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
Ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ' ὤλεσας, ἀλλά τοι αἰεὶ
Πάντας ἐπ' ἀνθρώπους κλέος ἔσσεται ἐσθλὸν, Ἀχιλλεῦ·
Αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
Ἐν νόστῳ γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον,

" Ut longè-conspicuus ex ponto viris esset
" Iis, qui nunc nati sunt, et qui in-futurum erunt.
" Mater autem, diis rogatis, perpulchra certamina
" Posuit medio in circo optimatibus Achivorum.
" Jamjam quidem multorum funeri virorum interfui
" Heroüm, quandocunque *fit ut* mortuo rege
" Cinganturque juvenes, et parent certamina;
" Sed illa maximè conspicatus mirabar animo,
" Qualia super te deposuit dea perpulchra certamina,
" Argentea-pedibus Thetis: valdè enim charus eras diis.
" Sic tu quidem neque mortuus nomen perdidisti, sed tibi semper
" Omnes apud homines gloria erit eximia, Achilles:
" At mihi quae ea voluptas, postquam bellum confeceram?
" In reditu enim mihi Jupiter molitus est grave exitium,

Ver. 83. —— *ποντόφιν.*] Vide ad *Il. ν'*, 588.

Ibid. —— *εἴη.*] *Eustathius* in commentario legit *εἶης.*

Ver. 87. —— *ἀντεβόλησα.*] *Eustathius* in commentario citat, *ἀντεβόλησας.* Quæ lectio (uti notat *Barnesius*) refutatur ex *ver.* 90. infrà; "Ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ἐτεθήπεα "θυμῷ·" nisi ibi pro *ἐτεθήπεα* legas vel *θηήσασα*, uti habet MS. à *Tho. Benilcio* collatus, Editionesque nonnullæ; vel *ἐτεθήπεις*, aut *ἐτεθήπεις*, (pronuntiando scilicèt *ἐτεθήπης*·) quarum lectionum hîc meminit *Eustathius*. Ac similis quidem loquendi ratio occurrit suprà λ', 417.

Ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύρατο θυμῷ.

Ver. 88. —— *ἀποφθιμένου.*] Vide ad *Il. β'*, 43.

Ver. 89. *Ζώννυνταί τε νέοι.*] Ἐν στριζόμενοι ἀγωνίζονται. *Schol.* Vide ad *Il. ψ'*, 710.

Ver. 90. Ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ἐτεθήπεα θυμῷ.] Apud *Eustathium* in commentario legitur Ἀλλά γε κεῖνα, &c. " Quæ " particula *γε*," ut rectè hîc annotat *Henricus Stephanus*, " cum *ἐτεθήπεα* videri etiam " aptior posset quàm *κε*. Hanc enim cum " *ἐτεθήπεα* retinentes, otiosam esse sive *πα-* " *ραπληρωματικὴν* dicemus. At si *ἐτεθήπεις* " legamus, aut *θηήσασα*, (ut habet Flor. Edi- " tio;) erit necessaria *κε*, pro *ἄν*." Vide suprà ad *ver.* 87.

Ver. 93. —— *οὐδὲ θανὼν ὄνομ' ὤλεσας, &c.*] Vide ad *Il. ί*, 413. item infrà ad *ver.* 195. *hujus libri.*

Ἀρετὴ δὲ, καὶ ἢν θάνῃ τις, οὐκ ἀπόλλυται·
Ζῇ δ', οὐκ ἐν' ὄντος σώματος· ——
Euripid. Fragmentum, quod inscribitur Τήμενος, ἢ Τημενίδαι, *ver.* 1.

—— nomenque erit indelebile nostrum.
Ovid. Metam. lib. XV, *ver.* 876.

—— famam extendere factis,
Hoc virtutis opus ——
Æn. X, 468.

Αἰγίσθου ὑπὸ χερσὶ, καὶ οὐλομένης ἀλόχοιο.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἀγχίμολον δέ σφ' ἦλθε διάκτορος Ἀργειφόντης,
Ψυχὰς μνηστήρων κατάγων, Ὀδυσῆϊ δαμέντων·
Τὼ δ' ἄρα θαμβήσαντ' ἰθὺς ἴον, ὡς ἐσιδέσθην·
Ἔγνω δὲ ψυχὴ Ἀγαμέμνονος Ἀτρείδαο
Παῖδα Μελανθῆος, τὸν ἀγακλυτὸν Ἀμφιμέδοντα·
Ξεῖνος γάρ οἱ ἔην, Ἰθάκῃ ἐνὶ οἰκία ναίων.
Τὸν πρότερη ψυχὴ προσεφώνεεν Ἀτρείδαο·
Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε,
Πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλος
Κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους·
Ἦ ὅμμ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
Ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
Ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
Βοῦς περιταμνομένους ἠδ' οἰῶν πώεα καλά;

"Aegisthi sub manibus, et perditae uxoris."
Sic hi quidem talia inter se loquebantur.
Prope autem ipsos venit internuncius Argicida,
Animas procorum deducens, ab Ulysse domitorum:
Illi verò proindè attoniti rectà iverunt, ut intuiti sunt:
Cognovit autem anima Agamemnonis Atridae
Filium Melanthii, inclytum Amphimedontem;
Hospes enim ei erat, in Ithacâ aedes habitans.
Hunc prior anima alloquebatur Atridae:
"Amphimedon, quid passi obscuram terram subiistis,
"Omnes selecti et coaetanei? neque alius *sic*
"Habito-delectu elegisset per urbem viros optimos.
"Num vos in navibus Neptunus domuit,
"Excitatis saevis ventis et fluctibus ingentibus?
"An alicubi hostiles viri multârunt in terrâ,
"Boves praedantes et ovium greges pulchros?

Ver. 97. Αἰγίσθου ὑπὸ χερσὶ.] Vide suprà ad λ', 408. *&c.* ubi historiam hanc fusiùs *Ulyssi* narrat *Agamemnon*.

Ver. 99. —— διάκτορος Ἀργειφόντης.] Vide suprà ad θ', 338. item *Phurnutum, de Naturâ Deorum, cap.* 16.

Ver. 101. Τὼ δ' ἄρα θαμβήσαντ'.] *Achilles* et *Agamemnon*. Vide ad *Il. ά*, 566.

Ver. 103. Παῖδα Μελανθῆος, τὸν ἀγακλυτὸν.] Ita *Barnesius*, pro vulgato Παῖδα Μελανθῆος ἀγάκλυτον. Cæterùm MS. à *Tho. Bentleio* collatus hîc legit Παῖδα φίλον Μελανθῆος, ἀγάκλυτον.

Ver. 104. —— γάρ οἱ.] *Al.* γάρ του.

Ver. 106. —— τὸ παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε.]

Quinam te, qui casus, sit, dux maxime. fessae

Eripuit patriae ——
Silius Ital. lib. XIII, 450.

Ver. 107. —— οὐδέ κεν ἄλλος.] MS. à *Tho. Bentleio* collatus, οὐδέ κεν ἄλλος. Cujus lectionis meminit et *Eustathius*.

Ver. 112. Βοῦς περιταμνομένους.] Ita Vulgati; atque ita MS. à *Tho. Bentleio* collatus. *Barnesius* autem ex conjecturâ edidit Βοῦς περιμαιμώσας. Sed rationibus, ut opinor, haud satis idoneis. Vide suprà ad λ', 401. ubi idem locus occurrit. Nec dissimiliter usurpatur vox ἀντιάσμενος in *Hymno* ad *Mercurium*, *Homero* vulgò ascripto, ver. 74.

Πευκάλιον' ἀγέλης ἀντιάσμενον βοὸς ἰφθίμου.

Porrò *Scholiastes* vocem περιταμνομένους hoc in loco exponit, περιπλανώντας.

Ibid. —— καλά.] Similitérque infrà ver. 205. καλόν. Vide ad *Il. β'*, 43.

Ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
Εἰπέ μοι εἰρομένῳ· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
Ἦ οὐ μέμνῃ, ὅτε πεῖσε κατήλυθον ὑμέτερον δῶ,
Ὀτρυνέων Ὀδυσῆα, σὺν ἀντιθέῳ Μενελάῳ,
Ἴλιον εἰς ἅμ' ἕπεσθαι, ἐϋσσέλμων ἐπὶ νηῶν;
Μηνὶ δ' ἄρ' οὖλῳ πάντα περήσαμεν εὐρέα πόντον,
Σπουδῇ παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον.
Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀμφιμέδοντος·
Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Μέμνημαι τάδε πάντα, καὶ ἀτρεκέως καταλέξω
Ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
Μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
Ἡ δ' οὐδ' ἠρνεῖτο στυγερὸν γάμον, οὔτ' ἐτέλευτα,
Ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν·

" An de urbe pugnantes *occubuistis*, et mulieribus?
" Dic mihi interroganti; hospitem autem tibi profiteor me esse.
" An non meministi, quandò illuc veni ad vestram domum,
" Hortaturus Ulyssem, cum deo-pari Menelao,
" Ad Ilium unà ut-comitaretur, benè-transtris-instructis in navibus?
" Mense autem deindè toto omnem transivimus latum pontum,
" Ubi vix tandem persuasissemus Ulyssi urbium-vastatori."
Eum autem rursùs anima alloquebatur Amphimedontis:
" Atride, gloriosissime, rex virorum Agamemnon,
" Memini haec omnia, et accuratè enarrabo
" Nostrae mortis malum finem, qualis contigerit.
" Ambiebamus Ulyssis diù absentis uxorem;
" Haec autem neque negabat odiosas nuptias, neque perficiebat,
" Nobis meditans mortem et fatum atrum:

Ver. 113. Ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;] Versum hunc ita interpretatur *Spondanus*: " *Aut in bello, tutandæ civitatis* " *et mulierum causâ, occubuerint.*" Rectiùs autem (ut opinor) reddit Dna. *Dacier*: " *Ou* " *devant quelque ville que vous ayez atta-* " *quée pour la piller, et pour emmener les* " *femmes captives?*" Quo modo accepisse videtur et *Eustathius* in commentario ad λ', 402. suprà, ubi idem locus occurrit. Hoc nimirùm sensu eandem phrasin alibi usurpat Poeta, ubi nec ullus intellectui ambiguo locus:

——— οὐκ ἰδιήτεϊ
Μίμνων ἐν σταθμῷ, ἔθι περ Τρῶες καὶ Ἀχαιοὶ
Ἔν μίσῃ ἀμφότεροι μίνυν Ἄρεϊ δαΐζοντες
Ἀλλὰ περὶ πτόλεως τε μαχήσεσθαι ἠδὲ γυναικῶν. *Iliad. σ', 262.*

Ver. 115. Ἦ οὐ μέμνῃ.] Vide ad *Il. ὁ*, 18. Ita apud *Euripidem*:

Ἦ οὐκ ἀξιόχρεως ἡ Θησὶς, &c. *Orest, ver.* 596.

Ver. 118. Μηνὶ δ' ἄρ' οὖλῳ πάντα περήσαμεν εὐρέα πόντον, Σπουδῇ παρπεπιθόντες.] *Eustathius* istud " Μηνὶ δ' ἄρ' οὖλῳ" non ad περήσαμεν, sed ad sequentem παρπεπιθόντες, refert. Τοῦτο (inquit) μηνὶ οὖλῳ τὸν Ὀδυσσέα στείλαντες, φασὶν, ἱστιήσαμεν πόντον. Et paulò inferiùs: Μηνὶ γὰρ οὖλῳ πανστρατίᾳ πλεύσαντες διὰ σπουδῆς ἐπείσθησαν. Quod tamen durius videtur.

Ibid. ——— περήσαμεν.] Vide ad *Il. ά*, 67.

Ver. 119. Σπουδῇ παρπεπιθόντες.] Οἷα κατὰ σύμπνοιαν, ἢ καὶ ἐκ μαντείας, εἰδότα τὸ τῆς Τρωϊκῆς μάχης δυσκατάλυτον. *Eustath.* Similiter *Scholiastes*: "Φίλα δὲ πρόσωπα ἑαυτὸν ὁ Ὀδυσσεὺς, μὴ βουλόμενος στρατεύσασθαι, οὐ διὰ δειλίαν, ἀλλ' ἐκ συνέσεως ἀνῆκε, ἐρῶν τὸ μέγαθος τοῦ πολέμου. Ὅθεν εἰκὸς τὸν Ἀγαμέμνονα παρὰ τῷ Ἀμφιμιδόντι [*Barnesius* ex *Eustathio* legendum vult παρὰ τοῖς τοῦ Ἀμφιμιδόντος] μίνυν, καὶ οὐ παρὰ τῷ Ὀδυσσεῖ. *Scholion*, ex MS. à *Barnesio* suppletum.

Ver. 121. 122. Ἀτρεΐδη κύδιστε, &c.] Fuerunt, notante *Barnesio*, qui versus hosce duos hoc modo legerint:

Μίμνημαι τάδε πάντα, διαπρύσιος, ὡς ἀγορεύεις·
Καὶ δ' ἐγὼ ὧν μάλα πάντα καὶ ἀτρεκέως καταλέξω.

Ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξε·
Στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
Λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπε·
Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
Ἐκτελέσω, (μή μοι μεταμώλια νήματ' ὄληται,)
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰσότε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
Μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
Αἴκεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας.
Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ἔνθα κεν ἡματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο.
Ὣς τρίετες μὲν ἔληθε δόλῳ, καὶ ἔπειθεν Ἀχαιούς·
Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη·
Καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ἤδη,
Καὶ τήν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
Ὣς τὸ μὲν ἐξετέλεσσε, καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.

" Sed dolum hunc alium in mente excogitavit;
" Exorsa magnam telam in aedibus texebat,
" Subtilem et immensam: statim autem inter nos dixit:
' Juvenes, mei proci, quandoquidem mortuus est nobilis Ulysses,
' Manete urgentes *licèt* meas nuptias, donec vestimentum
' Perfecero, (nè mihi vana fila pereant,)
' Laërti heroï sepulchrale; in-*tempus* quo ipsum
' Fatum perniciosum corripuerit perennis mortis;
' Nequa mihi in populo Achivarum succenseat,
' Si sine vestimento jaceat, multa qui possedit.'
" Sic dixit: nobis verò persuasus est animus generosus.
" Tunc interdiù quidem texebat magnam telam,
" Noctu autem dissolvebat, postquam faces adhibuerat.
" Sic triennium quidem latebat dolo, et persuadebat Achivis:
" Sed quandò quartus venit annus, et advenerunt horae,
" Mensibus exeuntibus, diesque multi circumacti sunt;
" Utique tunc demùm aliqua dixit mulierum, quae certè nôrat;
" Et ipsam dissolventem invenimus egregiam telam.
" Sic id quidem perfecit, etiam nolens, ex necessitate.

Ver. 128. *&c.* Στησαμένη, *&c.*] Occurrit idem hic locus suprà β', 94. *&c.* item σ', 139. *&c.*

Ver. 132. —— μιταμώλια.] *Al.* μιταμόνια.

Ver. 133. —— εἰσότι.] *Al.* εἰσόκε.

Ver. 138. Ἔνθα κεν ἡματίη.] Vide suprà ad σ', 149.

Ver. 139. Νύκτας δ' ἀλλύεσκεν.] Vide suprà ad σ', 150.

Ibid. et *ver.* 144. —— ἀλλύεσκεν, —— ἀλλύουσαν.] *Al.* ἀναλύεσκεν, —— ἀναλύουσαν.

Ibid. —— παραθεῖτο.] *Al.* παραθῆται, et παραθῆται.

Ver. 140. — ἔληθε.] Vide suprà ad λ', 101.

Ibid. —— ἔπειθεν.] *Al.* ἔθελγεν.

Ver. 142. Μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη.] Hic versus (inquit *Henricus Stephanus*) in vulg. Edit. non habetur, et ex aliis locis huc irrepsisse videri potest." Ac in omnibus quidem, suprà libro β', post *ver.* 107. omittitur hic versus. Occurrit autem, σ', 153.

Εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστὸν,
Πλύνασ', ἠελίῳ ἐναλίγκιον, ἠὲ σελήνῃ·
Καὶ τότε δή ῥ' Ὀδυσῆα κακὸς κοθεν ἤγαγε δαίμων
Ἀγροῦ ἐπ' ἐσχατιήν, ὅθι δώματα ναῖε συβώτης·
Ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
Ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηὶ μελαίνῃ·
Τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε,
Ἵκοντο προτὶ ἄστυ περικλυτόν· ἦτοι Ὀδυσσεὺς
Ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἠγεμόνευε·
Τὸν δὲ συβώτης ἦγε, κακὰ χροῒ εἵματ' ἔχοντα,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι,
Σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
Οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα,
Ἐξαπίνης προφανέντ', οὐδ' οἱ προγενέστεροι ἦσαν·
Ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίπτομεν, ἠδὲ βολῇσιν.
Αὐτὰρ ὁ τέως μὲν ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσι
Βαλλόμενος καὶ ἐνισσόμενος, τετληότι θυμῷ·
Ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος Αἰγιόχοιο,

" Quandò illa vestimentum ostendit, ubi-texuerat magnam telam,
" *Et* laverat, Soli similem, vel Lunae;
" Tunc demùm Ulyssem malus alicundè duxit deus
" Agri in extremitatem, ubi aedes habitabat subulcus:
" Illuc venit charus filius Ulyssis divini,
" Ex Pylo arenosâ reversus cum navi nigrâ:
" Hi verò procis mortem malam moliti,
" Venerunt ad urbem inclytam; sanè Ulysses
" Posterior, at Telemachus antè praeibat:
" Illum verò subulcus duxit, mala corpore vestimenta habentem,
" *Mendico* misero similem, et seni,
" *Baculo* innitentem; turpia autem circum corpus vestimenta indutus erat.
" Neque quisquam nostrûm potuit cognoscere ipsum esse,
" Ubi derepentè se-ostendit, neque qui majores-natu erant:
" Sed verbisque malis incessimus et ictibus.
" At ille ad-tempus quidem tolerabat in aedibus suis
" Percussus et objurgatus, patienti animo:
" Sed quandò demùm ipsum suscitavit Jovis mens Aegiochi;

Ver. 146. —— ὑφήνασα.] *Barnesius* inter varias lectiones retulit *ὑφηναμένη* quod et ipse praefert. Sed, ut videtur, minùs rectè. Nusquam enim apud *Homerum* occurrit verbum hoc Voce *Mediâ*. Vide et suprà ad ί, 491.

Ver. 147. Πλύνασ'.] Similitérque infrà *ver.* 152. ἀρτύναντε. Vide ad *Il.* ά, 309. 338. et χ', 153. 155.

Ver. 149. — ἐσ' ἐσχατιὴν.] *Al.* ἐπ' ἐσχατιῆς.

Ver. 160. —— ἐνίπτομεν.] *Al.* ἐνίσσομεν. Quo modo et in commentario citat *Eustathius*. Ita infrà *ver.* 162. Βαλλόμενος καὶ ἐνισσόμενος.

Ver. 163. —— μιν ἔγειρε Διὸς νόος.] Similitèr apud *Virgilium*:

—— hominum sator atque Deorum ——
—— Tarchontem in prælia sæva
Suscitat, et stimulis haud mollibus incitat iras. *Æn.* XI, 725. 727.

—— animum viresque Latinis
Addidit, et stimulos acres sub pectore vertit. *Æn.* IX, 717.

Σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε' ἀείρας,
Ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσσεν ὀχῆας·
Αὐτὰρ ὁ ἦν ἄλοχον πολυκερδείῃσιν ἄνωγε
Τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
Ἡμῖν αἰνομόροισιν ἀέθλια, καὶ φόνου ἀρχήν.
Οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
Νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν·
Ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
Ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσι,
Τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἷος ἐποτρύνων ἐκέλευσεν·
Αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεὺς,
Ῥηϊδίως δ' ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, ταχίας δ' ἐκχεύατ' ὀϊστοὺς,
Δεινὸν παπταίνων· βάλε δ' Ἀντίνοον βασιλῆα.
Αὐτὰρ ἔπειτ' ἄλλοις ἐφίει βέλεα στονόεντα,
Ἄντα τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.

" Cum quidem Telemacho perpulchra arma sublata,
" In thalamum deposuit, et obdidit pessulos:
" At ipse suam uxorem multo-astu jussit
" Arcum procis ponere, canumque ferrum,
" Nobis infortunatis certamina, et caedis principium.
" Neque quisquam nostrùm poterat validi arcûs
" Nervum intendere; valdè autem impares eramus:
" Sed quandò in manus pervenit Ulyssis magnus arcus;
" Tunc nos quidem omnes increpabamus verbis *subulcum*,
" Arcum nè daret, neque si valdè multa *is* diceret;
" Telemachus verò eum solus hortans jussit:
" At ipse accepit manu multa-passus nobilis Ulysses;
" Faciléque tetendit arcum, misitque *sagittam* per ferrum.
" Stetit autem deindè super limen profectus, velocesque effudit sagittas
" Horrendùm circumspectans; percussit verò Antinoum regem.
" At posteà aliis immittebat tela luctuosa,
" Ex-adverso collimans; illi verò conferti cadebant.

Ver. 165. —— καὶ ἐκλήϊσσεν ὀχῆας.] Τουτέστι μοχλούς· τοὺς τι τῆς γυναικωνίτιδος, καὶ τοὺς περὶ τὴν αὐλήν. *Eustath.* Vide suprà ad φ', 236. 389.

Ibid. —— ἐκλήϊσσεν.] Ita rectè hîc Vulgati. Vide suprà ad σ', 30.

Ver. 166. Αὐτὰρ ὁ ἦν ἄλοχον πολυκερδείῃσιν ἄνωγε Τόξον μνηστήρεσσι θέμεν σίδηρον.] *Eustathius* dictum hoc *Amphimedontis* falsum arguit. Ἔνθα (inquit) δ σ' ἄλλα σχεδὸν ἀλήθειαν εἰπὼν Ἀμφιμέδων, ἐψεύσατο. Οὐ γὰρ καθὰ τὸ εἶδωλον τὴν τοῦ τόξου θέσιν οἵαν πολυκερδείαις Ὀδυσσέως γενέσθαι, οὕτω καὶ σ' ἀληθὴς εἰς τὸ πᾶν ἔχει λόγ· ἐβουλεύσατο μὲν αὐτὸ ἡ Πηνελόπη πρώτη, ἐπέρασι δὲ Ὀδυσσεύς. Vide suprà ad σ', 572. 584. Attamen, ut rectè respondet *Barnesius*, " licèt hoc non esset verum, " verisimile tamen visum est, ita *Procos* " existimare, quandò audirent *Ulyssem* se " palàm agnoscentem."

Ver. 167. —— πολιόν τε σίδηρον.] Vide suprà ad φ', 3.

Ver. 172. Ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν.] Vide suprà φ', 360.

Ver. 178. Δεινὸν παπταίνων.] *Barnesius* vertit, " *Acriter collimans:*" Alii, " *Rectè* " *collimans.*" Sed minùs rectè. Vide ad *Iliad.* δ', 497. λ', 545. ν', 551. 649.

Ver. 179. —— ἐφίει.] Vide ad *Il.* π', 762.

Γνωτὸν δ' ἦν, ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν.
Αὐτίκα γὰρ κατὰ δῶματ' ἐπισπόμενοι μένεϊ σφῷ,
Κτεῖνον ἐπιστροφάδην· τῶν δὲ στόνος ὦρνυτ' ἀεικὴς,
Κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
Ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ', ὧν ἔτι καὶ νῦν
Σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
Οὐ γάρ πω ἴσασι φίλοι κατὰ δῶμαθ' ἑκάστου,
Οἵ κ' ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων,
Κατθέμενοι γοάοιεν· ὅ γὰρ γέρας ἐστὶ θανόντων.
Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
Ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ,
Ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.
Ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ,
Κούρῃ Ἰκαρίου, ὡς εὖ μέμνητ' Ὀδυσῆος,

" Manifestum autem erat, quòd aliquis ipsis deorum adjutor esset:
" Statim enim per aedes sequentes impetum suum,
" Interficiebant quaquaversum: illorum verò gemitus oriebatur foedus,
" Capitibus percussis; pavimentum autem totum sanguine undabat.
" Sic nos, Agamemnon, periimus; quorum adhuc etiam nunc 185
" Corpora neglecta jacent in aedibus Ulyssis;
" Nondum enim sciunt amici in aedibus cujusque,
" Qui abluto atro tabo ex vulneribus,
" Depositos lugerent; hic enim honor est mortuorum."
Illum autem rursùs anima alloquebatur Atridae: 190
" Felix Laërtae fili, solers Ulysses:
" Profectò utique cum magnâ virtute potitus es uxore.
" Adeò bona mens erat eximiae Penelopae,
" Filiae Icarii; adeò benè meminerat Ulyssis,

Ver. 182. —— ἐπισπόμενοι μένεϊ σφῷ.] Vide ad *Il. ι*, 594.

Ver. 184. —— δάπεδον δ' ἅπαν αἵματι θῦεν.]

—— atro tepefacta cruore,
Terra torique madent —. *Æn.* IX, 333.

Ver. 186. Σώματ' ἀκηδέα κεῖται.] Τὸ μὲν γὰρ τῶν ζώντων ἀεὶ "δίμας" προσαγορεύει [Ὅμηρος·] ὡς ἐν τούτοις, (*Il. ά*, 115.) "Οὐ "δίμας οὐδὲ φυήν," &c. —— τὸ δὲ ἀνεῖλκυσεν τὴν ψυχὴν, οὐδὲν ἄλλο ἢ "σῶμα" καλεῖ· ὡς ἐν τούτοις, —— "Σώματ' ἀκηδέα κεῖται ἐνὶ "μεγάροις Ὀδυσῆος." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 15.

Ver. 188. —— μέλανα βρότον.] Τὸ μιαρὸν πάντως καὶ ἱερώσιον αἷμα. *Schol.*

Ver. 189. —— γοάοιεν.] *Al.* γοήσειν.

Ibid. et *ver.* 295. —— ὅ γὰρ γέρας ἐστὶ θανόντων.]

—— qui solus honos Acheronte sub imo est. *Æn.* XI, 25.

Ver. 190. Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο.] Quoniam in sequenti oratione nihil *Amphimedonti* respondet *Agamemnon*, sed de *Ulyssis* felicitate *Penelopaque* fidelitate exclamationem solummodò facit; ideò *Barnesius* hìc legendum potiùs conjicit, Τῷ δ' αὖτε ψυχὴ ἐπεφώνεε. Mutato tamen, ut opinor, nihil opus.

Ver. 191. Ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν' Ὀδυσσεῦ.] Ἀτρεϊδὴς φασὶν, παίοντα τὸ συμπεσὸν περὶ τῆς οἰκίας τῷ Ἀμφιμέδοντι τύχῃ, ἐπαινεῖν τὸν Ὀδυσσέα· οὐκ ἀπεικὸς δὲ, διὰ τὸ καὶ τὸν αὐτὸν ὑπὸ τῆς συνοικούσης [Ita ex MS. restituit *Barnesius* pro corrupto νικούσης] τὰ πάντα πιστεύεσθαι, *Schol.* Porrò *Barnesius* hìc pro πάϊ edidit πάϊς, quòd alioqui "*importunus* sit *hiatus*." Sed vide ad *Il. ά*, 51.

Ver. 192. Ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.] Σὺν μεγάλῃ ἀρετῇ, τουτέστιν εὐτυχίᾳ, εὐδαιμονίᾳ. *Eustath.*

Ibid. —— ἐκτήσω.] *Al.* ἐκτήσαο. Vide suprà ad *ver.* 33.

Ἀνδρὸς κουριδίου· τῷ οἱ κλέος οὔποτ' ὀλεῖται
Ἧς ἀρετῆς· τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
Ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ.
Οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
Κουρίδιον κτείνασα πόσιν· στυγερὴ δὲ ἀοιδὴ
Ἔσσετ' ἐπ' ἀνθρώπους· χαλεπὴν δέ τε φῆμιν ὄπασσε
Θηλυτέρῃσι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Ἑσταότ' εἰν ἀΐδαο δόμοις, ὑπὸ κεύθεσι γαίης.
Οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο
Καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποτ' αὐτὸς
Λαέρτης κτεάτισσεν, ἐπεὶ μάλα πόλλ' ἐμόγησεν·

" Viri cui-virgo-nupserat: ideò ei gloria nunquam peribit
" Suae virtutis: facient autem terrestribus cantilenam
" Immortales amabilem prudenti Penelopae.
" Non sicut Tyndari filia mala molita est opera,
" Cui-virgo-nupserat interfecto marito: odiosa verò cantilena
" Erit inter homines; gravemque famam intulit
" Foemineis mulieribus; etiam *ei*, quae benè-morata fuerit."
Sic hi quidem talia inter se loquebantur,
Stantes in Orci aedibus, sub cavernis terrae.
Illi autem postquam ex urbe descenderunt, citò utique in praedium pervenerunt
Pulchrum Laërtae, cultum, quod scilicèt quondam ipse
Laërtes acquisiverat, postquam valdè multùm laboraverat:

Ver. 195. —— *κουριδίου.*] *Al. κουριδίοιο.*

Ibid. —— *τῷ οἱ κλέος οὔποτ' ὀλεῖται Ἧς ἀρετῆς.*] Ita *Theognis*:

—— *ἀρετῆς δὲ μίγα κλέος οὔποτ' ὀλεῖται.*
Gnom. Eleg. ver. 865.

Et *Euripides*:

Οὔ τοι λείψανα τῶν ἀγαθῶν
Ἀνδρῶν ἀφανιεῖται
Χρόνος· ἀ δ' ἀρετὰ
Καὶ θανοῦσι λάμπει. *Andromach. ver.* 774.

Et *Seneca*:

Nunquam Stygias fertur ad umbras
Inclyta virtus—. *Hercul. Œtæus*, 1982.

Vide et suprà ad *ver.* 94.

Ver. 196. —— *τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν.*]

Ῥιζαντες καλὰ ἔργα, σοφῶν ἐκύρησαν ἀοιδᾶν.
Theocrit. Idyll. XVII, *ver.* 6.

Carmine fit vivax virtus, expersque sepulchri.
Ovid. ex Pont. lib. IV. *Epist.* viii. *v.* 47.

Ver. 197. 370. *Ἀθάνατοι* —— *ἀθανάτοισι.*] Vide ad *Il. ά*, 398.

Ver. 198. —— *Τυνδαρέου.*] *Barnesius* edidit *Τυνδάρεω.* Vide autem suprà ad *λ'*, 297.

Ver. 199. *Κουρίδιον κτείνασα πόσιν.*] Vide suprà ad *λ'*, 429.

Ibid. —— *στυγερὴ δὲ ἀοιδὴ.*] *Barnesius* edidit *στυγερὴ δέ σ' ἀοιδή.* Sed nihil opus.

Ver. 200. —— *χαλεπὴν δέ τε φῆμιν ὄπασσε Θηλυτέρῃσι γυναιξὶ.*] Vide suprà ad *λ'*, 432.

Ver. 204. *Οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν.*] *Ulysses* videlicèt et *Telemachus* cum duobus Servis. Redit enim jam Poeta, ut rectè notat *Spondanus*, " ad institutam narratio-" nem de Ulysse," (undè digressus est suprà libri superioris fine;) " cujus adventum " in agrum Laertis expouit."

Ibid. —— *τάχα δ'.*] Versio *Wetsteniana* reddit, " *citóque.*" Sed rectiùs, ut opinor, sententiæ Apodosin hic ad voces *τάχα δ'* incipere intelliges: Ac proindè vertendum, " *citò utique*;" vel " *citò dein.*" Similis enim videtur hic constructio, *Οἱ δ' ἐπεὶ* —, *τάχα δ'* ac suprà *Il. ά*, 57. *Οἱ δ' ἐπεὶ οὖν* —, *Τῶν δὲ* quem locum vide.

Ver. 205. —— *τετυγμένον.*] Vide ad *Il. ζ'*, 488.

Ibid. —— *ὅν ῥά ποτ' αὐτὸς Λαέρτης κτεάτισσεν, ἐπεὶ μάλα πόλλ' ἐμόγησεν.*] Dna. *Dacier* sententiam hanc ita vertit: " *Qu'il avoit* " *augmentées par ses soins, et par son travail.*" Sed potior, ut opinor, altera ejusdem interpretatio: " *Qu'il avoit acquise par ses tra-*

Ἔνθα οἱ οἶκος ἦεν, περὶ δὲ κλίσιον θέε πάντῃ,
Ἐν τῷ σιτίσποντο καὶ ἵζανον ἠδὲ ἴαυον
Δμῶες ἀναγκαῖοι, τοί οἱ φίλα ἐργάζοντο.
Ἐν δὲ γυνὴ Σικελὴ γρηῢς πάλιν, ἥ ῥα γέροντα
Ἐνδυκέως κομέεσκεν ἐπ' ἀγροῦ, νόσφι πόληος.
Ἔνθ' Ὀδυσεὺς δμώεσσι καὶ υἱάσι μῦθον ἔειπεν·
Ὑμεῖς μὲν νῦν ἔλθετ' ἐϋκτίμενον δόμον εἴσω
Δεῖπνον δ' αἶψα συῶν ἱερεύσατε, ὅττις ἄριστος·
Αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἠμετέροιο,
Αἴ κ' ἐμ' ἐπιγνοίη καὶ φράσσηται ὀφθαλμοῖσιν,
Ἦ μιν ἀγνοίησι, πολὺν χρόνον ἀμφὶς ἐόντα.
Ὣς εἰπὼν, δμώεσσιν ἀρήϊα τεύχε' ἔδωκεν.
Οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον· αὐτὰρ Ὀδυσσεὺς

Illic ei domus erat; circumque exedra currebat circumquaque,
In quâ comedebant et sedebant et dormiebant
Famuli necessarii, qui ei amica laborabant.
Inerat verò mulier Sicula anus, quæ utique senem
Diligentèr curabat in agro, procul ab urbe.
Ibi Ulysses famulis et filio sermonem dixit:
" Vos quidem nunc ite in benè-ædificatam domum intrò;
" In coenam autem statim porcorum mactate, quicunque optimus.
" At ego patrem tentabo nostrum,
" An me agnoscat et discernat oculis,
" An ignoret, multo tempore seorsùm cùm-abfuerim."
Sic locutus, famulis martia arma dedit.
Illi quidem deindè ad domum celeritèr iverunt: at Ulysses

"ναιε." Hoc nimirùm et cum voce κατάφυτον, et cum voculâ κατ' aptiùs videtur congruere. Cæterùm *Scholiastes* vocem κατάφυτον exponit ἔκτιστον quod, ut opinor, ferri nullo modo potest.

Ver. 207. —— κλίσιον.] Ἄπαξ εἰρηται συμαίνει δὲ ἐξέδραν ἐπὰ μαστιγιδῆ, ἐν ᾗ ἐκάθιζοντο, ἢ ἐκοιμῶντο. *Schol.* Κλίσιον σημαίνει τὸν τόπον ἔνθα ἵσταται τὰ ζεύγη· —— Τοῦτο παρὰ μὲν Ὁμήρῳ συντέλλει τὸ ι, καὶ προπαροξύνεται οὕτω, " —— περὶ δὲ κλίσιον θέε πάντη." παρὰ δὲ τοῖς Ἀττικοῖς ἐκτείνεται τὸ ι, καὶ περισπᾶται, ὡς τὸ Ῥηΐον. *Etymolog. Magn.* ad vocem. Κλίσιον δὲ, σίκτιστὸς οἶκος ἐστὶν ὑπόληψις, καὶ ὅλη ἐστὶ κλισία, περὶ ἣν δμῶες ἴασιν. Παρὰ μέντοι Ἀττικοῖς τὸ κλίσιον ἀμαξῶν καὶ ζευγῶν ἐστι διατριβὴ. *Eustath.* Ubi et plures hujus vocis explicationes affert.

Ver. 213. Ὑμεῖς μὲν νῦν ἴλθετ' ἐϋκτίμενον δόμον εἴσω.] In Vulgatis editum est ἐϋκτίμενον στολίδεσσ' *Barnesius* autem ex utraque *Eustathii* editione restituit ἐϋκτίμενον δόμον εἴσω. Atque ita habet Editio *Wetsteniana*. Rectè: Etenim (uti ipse annotat *Barnesius*,) non ad urbem, sed ad *Laertis* domum missos liquet ex *ver.* 219. infrà;

Οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον ——,

Et ex *ver.* 357.

Ἀλλ' ἴομεν περὶ εἶπον, ἐς ἐρχάτου ἐγγύθι κεῖναι·
Ἔνθα δὲ Τηλέμαχος καὶ βουκόλοι ἠδὲ συβῶται
Πρόσθεμψ', ὡς ἂν δεῖπνον ἑφεστίσσωσι τάχιστα.

Porrò artificiosè hîc *Telemachum* et Servos dimissos memorat Poeta, ut locum habeat *Ulysses* patris sui tentandi, (infrà *ver.* 239.) sequentisque narrationis inducendæ, *ver.* 205. &c. Ὁ Ὀδυσσεὺς —— οὐδὲ τῷ πατρὶ αὐτόθεν ἰδίᾳ ἀνερίσεως γνωρισθῆναι μεθοδεύσας δὲ διάτριβην σχεῖν καὶ αὐτοῦ, τοὺς μὲν ἀμφ' αὐτὸν στέλλει, δεῖπνον ταχὺ συῶν ἱερεῦσαι. *Eustath.*

Ver. 216. Αἴ κ' ἐμ' ἐπιγνοίη.] *Eustathius* in commentario citat, Εἴ με ἴσι γνοίη. Malè autem deinceps addit: Ἐν δὲ τῷ, " Εἴ με ἴσι " γνοίη," ἀρχὴ ἐκ περισσοῦ κεῖται τὸ ἴσι ἐπίρρημα. Etenim si vera sit ista lectio, nequaquam supervacanea erit vocula ἴσι, sed eam habebit vim, ut exploraturus dicatur *Ulysses*, " an à patre *jam, post tam diutinam absen-* " *tiam*, agnoscatur."

Ἆσσον ἴεν πολυκάρτου ἀλωῆς, πειρητίζων·
Οὐδ' εὗρεν Δολίον, μέγαν ὄρχατον ἐσκαταβαίνων,
Οὐδέ τινα δμώων, οὐδ' υἱῶν· ἀλλ' ἄρα τοίγε
Αἱμασιὰς λέξοντες, ἀλωῆς ἔμμεναι ἕρκος,
Ἦρχον·· αὐτὰρ ὁ τοῖσι γέρων ὁδὸν ἡγεμόνευεν.
Τὸν δ' οἷον πατέρ' εὗρεν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
Λιστρεύοντα φυτόν· ῥυπόωντα δὲ ἕστο χιτῶνα,
Ῥαττὸν, ἀεικέλιον· περὶ δὲ κνήμῃσι βοείας
Κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων·
Χειρίδας τ' ἐπὶ χερσὶ, βάτων ἕνεκ'· αὐτὰρ ὕπερθεν
Αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.

Propiùs ivit ad abundans-fructibus arboretum, tentare-cogitans;
Neque invenit Dolium, in magnum hortum descendens,
Neque quenquam servorum, neque filiorum; sed sanè illi
Sepes collecturi, arboreti ut-essent septum,
Abiverant; at iis senex viam praeibat.
Solum autem patrem invenit benè-culto in arboreto,
Circumfodientem plantam: squalentem autem indutus erat tunicam,
Sutilem, turpem; circum verò crura bubulas
Ocreas sutiles ligaverat-sibi, sentium-stricturas vitans;
Chirothecasque super manus, ruborum causâ: at supernè
Caprinam galeam capite habebat, dolorem auctans.

Ver. 222. —— *οὐδ' υἱῶν.*] *Dolii* nempè filiorum, ut rectè *Spondanus*. Cæterùm *Barnesius* hic inter varias lectiones retulit *υἱέων*. Quod pronuntiatu idem.

Ver. 223. *Αἱμασιὰς λέξοντες.*] Τὰ ἐκ τῶν χειστῶν λίθων στιχία οἰκοδομήσοντες *Schol. Αἱμασιὰ δὲ, κατὰ τὴν τοῦ Ποιητοῦ ἰδιωτείαν, ἀλωῆς ἔρκος· ἕως μὲν, ὡς προδηλώθη, ἐξ ἀκανθῶν οὖσα. Eustath.*

Ver. 226. *Λιστρεύοντα φυτὸν ῥυπόωντα δὲ ἕστο χιτῶνα.*] Observat *Cicero, Hesiodum*, cùm de culturâ agri scriberet, de *Stercoratione* nè verbum quidem fecisse. "At Homerus," (addit,) "qui multis, ut mihi videtur, antè "sæculis fuit, Laertem lenientem desideri-"um, quod capiebat è filio, colentem agrum, "et eum stercorantem facit." *Lib. de Senectute.* Ubi cùm hunc *Homeri* locum respicere videatur, nihil autem hic de *Stercoratione* memorat Poeta; conjicit *Petrus Victorius, Var. Lect. lib.* XXVIII. *cap.* 4. *Ciceronem* versum hunc ita legisse: "Λιστ-"ρεύοντα φυτὸν ῥυπόωντά τι ἕστο χιτῶνα" vocemque *ῥυπόωντα, Stercorantem*, reddidisse. Quod tamen (uti observat *Victorius*) cum vocis *ῥυπόωντα* sensu minimè congruit; (vide suprà ζ' 87. ν', 435. σ', 72. ψ', 115.) Præterquam quòd et Asyndeton istud, "ἕστο "χιτῶνα," admodùm sit inusitatum. Cæterùm rectè deindè notat *Victorius*, Stercorationem Homero cognitam patere ex ε', 297. &c. suprà:

Ἐν σταλῇ πόντου, ἣ οἱ περιτάρροθε δυσὶν
Ἡμιόνων τε βοῶν τε ἄλις πίσυρ'· ἆφρ' ἐὸ ἄγαυὸν
Δμῶες Ὀδυσσῆος, τίμιος μίγα ποιμένεσσι.

Porrò vocem *Λιστρεύοντα* exponit *Scholiastes*. Περιξύοντα καὶ περικάπτοντα. Et *Eustathius*; Λιστρεύων δὲ, (inquit,) τὸ περιξύων, παρὰ τὸ Λίστρον, ὃ ἐστι ξύστρον —. Αὐτὸ δὲ τὸ, Λιστρεύων φυτὸν, ὅμοιόν ἐστι τῷ, φυτὸν ἀμφιλαχαίνων [infrà *ver.* 241.] Vide suprà ad χ', 445.

Ver. 227. *Ῥαττὸν, ἀεικέλιον.*] Τὸ δὲ, "ῥαττὸν ἀεικέλιον," inquit *Eustathius*, ἀφ' ἑαυτοῦ ἀναγνωστέον ἵνα δηλοῖ τὸν ἀεικέλιον ῥαττόν. Sed, ut opinor, minùs rectè.

Ver. 228. —— *γραπτῦς.*] Τὰς τῶν ἀκανθωδῶν φυτῶν κατασχιζούσας καὶ ἀμυχάς. *Schol.*

Ver. 229. *Χειρίδας τ' ἐπὶ χερσὶ.*] Ἦγουν τὰ τῶν χειρῶν καλύμματα. ἐκ διερρώτων δηλαδὴ καὶ αὐτὰ ὄντα *Eustath. Casaubonus* quidem hujusmodi chirothecarum usum veteribus *Græcis* et *Romanis* incognitum fuisse contendit, "Neque Græci," inquit, "neque "Romani habuere in usu manuum tegu-"menta, quibus etiam rustici hodiè utun-"tur." *Annotat. in Athenæum, lib.* XII. *cap.* 3. Et paulò inferiùs; "Græci veteres, ut "diximus, et horum, et tibialium usum "ignorârunt." Ita vir eruditus: Atqui utrisque *Laertem* usum hic memorat Poeta.

Τὸν δ' ὡς οὖν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
Γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,
Στὰς ἄρ' ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβε.
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Κύσσαι καὶ περιφῦναι ἰὸν πατέρ', ἠδὲ ἕκαστα
Εἰπεῖν, ὡς ἦλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν·
Ἦ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε πειρήσαιτο.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Πρῶτον κερτομίοις ἐπέεσσιν πειρηθῆναι.
Τὰ φρονέων ἰθὺς κίεν αὐτοῦ δῖος Ὀδυσσεύς·
Ἧτοι ὁ μὲν κάτ' ἔχων κεφαλὴν, φυτὸν ἀμφελάχαινε·
Τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός·
"Ω γέρον, οὐκ ἀδαημονίη σ' ἔχει ἀμφιπολεύειν
Ὄρχατον, ἀλλ' εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν,
Οὐ φυτὸν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
Οὐκ ὄγχνη, οὐ πρασίη τοι ἄνευ κομιδῆς κατὰ κῆπον.

Hunc autem ut animadvertit multa-passus nobilis Ulysses
Senectute afflictum, magnumque mente dolorem habentem,
Stans utique sub excelsâ pyro lachrymam effundebat.
Cogitavit verò deindè in mente et in animo,
Osculari et amplecti suum patrem, et singula
Dicere, quomodo venisset et accessisset ad patriam terram;
An priùs interrogaret, singulaque tentaret.
Sic autem ei cogitanti visum est satius esse,
Primùm mordacibus verbis tentare.
Haec cogitans rectà ivit ad eum nobilis Ulysses:
Sanè ille quidem deorsùm tenens caput, plantam circumfodiebat;
Eum autem astans alloquebatur illustris filius:
" O senex, non imperitia te tenet curandi
" Hortum, sed benè tibi cultura habet, neque omninò,
" Non planta, non ficus, non vitis, non quidem oliva,
" Non pyrus, non area tibi sine culturâ in horto.

Ver. 233. —— ὄγχνην.] *Barnesius* edidit ἔχνην. Vide infrà ad *ver.* 246.

Ver. 234. —— κατὰ φρένα καὶ κατὰ θυμὸν.] Ita apud *Virgilium*:

——mentem animumque. *Æn.* VI, 11.

Ver. 235. Κύσσαι καὶ περιφῦναι.] In Vulgatis editum est Κῦσαι· ut et infrà *ver.* 319. Κῦσε δέ μιν περιφύς ——. Sed scribendum videtur cum duplici σ, Κύσσαι —— Κύσσε· uti et in nonnullis locis apud Poetam edidit *Barnesius*: nam vox κύσι alibi *priorem* corripit. Vide suprà ad σ', 15. et ρ'. 39.

Ver. 236 et 261. Εἰσεῖν.] *Al.* Εἰσίμεν.

Ver. 238. —— δοάσσατο κέρδιον εἶναι, Πρῶτον κερτομίοις.] Περιμηδέστατα γὰρ (inquit *Eustathius*) Ὀδυσσεὺς οὐκ εὐθὺς ἑαυτὸν ἀναγνωρίζει τῷ πατρὶ, μή ποτε τῷ αἰφνιδίῳ τῆς χαρᾶς ἀποσβῇ ὁ γέρων. Verùm hoc in animo habuisse *Ulyssem*, minimè ex ipso Poetâ constat. Vide et suprà ad *ver.* 213.

Ver. 239. —— πειρήσαιτο ἑπέεσσιν.] Vide ad *Il. ω.* 649.

Ver. 241. Ἧτοι ὁ μὲν κάτ' ἔχων κεφαλὴν.] Κάτω ἔχων, νενευκώς· δύναται δὲ καὶ ὑφ' ἓν, τὸ κατέχων. *Schol.* Et *Henricus Stephanus* inter varias lectiones retulit κατέχων. In annotationibus autem planè mendosam esse lectionem contendit; voculamque κάτ', non pro κατὰ, sed pro κάτω positam intelligit. Quod tamen durius videtur, et sententiae nihil addit.

Ibid. —— φυτὸν ἀμφιλάχαινε.] Vide suprà ad *ver.* 226.

Ver. 243. —— οὐκ ἀδαημονίη σ' ἔχει.] Vide suprà ad ψ', 266.

Ver. 245. —— οὐ συκῆ.] Edidit *Barnesius* συκίη. Quod eodem modo pronuntiandum.

Ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ·
Αὐτόν σ' οὐκ ἀγαθὴ πομπὴ ἔχει, ἀλλ' ἄμμα γῆρας
Λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, καὶ ἀεικέα ἕσσαι.
Οὐ μὲν ἀεργίης γε ἄναξ ἔνεκ' οὔ σε κομίζει,
Οὐδέ τί τοι δούλειον ἐπιχρέεται εἰσορόασθαι
Εἶδος καὶ μέγεθος· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας.
Τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε,
Εὐδίμεναι μαλακῶς· ἡ γὰρ δίκη ἐστὶ γερόντων.
Ἀλλ' ἄγε μοι τόδε εἰπέ, καὶ ἀτρεκέως κατάλεξον,
Τεῦ δμῶες εἶς ἀνδρῶν; τεοῦ δ' ὄρχατον ἀμφιπολεύεις;
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Εἰ ἐτεόν γ' Ἰθάκην τήνδ' ἱκόμεθ', ὥς μοι ἔειπεν
Οὗτος ἀνὴρ τῶν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόντι,
Οὔτι μάλ' ἀρτίφρων· ἐπεὶ οὐ τόλμησεν ἕκαστα
Εἰπεῖν, ἠδ' ἐπακοῦσαι ἐμοὶ ἔπος, ὡς ἐρέεινον

" Aliud autem tibi dicam; tu verò nè iram induc animo;
" Ipsum te non bona cura habet, sed simul senectutem
" Gravem habes, squalesque malè, et turpitèr indutus es.
" Non quidem inertiæ sanè dominus causâ non te curat,
" Neque quid tibi servile conspicuum-est intuentibus
" *In* formâ et staturâ: regi enim viro similis es.
" Tali autem similis es, qui postquam laverit comederitque,
" *Debeat* dormire mollitèr; hic enim mos est senum.
" Sed age mihi hoc dic, et accuratè narra,
" Cujusnam servus es virorum? cujusnam verò hortum curas?
" Et mihi hoc dic verè, ut benè sciam,
" Si reverà utique Ithacam hanc advenimus, sicut mihi dixit
" Ille vir, jam nunc obviàm-factus huc venienti,
" Nequaquam valdè sapiens; quoniam non sustinuit singula
" Dicere, et audire meum verbum, ut interrogabam

Ver. 246. Οὐκ ἔγχη, οὐ τρεσίη] Ita Vulgati. Quæ si vera sit lectio, pronuntiandum erit Οὐκ ἔγχ', οὐ τρεσίη· ut *Iliad. ι*, 533.

Ἦ λάθεν', ἢ οἱ οὐκ ἐνόησεν ——————.

Et σ', 31.

Αἰνοπάτη· τίς σευ ἄλλος ——————.

Vide et ad *ver.* 115. *hujus libri*. Barnesius autem ex *Etymolog. Magn.* et Editionibus nonnullis edidit, Οὐκ ἔχει, οὐ τρεσίη ——; ut adeò Οὐκ ἔχει pes sit *dactylus*.

Ver. 250. Οὐ μὲν ἀεργίης γε ἄναξ ἕνεκ' οὔ σε κομίζει.] Duportus in *Gnomologiâ Homericâ* legit ἕνεκέν σε κομίζει. Ad sententiam multò minùs rectè.

Ver. 253. Τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε, Εὐδίμεναι μαλακῶς.] Τὸ δὲ, " Τοιούτῳ δὲ ἔοικας," &c. διττὴν ἔχει ἔννοιαν. "Ἢ γὰρ, ὅτι τοιοῦτος οἷος λούεσθαι, καὶ μετὰ τὸ ἱμαρτῶν πεπαῦσθαι, οὐ μὴν καὶ ἔγγυς ἐστιν ἀνθρώπους· ἢ ὅτι τοιοῦτος, ἄγων βασιλεῖ, ἔοικας, οὐ νῦν οὕτως ὡς ἔχεις, ἀλλ' ὅτε ὁ τοιοῦτος λούσαιτο καὶ φάγοι, ἄδοντι καὶ ἀναπαυομένῳ ἔοικε. *Eustath.* Verior, ut opinor, prior explicatio; quam et amplectitur Dna. *Dacier*. Constructio tamen hic subdifficilis videtur, *Homericamque* perspicuitatem minùs sapere: Nisi fortè legendum sit, " Τοιούτῳ δὲ ἔοικεν, ἐπεὶ λούσαιτο φάγοι τε," &c. Quâ ratione perspicua admodùm et luculenta erit sententia.

Ibid. —— ἐπεὶ λούσαιτο φάγοι τε.] Apud *Julianum, Orat.* II. (notante *Barnesio*,) λούσῃ τι φάγῃ τε.

Ver. 254. —— ἡ γὰρ δίκη ἐστὶ γερόντων.] Τὸ δὲ διόπτρον [μέρος τῶν γήρως,] ἐφ' οὗ τὸ σύμφορον ὄψεται φέροντα, αὐτὸ τοῦτο ἔλεγε, καθ' ὃ λέγουσιν, " ——ἐπεὶ λούσαιτο φάγοι τε, Εὐδίμεναι μαλακῶς ——." *Galen. de Sanitate tuend. lib.* V. *cap.* 12. *sub fine.*

Ver. 257 et 296. Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον.

— mihique hæc edissere vera roganti.
Æn. II, 149.

Ἀμφὶ ξείνῳ ἐμῷ, εἴπου ζώει τε καί ἐστι,
Ἠ ἤδη τέθνηκε, καὶ εἰν ἀΐδαο δόμοισιν.
Ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον.
Ἄνδρα πότ' ἐξείμασα φίλῃ ἐνὶ πατρίδι γαίῃ,
Ἡμίτρόνδ' ἐλθόντα· καὶ οὕτω τις βροτὸς ἄλλος
Ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα.
Εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
Λαέρτην Ἀρκεισιάδην πατέρ' ἔμμεναι αὐτοῦ.
Τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
Ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
Καὶ οἱ δῶρα πόρον ξεινήϊα, οἷα ἐώικει·
Χρυσοῦ μέν οἱ δῶκ' εὐεργέος ἑπτὰ τάλαντα,
Δῶκα δέ οἱ κρητῆρα παπάργυρον ἀνθεμόεντα,
Δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
Τόσσα δὲ φάρεα καλὰ, τόσσους δ' ἐπὶ τοῖσι χιτῶνας·
Χωρὶς δ' αὖτε γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι.

" De hospite meo, an alicubi vivatque et existat,
" An jam mortuus sit, et in orci sedibus.
" Edicam enim tibi, tu verò attende, et me audi;
" Virum quondam hospitio-excepi charâ in patriâ terrâ,
" Ad nostram *domum* ubi-venerat; et nondum quisquam mortalis alius
" Hospitum longinquorum charior meam advenit domum.
" Profitebatur autem se ex Ithacâ genere esse; at dicebat
" Laërtem Arcesiadem patrem esse ipsius.
" Hunc quidem ego ad domum ducens benè hospitio-excepi,
" Peramantèr tractans, multa in domo *mihi* cùm-essent;
" Et ei dona praebui hospitalia, qualia decebat:
" Auri quidem ei dedi benè-elaborati septem talenta,
" Dedi verò ei craterem totum-argenteum floribus-caelatum,
" Duodecimque simplices laenas, totque tapetes,
" Totidemque pallia pulchra, totidemque ad haec tunicas:
" Separatim verò insuper mulieres eximias, operum scientes,
" Quatuor speciosas, quas voluit ipse eligere."

Ver. 266. —— οὕτω τις βροτὸς.] *Al.* οὐ τοῖος βροτός.

Ver. 267. Εἵλιον τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα.] Φιλίων, ξενικῶν φίλων, ἐμὸν ἵκετο δῶμα. Ἐκ τοῦ "φίλος" δι, ὁ φιλίων γίνεται, ἀπ' αὐτοῦ δι, ὡς καὶ σφετερίζεται, ὁ φίλιστος, οὗ χρῶνται καὶ παρὰ Σοφοκλεῖ. *Eustath.* Vide suprà ad ν', 351. Quod cùm non intellexerit *Spondanus*, sententiam hoc in loco planè pessundat, istud φιλίων vertendo "amicorum:" ac si esset videlicèt ex φίλιος. Et in annotationibus; "Docet," inquit, "his verbis, se remotam quandam regionem incoluisse, utpote ad quam peregrini homines minimè accederent." Eandemque interpretationem sequuntur Versiones plerasque. Sed et *Barnesius*, qui ad *Odyss.* ν', 351. ubi idem versus occurrit, sententiam et in Versione et in Annotationibus rectè exposuit; ipse tamen hoc in loco vocem φιλίων "amicorum" mirè vertit.

Ver. 269. —— αὐτοῦ.] *Al.* αὐτῷ.

Ver. 271. —— φιλίων.] Vide ad *Iliad.* υ', 304.

Ver. 273. Χρυσοῦ μέν οἱ.] *Barnesius* inter varias lectiones, Χρυσῷ μέν οἱ.

Ver. 278. —— εἰδαλίμας.] Εὐειδεῖς, εὐμόρφους. *Etymolog. Magn.* ad vocem Εἰδαλίμας. Ubi et hic *Homeri* locus adducitur.

Τὸν δ' ἠμείβετ' ἔπειτα πατὴρ κατὰ δάκρυον εἴβων·
Ξεῖν', ἦτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις·
Ὑβρισταὶ δ' αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσι·
Δῶρα δ' ἐτώσια ταῦτα χαρίζεο, μυρί' ὀπάζων·
Εἰ γάρ μιν ζωὸν γ' ἐπίχειρις Ἰθάκης ἐνὶ δήμῳ,
Τῷ κέν σ' εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε,
Καὶ ξενίῃ ἀγαθῇ· ἣ γὰρ θέμις, ὅστις ὑπάρξῃ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Πόστον δὴ ἔτος ἐστὶν, ὅτε ξείνισσας ἐκεῖνον,
Σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ', εἴ ποτ' ἔην γε,
Δύσμορον; ὅν που, τῆλε φίλων καὶ πατρίδος αἴης,
Ἠέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
Θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ'· οὐδέ ἑ μήτηρ
Κλαῦσε περιστείλασα, πατὴρ θ', οἵ μιν τεκόμεσθα·
Οὐδ' ἄλοχος πολύδωρος ἐχέφρων Πηνελόπεια

Illi autem respondit deindè pater lachrymas stillans:
" Hospes, profectò quidem ad terram pervenisti, de-quâ interrogas:
" Injurii autem ipsam et improbi viri habent.
" Dona verò irrita haec largiebaris, multa praebens:
" Si enim ipsum vivum utique invenisses Ithacae in populo,
" Eò te benè donis remuneratus dimisisset,
" Et hospitio bono; hoc enim jus est, quicunque coeperit.
" Sed age mihi hoc dic, et accuratè narra,
" Quotus jam annus est, quandò hospitio-excepisti illum,
" Tuum hospitem infelicem, meum filium, (si quidem unquam fuit,)
" Infortunatum? quem alicubi, procul ab amicis et patriâ terrâ,
" Vel in ponto comederunt pisces, vel in terrâ
" Feris et avibus captura factus est; neque ipsum mater
" Flevit coöpertum, paterque, qui ipsum genuimus;
" Neque uxor multùm-dotata prudens Penelope.

Ver. 283. *Εἰ γάρ μιν.*] Refertur istud γὰρ non ad aliquid jam ante dictum, sed ad id quod de egregiâ Ulyssis benevolentiâ et hospitalitate elegantiùs reticetur. Vide ad *Il.* i, 22.

Ver. 285. —— *ἣ γὰρ Θέμις, ὅστις ὑπάρξῃ.*] Vocem *ὑπάρξῃ* (quæ apud *Homerum* hoc tantùm in loco occurrit,) *Scholiastes* exponit, *προσπατάξηται.* Similitérque *Eustathius*; *Δίκαιον*, inquit, *ἀντιξενίζειν τὸν ὑπάρξαντα.*

Ἐπόντι τοίνυν φείσεται
Νέῳ τὸν ἰδίως εἰσαγίταν
Ὑπαντιάσας——. *Pindar. Pyth. Od.* V. 57.

Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.
Sophocl. Ajax, ver. 522.

Cæterùm *Eustathius* legit *ὑπάρξει.*

Ver. 288. —— *εἴ ποτ' ἦν γε.*] Vide ad *Il.* γ', 180.

Ver. 289. *Δύσμορον; ὅν που, τῆλε φίλων, &c.*]

Heu: terrâ ignotâ, canibus data praeda Latinis,
Alitibusque jaces: nec te tua funera mater
Produxi, pressive oculos, ——
Æn. IX, 485.

Ver. 290. *Ἠέ που ἐν πόντῳ φάγον ἰχθύες.*]

—— aut gurgite mersum
Unda ferat; piscesque impasti vulnera lambent.
Æn. X, 559.

Ibid. —— *ἠὲ χέρσου.*] *Il. ἠὲ χέρσῳ.*
Ver. 292. —— *περιστείλασα.*] *Περιμαλύψασα. Schol.*
Ver. 293. —— *ἄλοχος πολύδωρος.*] *Il.*

Κώκυσ' ἐν λεχέεσσι φίλον πόσιν, ὡς ἐπέοικεν,
